Digitized by Google

Digitized by Google

SCRIPTORUM
VETERUM
NOVA COLLECTIO.


Digitized by Google


Digitized by Google


Digitized by Google

Specimen codicum vaticanorum

Leontii & Anastasii


ΛΕΟΝΤΙΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ ΚΑΙ ΙΩΑΝΝΟΥ
ΤΩΝ ΙΕΡΩΝ ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ





SCRIPTORUM VETERUM
NOVA COLLECTIO

E VATICANIS CODICIBUS EDITA

AB ANGELO MAIO

BIBLIOTHECAE VATICANAE PRAEFECTO.

TOMUS VII.

ROMAE

TYPIS VATICANIS

M. D. CCC. XXXIII.

Digitized by Google

Digitized by Google

EDITORIS PRAEFATIO.

Qui nunc prodit in publicum collectionis meae septimus tomus, hanc ego mehercule sacrae theologiae thesaurum nuncupare ausim. Plurima enim inedita graecorum Patrum partim integra opuscula partim fragmenta continet, e codicibus vaticanis decerpta, quae ego, ut lectoribus meis utilior fierem, minutis plerumque typis expressi. His accedunt latinorum quoque Patrum opuscula quaedam; postremo hominis paulo recentioris, plus trecentis tamen abhinc annis defuncti, opus dogmaticum, perbona ut tum erant tempora latinitate scriptum, et luce dignum. Ceteroquin graecorum operum interpretationem, quam partim iam instruxeram, nunc praetermisi, ne capiendae scriptorum moli tomus impar evaderet. Singula interim tomi opuscula, cum auctorum, qui appellantur, syllabo recensere sat est.

I. Patrum doctrina de verbi incarnatione. Hoc ego opus ex codice vaticano sumpsi, olim columnensi, bombycino antiquo, cuius scriptio sine dubio in Aegypto curata fuit, quia graecae litterarum formae persimiles copticis cursivis sunt; itaque et specimen rarae huius perdifficilisque scripturae caedendum aere curavi, ut fronti voluminis ornamento sit. Idem opus in alio quoque vaticano codice, imperfectum tamen, inerat, eiusque interdum lectiones secutus sum. Auctoris nomen in utroque codice desideratur; sed eam esse Anastasium presbyterum, dicit saepe in variis scholiis Sirmondus, qui in codice Iesuitarum claromontano id opus legerat. Quin adeo Labbaeus in conspectu operum S. Ioh. damasceni summaria capitum, cum auctorum laudatorum nominibus edidit. Harduinus quoque in opusc. select. p. 239. et 243, nec non Muratorius in dissert. de epist. Iulii papae, aliique aliquot ut memini auctores, hanc Anastasii lucubrationem, seu χρήσεων ἐκλογὴν, commemorant; non quia sit edita, sed quia particulas aliquot in Sirmondi scholiis observarunt. Ego ex hoc Anastasii opere partes illas tantummodo edidi, quae ad deperdita Patrum opera pertinent. Pag. 1-73.

II. Leontii et Iohannis sacrarum rerum liber. Huius ego scripti initium tantummodo in primo collectionis meae volumine an. 1825. vulgaveram; quam ipsam deinde partem ex repetita tomi editione expuli, quia universum iam simul opus editurus eram: ita tamen ut ineditas tantummodo Patrum reliquias retineam. P. 74-109.

III. Leontii hierosolymitani adversus Monophysitas liber, cum ineditis plurimis Patrum testimoniis. Attamen ne huius scripti utilitatem minuerem, editas quoque Patrum auctoritates retinui. P. 110-155.

IV. S. Ambrosii episcopi mediolanensis explanatio symboli ad initiandos, quae hactenus in vaticano codice delituerat P. 156-158.

V. Eiusdem S. Ambrosii epistola de fide ad S. Hieronymum, quod genuinum esse Ambrosii scriptum vix dubito. P. 159-161.

VI. Anonymi expositio fidei ex antiquo bobiensi codice, nunc vaticano. P. 161-162.

Digitized by Google

Digitized by Google

XXIX. Caietani Marinii praefatio ad suum ineditum opus de inscriptionibus doliaribus. P. 161—168.

XXX. Tipuciti conspectus universus, cum Basilicorum supplementis, ex codice huius operis rarissimo, immo unico, bibliothecae vaticanae. Part. III. p. 1—33. Equidem ad restituendos aliquot Basilicorum quos scimus amissos libros eorumve partes, nihil vidi aptius: immo ad corrigendum quoque, illustrandum, augendumque latinum ius seu pandectas mirifice Tipucitus prodest. Attamen ego vix coepta huius pretiosissimi codicis editione, ad alia graviora munera vocatus sum. Sed enim gaudeo, quod doctus alius et in edendis Basilicis occupatus vir, intermissam a me editionem sapienter exornabit, tantoque munere romanam iurisprudentiam augebit. Codicem primus novit Leo Allatius, meus in vaticana bibliotheca decessor, qui et eius apographum quamquam non satis emendatum nobis reliquit. Summaria deinde operis vulgavit mendose Iosephus Assemanus biblioth. iur. or. T. II. cap. 23.

AUCTORES QUI APPELLANTUR.

Auctores ab Hieronymo Donato laudatos recensendos non iudicavi.

Digitized by Google

CAPITULORUM
SEQUENTIS OPERIS
INDEX (1).

ΤΑΔΕ ΕΝΕΣΤΙΝ
ΕΝ ΤΗΙΔΕ ΤΗΙ ΒΙΒΛΩΙ.

(1) Indicem quidem exhibeo integrum, ut totius operis saltem conspectus innotescat; ceteroquin ex patrum scriptis nonnisi fere inedita, ut brevitati consulam, daturus sum.

γεια πάντως μία· καὶ ἔμπαλιν· καὶ ὅτι Ἀπολιναρίου μίαν λέγοντες Χριστοῦ φύσιν, μίαν λέγει καὶ τὴν ἐνέργειαν, ἐν ᾧ καὶ περὶ εἰδῶν δυοῖν.

ιγ. Ὅτι ταυτὸν ἐνέργεια καὶ ἐνέργημα παρά τισιν, καὶ τί ἐνέργεια· καὶ περὶ τοῦ δεῖν ἑκατέρας φύσεως γνωρίζειν τὰ ἴδια· ἐν ᾧ ὅτι καὶ τὰ πάθη τὰ φυσικὰ ἐνέργεια κυρίως καλοῦνται· καὶ ὅτι τὸ ἵστασθαι καὶ καθίζεσθαι καὶ περιπατεῖν, ἐνέργειαι εἰσί· καὶ ὅτι μετὰ τὴν ἀνάστασιν τῆς ἀνθρωπίνης φύσεως ἐνέργεια σώζεται ἐν τῷ Χριστῷ· τὰ ὅμοια δὲ καὶ ἐν τῷ ιϛ. κεφαλαίῳ κεῖται.

ιδ. Ὅτι τῶν οὐσιῶν αἱ ἐνέργειαι εἰσὶ χαρακτηρικαί· καὶ ὅτι ἀδύνατον φύσιν εἶναι ἀνενέργητον· καὶ πῶς ἡ θεία νοεῖται ἐνέργεια.

ιε. Ὅτι θεϊκῶς ἅμα καὶ ἀνθρωπίνως ὁ εἷς καὶ μόνος ἐνεργεῖ Χριστὸς τὴν δουλικὴν ἐνδεδυμένος ἐνέργειαν· καὶ ὅτι οὐκ ἄμοιρος τῶν ἰδίων ἐνεργειῶν ἡ θεία αὐτοῦ ὑπῆρχεν σάρξ· καὶ πρὸς τοὺς λέγοντας ὅτι τὰ ἀνθρώπινα ἔργα οὐκ ἐνεργείας ἀλλὰ πράξεις καὶ πάθη δεῖ καλεῖν· καὶ διὰ τοῦτο μὴ ἀνεχομένους δύο ὁμολογεῖν Χριστοῦ τὰς ἐνεργείας· καὶ ὅτι καιρὸν ἐδίδου ὁ λόγος τῇ ἰδίᾳ σαρκὶ τὰ οἰκεῖα πράττειν καὶ πάσχειν ὅτε αὐτὸς ἐβούλετο καὶ ἐφ' ὅσον ἤθελεν· καὶ ὅτι ἐνδείξει ὑπάρξεως ἐγίνετο τὰ γινόμενα, καὶ οὐ φαντασίᾳ, καὶ ὅτι ὥσπερ ὀργάνῳ.

ιϛ. Κατὰ ἀγνοιτῶν· ἐν ᾧ καὶ περὶ τοῦ προκόπτειν Ἰησοῦν σοφίᾳ καὶ ἡλικίᾳ· καὶ κατὰ Ἀφθαρτοδοκετῶν· καὶ ὅτι ἡ δειλία καὶ ὁ φόβος καὶ ἡ ἄγνοια φυσικὰ καὶ ἀνυπαίτια πάθη.

ιζ. Ὅτι ἐκ τῆς ταυτότητος τῆς φύσεως τὸ ἀπαράλλακτον δείκνυται τοῦ θελήματος, καὶ ἡ τοῦ θελήματος πάλιν ἰσότης τῆς φύσεως παρίστησι τὴν ὁμοιότητα· καὶ ὅτι ἔνθα θελήματος διαφορὰ, τῆς οὐσίας γνωρίζεται τὸ ἀλλοιωτὸν· καὶ αὖθις τῷ ταυτῷ τοῦ θελήματος, τῆς οὐσίας δηλοῦται τὸ ἀπαράλλακτον ἐν οἷς ὅτι τὸ ἀνόμοιον τῆς οὐσίας ἐκ τῆς διαφορᾶς τοῦ θελήματος οἱ περὶ Ἄρειον καὶ Εὐνόμιον κατασκεύαζον.

ιη. Πῶς δεῖ νοεῖν τὸ, πάτερ εἰ δυνατὸν παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ· καὶ τὸ, οὐχ ὡς ἐγὼ θέλω ἀλλ' ὡς σύ· καὶ τὸ, Θεέ μου ἵνα τί ἐγκατέλιπές με.

ιθ. Περὶ τοῦ θείου θελήματος· καὶ ὅτι εἶχεν θέλημα μετὰ φύσιν ἡ τοῦ κυρίου ψυχή· καὶ ὅτι συνουσίωται ἡμῖν ἡ προαιρετικὴ δύναμις, καὶ ἐλευθέραν πάσης ἀνάγκης τὴν πρὸς τὸ θελητὸν ὁρμὴν ἡ λογικὴ περιέχεται φύσις.

κ. Πῶς δεῖ νοεῖν τὸ ὑπὸ τοῦ θείου Γρηγορίου εἰρημένον ἐν διαφόροις αὐτοῦ λόγοις τιθεῖσθαι ποτὲ μὲν τὸ θέλημα, ποτὲ δὲ αὐτὴν ὅλην τοῦ λόγου τὴν ἀνθρωπότητα, καὶ θεὸν καλεῖσθαι καὶ ὁμόθεον καὶ τὰ τοιαῦτα· καὶ ὅτι τὰς θείας ἐνεργείας διὰ τὴν πρὸς τὸν λόγον ἀδιάσπαστον ἕνωσιν ἡ θεία αὐτοῦ σὰρξ κατεπλούτει· οὐ τρεπείσης τὴν φύσιν, οὔτε τῆς ἰδίας ἐκστάσης φυσικῆς ἐνεργείας· ἐν ᾧ καὶ χρήσεις τινὰς ἃς οἱ ἀντιδιατιθέμενοι προβάλλονται.

κα. Περὶ τοῦ τρόπου τῆς καθ' ὑπόστασιν ἑνώσεως πῶς οἱ πατέρες παρέδωκαν· καὶ ὅσοι ἀκριβῶς καὶ σαφῶς περὶ τοῦ συνεστῶτος· τὰ ὅμοια δὲ καὶ ἐν τῷ ιζ κεφαλαίῳ εἰρήσεται.

κβ. Ὅτι οὐκ ἐν ῥήμασι καὶ ἤχοις οὔτε ἐν ὀνόμασιν ἀλλ' ἐν πράγμασιν ἡ εὐσέβεια· καὶ ὅτι οὐ δεῖ γυμναῖς ἐνοχλεῖν ταῖς λέξεσιν, ἀλλὰ τὸν νοῦν θεωρεῖν τῶν λεγομένων, καὶ τοῖς καιροῖς συνεξετάζειν μετὰ τῶν προσηκόντων προσδιορισμῶν τὰ λεγόμενα· καὶ περὶ καταχρήσεως λέξεων καὶ ὀνομάτων· καὶ πρὸς τοὺς λέγοντας ὅτι Κύριλλος ταυτὸν λέγει φύσιν καὶ ὑπόστασιν.

κγ. Ὅτι οὐκ ἐκώλυσεν ὁ ἅγιος Κύριλλος τὸ δύο λέγειν φύσεις μετὰ τὴν ἕνωσιν, ἀλλὰ καὶ συνηγόρει τοῖς ἀνατολικοῖς τὰς δύο φύσεις ὀρθῶς πρεσβεύουσιν· καὶ οὐδὲ Νεστόριος διὰ τὸ λέγειν δύο φύσεις αἰτιᾶται, ἀλλ' ἐπειδὴ διαιρεῖ, καὶ οὐχ ὁμολογεῖ τὴν καθ' ὑπόστασιν ἕνωσιν, οὐδὲ θεοτόκον τὴν παρθένον καλεῖ· ἐν ᾧ καὶ Σευήρου χρήσεις μαρτυροῦντες ὡς πολλοὶ τῶν πατέρων ἐχρήσαντο ἀδιαβλήτως τῇ φωνῇ τῶν δύο φύσεων.

κδ. Προβλήματα τινὰ πρὸς τοὺς μίαν λέγοντας φύσιν· καὶ ἀπολογία πρός τινα τῶν παρ' αὐτῶν προτεινομένων κεφαλαίων· καὶ συνηγορία ὑπὲρ τῆς συνόδου περὶ ὧν ταύτην οἱ ἐκ Σευήρου καταμέμφονται.

Digitized by Google

Κεφάλαιον α τῆς γενέσεως.

Digitized by Google

Digitized by Google

ANTIQUORUM PATRUM
DOCTRINA
DE VERBI INCARNATIONE.

ΛΟΓΟΙ
ΤΩΝ ΑΓΙΩΝ ΠΑΤΕΡΩΝ

ἤγουν ἐκλογὴ χρήσεων, δι᾽ ὧν τὴν ὅλην τῆς ἀποστολικῆς ἐκκλησίας δόξαν σαφῶς διδασκόμεθα, τό τε τῆς θεολογίας φημὶ κήρυγμα, καὶ τῆς θείας οἰκονομίας τὸν λόγον, καὶ τῶν ἄλλων ὀρθῶν τῆς ἐκκλησίας δογμάτων τὴν ἀκρίβειαν.

Cap. I.

Γρηγορίου Νύσσης ἐκ τοῦ εἰς τὸ πάτερ λόγου· εἰς τὸ ἐλθέτω ἡ βασιλεία σου.

Μία κατὰ τὸ ἀκόλουθον ἀποδείκνυται τῆς ἁγίας τριάδος ἡ φύσις· οὐ συγχεομένης ἐφ᾽ ἑκάστης τῶν ὑποστάσεων τῆς κατὰ τὸ ἀκόλουθον ἐπιθεωρουμένης αὐταῖς ἰδιότητος, οὐδὲ τῶν γνωρισμάτων ἐν ἀλλήλοις ἀλλασσομένων ||(1)· ὥστε τὸ σημεῖον τῆς πατρικῆς ὑποστάσεως, ἐπὶ τὸν υἱὸν ἢ τὸ πνεῦμα μετενεχθῆναι· ἢ τοῦ υἱοῦ πάλιν ἐπὶ τῶν παρακειμένων ἐφαρμοσθῆναι· ἢ τὴν τοῦ πνεύματος ἰδιότητα τῷ πατρί τε καὶ τῷ υἱῷ ἐπιφαίνεσθαι· ἀλλ᾽ ἐν τῇ κοινότητι τῆς φύσεως, ἀκοινώνητος ἡ τῶν ἰδιαζόντων θεωρεῖται διάκρισις· ἴδιον τοῦ πατρὸς τὸ μὴ ἐξ αἰτίου εἶναι· τοῦτο οὐκ ἔστιν ἰδεῖν ἐπὶ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος· ὅ τε γὰρ υἱὸς ἐκ τοῦ πατρὸς ἐξῆλθε, καθώς φησιν ἡ γραφή, καὶ τὸ πνεῦμα ἐκ τοῦ θεοῦ, καὶ παρὰ τοῦ πατρὸς ἐκπορεύεται· ἀλλ᾽ ὥσπερ τὸ ἄνευ αἰτίας εἶναι, μόνου τοῦ πατρὸς ὄν, τῷ υἱῷ καὶ τῷ πνεύματι ἐφαρμοσθῆναι οὐ δύναται, οὕτως ἔμπαλιν τὸ ἐξ αἰτίας εἶναι ὅπερ ἴδιον ἐστὶ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος, τῷ πατρὶ ἐπιθεωρηθῆναι φύσιν οὐκ ἔχει· κοινοῦ δὲ ὄντος τῷ υἱῷ καὶ τῷ πνεύματι τοῦ μὴ ἀναιτίως εἶναι, ὡς ἂν μή τις σύγχυσις περὶ τὸ ὑποκείμενον θεωρηθείη, πάλιν ἔστιν ἄμικτον τὴν ἐν τοῖς ἰδιώμασιν αὐτῶν διαφορὰν ἐξευρεῖν· ὡς ἂν καὶ τὸ κοινὸν φυλαχθείη, καὶ τὸ ἴδιον μὴ συγχυθείη· ὁ γὰρ μονογενὴς υἱός, ἐκ τοῦ πατρὸς παρὰ τῆς ἁγίας γραφῆς ὀνομάζεται· καὶ μέχρι τούτου ὁ λόγος ἵστησιν αὐτοῦ τὸ ἰδίωμα· τὸ δὲ ἅγιον πνεῦμα καὶ ἐκ τοῦ πατρὸς λέγεται, καὶ τοῦ υἱοῦ εἶναι μαρτυρεῖται· εἰ γάρ τις πνεῦμα Χριστοῦ οὐκ ἔχει, οὗτος οὐκ ἔστιν αὐτοῦ, φησὶν ἡ ἁγία γραφή· οὐκοῦν τὸ μὲν πνεῦμα τὸ ἐκ τοῦ θεοῦ ὄν, καὶ Χριστοῦ πνεῦμά ἐστιν· ὁ δὲ υἱὸς ἐκ τοῦ θεοῦ ὤν, οὐκέτι καὶ τοῦ πνεύματος οὔτε ἔστιν οὔτε λέγεται· οὐδὲ ἀντιστρέφει ἡ σχετικὴ αὕτη ἀκολουθία, ὡς δύνασθαι κατὰ τὸ ἴσον δι᾽ ἀναλύσεως ἀντισ-

(1) Qui sequitur Nysseni tractus, totus abest ab editionibus, etiam a parisiaca Morellii an. 1638. T. I. or. III. p. 739; genuinum autem esse confirmant codices vaticani operum Nysseni, in quibus aeque occurrit. Editionum vero defectus hanc causam habuit, quia primus sermonis huius editor non agnovit lacunam codicis sui, unde folium unum brevis formae exciderat. Nunc eclogarius meus praeclarum Nysseni fragmentum in lucem denique vindicat. Et quidem hinc argumentum satis, ut puto, perspicuum lucramur pro sancti Spiritus processione etiam a Filio.

Digitized by Google

πεφῦναι τὸν λόγον, καὶ ὥσπερ Χριστοῦ τὸ πνεῦμα λεγόμενον, οὕτω καὶ πνεύματος Χριστὸν ὀνομάζων· ταύτης τοίνυν τῆς ἰδιότητος τρανῶς καὶ ἀσυγχύτως τὸ ἕτερον τοῦ ἑτέρου διακρινούσης, τῆς δὲ κατὰ τὴν ἐνέργειαν ταυτότητος τὸ κοινὸν μαρτυρούσης τῆς φύσεως, ἔρρωται δι' ἑκατέρων ἡ εὐσεβὴς περὶ τὸ θεῖον ὑπόληψις· ὡς καὶ ἀριθμεῖσθαι τὴν τριάδα τῶν ὑποστάσεων, καὶ εἰς ἑτεροφυῆ τμήματα μὴ διακόπτεσθαι. || Τίς οὖν ἡ μανία κ. τ. λ. ut in edd.

Τοῦ ἁγίου Ἀθανασίου κατὰ τῶν συμμεταβαλλομένων τοῖς καιροῖς ἐν τοῖς δόγμασι.

Τίς οὖν ἔτι τούτους χριστιανοὺς ἡγήσεται, παρ' οἷς οὐ λόγος οὐ γράμμα βέβαιον, ἀλλὰ πάντα κατὰ καιροὺς ἀλλάσσεται καὶ μεταβάλλεται;

Cap. II.

Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου, ἐκ τῆς πρὸς Σέλευκον ἐπιστολῆς.

Οὕτω Θεὸν καὶ ἄνθρωπον τὸν Χριστὸν ὁμολογῶ, υἱὸν τοῦ Θεοῦ, ἕνα υἱόν, δύο φύσεων παθητῆς τε καὶ ἀπαθοῦς, θνητῆς καὶ ἀθανάτου. — Καὶ μετ' ὀλίγα. — Ἕνα οὖν υἱὸν δύο φύσεων φημί, ἀσυγχύτως, ἀτρέπτως, ἀδιαιρέτως· πάσχει τοίνυν ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ, οὐ θεότητι ἀλλ' ἀνθρωπότητι. — Καὶ μεθ' ἕτερα. — Ἡ ληφθεῖσα πάσχει φύσις, ἡ δὲ λαβοῦσα ἀπαθὴς μένει· οἰκειοῦται δὲ ὁ Θεὸς λόγος ἀπαθῶς τὰ τοῦ ἰδίου ναοῦ ἀνθρώπινα πάθη, σταυρὸν φημὶ καὶ θάνατον, καὶ τὰ ἄλλα ὅσα περὶ αὐτὸν οἰκονομικῶς θεωρεῖται οἰκειοῦται, αὐτὸς πάσχων οὐδὲν (1).

Ἀμβροσίου ἐπισκόπου Μεδιολάνων, ἐκ τοῦ κατὰ Ἀπολιναρίου λόγου· ἀλλαχοῦ δὲ ἐκ τοῦ περὶ ἐνανθρωπήσεως ἐστὶν ἐπιγεγραμμένον.

Ἀλλ' ἐν ὅσῳ τούτους ἐλέγχομεν, ἀνεφάνησαν ἕτεροι τὴν σάρκα τοῦ κυρίου καὶ τὴν θεότητα μιᾶς εἶναι φύσεως λέγοντες· ποῖος ᾅδης τὴν τοιαύτην βλασφημίαν ἀνεξήμεσεν; ἀρειανῶν γὰρ οὐδὲ τυγχάνουσι φορητότεροι, οἷς ἐκ τούτων αὔξεται τῆς ἀσεβείας τὸ στέλεχος, ὡς φιλονεικότερον διαβεβαιουμένους λέγειν αὐτοὺς τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα μιᾶς οὐσίας μὴ εἶναι· ἐπειδὴ οὗτοι τὴν θεότητα τοῦ κυρίου καὶ τὴν σάρκα μιᾶς ὑπάρχειν οὐσίας ἐπειράθησαν.

Τοῦ αὐτοῦ ἐκ τῆς ἑρμηνείας τοῦ θείου συμβόλου.

Τοὺς δὲ λέγοντας ψιλὸν ἄνθρωπον τὸν Χριστόν, ἢ παθητὸν τὸν Θεόν, ἢ εἰς σάρκα τραπέντα, ἢ συνουσιωμένον ἐσχηκέναι τὸ σῶμα, ἢ οὐρανόθεν τοῦτο κεκομικέναι, ἢ φάντασμα εἶναι, ἢ θνητὸν λέγοντας τὸν Θεοῦ λόγον δεδεῆσθαι τῆς παρὰ τοῦ πνεύματος ἀναστάσεως, ἢ ἄψυχον σῶμα, ἢ ἄνουν ἄνθρωπον ἀνειληφέναι, ἢ τὰς δύο οὐσίας τοῦ Χριστοῦ κατὰ ἀνάκρασιν συγχυθείσας μίαν γεγενῆσθαι οὐσίαν, καὶ μὴ ὁμολογοῦντας τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν δύο εἶναι οὐσίας ἀσυγχύτως, ἓν δὲ πρόσωπον, καθ' ὃ εἷς Χριστός, εἷς υἱός, τούτους ἀναθεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκκλησία.

Τοῦ ἁγίου Κυρίλλου ἐκ τοῦ προσφωνητικοῦ πρὸς ἀλεξανδρείας περὶ πίστεως (2).

Ἐγὼ τὸ συγκεκραμμένον οὐ παραδέχομαι· ἀλλότριον γάρ ἐστι τῆς ἀποστολικῆς πίστεως, καὶ τῆς τοῦ Θεοῦ ὀρθῆς παραδόσεως· ἡ γὰρ σύγκρασις, ἀφανισμὸν τῶν φύσεων ἐργάζεται· ἡ δὲ ἄρρητος ἕνωσις παρὰ τῶν ὀρθῶς φρονούντων ὁμολογουμένη, ἀμφοτέρας σώζει ἀσυγχύτους τὰς φύσεις. — Καὶ μεθ' ἕτερα. — Ὡμοιώθη γὰρ ἡμῖν κατὰ πάντα χωρὶς ἁμαρτίας· οὐ τῆς θεϊκῆς φύσεως τραπείσης ἢ συγκραθείσης τῇ ἀνθρωπίνῃ φύσει· ἑνωθείσης δὲ αὐτῇ, οὐ κατὰ τροπήν, οὐ κατὰ κρᾶσιν, οὐ κατὰ μῖξιν,

(1) Extant haec fere in Amphilochii editione per Combefisium p. 144. 145, sed aliter ordinata.

(2) Non extat hic titulus *ad Alexandrinos* in edd.

κὴ κατὰ σύγχυσιν, οὐ κατὰ ἀλλοίωσιν, οὐ κατὰ μεταβολὴν, ἢ κατὰ ἀφανισμὸν, ἢ ἀποτέμνωσιν, ἀλλὰ καθ' ἕνωσιν ἄῤῥητον καὶ ἀνέκφραστον καὶ ἀνεκδιήγητον τῶν δύο φύσεων τῶν ἑτεροουσίων, ἐν ἑνὶ Ἰησοῦ Χριστῷ υἱῷ ὄντι τοῦ Θεοῦ σωζομένων· καὶ μήτε συγκεχυμένων μήτε ἀπολλυμένων ἢ διαιρεθεισῶν. — Καὶ μεθ' ἕτερα· — Εἰ γὰρ κέκρανται αἱ δύο φύσεις εἰς μίξιν μίαν, ἑτεροούσιοι τυγχάνουσαι, οὐδ' ὁποτέρα σώζεται, ἀλλ' ἀμφότεραι συγχυθεῖσαι ἠφανίσθησαν.

Τοῦ αὐτοῦ ἐκ τῆς ἑρμηνείας τῆς πρὸς ἑβραίους ἐπιστολῆς.

Καὶ οὐδέπω φαμὲν ἀνάχυσιν ὥσπερ τινὰ συμβῆναι περὶ τὰς φύσεις, ὡς μεταστῆναι μὲν τὴν τοῦ λόγου φύσιν εἰς τὴν ἀνθρώπου τυχόν· ἀλλ' οὐδὲ τὴν ἀνθρωπίνην εἰς τὴν Θεοῦ, νομίμως δὲ μᾶλλον καὶ ὑπαρχούσης ἑκατέρας ἐν τῷ τῆς ἰδίας φύσεως ὅρῳ, πεπρᾶχθαι φαμὲν τὴν ἕνωσιν, ἐνοικήσαντος τοῦ λόγου σωματικῶς τῷ ἐκ παρθένου ναῷ.

Τοῦ αὐτοῦ ἐκ τῆς ἑρμηνείας τῆς αὐτῆς ἐπιστολῆς.

Φάσκοντες οἱ σοφοὶ ἐμωράνθησαν κατὰ τὸ γεγραμμένον· ἀποδιιστάντες γὰρ ἀλλήλων τὰς δύο φύσεις, ἀνὰ μέρος ἡμῖν ἑκατέραν ἀσυναφῆ θατέρας δεικνύντες, ἐν μόνοις προσώποις φασὶ γενέσθαι τὴν ἕνωσιν καὶ αὐτοβουλία καὶ θελημάτων ῥοπαῖς.

Τοῦ αὐτοῦ ἐκ τοῦ προσφωνητικοῦ πρὸς ἀλεξανδρίας.

Καὶ λέλυται ὁ ναὸς ἐν τῷ καιρῷ τῆς τριημέρου ταφῆς, βουλομένου αὐτοῦ· καὶ πάλιν ἀνέστησεν αὐτὸν, καὶ ἡνώθη αὐτῷ ἀῤῥήτῳ τινὶ καὶ ἀφράστῳ λόγῳ· οὐ κεκραμμένος ἐν αὐτῷ ἢ ἀπεστερημένος, ἀλλ' ἀποσώζων ἐν ἑαυτῷ τῶν δύο φύσεων τῶν ἑτεροουσίων ἀσύγχυτον τὴν ἰδιότητα.

Ἐκ τῶν Σευήρου τοῦ δυσσεβοῦς περὶ δύο φύσεων, ἐν τοῖς πρὸς Φιλαλίσσιμον. Ὁ Σευῆρος ἐν τῷ πρώτῳ λόγῳ, ὡς ἀπὸ τοῦ μακαρίου Κυρίλλου, φησὶν οὕτως.

Καὶ τὸ κοινὸν δὴ τοῦτο τῆς ἡμετέρας φύσεως ὑπέμεινε πάθος· πρόδηλον δὲ ὅτι κατὰ τὴν σάρκα· καί τοι ζωὴ κατὰ φύσιν ὑπάρχων ὡς θεός· ἰδοὺ φύσιν ἡμετέραν καὶ φύσιν θείαν παρεδήλωκεν.

Ἐν δὲ τῷ πεντεκαιδεκάτῳ πρὸς τὸν αὐτὸν λόγῳ περὶ Κυρίλλου ὁ αὐτὸς Σευῆρος οὕτω γράφει.

Καὶ οὐκ ἴσασιν, ἵνα τὰ ἄλλα παραδράμωμεν, ὡς ἐν αὐτῇ τῇ ἐπιστολῇ πρὸς Σούκενσον ὀρθόδοξον ἄνδρα γράφων, καὶ ἐκδικῶν τῆς ὀρθοδοξίας αὐτὴν, οὕτω φησίν· ὀρθότατα δὲ καὶ πάνυ συνετῶς ἡ σὴ τελειότης τὸν περὶ τοῦ σωτηρίου πάθους ἐκτέθειται λόγον, οὐκ αὐτὸν τὸν μονογενῆ τοῦ Θεοῦ υἱὸν, καθ' ὃ νοεῖται καὶ ἔστι θεὸς, παθεῖν εἰς ἰδίαν φύσιν τοῦ σώματος ἰσχυριζομένη, παθεῖν δὲ μᾶλλον τῇ χοϊκῇ φύσει.

Πάλιν ὡς ἀπὸ τοῦ μακαρίου Κυρίλλου ἐκ τῶν πρὸς Ἀνδρέαν ἐπὶ τῇ μέμψει τοῦ τρίτου κεφαλαίου τῶν ἀναθεματισμῶν, ὁ Σευῆρος φησίν.

Ἑτέρα μὲν ἐστι κατὰ φύσιν ἰδίαν ἡ σάρξ παρὰ τὸν ἐκ Θεοῦ πατρὸς φύντα λόγον, ἕτερος δ' αὖ κατά γε τὸν τῆς ἰδίας φύσεως λόγον ὁ μονογενής· ἀλλ' οὐ τὸ εἰδέναι ταῦτα, μερίζειν ἐστὶ τὰς φύσεις μετὰ τὴν ἕνωσιν· σκόπει καὶ νῦν φύσιν σαρκὸς καὶ φύσιν τοῦ μονογενοῦς· ὅτι οὐχ ἡ ὁμολογία τούτων διαβέβληται μετὰ τὴν ἕνωσιν, ἀλλ' ὁ μερισμός.

Ἐπειδὴ δὲ τὰς δύο φανερῶς ἀριθμεῖν φύσεις οὐκ ἀνέχεται ὁ Σευῆρος, φέρε ἐκ τῶν πρὸς τὸν εἰρημένον Φιλαλίσσιμον αὐτοῦ λόγων, τήν τε θείαν φύσιν, καὶ μὴν καὶ τὴν ἀνθρωπίνην ἀποκα-

Digitized by Google

τως φύσιν ἐπὶ Χριστοῦ μετὰ τὴν ἕνωσιν, ὁμολογοῦντα αὐτὸν παραστήσωμεν· ταῦτα γὰρ καί τοι συχνότερον λέγων, ὅμως τὴν δύο φύσεων τὴν ὁμολογίαν ποιεῖσθαι, δύσερις ὤν, οὐκ ἀνέχεται· λέγει τοίνυν ἐν τῷ τετάρτῳ λόγῳ ὡς ἐκ τοῦ ἁγίου Κυρίλλου οὕτως. — Ἔκειτο γὰρ ἐν μνημείῳ τὸ πανάγιον αὐτοῦ σῶμα, νεκρόν τι καὶ ἄπνουν, ἀλλ' ἦν πανταχοῦ Θεὸς ὢν ἐν φύσει.

Ἐν τῷ πέμπτῳ λόγῳ ὁ Σευῆρος φησίν.

Ὅτι κατ' οὐσίαν ὑπῆρχε θεὸς, καὶ ἡμᾶς διὰ τῆς αὐτοῦ σαρκὸς θεοποιῶν. — Καὶ μεθ' ἕτερα. — Καθ' ὃ δὲ Θεὸς κατ' οὐσίαν ἀθάνατος, οὐχ ὑπῆλθε τοὺς τοῦ θανάτου δεσμούς. — Καὶ αὖθις. — Ὃν γὰρ ὑπέμεινε θάνατον σαρκὶ, τοῦτον καθ' ὃ ζῶν κατὰ φύσιν ὑπῆρχε, καὶ κατ' οὐσίαν Θεὸς οὐχ ὑπέμεινε. — Καὶ πάλιν ἐν τῷ ἕκτῳ λόγῳ ὡς ἐκ τοῦ μακαρίου Κυρίλλου, ὅτι εἷς ὁ Χριστὸς, διαλόγου. — Οὔτε μὲν εἰς τὴν θείαν αὐτοῦ καὶ ὑπέρτατον πεπρᾶχθαι φύσιν διοριζόμεθα μετὰ σαρκός. — Ἐν δὲ τῷ ἑβδόμῳ λόγῳ ὡς ἐκ τοῦ αὐτοῦ εἰς τὸ κατὰ Ματθαῖον. — Ἵνα τῇ ἰδίᾳ φύσει, τῆς θεότητος λέγω, ἰσοσθενοῦν ἀποδείξῃ τὸ ἴδιον σῶμα.

Ταῦτα μὲν οὖν περὶ τῆς θείας τοῦ Χριστοῦ φύσεως ὀλίγα ἐκ πολλῶν τῶν ἐκείνου ῥημάτων ἡμῖν λελέχθω· περὶ δὲ τῆς ἀνθρωπίνης αὐτοῦ φύσεως οὕτω πάλιν ὁ Σευῆρος ἐν τοῖς πρὸς Φιλαλήθειον κατὰ τὸν πρῶτον λόγον ἔγραψεν. — Εἰ τοίνυν οὐ λέγεις σάρκα φύσει παθητὴν, εὔδηλον ὡς τὸ ἐναντίον ὁμολογεῖς. — Καὶ ἐν τρίτῳ κεφαλαίῳ ὡς ἀπὸ μακαρίου Κυρίλλου. — Οὐκοῦν παρεχώρει μὲν τὸ σῶμα τοῖς τῆς ἰδίας φύσεως νόμοις. — Ἐν δὲ τῷ πέμπτῳ κεφαλαίῳ ὁ Σευῆρος οὕτως. — Ἡ σὰρξ τοῦ Ἐμμανουὴλ τὸ ἐκ γῆς ἦν μετὰ τὴν ἀνάστασιν οὐ μετέβαλε καὶ μετεχώρησεν εἰς θεότητος φύσιν, ἀλλ' ἔμεινεν ἐπὶ τῆς ἰδίας οὐσίας. — Καὶ πάλιν ὁ αὐτός. — Οὐκοῦν ὁ μὲν θάνατος καὶ τὰ πάθη, νόμοις ἐγίνετο φύσεως. — Ἐν δὲ τῷ ὀγδόῳ λέγει πάλιν ὁ Σευῆρος. — Οὐχ ἡ πίστις ἢ ἀπιστία τῶν ὁμογενῶν καὶ ὁμοειδῶν καὶ ὁμοουσίων ἀνθρώπων, εἰσάγει διαφορὰν κατ' αὐτὸ τὸ γένος, ἤγουν τὴν οὐσίαν ἢ φύσιν, ἢ αὐτῶν πρὸς ἀλλήλους, ἢ παντὸς τοῦ ἀνθρωπίνου γένους πρὸς τὸν ὑπὲρ πάντων καὶ σαρκωθέντα καὶ ἑκουσίως ἀποθανόντα σαρκὶ τοῦ Θεοῦ λόγον, καὶ ἑνώσαντα καθ' ὑπόστασιν ἑαυτῷ τὸ ἡμῖν ὁμοφυὲς καὶ ὁμογενὲς σῶμα καὶ ὁμοούσιον. Σημειωτέον κἀνταῦθα ὡς ἠναγκάσθη αὐτὸς ὑφ' ἑαυτοῦ τὴν βλάσφημον αὐτοῦ ἐκκαλύψαι γνώμην, καὶ εἰπεῖν μὴ εἶναι διαφορὰν κατ' οὐσίαν ἡμῖν πρὸς τὸν σαρκωθέντα θεὸν λόγον· δέον γὰρ εἰπεῖν, εἰ εὐσεβῶς ἐφρόνει, πρὸς τὴν ὁμοούσιον ἡμῖν αὐτοῦ σάρκα, ἤγουν ἀνθρωπότητα· οὐ γὰρ ὁμοούσιος ἡμῖν ἀνθρωπότης ἐνηνθρώπησεν, ἀλλ' ὁ θεὸς λόγος· ὅπερ οὐκ ἂν πεπόνθει, εἰ μὴ μίαν ἔλεγε φύσιν τοῦ θεοῦ λόγου καὶ τῆς ἀνθρωπότητος· καί τοι τοσαυτάκις ἐναντίως ἑαυτῷ τήν θείαν τε καὶ τὴν ἀνθρωπείαν ὁμολογήσας φύσιν, ὡς πρόκειται.

Σευήρου ἐξ ὧν ἔγραψεν ἐκθέσεως πίστεως.

Τὸ δὲ λέγειν δύο φύσεις ἐπὶ Χριστοῦ, πάσης κατηγορίας ἐπίμεμπτον, εἰ καὶ ὑπὸ πλειόνων τῶν ἁγίων πατέρων ἀμέμπτως εἴρηται. — Καὶ μετ' ὀλίγα. — Καὶ μὴ πάλιν εἴπῃς ὡς τῇ λέξει τῇ τῶν δύο φύσεων τινὲς τῶν πατέρων ἐχρήσαντο· ἐχρήσαντο γὰρ ἀδιαβλήτως ὡς προείπομεν· κατὰ δὲ τὸν χρόνον τοῦ ἁγίου Κυρίλλου τῆς νόσου τῆς Νεστορίου κενοφωνιῶν τὰς ἐκκλησίας ἐπινεμομένης, ἐπὶ πλεῖον ἡ λέξις ἀπεδοκιμάσθη. — Πόσην χάριν ὁμολογεῖν, εἰ δεῖ τοῦτο λέγειν, τῷ διαδικοῦντι, τοσαύτην ἡμῖν νείμαντι μαρτυρίαν; εἰ γὰρ καὶ λέγει ὅτι ἀπεδοκιμάσθη ἡ λέξις, ἀλλ' οὐ δύναται ἀποδεῖξαι ὅπερ ὑποτίθεται· πλὴν ἡμῖν ἀρκεῖον ἀκοῦσαι παρ' αὐτοῦ, ὅτι ἀδιαβλήτως ἐχρήσαντο τῇ φωνῇ οἱ πατέρες, ὥσπερ καὶ ἡμεῖς· εἰ δέ τις ἐστὶν ὁ διαβεβλημένως αὐτῇ χρώμενος, οὐ παρὰ τοῦτο κίβδηλος ἔσται ἡ φωνή· πᾶσα γὰρ λέξις δύναται παρὰ τῶν κακῶς αὐτῇ χρω-

μόνην ἐνυπάρξασθαι· ὅτι δὲ οὐκ ἀνεῖλε τὴν ἐκ δύο φωνὴν Κύριλλος, σημειωτέον οἷα πρὸς Ἀκάκιον ἔγραψε, φωνῶν δὲ διαφορὰν κατ' οὐδένα τρόπον ἀνῃρήκαμεν· τὰ δὲ περὶ τούτου ἐν ἰδιάζοντι κεφαλαίῳ τῷ εἰκοστῷ τρίτῳ εὑρήσεις· οὐδεὶς δὲ τῶν πατέρων κατὰ τῆς συναμφοτέρου τὸ τῆς μιᾶς φύσεως φέρει ὄνομα, ἀλλὰ καὶ ἀπαγορεύουσι τοῦτο. Κύριλλος μὲν γὰρ φησὶν ὅτι εἰ μία φύσις τὸ ὅλον, πῶς ἐνηνθρώπησεν, ἢ ποίαν ἰδίαν ἐποιήσατο σάρκα; Γρηγόριος δὲ λέγει, εἰ γὰρ καὶ τὸ συναμφότερον ἕν, ἀλλ' οὐ τῇ φύσει, τῇ δὲ συνόδῳ.

Cap. IV.

Τοῦ ἁγίου Κυρίλλου ἐκ τοῦ κατὰ Ματθαῖον ὑπομνήματος βιβ. γ.

Οὐκοῦν ὁ στατὴρ ὁ ἀληθινός τε καὶ νοητὸς, καὶ ὡς ἐν τύπῳ τῷ ἐξ ὕλης δηλούμενος, αὐτὸς ἐστὶν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ διπλοῦς χαρακτήρ.

Γελασίου ἐπισκόπου Καισαρείας ἐν ἐξηγήσει τοῦ μαθηματικοῦ.

Ἦλθε τοίνυν εἰς ταυτὸν Θεὸς ἅμα καὶ ἄνθρωπος, ἵνα σῶμα μὲν ὑπηρετήσηται, Θεὸς δὲ δι' αὐτοῦ τὴν ἐνέργειαν παράσχηται· διπλᾶ πάντα καὶ τέλεια πάντα καὶ φιμούσθω τῶν αἱρετικῶν στόμα.

Cap. V.

Κυρίλλου ἐκ τοῦ πρὸς Ἑβραίους ὑπομνήματος.

Εἰ γὰρ καὶ λέγοιτο ἑνοῦσθαι καθ' ὑπόστασιν ὁ μονογενὴς, ἀλλ' οὐ κατ' ἀνάχυσίν τινα τῆς εἰς ἄλληλα τῶν φύσεων πεπρᾶχθαι φαμὲν μετουσίας δὲ μᾶλλον ἑκατέρας τοῦθ' ὅπερ ἐστὶν, ἑνοῦσθαι σαρκὶ νοοῦμεν τὸν λόγον.

Τοῦ αὐτοῦ ἐκ τοῦ κατὰ συνουσιαστῶν λόγου.

Ἀεὶ γὰρ τὴν πάντων ἐπέκεινα καὶ ἀνωτάτω φύσιν σώζεσθαι καθαρῶς τὸ κωλοῦν καὶ ἀμιγῆ ἑτέρων καὶ τὸ μὴ συντεθεῖσθαι δοκεῖν ἔν γε τοῖς καθ' ἑαυτήν· ἔχουσι προσθήκης δεδεῆσθαί τινος καὶ ἀσυμφυοῦς αὐτοῦ πράγματος εἰς κοινωνίαν ἐλθεῖν τὴν ἐν ταυτότητι φύσεων, ἔχουσι ὁμοουσιότητι.

Θεοδότου Ἀντιοχείας, ἐκ τῶν πρὸς Ἡρακλείδην κατὰ συνουσιαστῶν.

Εἰ δ' ἐφ' ὧν ἡ οὐσία μία καὶ ἡ αὐτὴ, αἱ ἰδιότητες τῶν ὑποστάσεων ἀκέραιοι μένουσι, πολλῷ δικαιότερον ὅταν δύο διάφοροι φύσεις ἐφ' ἑνὸς προσώπου γνωρίζωνται ἀκεραιοτάτης ὑπάρξεως, τά τε τῶν φύσεων ἰδιώματα σώζονται.

Cap. VI.

Ἀμφιλοχίου ἐκ τῆς πρὸς Σέλευκον ἐπιστολῆς.

Ἀλλ' ἐπειδὴ εἰς ἓν πρόσωπον συντελοῦσιν αἱ φύσεις, ὁ ἀπαθὴς τὸ τοῦ παθητικοῦ οἰκειοῦται (1). Καὶ μετ' ὀλίγα. — Ὥστε τὴν τοῦ Θεοῦ μορφὴν συντελοῦν εἰς ἓν πρόσωπον Χριστοῦ τε καὶ κυρίου Ἰησοῦ.

Περὶ προσωπικῆς ἑνώσεως ἤγουν σχέσεως.

Δύναται μὲν ἴσως λέγεσθαι ἕνωσις προσώπου, ὅτε τὶς τὸ ἑτέρου ὑποδυόμενος πρόσωπον, ἀντ' αὐτοῦ τοὺς ὑπὲρ αὐτοῦ ποιεῖται λόγους· οὐκ ἀγνοοῦσιν οὐδὲ τῆς συνήθους χρήσεως τοῦτο τοῦ προσώπου τὸ σημαινόμενον· λέγομεν γὰρ τὸ τοῦδε πρόσωπον ἀνειληφέναι καὶ τόνδε· καὶ τόνδε ὑπὲρ τοῦδε τὴν δίκην εἰσαγαγεῖν· καὶ τὸν ἄρχοντα, τοῦ βασιλέως ἔχειν τὸ πρόσωπον· κατὰ τοῦτο τὸ σημαινόμενον ὁ Νεστόριος τὴν προσωπικὴν ἐπρέσβευσεν ἕνωσιν· αἱ μέν τοι ῥωμαΐαι,

(1) Prius hoc fragmentum extat apud Combefis. p. 144. Alterum est ineditum.

Digitized by Google

τὴν ὑπόστασιν, πρόσωπον καλοῦσιν· οὐ δυνάμενοι τῆς οὐσίας τὴν ὑπόστασιν χωρῆσαι, διὰ τὸ στενὸν τῆς γλώττης· ὅθεν ἐπὶ μὲν τῶν Βασιλείου χρόνων, τῇ ἑλλάδι φωνῇ ἠναγκάσθησαν οἱ ῥωμαῖοι τὸ τῆς οὐσίας ὄνομα ἐξευρεῖν· καὶ κεῖται ἡ χρῆσις Βασιλείου ἡ περὶ τούτου ἐν τῇ ἀρχῇ τοῦ παρόντος κεφαλαίου (1). Μαρτυρεῖ δὲ καὶ ὁ θεολόγος Γρηγόριος, λέγων ἐν τῷ εἰς Ἀθανάσιον ἐπιταφίῳ λόγῳ· τῆς γὰρ μιᾶς οὐσίας καὶ τῶν τριῶν ὑποστάσεων, λεγομένων μὲν ὑφ' ἡμῶν εὐσεβῶς, νοουμένων δὲ καὶ παρὰ τοῖς ἰταλοῖς ὁμοίως, ἀλλ' οὐ δυναμένοις διὰ στενότητα τῆς παρ' αὐτοῖς γλώττης καὶ ὀνομάτων πενίαν διελεῖν ἀπὸ τῆς οὐσίας τὴν ὑπόστασιν, καὶ διὰ τοῦτο ἀντεισαγούσης τὰ πρόσωπα, ἵνα μὴ τρεῖς οὐσίαι παραδεχθῶσι, τί γίνεται ὡς λίαν γελοῖον ἢ ἐλεεινόν· πίστεως ἔδοξε διαφορὰ, ἡ περὶ τὸν ἦχον σμικρολογία· ἰστέον δὲ ὡς οἱ νεώτεροι τῶν ῥωμαίων φιλοπονήσαντες εἰς τοῦτο, καὶ ἐσσεντίαν τὴν οὐσίαν ἐκάλεσαν· τοῦτο δὲ κεῖται ἐν θ κεφαλαίῳ.

Περὶ διαφορᾶς οὐσίας καὶ φύσεως καὶ ὑποστάσεως καὶ προσώπου, κατὰ τοὺς ἔξωθεν φιλοσόφους.

Τὸ τῆς οὐσίας ὄνομα σημαντικὸν ὑπάρχει τῆς ἁπλῶς τῶν ὄντων ὑπάρξεως, τουτέστιν αὐτοῦ ἁπλῶς εἶναι τῶν ὄντων· εἶναι γὰρ λέγονται καὶ ὁ ἄγγελος καὶ ὁ λίθος καὶ τὰ λοιπὰ πάντα· τούτου οὖν τοῦ ἁπλῶς εἶναι, οὗ κοινῶς πάντα μετέχουσι, σημαντικόν ἐστι τὸ τῆς οὐσίας ὄνομα· τὸ δὲ τῆς φύσεως ὄνομα, δηλωτικὸν τυγχάνει τῆς ἁπλῶς τῶν ὄντων κινήσεως· πάντα γὰρ ἐν κινήσει ὁρᾶται, καὶ οὐδέν ἐστιν ἀκίνητον τῶν ὄντων καὶ γεγονότων· οὐσίαν οὖν καλοῦσι τὴν ἁπλῶς τῶν ὄντων ὕπαρξιν, φύσιν δὲ αὐτὴν τὴν ἁπλῶς τῶν ὄντων κίνησιν· πεντάτροπος δὲ αὕτη, ἡ γὰρ νοερὰ τυγχάνει, ἡ λογικὴ, ἡ αἰσθητικὴ, ἡ φυτικὴ, ἡ ἄψυχος· καὶ νοερὰ μὲν ὡς ἐπὶ τῶν ἀγγέλων, ἐξ αὐτῶν τῶν νοημάτων ἀλλήλοις συγγινομένων· λογικὴ δὲ ὡς ἐπὶ τῶν ἀνθρώπων, δι' ὀνομάτων τὰ ἀφανῆ τῆς ψυχῆς κινήματα πρὸς τοὺς ἐκτὸς δημοσιεύουσα· αἰσθητικὴ δὲ ἡ ἐν τοῖς ἀλόγοις θεωρουμένη, πρὸς γὰρ τῇ θρεπτικῇ καὶ αὐξητικῇ καὶ γεννητικῇ δυνάμει καὶ τὴν αἰσθητικὴν κέκτηνται· φυτικὴ δὲ ἡ ἐν τοῖς φυτοῖς, κινοῦνται γὰρ καὶ αὐτὰ κατὰ τὴν θρεπτικὴν καὶ αὐξητικὴν καὶ γεννητικὴν δύναμιν· ἄψυχον δὲ, καθ' ὃ καὶ αὐτὰ κινοῦνται κατὰ τὸ ποιὸν καὶ τὸ ποῦ· καὶ κατὰ τὸ ποιὸν, κατὰ τὸ θερμαίνεσθαι· κατὰ τὸ ποῦ δὲ, κατὰ τὴν ἐκ τόπου εἰς τόπον ἐπιρρεπόμενον μετάθεσιν· εἴρηται δὲ καὶ τοῦτο τῆς φύσεως τὸ ὄνομα, παρὰ τὸ πεφυκέναι· ἀμφότερα γὰρ δηλοῦσι τὴν ὕπαρξιν· οὐ τὴν κίνησιν δὲ αὐτὴν καὶ τὴν ἠρεμίαν τῶν πραγμάτων, φύσιν εἰρήκασιν, ἀλλὰ τὴν ἀρχὴν, τουτέστι τὴν αἰτίαν, καθ' ἣν οὐ κατὰ συμβεβηκὸς, ἀλλ' οὐσιωδῶς αἱ οὐσίαι κινοῦνται καὶ ἠρεμοῦσι· καὶ αὕτη ἐστὶν ἡ τῶν ἔξω περὶ τῶν ὀνομάτων τούτων δόξα· ὁρίζονται δὲ τὴν μὲν οὐσίαν, πᾶν τὸ αὐθύπαρκτον, καὶ μηδενὸς ἑτέρου πρὸς τὸ εἶναι δεόμενον· τὴν φύσιν δὲ, ἀρχὴν τῆς ἑκάστου τῶν ὄντων κινήσεως.

Περὶ διαφορᾶς ὑποστάσεως καὶ προσώπου.

Ἡ μὲν οὐσία αὐτὸ τὸ εἶναι μόνον δηλοῖ ὡς προείρηται· ἡ ὑπόστασις δὲ, οὐ μόνον τὸ εἶναι, ἀλλὰ καὶ τὸ πῶς ἔχειν, καὶ ὁποῖόν τι εἶναι παρίστησιν· οἷον ὁμοῦ πάντες οἱ ἄνθρωποι κοινὸν ἔχουσι τὸ εἶναι· καὶ γὰρ πάντες ὡσαύτως ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν· ἔχει δὲ ἕκαστος ἡμῶν ἰδιά τινα, οἷς τῶν ἄλλων χωρίζεται· οἷον πατρίδα, γένος, κλῆσιν, ἐπιτήδευμα, πράξεις, πάθη, καὶ τὰ τοιαῦτα, ἃ καὶ συμβεβηκότα καλοῦμεν· ταῦτα οὖν ἅπαντα περὶ τὴν ὑπόστασιν θεωροῦνται, καὶ τὸ αὐτὸ πρᾶγμα, οἷον Παῦλος ὅταν τὸ εἶναι αὐτοῦ μόνον σκοπῆται, τότε οὐσία λέγεται· ὅταν δὲ μετὰ τούτων τῶν προλεγομένων, τότε καὶ ὑπόστασις· τὸ οὖν αὐτὸ ὑποκείμενον, καὶ οὐσία ἐστὶ καὶ ὑπό-

(1) Nos illic praetermisimus utpote editam χρῆσιν.

στασις· τὸ μὲν γὰρ τῆς οὐσίας ὄνομα, οὐ συμπαραλαμβάνει πάντως καὶ τὴν ὑπόστασιν· τὸ δὲ τῆς ὑποστάσεως, πάντως ἔχει καὶ τὴν οὐσίαν. ὁριζόμεθα οὖν τὴν ὑπόστασιν οὕτως· ὑπόστασίς ἐστι πρᾶγμα ὑφεστός τε καὶ οὐσιῶδες, ἐν ᾧ τὸ τῶν συμβεβηκότων ἄθροισμα ὡς ὑποκειμένῳ πράγματι καὶ ἐνεργείᾳ ὑφίσταται· πρόσωπον δέ ἐστιν ὁ διὰ τῶν οἰκείων ἐνεργημάτων τε καὶ ἰδιωμάτων, περιωρισμένην τῶν ὁμοφυῶν αὐτοῦ τὴν ἐμφάνειαν παρέχεται· ἡ οὖν διὰ τῆς ἐνεργείας ἐγγινομένη τινὸς ἡμῖν γνῶσις, πρόσωπον τοῦτο αὐτὸ ἐνεργοῦν καλεῖν ἡμᾶς ἐκδιδάσκει· οἷον Παῦλος ὁ ἀπόστολος ὅτε ἑστὼς ἐπὶ τῶν ἀναβαθμῶν κατέσειε τῇ χειρὶ τὸν λαὸν καὶ καθ' ἑαυτὸν διηγήσατο, ἐν πρόσωπον ἀποκεκριμένον τῶν λοιπῶν ἀνθρώπων ὄντα ἡμῖν τὸν αὐτὸν ἐνεδείκνυ· ὁμοίως καὶ Πέτρος ὅτε τὸν ἐπενδύτην διεζώσατο, καὶ εἰς τὴν θάλασσαν ἑαυτὸν βαλὼν, εἰς ἀπάντησιν ἤρχετο τοῦ κυρίου· ὥστε διὰ τῶν οἰκείων ἐνεργειῶν τῆς ὁμοουσίου διαιρούμενον, πρόσωπον καλεῖται· δηλοῖ δὲ ταυτὸν σημαίνειν τῇ ὑποστάσει, καὶ ἢ μικρὸν ἢ οὐδὲν διαλλάττειν· καὶ ταῦτα μὲν κατὰ τοὺς ἔξω· οἱ δὲ τῆς ἐκκλησίας διδάσκαλοι, τὴν περὶ τούτων ἐρεσχελίαν ἀποφυγόντες, φύσιν καὶ οὐσίαν ταυτὸν εἶναι διωρίσαντο, καὶ ὁμοίως ὑπόστασιν καὶ πρόσωπον· καὶ φύσιν μὲν ἤγουν οὐσίαν προσηγόρευσαν τὸ προσεχὲς καὶ πλησίον τῶν ἀτόμων, ὅπερ εἰδικώτατον εἶδος οἱ ἔξω ἐκάλεσαν, οἷον τὸν ἵππον τὸν βοῦν· τὰ δὲ ἄτομα, τουτέστι τὸν Πέτρον, τὸν Παῦλον, τόνδε τὸν ἵππον, καὶ τόνδε τὸν βοῦν, καὶ ἁπλῶς εἰπεῖν τοὺς καθ' ἕκαστα, ὑποστάσεις καὶ πρόσωπα.

(1) Ὅτι οἱ ἀρχαῖοι τὴν οὐσίαν τετραχῶς διεῖλον. Ἐκ τῶν Ἡρακλειανοῦ.

Λέγονται, φασὶν, οὐσίαι ἀσώματοι· λέγεται καὶ ἡ ὕλη οὐσία· ὁμοίως δὲ καὶ τὸ εἶδος· ἀλλὰ καὶ τὸ συναμφότερον, τὸ δ' ἐξ ὕλης φημὶ καὶ εἴδους· καὶ τὴν μὲν ὡς εἶδος οὐσίαν, εἰς ταυτὸν ἔρχεσθαι τῇ φύσει· τὴν δὲ ὡς ἀσώματον, ἢ ὡς τὸ συναμφότερον, εἰ μὲν μετὰ τῶν ἰδιωμάτων νοοῖτο ὅπερ ἐστὶ τὸ ἀσώματον, καὶ τὸ συναμφότερον, ἃ καὶ ἄτομα λέγομεν, τοῦτό ἐστιν ἡ ὑπόστασις· εἰ δέ τι ἢ ὡς συναμφότερον καθόλου νοοῖτο, ἢ ὡς ὕλη, ὡς λέγονται αἱ ἀσώματοι οὐσίαι καθόλου, τοῦτο οὔτε φύσιν οὔτε ὑπόστασιν λέγουσιν, ἀλλ' αὐτὸ τοῦτο οὐσίαν· παράδειγμα δέ σοι τῶν εἰρημένων, ἔστω τί τῶν δένδρων, εἰ βούλει δρῦς· αὕτη καθ' ὅσον μὲν ἐν τῷδε τῷ τόπῳ, καὶ εἰς τοσόνδε ὕψος ἠρμένη, καὶ τὴν ὄψιν τοιάδε, καὶ συντελοῦντως φάναι κατὰ τὰ λοιπὰ ἰδιώματα, ὑπόστασίς ἐστι· καθ' ὃ μέν τοι τοῖς τέτρασι στοιχείοις τοῖς εἰς τὴν γένεσιν αὐτῆς παραληφθεῖσι, τοιόνδε εἶδος ἐπελθὸν, ἐποίησεν αὐτὸ δρῦν εἶναί τε καὶ λέγεσθαι, κατὰ τοῦτο δὴ τὸ εἶδος λέγεται φύσις εἶναι· οὔτε δὲ κατὰ τὴν ὕλην τουτέστι κατὰ τὰ στοιχεῖα, οὔτε κατὰ τὴν καθόλου δρῦν, καθ' ἣν πᾶσαι τε κοινωνοῦσιν ἀλλήλαις, καὶ καλοῦνται δρύες, ἢ φύσις ἢ ὑπόστασις λέγεται, ἀλλ' αὐτὸ τοῦτο μόνον οὐσία λέγεται (2). Ἐκ δὲ τούτων φανερόν ἐστί σοι καὶ ἐπὶ τῶν προκειμένων καὶ ζητουμένων δογμάτων, πῶς τε τὴν οὐσίαν καὶ τὴν φύσιν, καὶ τὴν ὑπόστασιν ἐκδέχεσθαι χρή· ταύτῃ γὰρ καὶ οἱ ἐν Νικαίᾳ πατέρες ἀκολουθήσαντες τῇ ἐννοίᾳ, τὴν μὲν οὐσίαν ἐπὶ τοῦ καθόλου, τὴν δὲ ὑπόστασιν ἐπὶ τοῦ μερικοῦ καὶ ἀτόμου ἐδέξαντο· φύσιν γὰρ ὅλως ἐπὶ Θεοῦ παρακινδυνευμένον λέγειν· ἔω γὰρ τὸ περὶ οὐσίας λέγειν τανῦν.

Ὅτι οἱ αἱρετικοὶ μίαν φύσιν λέγοντες, οὐ λέγουσι καὶ μίαν οὐσίαν· καὶ ἄκουσον Σευήρου τοῦ [illegible] ἐν τῷ τοῦ κατὰ Καισαρίου γραμματικοῦ βιβλίῳ ια (3) κεφ. α οὕτω λέγοντος.

Οὐκ ἂν τὸ ἐν φύσει καὶ τῇ ὑποστάσει ταυτὸν τῇ οὐσίᾳ κακούργως νοῶν, μῶμον τὸν οὐκ ὄντα τῶν ὑγιῶς δοξάντων κατέγραψας· εἰ μὲν

(1) Latine in collectaneis contra Severianos apud Canisium ed. nov. Basnagii T. II. p. 254.

(2) Hactenus latine apud Canisium.

(3) Cod. A. p. 77. a. non ια.

σὺν μίαν φύσιν λέγοντες, μίαν καὶ οὐσίαν ὁμολογεῖν ἐπὶ Θεοῦ, ἴσως ἂν δικαίως ἡμῖν τὴν ἀπορίαν ταύτην προέφερον· ἐπειδὴ μίαν φύσιν ὁμολογοῦντες, δύο οὐσίας ἀξιοῦσιν ἐπὶ τοῦ κυρίου λέγειν, πῶς οὐκ ἄν τις δικαίως αὐτοῖς ὑπὲρ τῆς τοιαύτης ἀπορίας ἐνίστατο λέγων, τί δήποτε τὸν ἄνθρωπον μίαν οὐσίαν λέγοντες, καί τοι ἐκ ψυχῆς καὶ σώματος συγκείμενον δύο οὐσιῶν, καὶ φάσκοντες τὸν αὐτὸν εἶναι τρόπον τῆς συνθέσεως, ἐπὶ τῆς τοῦ κυρίου οἰκονομίας ὥσπερ ἐπὶ τοῦ ἀνθρώπου φαμὲν, οὐχὶ καὶ οὐσίαν μίαν ἐπὶ τοῦ κυρίου ὁμολογοῦσι; περὶ μὲν γὰρ τῆς οὐσίας, ὅτι ἡ πρώτη καὶ κυριωτάτη καὶ μάλιστά ἐστιν ἡ ἄτομος, ἀξιοῦσιν ὁμολογεῖν· περὶ δὲ τῆς φύσεως, οὐδὲ οἱ ἐκ τοῦ περιπάτου ταῦτα παραδεδώκασιν· ἴσως καὶ αὐτὸ τῆς φύσεως καὶ τῆς οὐσίας τὸ ὄνομα διαφοράν τινα ἔχειν πρὸς ἄλληλα κρίναντες. Ἰστέον (1) ὡς οἱ ἐν Χαλκηδόνι ἅγιοι πατέρες, τοῖς ἐν Νικαίᾳ πατράσιν ἀκολουθήσαντες, εἶπον φύσιν καὶ οὐσίαν ταυτὸν εἶναι· ἕτερον δὲ παρὰ τὴν φύσιν, τὸ ἄτομον καὶ τὴν ὑπόστασιν· καὶ οὐχὶ τοῖς ἔξω φιλοσόφοις, οἵτινες τὴν μίαν οὐσίαν τὴν πρώτην λέγουσιν εἶναι τὸ ἄτομον· οὐ πρώτην δὲ φύσιν τὸ ἄτομον, ἀλλ' οὐδὲ ταυτὸν φύσιν καὶ οὐσίαν· οἱ δὲ αἱρετικοὶ, οἱ Εὐτυχοῦς καὶ Σευήρου τοῦ ἀλλήλως μαθηταὶ, οὐδὲ τοῖς ἁγίοις πατράσιν ἀκολουθοῦσι λέγουσιν οὐσίαν καὶ φύσιν ταυτὸν εἶναι, ἕτερον δὲ παρὰ ταῦτα τὸ ἄτομον καὶ τὴν ὑπόστασιν· οὐδὲ τοῖς ἔξω φιλοσόφοις πρώτην καὶ κυριωτάτην οὐσίαν τὸ ἄτομον καλοῦσιν, οὐ πρώτην δὲ φύσιν· οἱ γὰρ τοῦ Σευήρου, ὡς εἴρηται, ταυτὸν λέγοντες φύσιν καὶ ὑπόστασιν καὶ ἄτομον, οὐσίαν καὶ ὑπόστασιν καὶ ἄτομον ταυτὸν εἶναι οὐκ ἀνέχονται, ὥσπερ οἱ τῶν ἑλλήνων σοφοὶ, ἀλλ' οὐδὲ ὡς οἱ πατέρες εἰρήκασιν.

Ἐκ τῶν Παμφίλου.

Φησὶν ὁ Ἀριστοτέλης, οὐσία ἐστὶν ἡ κυριώτατα καὶ πρώτως καὶ μάλιστα λεγομένη, ἡ μήτε καθ' ὑποκειμένου τινὸς λέγεται, μήτε ἐν ὑποκειμένῳ ἐστί· κυριώτατα δὲ φησὶ, διότι κυρίως λέγεται καὶ οὐ κατὰ μεταφοράν· τὸ δὲ πρώτως δηλοῖ, ὅτι οὐ διὰ μέσου τινὸς ἡμῖν νοεῖται, ἀλλὰ πρώτως αὐτὴν γινώσκομεν· διὰ δὲ τοῦ εἰπεῖν μάλιστα λεγομένη, τὴν τῶν πολλῶν δόξαν ἐσήμανεν· ἐν γὰρ τοῖς τελειοτέροις αὐτοῦ λόγοις, οὐ τὴν ἄτομον καὶ μερικὴν λέγει πρώτην οὐσίαν, ἀλλὰ τὴν καθόλου, τουτέστι τὰ γένη καὶ τὰ εἴδη· ἐν ὑποκειμένῳ δὲ οὐκ ἔστι, διότι συμβεβηκὸς οὐχ ὑπάρχει· τὰ γὰρ συμβεβηκότα ὡς ἐν τῇ οὐσίᾳ θεωρούμενα, ἐν ὑποκειμένῳ λέγεται· τὸ δὲ μὴ καθ' ὑποκειμένου τινὸς εἶναι, σημαίνει ὅτι οὐ κατηγορεῖται εἰς ἑτέραν οὐσίαν, μερικὴ οὖσα καὶ ἄτομος.

Περὶ διαφορᾶς οὐσίας καὶ φύσεως.

Οἱ μὲν ἔξω φιλόσοφοι ἕτερον εἶπον τὸ τῆς οὐσίας σημαινόμενον, ἕτερον δὲ τὸ τῆς φύσεως, καθὼς οἱ παρ' αὐτῶν ἀποδοθέντες ὅροι δηλοῦσιν· οἱ δὲ τῆς ἐκκλησίας διδάσκαλοι ἀδιαφόρως τοῖς ὀνόμασιν ἐχρήσαντο· ὅθεν καὶ ἡμεῖς τούτοις ἑπόμενοι, περὶ τὴν ὀνομασίαν αὐτῶν διαφερόμεθα, ἐν τοῖς περὶ τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ θείοις δόγμασι, τὴν αὐτὴν οὐσίαν καὶ φύσιν ὀνομάζοντες· καθ' ἑτέραν δὲ ἐπίνοιαν ἀκριβέστερον τὸν περὶ τούτων γυμνάζοντες λόγον, καὶ διαφορὰν τούτων εἰπεῖν δυνάμεθα· τὸ μὲν γὰρ τῆς φύσεως ὄνομα φερόμενον εὑρίσκομεν καταχρηστικῶς κατά τε ἀνυποστάτων καὶ τῶν ἐν οὐσίᾳ καὶ ὑποστάσει ἰδίᾳ θεωρουμένων· τὸ δὲ τῆς οὐσίας ὄνομα, κατὰ ἐνυποστάτων καὶ μόνων· οὐσίαν γὰρ οὐκ ἂν εἴποιμεν ἀνυπόστατον· φύσεις δὲ πολλὰς εὑρίσκομεν ἀνυποστάτους καθ' ἑαυτὰς, δίχα οὐσίας μηδέποτε ὑφεστώσας, ὡς θυμοῦ καὶ ἀγάπης, καὶ χρόνου καὶ ψεύδους, καὶ ἄλλων τινῶν· χρόνου γὰρ καὶ ψεύδους καὶ λόγου φύσιν ὀνομάζων ὁ μέγας Βασίλειος φησὶν ἐν τοῖς πρὸς Εὐνόμιον· πολλοῦ γὰρ ἂν ἄξιον ἦν αὐτὰ ψευ-

(1) Latine apud Canisium op. cit. p. 253.

δεῖ λέγειν, ὥσπερ ἡ φύσις τῶν ψιλοῦς τοῖς λεγομένοις συνδιεφθείρετο· ἀλλ' οὐκ ἔχω ἐστὶ φύσιν τοῦτό γε. Καὶ πάλιν. Ἐπεί τοι καὶ ἀφορίσασθαι ἡμῖν τοῦ χρόνου τὴν φύσιν ὁ σοφὸς τὰ πάντα προείχθο. Καὶ πάλιν ὁ αὐτός. Καὶ γὰρ ἔλαιος μὲν ὕδατος διέκνυσι τὴν οἰκείαν πηγήν, λόγου δὲ φύσις τὴν προσηύγκασαν καρδίαν.

Περὶ τῆς ὑποστάσεως τοῦ Χριστοῦ, ὁμοίως ἐκ τῶν Παμφίλου.

Τὴν μίαν ὑπόστασιν, ἣν ἐπὶ δεσπότου Χριστοῦ δοξάζειν οἱ τῆς ἐκκλησίας διδάσκαλοι παρέδωκαν ἡμῖν, πότερον οὐσίαν ὀνομάζειν δεῖ, ἢ συμβεβηκός; ἐκ τῶν ἀνωτέρω λεχθέντων περὶ οὐσίας καὶ ὑποστάσεως, δυνάμεθα τὴν λύσιν εὑρεῖν τοῦ προκειμένου ζητήματος· εἰρήκαμεν γὰρ τὴν μὲν οὐσίαν, τὴν ὕπαρξιν ἑκάστου πράγματος σημαίνειν· τὴν δὲ ὑπόστασιν, τὴν πλῆθον τῶν χαρακτηριστικῶν ἰδιωμάτων· καὶ πάλιν ἐδείξαμεν, ὡς ἡ μὲν οὐσία τὴν κοινὴν φύσιν τῶν ἀτόμων τὴν χωρὶς τῶν ἰδιωμάτων οὐσίαν τῶν ἀφοριζόντων τὰς ὑποστάσεις σημαίνει, ἡ δὲ ὑπόστασις τὸ ἴδιον· οὐκ ἔστι δὲ ταὐτὸν τὸ ἰδικὸν τῷ κοινῷ· οὐκ ἔστιν ἄρα ταὐτὸν ἡ οὐσία τῇ ὑποστάσει· καὶ διὰ τοῦτο οὐκ ὀφείλομεν τὴν ὑπόστασιν τὴν κατὰ Χριστὸν ὡς ὑπόστασιν ἁπλῶς οὐσίαν εἰπεῖν. Καὶ πάλιν. Εἰ τὴν ὑπόστασιν τοῦ Χριστοῦ σύνθετον οὖσαν, οὐσίαν προσαγορεύσομεν, ἀνάγκη καὶ αὐτὴν σύνθετον καὶ ἄτομον ὑποθέσθαι· καὶ εἰ τοῦτο, πῶς τὸ ἀσύγχυτον καὶ ἄτρεπτον τῶν φύσεων, ἐξ ὧν ἡ θεία καὶ ὑπερφυὴς ἕνωσις γεγένηται, πεφυλάχαμεν; πῶς δὲ ἡ αὐτὴ φύσις ἔχειν οὐσίαν κτιστὴν καὶ ἄκτιστον, ζωοποιὸς καὶ ζωοποιουμένη, καὶ ὁμοούσιος τῷ θεῷ καὶ πατρὶ ἡ αὐτὴ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιος ἡμῖν κατὰ τὴν ἀνθρωπότητα δύναται εἶναι; διὰ ταῦτα μετ' οὖν καὶ τὰ ἀνωτέρω εἰρημένα, περὶ τοῦ μὴ δεῖν οὐσίαν σύνθετον ἐπὶ τοῦ δεσπότου Χριστοῦ δοξάζειν, τὴν ὑπόστασιν οὐκ οὐσίαν ἁπλῶς ὡς ὑπόστασιν προσήκει λέγειν· συμβεβηκὸς δὲ πολλοῦ γε καὶ δεῖ, διὰ τὸ ὑπερτελές τε καὶ ἄϋλον καὶ ὑπερκείμενον πάσης νοητῆς τε καὶ αἰσθητῆς ὑπάρξεως τῆς θείας καὶ μακαρίας φύσεως· ἐπεὶ τὴν οὔτε οὐσίαν ἁπλῶς, οὔτε συμβεβηκὸς λέγειν ταύτην ὀφείλομεν, ὅ τι ποτὲ χρὴ τὸ δηλούμενον καὶ ὀνομάζειν, ἢ τὸ ἀποτέλεσμα τῶν ἑνωθεισῶν δύο φύσεων, ἔχουν οὐσιῶν μετὰ τῶν ἰδιωμάτων αὐτῶν, θεότητός τε φημὶ καὶ ἀνθρωπότητος· ὡς εἶναι τὴν κατὰ Χριστοῦ ὑπόστασιν, πρᾶγμα σύνθετον, ἐνούσιον ἢ ἄτομον, ἐν δύο φύσεσι γνωριζόμενον (1).

Cap. VII.

Οὕτω γὰρ ἀληθῶς θεὸς καὶ ἀψευδῶς ἄνθρωπος τῷ πατρὶ καθ' ὃ ἦν ὁμοούσιος, καὶ ἡμῖν καθ' ὃ γέγονεν ἄνευ ἁμαρτίας ὁμόφυλος· ἡ θεία φύσις ἄκτιστος, καὶ ἡ ἐξ ἡμῶν πρόσληψις ἀνόθευτος· καὶ ἔστιν εἷς υἱὸς, οὐ τῶν φύσεων εἰς δύο ὑποστάσεις διαιρουμένων, ἀλλὰ τῆς φρικτῆς οἰκονομίας τὰς δύο φύσεις εἰς μίαν ὑπόστασιν ἑνωσάσης, ἐστὶν εἷς υἱός· κἂν οἱ αἱρετικοὶ διαῤῥήγνυνται, κἂν ἰουδαῖοι μαίνονται, καὶ ἕλληνες διασπαράσσονται.

Ἀμβροσίου ἔκθεσις (2) τῆς πίστεως περὶ τῆς θείας ἐνανθρωπήσεως.

Ὁμολογοῦμεν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τὸν μονογενῆ etc. Extat graece in Ambrosii editione Maur. T. 2. p. 729. ex Theodoreto et Leontio.

Ἱππολύτου ἐπισκόπου Ῥώμης καὶ μάρτυρος.

Διὰ τοῦτο πυλωροὶ ἰδόντες σε ἔπτηξαν, καὶ συνετρίβησαν πύλαι χαλκαῖ, καὶ μοχλοὶ σιδηροὶ συνεθλάσθησαν· καὶ ἰδοὺ ὁ μονογενὴς εἰσῆλθεν ὡς ψυχὴ μετὰ ψυχῶν θεὸς λόγος ἔμψυχος· τὸ γὰρ σῶμα ἔκειτο ἐν μνημείῳ, οὐχὶ κενωθὲν τῆς θεότητος· ἀλλ' ὥσπερ ἐν ᾅδῃ ὢν, τῇ οὐσίᾳ ἦν πρὸς τὸν πατέρα, οὕτως ἦν καὶ

(1) Hactenus latine apud Canisium loc. cit. p. 254.

(2) Codd. ἐκ pro ἔκθεσις

ἐν τῷ σώματι ϗ ἐν τῷ ᾅδῃ· ἀχώρητος γὰρ ἦν ὁ υἱὸς ὡς ὁ πατὴρ, ϗ πάντα περιέχων· ἀλλὰ θέλων ἐχωρήθη ἐν σώματι ἐμψύχῳ, ἵνα μὴ τῆς ἰδίας ψυχῆς παροφθῇ εἰς τὸν ᾅδην, ϗ μὴ γυμνὴ τῇ θεότητι.

Cap. VIII.

Ἀμβροσίου, ἐκ τοῦ τετάρτου λόγου τῆς ἐνανθρωπήσεως.

Οὐ διῃρημένος, ἀλλ' εἷς· ὁποιόσπερ ἑκατέρου εἷς, ϗ ὁ εἷς ἐν ἑκατέρῳ, τουτέστι ϗ θεότητι καὶ σώματι· οὐδὲ γὰρ ἕτερος μέν ἐστιν ἐκ πατρὸς, ἕτερος δὲ ἐκ τῆς παρθένου· ἀλλ' αὐτὸς, ἄλλως μὲν ἐκ πατρὸς, ἄλλως δὲ ἐκ παρθένου.

Ἀμφιλοχίου ἐκ τῆς πρὸς Σέλευκον ἐπιστολῆς.

Πάσχει ὁ Χριστὸς οὐ θεότητι ἀλλ' ἀνθρωπότητι· τουτέστιν ὁ Χριστὸς ἔπαθε σαρκὶ, ἀλλ' οὐχ ἡ θεότης σαρκὶ ἔπαθεν· ἄπαγε τὸ δυσμενὲς καὶ βλάσφημον δέλεαρ· ἡ ληφθεῖσα πάσχει φύσις· ἡ δὲ προσλαβοῦσα, ἀπαθὴς μένει· οἰκειοῦται δὲ ὁ θεὸς λόγος ἀπαθῶς τὰ τοῦ ἰδίου ναοῦ, σταυρὸν φημὶ ϗ θάνατον, ϗ τὰ ἄλλα ὅσα περὶ αὐτὸν οἰκονομικῶς θεωρεῖται, οἰκειοῦται· αὐτὸς πάσχων οὐδέν (1).

Cap. IX.

Εὐσταθίου Ἀντιοχείας ἐκ τοῦ κατὰ ἀρειανῶν πρώτου λόγου.

Εἰ γὰρ κτιστὸς, οὐκ ἄρα γεννητός· εἰ δὲ γεννητὸς, οὐ κτιστός· ἐπεὶ μηδὲ οἷόν τε περὶ τὴν αὐτὴν φύσιν ἑκάτερον ἐκπεφηνέναι τὸ γένος· σημειωτέον ὅτι ἀδύνατον εἰπεῖν περὶ μίαν ϗ τὴν αὐτὴν φύσιν τὸ κτιστὸν ὑπάρχειν ϗ τὸ ἄκτιστον· καθολικὸς γὰρ ὁ λόγος τοῦ διδασκάλου.

Κυρίλλου κατὰ συνουσιαστῶν (2).

Δεῖ γὰρ τῇ πάντων ἐπέκεινα καὶ ἀνωτάτω φύσει, σώζεσθαι καθαρῶς τὸ ἁπλοῦν ϗ ἀσυμμιγὲς ἑτέρῳ· ϗ τὸ μὴ συντεθεῖσθαι δοκεῖν, ἵνα γε τοῖς καθ' ἑαυτὴν ἔχουσα προσθήκης δεῖσθαι τινὸς ϗ ἀσυμφυοῦς αὐτῇ πράγματος, εἰς κοινωνίαν ἐλθεῖν την ἐν ταυτότητι φύσεως, ἤγουν ὁμοουσιότητι. — Σκόπει κἀνταῦθα ὅτι τὸ συντεθεῖσθαι δοκεῖν τὴν θείαν φύσιν, εἴ τι πρὸς ἑαυτὴν εἴ τι πρὸς ἄλλην ἐπιστροφῇ αὐτῆς, ἀπαγόρευσεν ὁ διδάσκαλος· ἀδύνατον δείξας τὸ εἰς ταυτότητα φύσεως ἢ ὁμοουσιότητα ἐλθεῖν τὴν θείαν φύσιν πρὸς ἑτέραν.

Ἀμβροσίου ἐκ τοῦ ἐννάτου λόγου τοῦ κατὰ αἱρέσεων (3).

Ἀρχηγοὶ δὲ τούτων ἁπάντων εἰσὶν οἱ τὴν θεότητα ϗ τὸ σῶμα τοῦ δεσπότου μιᾶς φύσεως λέγοντες γεγενῆσθαι· ἀνέγνων γὰρ ὅπερ οὐκ ἐπίστευον, εἰ μὴ ἐτύγχανον ἀναγνούς, ἀνίσων φημὶ βίβλοις ἐντυχὼν οὕτως ἐγκείμενον· τὸ ὄργανον αὐτὸ, ϗ τὸ ὑφ' οὗ ἐκεῖνο τὸ ὄργανον, μιᾶς ἐν τῷ Χριστῷ φύσεως γεγενῆσθαι· ὅπερ δὲ τοῦτο οὕτως ἐνέθηκα, ἵν' ἐξ αὐτῶν τῶν γεγραμμένων, φωραθῇ τὸ τοῦ γράψαντος ὄνομα· ϗ προσχῶσιν εἰ ϗ τὰ μάλιστα κατηχήσαντό τισιν ἐξερευνηθείσαις κεκομψευμέναις κατασκευαῖς τε ϗ φράσεσιν, ὡς οὐ δυνατὸν τὴν τῆς ἀληθείας ἐπισκιάζεσθαι δύναμιν.

(1) Extat hoc fragmentum apud Combefis. p. 144. 145; sed perversum, et alio incommode interposito.

(2) Extat partim graece et partim latine apud Canisium loc. cit. p. 255.

(3) Extat partim latine apud Canisium loc. cit. p. 255. Sed ibi dicitur *in libro contra haereses*, non ex libro seu sermone nono contra haereses.

Τοῦ δυσσεβοῦς Πολέμωνος μαθητοῦ Ἀπολιναρίου, κατὰ Τιμοθέου συμμαθητοῦ αὐτοῦ (1).

Οὐδὲν δὲ χεῖρον ἐνοοῦνται κἀκεῖνο· Θεὸν λέγοντες καὶ ἄνθρωπον τὸν αὐτὸν, οὐκ αἰσχύνονται μίαν φύσιν τοῦ λόγου σεσαρκωμένην καθάπερ μίαν σύνθετον ὁμολογοῦντες· εἰ γὰρ Θεὸς τέλειος καὶ ἄνθρωπος τέλειος ὁ αὐτὸς, δύο φύσεις ἄρα ὁ αὐτός· καθάπερ ἡ τῶν καππαδοκῶν εἰσηγεῖται καινοτομία, καὶ Ἀθανασίου ὁ οἰκεῖος, καὶ τῶν ἐν Ἰταλίᾳ ὁ τύφος· καὶ σχηματίζονται μὲν ὡς δῆθεν ἀμέτροι, φρονεῖν τὰ τοῦ ἁγίου πατρὸς ἡμῶν Ἀπολιναρίου· κηρύττουσι δὲ καθάπερ Γρηγόριος τὴν τῶν φύσεων δυάδα· οὐδενὸς ὡς ἔοικεν ἐρασθέντες, ὁ μόνης τῆς ἐν τῷ βίῳ φθαρτῆς δόξης, τῇ πρὸς ἱερωσύνην ἐλπίδι δελεασθέντες· τί οὖν αὐτοῖς καὶ ἡμῖν; τί δὲ συμβαίνειν πειρῶνται τῇ ἀξιαγάστῳ φωνῇ; τί δὲ Ἀπολιναρίῳ τῷ θείῳ μαθητῶν σχηματίζονται; ταύτην γὰρ ἐπ' ἀναιρέσει τῆς τῶν φύσεων δυάδος φασὶν, μόνος ἡμῖν αὐτὸς ἀπηκύησεν.

Ἀπολιναρίου πρὸς Πέτρον (2).

Φύσει μὲν Θεὸν, καὶ φύσει ἄνθρωπον τὸν κύριον λέγομεν· μιᾷ δὲ συγκράτῳ τῇ φύσει ἄνθρωπον τὸν κύριον λέγομεν· μιᾷ δὲ συγκράτῳ τῇ φύσει σαρκικῇ τε καὶ θεϊκῇ.

Τοῦ αὐτοῦ ἐκ τοῦ περὶ σαρκώσεως.

Ὢ καινὴ πίστις καὶ μῖξις θεσπεσία· Θεὸς καὶ σὰρξ, μίαν ἀπετέλεσε φύσιν.

Τοῦ αὐτοῦ κατὰ Διοδώρου πρὸς Ἡράκλειον.

Ἄλλης καὶ ἄλλης οὐσίας μίαν εἶναι καὶ τὴν αὐτὴν προσκύνησιν, ἀθέμιτον, τουτέστι ποιήτοῦ καὶ ποιήματος, Θεοῦ καὶ ἀνθρώπου· μία δὲ ἡ προσκύνησις τοῦ Χριστοῦ· καὶ κατὰ τοῦτο ἐν τῷ ἑνὶ ὀνόματι νοεῖται Θεὸς καὶ ἄνθρωπος· οὐκ ἄρα ἄλλη καὶ ἄλλη οὐσία Θεὸς καὶ ἄνθρωπος, ἀλλὰ μία κατὰ σύνθεσιν Θεοῦ πρὸς σῶμα ἀνθρώπινον.

Εὔκαιρόν ἐστι παραθεῖναι καὶ ἃ προφέρουσιν οἱ ἀντιτεταγμένοι ψευδογραφήσαντος τὸν τε λόγον ὡς Ἀθανασίου, προδήλως Ἀπολιναρίου ὄντα, ὡς μαρτυρεῖ Τιμόθεος ὁ τὸν πίνακα τῶν λόγων Ἀπολιναρίου συντάξας, ἐν οἷς καὶ τὸν προφερόμενον ὡς Ἀθανασίου ἔταξε· καὶ μὴν καὶ ὃν ἐπιγράφουσιν Ἰουλίου, ἵνα διὰ τῆς τῶν λόγων συγγενείας ἐπιγνωσθῇ τούτων ὁ γνήσιος πατήρ· προφέρουσι τοίνυν ὡς Ἀθανασίου λόγον, ἐξ οὗ προβάλλονται μαρτυρίαν ἔχουσαν ὧδε.

Ἀπολιναρίου ἐκ ἐπιστολῆς πρὸς Ἰοβιανὸν τὸν βασιλέα.

Ὅτι δὲ ἐλθὸν τὸ πλήρωμα τοῦ χρόνου ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικός· καὶ εἶναι αὐτὸν υἱὸν Θεοῦ καὶ Θεὸν κατὰ πνεῦμα, υἱὸν ἀνθρώπου κατὰ σάρκα· οὐ δύο φύσεις τὸν ἕνα υἱὸν, μίαν προσκυνητὴν καὶ μίαν ἀπροσκύνητον, ἀλλὰ μίαν φύσιν τοῦ Θεοῦ λόγου σεσαρκωμένην καὶ προσκυνουμένην μετὰ τῆς σαρκὸς αὐτοῦ μιᾷ προσκυνήσει.

Ταῦτα μὲν παρὰ Ἀθανασίου προφερόμενα, καὶ εἴ τις ἀληθείας φροντίζει, συγκρινάτω αὐτὰ τοῖς λοιποῖς Ἀθανασίου δόγμασιν, εἰ μὴ πάντη τὸ ἀνόμοιον εὑρήσει τούτων πρὸς ἐκεῖνα, οἳ τοῦ Ἀθανασίου ἀπᾴδουσι, γειτνιῶσι δὲ τοῖς Ἀπολιναρίου· καὶ αὐτὴ ἡ σύγκρισις ἱκανή ἐστι παραστῆσαι τὸ ἀληθές· πλὴν ἡμεῖς καὶ χωρὶς τῆς συγκρίσεως, τοῖς ἀληθέσιν ἐπίσταμεν· καὶ ἐντυχόντες τῷ πίνακι Τιμοθέου καθ' ἃ φθάσαντες ἔφημεν.

Οὕτω καὶ Ἰούλιον τὸν Ῥώμης πλαστογρα-

(1) Huius Polemonis duo, sed diversa, fragmenta proferuntur a S. Maximo M. T. 2. p. 90.

(2) Sequentia Apollinaris, Manetis, Eudoxii, et Luci extant latine apud Canisium ed. nov. T. 2. p. 255. et 256. Et quidem Turriani anonymus. Anastasius noster videtur; etenim ordo rerum perinde se habet.

φοῦντες (1), ἐξ αὐτῆς τῆς ἐπιγραφῆς οὐ μόνον ἐλέγχονται συκοφαντοῦντες, ἀλλὰ γὰρ καὶ τῆς φράσεως αὐτῆς· οὔτε γὰρ τοιαύτην ποιοῦνταί ποτε πρός τινα ἐπιγραφὴν ῥωμαῖοι, οὐδὲ πρὸς ἐπίσκοπον, εἰ καὶ πάντων ἦν ἐξοχώτατος, μή τοι γε δὲ πρὸς πρεσβύτερον· οὔτε μὲν ἡ φράσις ὡς ἐξ ἑρμηνείας τῶν μεταβεβλημένων ῥωμαϊκῶν, λίαν ἐξελληνισμένη τυγχάνουσα· γράφει γὰρ οὕτως Ἀπολινάριος· οὐ δὲ γὰρ Ἰούλιος πρός τινα Διονύσιον, πρὸς ὃν τοιάνδε ποιεῖται τὴν ἐπιγραφὴν, τῷ δεσπότῃ μου τῷ ποθεινοτάτῳ συλλειτουργῷ Διονυσίῳ Ἀπολινάριος· οὗτοι δὲ οἱ πλαστογραφήσαντες πεποιήκασιν Ἰούλιος ἐπίσκοπος Ῥώμης ἐν Χριστῷ χαίρειν· εἶτα μετά τινα τῶν ἐν προοιμίοις, καὶ ἄλλα ἐπάγει τοιαῦτα. — Ἀνάγκη γὰρ δύο λέγοντας φύσεις, τὴν μὲν προσκυνεῖν, τὴν δὲ μὴ προσκυνεῖν· εἰς μὲν τὴν θεϊκὴν βαπτίζεσθαι, εἰς δὲ τὴν ἀνθρωπίνην μὴ βαπτίζεσθαι· εἰ δὲ εἰς τὸν θάνατον τοῦ κυρίου βαπτιζόμεθα, μίαν ὁμολογοῦμεν φύσιν τῆς ἀπαθοῦς θεότητος καὶ τῆς παθητῆς ἀνθρωπότητος. — Ταῦτα μὲν ὡς παρὰ Ἰουλίου προφέρουσιν. Ἐπισυνάψωμεν δὲ αὐταῖς τὰ Ἀπολιναρίου, δεικνύντες τὴν συγγένειαν ὅση.

Ἀπολιναρίου πρὸς Διόδωρον.

Πῶς τὸ γράμμα οὐ δυσσεβὲς ἄλλην οὐσίαν κτιστὴν καὶ δουλικὴν ἔχειν καὶ τὴν αὐτὴν προσκυνητὴν τῷ κτίστῃ καὶ δεσπότῃ; Καὶ πάλιν ἐν τῷ περὶ σαρκώσεως λόγῳ φησίν. Ἀδύνατον τὸν αὐτὸν καὶ προσκυνητὸν εἶναι καὶ μὴ· ἀδύνατον ἄρα τὸν αὐτὸν θεόν τε εἶναι καὶ ἄνθρωπον ἐξ ὁλοκλήρου, ἀλλ' ἐν ἑνότητι μιᾷ τῆς συγκράτου φύσεως θεϊκῆς καὶ σεσαρκωμένης. Ταῦτα τοῦ Ἀπολιναρίου τὰ ἀξιάγαστα, καθὰ Πολέμων ὁ μαθητὴς αὐτοῦ φησίν· ταῦτα πλείστην ἔχει τὴν ὁμοιότητα πρὸς τὰ παρ' αὐτῶν πεπλασμένα ὡς Ἀθανασίου καὶ Ἰουλίου.

Μανέντος τοῦ μυσαροῦ ἐκ τῆς πρὸς Κόνδαρνον σαρακηνὸν ἐπιστολῆς.

Ἰουδαίων βουλομένων λιθάσαι ποτὲ τὸν Χριστὸν, καὶ τῆς παρανομίας αὐτῶν τὴν τόλμαν εἰς ἔργον ἄγειν, ἔδειξε σαφῶς τὴν ἑαυτοῦ οὐσίαν ὁ τοῦ ἀνωτάτου φωτὸς υἱός· καὶ μέσος αὐτῶν διελθὼν, οὐχ ὁρᾶτο· ἡ γὰρ ἄϋλος μορφὴ συσχηματισμένη τὸ εἶδος τῆς σαρκὸς, ὁρατὴ μὲν οὐκ ἦν, ἐψηλαφᾶτο δὲ οὐδαμῶς, διὰ τὸ μηδεμίαν ἔχειν κοινωνίαν τὴν ὕλην πρὸς τὸ ἄϋλον· μία γὰρ φύσις τὸ ὅλον, εἰ καὶ σαρκὸς ὡρᾶτο μορφή.

Εὐδοξίου Κωνσταντινουπόλεως ἀρειανοῦ, ἐκ τοῦ περὶ σαρκώσεως λόγου.

Πιστεύομεν εἰς ἕνα τὸν μόνον ἀληθινὸν θεὸν καὶ πατέρα, τὴν μίαν φύσιν ἀγέννητον καὶ ἀπάτορα, ὅτι μηδένα σέβειν πέφυκεν ὡς ὑπαναβεβηκυῖα· καὶ εἰς ἕνα κύριον τὸν υἱὸν, εὐσεβῆ ἐκ τοῦ σέβειν τὸν πατέρα· καὶ μονογενῆ μὲν, κρείττονα πάσης τῆς μετ' αὐτὸν κτίσεως· πρωτότοκον δὲ, ὅτι τὸ ἐξαίρετον καὶ πρώτιστον ἐστὶ τῶν κτισμάτων· σαρκωθέντα, οὐκ ἐνανθρωπήσαντα· οὔτε γὰρ ψυχὴν ἀνθρωπίνην ἀνείληφεν· ἀλλὰ σὰρξ γέγονεν, ἵνα διὰ σαρκὸς τοῖς ἀνθρώποις ὡς διὰ παραπετάσματος θεὸς ἡμῖν χρηματίσῃ· οὐ δύο φύσεις· ἐπεὶ μὴ τέλειος ἦν ἄνθρωπος· ἀλλ' ἀντὶ ψυχῆς, θεὸς ἐν σαρκί· μία τὸ ὅλον κατὰ σύνθεσιν φύσις· παθητὸς δι' οἰκονομίαν· οὔτε γὰρ ψυχῆς ἢ σώματος παθόντος, τὸν κόσμον σώζειν ἐδύνατο· ἀποκρινέσθωσαν οὖν, πῶς ὁ παθητὸς καὶ θνητὸς τῷ κρείττονι τούτων θεῷ, πάθους τε καὶ θανάτου ἐπέκεινα, δύναται εἶναι ὁμοούσιος;

Λουκίου Ἀλεξανδρείας τοῦ ἀρειανοῦ, ἐκ τοῦ εἰς τὸ πάσχα λόγου.

Ποῦ τοίνυν ἔδει ψυχῆς, ἵνα ἀνάλογος σωμ-

(1) Confer de hac suppositia Iulio papae epistola Leontium de sectis act. VIII, et Muratorium in graecis anecdotis.

προσκυνοῦνται θεῷ; διὰ τοῦτο βοᾷ τὸν ἀλήθειαν Ἰωάννης, ὁ λόγος σὰρξ ἐγένετο, ἀντὶ τοῦ συνετέθη σαρκί· οὐ μὴν ψυχῇ, καθάπερ οἱ νῦν τὴν πίστιν καπηλεύοντες λέγουσιν, ἀλλ' εἰ ὥσπερ μετὰ τοῦ σώματος καὶ εἷς γέγονε μετ' αὐτοῦ· ἐπεὶ πῶς Χριστὸς, εἰ μὴ ἓν πρόσωπον, μία σύνθετος φύσις, καθάπερ τὸν ἐκ ψυχῆς καὶ σώματος ἄνθρωπον γνωρίζομεν; εἰ δὲ καὶ ψυχὴν εἶχεν, ὡς οἱ νόθοι τὰ νόθα νῦν τῆς ἐκκλησίας διδάσκουσι, μάχεται τὰ κινήματα θεοῦ καὶ ψυχῆς· αὐτοκίνητον γὰρ τούτων ἑκάτερον, καὶ πρὸς ἐνέργειαν διαφόρους ἀγόμενον.

Τοῦ ἁγίου Ἐφραὶμ (1) εἰς τὸν μαργαρίτην.

Τελείαν ἔχει τὴν διπλῆν φύσιν ὁ Χριστὸς, ἵνα μὴ ἀπολέσαι τὰς δύο· οὔτε ἡμίθεος ὤφθη ἐπὶ γῆς, οὔτε ἡμιάνθρωπος ἀνέβη εἰς οὐρανούς· ἀλλ' ἴσως ἐροῦσιν οἱ τῆς ἀληθείας ἐχθροὶ ὡς Κύριλλος ἐν τῇ πρὸς Νεστόριον ἐπιστολῇ φησὶν, ὅτι περ οὐκ ἔστι διπλοῦς ὁ εἷς καὶ μόνος Χριστός· ὁμοίως καὶ ἐν δευτέρῳ τόμῳ κατὰ Νεστορίου φησὶν ὅτι οὐ διπλοῦς ἦν· ἆρα οἱ ταῦτα λέγοντες, οὐ φανερῶς συγορῶσι τοὺς πατέρας ἑαυτοῖς τε καὶ ἀλλήλοις, καὶ μάχην ἐξ ὁμοδόξων συνιστῶσι καὶ οἷς ὁ Χριστὸς; τὴν ἑαυτοῦ εἰρήνην κατέλιπε, τούτοις εἰσφρήσαντες διάβολον μιμοῦνται, τοὺς ὁμοφρόνας ὡς ἐναντίας διασύροντες, καὶ αὐτὸν δὲ Κύριλλον ἑαυτῷ δεῖξαι μαχόμενον ἐπειγόμενοι; ἀλλ' οὐχ οὕτως ἡμεῖς, οὐδ' ὅστις οὖν εὖ φρονῶν· ἀλλὰ καὶ κατὰ Γρηγόριον καὶ τοὺς λοιποὺς πατέρας σὺν Κυρίλλῳ φαμὲν, ὅτι περ διπλοῦς κατὰ τὴν οὐσίαν· καὶ πάλιν κατὰ τὸν αὐτὸν Κυρίλλου σκοπὸν, ὡς οὐ διπλοῦς τῇ χαρακτηριστικῇ ὑποστάσει· εἷς γὰρ ἔμεινε καὶ ἐνανθρωπήσας ὁ θεὸς λόγος.

Cap. X.

Ἀμβροσίου ἐκ τοῦ περὶ τῆς θείας ἐνανθρωπήσεως λόγου.

Τοὺς λέγοντας ψιλὸν ἄνθρωπον τὸν Χριστὸν, ἢ παθητὸν θεὸν, ἢ εἰς σάρκα τραπέντα. — Καὶ μετ' ὀλίγα. — Ἢ τὰς δύο οὐσίας τοῦ Χριστοῦ κατὰ ἀνάκρασιν συγχυθείσας μίαν γεγενῆσθαι οὐσίαν, καὶ τὰ ἑξῆς. Κεῖται ἐν τῷ β κεφαλαίῳ.

Κυρίλλου πρὸς Ἀλέξανδρον περὶ πίστεως.

Ἐγὼ ὁ συγκεκραμμένον οὐ καταδέχομαι· ἀλλότριον γάρ ἐστι τῆς ἀποστολικῆς πίστεως.

Cap. XI.

Κυρίλλου ἐκ τοῦ ὑπομνήματος τῆς πρὸς ἑβραίους ἐπιστολῆς.

Εἰ γὰρ καὶ νοοῖντο διάφοροι καὶ ἀλλήλαις ἄνισοι τῶν εἰς ἑνότητα συνδεδραμηκότων αἱ φύσεις, σαρκὸς δὲ λέγω καὶ θεοῦ, ἀλλ' οὖν εἷς τε καὶ μόνος ἐξ ἀμφοῖν υἱὸς ἀληθῶς· ἔχοντος ἡμῶν ἀραρότως τοῦ καὶ ἐμψυχωθῆναι ψυχῇ λογικῇ τὸν ἑνωθέντα τῷ λόγῳ ναόν.

Ἐκ τῶν συνηγοριῶν Εὐλογίου Ἀλεξανδρείας πρὸς τοὺς λέγοντας, εἰ φατὲ τὸν Χριστὸν δύο ἔχειν οὐσίας, πάντως ἡ ἁγία τριὰς πᾶσα σεσάρκωται.

Ταῦτα τῶν ἐναντίων ὑπάρχει τὰ προβλήματα· οἴονται γὰρ ἴσως μεριστὴν εἶναι τὴν τῆς θεότητος οὐσίαν· καὶ τὸ μὲν αὐτῆς ἐν πατρὶ θεωρεῖσθαι, τὸ δὲ ἐν υἱῷ, τὸ δὲ ἐν ἁγίῳ πνεύματι ὡς ἑκάστης ὑποστάσεως ἐκ μέρους, ἀλλ' οὐκ ἐν πᾶσι τοῖς τῆς θεότητος ἰδιώμασι γνωριζομένης· ἡμεῖς δὲ οὐκ εἰς τοσοῦτον ἀσεβείας ἠλάσαμεν, ὡς μερισμὸν ἡγεῖσθαι καὶ κατατομὴν περὶ τὴν θείαν ὑπάρχειν οὐσίαν· ἀλλὰ φαμὲν ἑκάστην χαρακτηριστικὴν ὑπόστασιν, ἀνελλιπῶς τὰ τῆς θεότητος γνωρίσματα, τὸ ἀγαθὸν, τὸ δημιουργικὸν καὶ ὅσα περὶ τὴν ἄκτιστον φύσιν ὑπάρχει· οὕτω γὰρ καὶ ὁμοούσιον τὴν τριάδα φαμὲν, ὡς τῆς οὐσίας ὁλοτελῶς ἐν τρισὶ προσώποις γνωριζομένης· καὶ γὰρ ὁ

(1) Sine dubio hic est Ephraemius antiochenus, de quo Muratorius in adn. ad epistolam spuriam Iulii PP.

Digitized by Google

πατὴρ τελείαν ἔχει τὴν τῆς θεότητος οὐσίαν· ὁμοίως ὁ υἱὸς, ὁμοίως τὸ πνεῦμα τὸ ἅγιον· ἔνθεν τέλειος θεὸς ὁ πατὴρ, τέλειος θεὸς ὁ υἱὸς, τέλειος θεὸς τὸ πνεῦμα· τούτοις καὶ ὁ τῆς ἀληθείας κήρυξ Παῦλος συνηγορεῖ φάσκων, ἐν αὐτῷ γὰρ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς· οὐ γὰρ τὸν πατέρα φησὶ σεσαρκῶσθαι, ἀλλ' ὅτι πᾶσα ἡ θεότης ἐν ταῖς τρισὶν ὑποστάσεσιν ἀνελλιπῶς ὑπάρχει, ἐν πατρὶ, ἐν υἱῷ, ἐν ἁγίῳ πνεύματι· ἐν ἑκάστῃ ὑποστάσει τελείως ἐνυπάρχουσα κατὰ τὴν φωνὴν τοῦ σωτῆρος, τὴν λέγουσαν, πάντα ὅσα ἔχει ὁ πατὴρ, ἐμά ἐστι· τουτέστιν ὅσα τῆς τοῦ πατρὸς οὐσίας ὑπάρχει γνωρίσματα, ταῦτα τοῦ θεοῦ λόγου καὶ σαρκωθέντος ἐστίν· οὐχ ὡς τοῦ πατρὸς ὄντος υἱοῦ, ἢ τοῦ υἱοῦ ὄντος πατρός· ταῦτα γὰρ ὀνόματα σημαντικὰ τῆς πρὸς ἀλλήλους σχέσεως ὑπάρχει· πῶς οὖν μὴ εἴπωμεν τῆς θεότητος τὴν οὐσίαν ἀνελλιπῶς ἐν τῷ Χριστῷ εἶναι, ὁπότε τέλειον αὐτὸν εἶναι φαμέν; πῶς δὲ καὶ τέλειον αὐτὸν ἄνθρωπον ὁμολογοῦντες, οὐ πᾶσαν ἀνθρωπότητος οὐσίαν ἐνυπάρχειν αὐτῷ προσομολογήσωμεν; οὐ γὰρ μέρος αὐτῆς προσείληφεν, ὡς Ἀπολινάριος φησὶ, σάρκα δίχα λογικῆς ψυχῆς, ἀλλὰ πᾶσαν τὴν οὐσίαν, ὅ ἐστι σὰρξ ἐμψυχωμένη ψυχῇ λογικῇ καὶ νοερᾷ· αὕτη γὰρ κοινῶς ἐν τοῖς καθ' ἕκαστον ἀνθρώποις τελείως ἐνυπάρχουσα, οὐσία εἰκότως ἂν ῥηθείη· χωρίζονται γὰρ ἀλλήλων οἱ κατὰ μέρος, οὐ τῇ οὐσίᾳ, ταῖς δὲ παρεπομένοις ἰδιώμασι, μεγέθει, καὶ χρώματι, καὶ ἁπλῶς εἰπεῖν, ταῖς χαρακτηριστικαῖς τῶν προσώπων ποιότησι. πῶς δὲ καὶ ἐκ δύο φύσεων φήσουσι τὸν Χριστὸν, εἰ μὴ ἀντὶ οὐσιῶν αὐτοῖς νοηθείη τὸ τῆς φύσεως ὄνομα; οὐ γὰρ ἀντὶ ὑποστάσεων χαρακτηριστικῶν, τολμήσουσι λέγειν· ἐπεὶ καὶ ἐκ δύο προσώπων ἀναγκασθήσονται εἰπεῖν· ἡ γὰρ ὑπόστασις ἡ χαρακτηριστικὴ, πρόσωπον δίδωσιν ἐννοεῖν· ἐν χαρακτῆρι δὲ φημὶ, μήπως τῇ συνήθει τῶν αἱρετικῶν ἀπάτῃ δίχα χαρακτῆρος ὑποθῶνται τὴν ὑπόστασιν· τότε γὰρ τὴν τῆς οὐσίας σημασίαν ἀποφέρεται· πῶς δὲ καὶ ὁμοούσιον τῷ πατρὶ καὶ ἡμῖν ὁμοούσιον τὸν Χριστὸν μετὰ τὴν ἕνωσιν ὑποτίθενται; καὶ οὐ ναρκῶσι, δύο μὲν ὁμοούσια ὁμολογοῦντες, ἀρνούμενοι δὲ τὰς δύο οὐσίας;

Ἀντίθεσις πρὸς τοὺς λέγοντας, ἰδικὴν οὐσίαν εἶναι τοῦ πατρὸς, καὶ ἰδικὴν τοῦ υἱοῦ, καὶ ὁμοίως τοῦ ἁγίου πνεύματος.

Εἰ ὁ λόγος καθ' ὃ λόγος ἐστὶν, φύσις ἐστὶν, οὐ καθ' ὃ θεός· καὶ ὁ πατὴρ καθ' ὃ πατὴρ φύσις ἐστὶ, καὶ οὐ καθ' ὃ θεός· καὶ τὸ πνεῦμα τὸ ἅγιον καθ' ὃ ἐκπορευτὴ φύσις ἐστὶ, καὶ οὐ καθ' ὃ θεὸς, οὐδ' ὁπότερος αὐτῶν ἔσται φύσει θεός· εἴπερ τὸ θεὸς, οὐκέτι καὶ πατρότης καὶ υἱότης καὶ ἐκπόρευσις· εἰ δὲ μὴ θεὸς, κτίσμα πάντως. — Καὶ πάλιν. — Ἐν οἷς διακρίνεται τοῦ πατρὸς ὁ λόγος, τούτοις καὶ φύσις ἐστὶ, τούτοις δὲ καὶ πρὸς τὴν σάρκα ταυτίζεται ὁ λόγος, ὁμοφυὴς μὲν ἔσται οὕτω γε τῇ σαρκὶ, ἑτεροφυὴς δὲ τῷ πατρί· τὸ καθέκαστον τὸ κοινὸν ἔχον τῆς φύσεως μετὰ τῶν ἀφοριστικῶν αὐτοῦ ἀπὸ τοῦ κοινοῦ ἰδιωμάτων, οὐ κατὰ τὰ ἀφοριστικὰ αὐτοῦ ἀπὸ τῶν λοιπῶν ὁμοουσίων, κατὰ ταῦτα ἡ κοινὴ φύσις ἐστὶν· ἀλλὰ κατὰ τὴν ὅλην ὅλῳ ἐνυπάρχουσαν αὐτῷ ὁριστικῶς φύσιν· οὐδὲ γὰρ ἕτερόν ἐστιν ἡ ὑπόστασις κατὰ τοὺς θεοφόρους πατέρας, ἢ οὐσία μετὰ τῶν ἰδιωμάτων· περιττεύει γὰρ πάντως ἡ ὑπόστασις τῆς οὐσίας αὐτῆς τοῖς ἀφοριστικοῖς ἀπὸ τῶν λοιπῶν ὁμοειδῶν ἰδιώμασιν· ὅθεν οὐδὲν ἐν τῷ ὅρῳ τῆς οὐσίας αὐτῆς λαμβάνεται, ἀλλ' ἐν τῇ ὑπογραφῇ, ἐπειδὴ ἐπουσιώδη τυγχάνουσιν, οὐκ οὐσιώδη· διὸ καὶ Βασίλειος φησὶν, ὅτι ἕκαστος ἡμῶν καὶ τῷ κοινῷ τῆς οὐσίας λόγῳ τοῦ εἶναι μετέχει καὶ τοῖς περὶ αὐτῶν ἰδιώμασιν, ὁ δεῖνά ἐστι καὶ ὁ δεῖνα· οἱ χωρίσαντες τῇ ἐπινοίᾳ τὰ συμβεβηκότα ἰδιώματα, καὶ ἐφ' ἑαυτὸν τὴν Πέτρου σκοπήσαντες φύσιν, ὁριζόμενοι οὕτω λέγομεν, ὅτι ζῶον λογικὸν θνητόν· ὁ αὐτὸς δὲ ὅρος καὶ ἐπὶ τῆς ἁπλῶς φύσεως παρ' ἡμῶν ἀποδίδοται, ὁ αὐτὸς ἄρα ἔσται λόγος ἐπὶ τῆς ἁπλῶς φύσεως, καὶ ἐπὶ τῆς ἔν τινι θεωρουμένης· ποῦ οὖν τὸ μὴ δύνασθαι τὴν φύσιν,

τῆς καθ' ἕκαστον κοινὸν εἶναι, κἂν πολλάκις ἐξ αὐτῆς λέγηται, ὅπερ ἄνω βεβαιοῦται· ὥστε ἡ μὲν φύσις τῆς καθ' ἕκαστον κοινή, ἡ δ' ὑπόστασις ἰδική· εἰ τὴν κοινὴν φύσιν ὁ λόγος οὐκ ἀνέλαβεν, ἀπολογούμεθα ἡμεῖς, ὅτι τὴν φύσιν εἴπομεν αὐτὸν ἀνειληφέναι, οὐ μὴν τὰ ὑποστατικὰ ἑκάστου ἰδιώματα· ταῦτα γὰρ ποιεῖ τὸν Ἰούδαν καὶ τὸν δεῖνα καὶ τὸν δεῖνα· ὅ τι τοὺς καθόλου πᾶσιν ἐστὶν εὔδηλον· διόπερ ἐκ κοινῶν οὐσιῶν λέγοντες τὴν ἕνωσιν γενέσθαι, οὐκ ἀναγκαζόμεθα συνεισάγειν τὰς ὑπ' αὐτὰς ὑποστάσεις πάσας, ὡς οἱ συκοφάνται ληροῦσιν· εἰ τοίνυν τελείαν καὶ ἀνελλιπῆ καὶ ὑπερπλήρη ἔχοντα ἐν ἑαυτῷ τῆς θεότητος τὴν φύσιν ἐνανθρωπῆσαι λέγομεν, ποία ἀνάγκη ἡμᾶς τοῦτο λέγοντας πάντως καὶ τὸν πατέρα καὶ τὸ πνεῦμα καταβιβάζειν εἰς τὴν ἐνανθρώπησιν; τί γὰρ Πέτρου σταυρωθέντος ἢ Παύλου ἀποτμηθέντος, καὶ θατέρου αὐτῶν πλήρη καὶ ὁλόκληρον τὴν κοινὴν ἔχοντος τῶν ἀνθρώπων φύσιν, τοὺς λοιποὺς τοῦτο παρέλαβε, τοὺς ὑπὸ τὴν αὐτὴν ἀναγομένους φύσιν; ὅτι οὐ φύσεων ἀλλ' ὑποστάσεων ἰδιότητας διδασκόμεθα. Γρηγόριος ἐν δευτέρῳ κατ' Εὐνομίου λόγῳ οὕτω φησὶ περὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, ὡς διὰ τῶν κλήσεων τούτων, οὐ φύσεων διαφορὰν διδασκόμεθα, ἀλλὰ μόνας τὰς τῶν ὑποστάσεων γνωριστικὰς ἰδιότητας.

Ὅτι Ἀπολινάριος μίαν φύσιν λέγων Χριστοῦ, μίαν λέγει καὶ τὴν ἐνέργειαν· οὐ γὰρ δίδωσιν αὐτῷ ἀνθρωπίνην ἐνέργειαν· φησὶν οὖν ἐν τῷ περὶ τῆς θείας σαρκώσεως κεφαλαίῳ ιβ.

Ἀλλὰ γὰρ τὰ σαφῶς ἐλεγχμένα καὶ παγκοσμίως ἐκκεκηρυγμένα, νῦν πάλιν ἀνανεοῦσθαι τινὲς ἐπικεχειρήκασι· καὶ τὸν ἐξ οὐρανοῦ δεύτερον ἄνθρωπον παραδεδομένον ὑπὸ τῶν ἀποστόλων, ἐκ γῆς ἄνθρωπον εἶναι οἷον τὸν πρότερον βλασφημοῦσι, τὸ ἀνθρώπινον τοῦ λόγου εἰς ἐνέργειαν τὴν ἐν ἀνθρώπῳ μεταβάλλοντες.

Τοῦ αὐτοῦ ἐν τῷ κατὰ Διοδώρου.

Ὄργανον καὶ τὸ κινοῦν, μίαν πέφυκεν ἀποτελεῖν τὴν ἐνέργειαν· ὧν δὲ μία ἡ ἐνέργεια, μία καὶ ἡ οὐσία, μία ἄρα γέγονεν οὐσία τοῦ λόγου καὶ τῆς σαρκός. Ἐλέγχει τοῦτον Κύριλλος ἐν τοῖς πρὸς Θεοδόσιον τὸν βασιλέα· αἰτιώμενος γὰρ τοὺς τῆς ψυχῆς καὶ νοῦ τὴν ἐνέργειαν τῷ λόγῳ προσάπτοντας, γράφει οὕτως. — Οὐ μὴν ἂν δὲ ἐκεῖνο ἐπαινέσαιμεν ἂν φιλοθηροῦν οὐ μάλα δεδιδαγμένοι τὸ ἀληθὲς, εἴθ' ἁπλῶς λέγουσι ψυχῆς λογικῆς τὴν ἑνωθεῖσαν τῷ λόγῳ σάρκα· σαρκὶ γάρ που μόνῃ καὶ τὴν ζωτικήν τε καὶ αἰσθητικὴν λαχούσῃ κίνησιν ἀμφιεννῦντες τὸν λόγον μονογενῆ. — Ἐκ τούτων δῆλον ὡς οἱ λέγοντες μίαν ἐνέργειαν ἐπὶ Χριστοῦ, τῷ θεῷ λόγῳ προσάπτουσι τῆς νοερᾶς ψυχῆς τὰ πάθη.

Γελασίου ἐπισκόπου Καισαρείας Παλαιστίνης, ἐκ τοῦ εἰς τὸ πάσχα λόγου, οὗ ἡ ἀρχὴ ἄσωμεν τῷ κυρίῳ.

Ὥσπερ γὰρ σαρκωθεὶς μεμένηκε κατὰ φύσιν θεὸς ἀναφὴς, οὕτως ἀθανατωθεὶς ὁ αὐτὸς κατὰ φύσιν μεμένηκεν ἄνθρωπος· ἀμφότερα πάλιν ἑαυτοῦ, ὡς ἔφην, τῷ διπλῷ τῆς ἐνεργείας ὄντα δεικνύς.

Σευηριανοῦ ἐπισκόπου Γαβάλων ἐξ ὁμιλίας δογματικῆς, ἧς ἡ ἀρχὴ, οὐδεὶς ἀγγελικῶς ἢ ἀνθρωπίνως τῇ τοῦ θεοῦ δυνάμει.

Ὅρα δὲ πῶς ἐν ἅπασι τῷ διττῷ τῆς ἑτεροφυοῦς ἐνεργείας, ἑαυτὸν θεὸν ὄντα καὶ ἄνθρωπον δείκνυσιν.

Cap. XIII.

Ἀναστασίου Ἀντιοχείας, ἐκ τοῦ περὶ ἐνεργειῶν λόγου.

Ἀλλ' ἐπειδὴ πολύσημός ἐστι τῆς ἐνεργείας ἡ φωνὴ, καὶ τὸ ὁμώνυμον πλάνης πολλάκις αἴ-

τιον γίνεται τοὺς πολλοὺς, ἀναγκαῖον διευκρινῆσαι ποσαχῶς ἡ ἐνέργεια λέγεται· καὶ μὴ ἀπατώμεθα τυχὸν, ἀκούοντες μὲν ὀνόματος, περιελκόμενοι δὲ κατὰ τὸ εἰκὸς πρὸς σημασίαν ἑτέραν παρ' ἣν ὁ λόγος· λέγεται γὰρ ἡ ἐνέργεια τὸ πρῶτον ἐν ᾗ συνιστάμενον νόημα· καὶ ἔστιν ἁπλῆ καὶ ἄσχετος ἐνέργεια τοῦ νοῦ καθ' ἑαυτὸν ἀφανῶς τὰ ἴδια κινήματα προβαλλομένου, ὧν χωρὶς οὐδὲ νοῦς ἂν κληθείη δικαίως· λέγεται πάλιν ἐνέργεια, ἡ διὰ τῆς προφορᾶς τοῦ λόγου φανέρωσις καὶ ἐξάπλωσις τῶν νενοημένων· αὕτη δὲ οὐκέτι ἄσχετός ἐστιν ἁπλῆ, ἀλλ' ἐν σχέσει θεωρουμένη· καὶ γὰρ καὶ αὕτη ἡ σχέσις ἣν ἔχει πρὸς τὸ γινόμενον, ἐπὶ τῆς ἀρχιτεκτονικῆς ἢ ναυπηγικῆς ἔστιν ἰδεῖν· προεθεώρησαν γὰρ τὸ ἐσόμενον ἐν αὐτοῖς, τὴν οἰκίαν μὲν ὁ ἀρχιτέκτων, καὶ τὸ σκάφος ὁ ναυπηγός· εἶτα προήγαγον εἰς φῶς τὸ νενοημένον, ἐχειρούργησαν πάλιν καὶ ἀπετέλεσαν· ἆρ' οὐ δοκεῖ σοι τούτων ἕκαστον ἐνέργεια τοῦ ποιοῦντος εἶναι; πάντως ἐρεῖς· καὶ τὸ μὲν ἐπὶ ψυχῆς ἁπλῶς, τὸ δὲ ψυχῆς σώματι κεχρημένης, τὸ δὲ σώματος νοερῶς ἐμψυχωμένου· πλὴν τῆς ἐνεργείας ἀποτέλεσμα ἕν ἐστι τοῦ ἀνθρώπου· τοιοῦτόν μοι νόει καὶ ἐπὶ τῶν προκειμένων ἡμῖν εἰς ζήτησιν ἐνεργειῶν τοῦ σωτῆρος ἡμῶν· ἐπεὶ καὶ οἱ ἅγιοι πατέρες πολλάκις τῷ κατὰ τὸν κοινὸν ἄνθρωπον ἐχρήσαντο παραδείγματι, διασκοπούμενοι τῆς φύσεως τὴν ἕνωσιν· ὥσπερ οὖν ἄλλη μὲν ψυχῆς ἐνέργεια νοερᾶς, ἄλλη ἡ σώματος, τὸ δ' ἐκ τούτων κοινὸν τοῦ ἐξ ἑκατέρου ἐστὶ συνεστῶτος ἀνθρώπου, τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τοῦ σωτῆρος ἡμῶν τοῦ ἐνανθρωπήσαντος Θεοῦ λόγου νοοῦμεν, θείας μὲν ἐνεργείας τὰς θείας ὁρῶντες· οἷον τὸ πλάσαι τὸ ἴδιον σῶμα χωρὶς ἀνδρὸς κοινωνίας ἐκ παρθένου κόρης, πᾶσαν φυσικὴν ἀγνοούσης ὠδῖνα· τὸ ὕδωρ εἰς οἶνον ὁρμῇ μόνῃ θελήματος· καὶ ὅσα τοιαῦτα· ἀνθρωπίνας δὲ, τὴν ζωὴν αὐτὴν λέγω τὴν κατ' ἄνθρωπον, καθ' ἣν κινούμεθα πρὸς ὄρεξιν τροφῆς πρὸς αὔξησιν· ἐνέργεια γὰρ καὶ ἡ ζωὴ καὶ ἡ πρώτη τῶν ζώων ἐνέργεια· εἰ δὲ μὴ ἐνέργεια τυχὸν, ὡς ἄν τινες ἴσως εἴποιεν, πάντως πάθος, ὅπερ ἄτοπον· οὐκοῦν ἐνέργεια πάντως· ἀλλὰ ταῦτα θεωρήσαντες ὥσπερ καὶ τὰς φύσεις ὅθεν προΐασιν αἱ ἐνέργειαι, καὶ ἑνώσαντες αὐτὰς ἀλλήλαις, ὥσπερ ἐκ τῶν συνελθουσῶν φύσεων, μίαν ἐθεωρήσαμεν ὑπόστασιν ἀδιαίρετόν τε καὶ ἀσύγχυτον, οὕτω καὶ ἐκ τῶν διαφόρων ἐνεργειῶν τὸ ἀποτέλεσμα ἓν καὶ ἑνὸς Χριστοῦ θεωροῦμεν.

Ἰουστίνου φιλοσόφου καὶ μάρτυρος, ἐκ τοῦ περὶ τριάδος βιβλίου τρίτου, κεφ. ἑπτακαιδεκάτου.

Ὅταν οὖν ἀκούσῃς τοῦ ἑνὸς υἱοῦ τὰς ἐναντίας φωνὰς, καταλλήλως μέριζε ταῖς φύσεσι τὰ λεγόμενα· ἂν μέν τι μέγα καὶ θεῖον, τῇ θείᾳ φύσει προσνέμων· ἂν δέ τι μεῖον καὶ ἀνθρώπινον, τῇ ἀνθρωπείᾳ λογιζόμενος· οὕτω γὰρ καὶ τὸ τῶν φωνῶν ἀσύμφωνον διαφεύξῃ, ἑκάστης ἃ πέφυκε δεχομένης φύσεως· καὶ τὸν υἱὸν τὸν ἕνα καὶ πρὸ πάντων τῶν αἰώνων, καὶ πρόσφατον κατὰ τὰς θείας γραφὰς ὁμολογήσεις.

Ἰωάννου τοῦ Σκυθοπόλεως, ἐν τῷ ὀγδόῳ αὐτοῦ λόγῳ κατὰ Σευήρου.

Εἰπὲ δὲ ἡμῖν βέλτιστε, πότερον τὸν θεῖον λόγον οὐσιωδῶς ἑνωθῆναι πεπίστευκας, τῇ σαρκὶ καὶ ψυχῇ ἥνωται; καί φησι· τοῦτον δὲ τὸν ἐπὶ πᾶσι Θεὸν τῷ ἐξαιρέτῳ τῆς θεότητος περιδεδράχθαι οὐρανοῦ καὶ γῆς καὶ θαλάσσης, αἰθέρος τε καὶ ἀέρος, ἀγγέλων τε καὶ ἀρχαγγέλων, ἀρχῶν τε καὶ ἐξουσιῶν, καὶ συλλήβδην εἰπεῖν τῶν ἐν τῇ ἀσωμάτῳ μακαριότητι χιλίων χιλιάδων, καὶ μυρίων μυριάδων ἁγίων λειτουργικῶν τε καὶ ἀοράτων καὶ ἰδίᾳ ἑκάστου; καὶ οἶμαι δώσεις, εἴπερ μὴ πάντη ἐξέστηκας· τὴν δὲ τοιαύτην πρόνοιαν οὐκ ἐνέργειαν καλέσεις Θεοῦ; καὶ πρὸς τοῦτο οὐκ ἀντιλέξεις, εἴπερ μὴ καὶ νῦν βούλει προφανῶς τῇ θεότητι μάχεσθαι; οὕτω μὲν οὖν δώσεις τοῦ Θεοῦ καὶ σαρκωθέντος διηνεκῆ τὴν ἐνέργειαν, τὴν ψυχὴν δὲ τὴν νοερὰν τὴν αὐτῷ καθ' ὑπόστασιν ἡνωμένην,

εἴποις ἂν διανοεῖσθαι, ἢ ἀδιανόητον ἐστί; ἀλλ' εἰ μὲν ἀδιανόητον, περιέπεσας τῇ Ἀπολιναρίῳ τοῦ πατρὸς βλασφημίᾳ, ἄνουν εἰρηκότος τὴν ἑνωθεῖσαν τῷ Θεῷ λόγῳ ἀνθρωπότητα· εἰ μὲν δίκην τῶν ἀψύχων ἢ ἀλόγων ἀδιανόητον ἐστὶ φύσεως πάντως· εἴπερ τοῖς ἀκολούθοις ἕπεσθαι καὶ νῦν θελήσειας λόγοις τὴν διανόησιν ἐνέργειαν ἐστὶ τοῦ νοῦ· οἶον οἶδεν ὅτι ἥνωται τῇ θεότητι, εἰ καὶ τῆς αὐτῆς ἀνθρώποις χωρὶς ἁμαρτίας καθέστηκε φύσεως· ἐπίσταται ὅτι περ ἀναβιβάζει πᾶσαν κτίσιν ὁρατήν τε καὶ ἀόρατον· καὶ προσκυνεῖται ὑπὸ τῶν ἄνω δυνάμεων, ἀμερίστως ἡνωμένη ψυχὴ τῷ δημιουργῷ τῶν ὅλων Θεῷ· μέμνηται τῆς θεοτόκου τῆς παρθένου καὶ τῆς ἐξ αὐτῆς κατὰ σάρκα γεννήσεως, τῶν ἐπὶ γῆς διατριβῶν, τοῦ σωτηρίου πάθους, τοῦ σταυροῦ, τοῦ τάφου, τῆς ἀναστάσεως, τῆς εἰς οὐρανοὺς ἀναλήψεως· γινώσκει πᾶσαν τὴν στρατιὰν τοῦ οὐρανοῦ περιεχομένην αὐτῇ καὶ λατρεύουσαν, οἷα Θεοῦ ψυχῇ· τὴν δὲ τοιαύτην διανόησιν, ἐνέργειαν εἴποις ἂν καὶ αὐτὸς οἶμαι τῆς διανοουμένης ψυχῆς, καὶ τῆς ἀμερίστως ἡνωμένης τῇ θεότητι· ὁρᾷς ὅτι ἑνὸς καὶ τοῦ αὐτοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δύο ὁρῶμεν τὰς ἐνεργείας, θεότητος αὐτοῦ καὶ τῆς ἀνθρωπότητος ἀμερίστως τε καὶ ἀναλλοιώτως;

Cap. XIV.

Ἰγνατίου τοῦ Θεοφόρου καὶ μάρτυρος, ἐκ τῆς ἐπιστολῆς πρὸς τοὺς ἐν Ταρσῷ (1).

Εἰ γὰρ ᾔδεις ὅτι Θεοῦ υἱὸς ὤν, ἐγίνωσκες ὅτι τεσσαράκοντα ἡμέρας ἀνενδεὲς ποιήσας τὸ φθαρτὸν σῶμα, καὶ εἰς τὸ διηνεκὲς ἐδύνατο τοῦτο ποιῆσαι· διὰ τί οὖν πεινᾷ; ἵνα δείξῃ ὅτι ἀληθῶς ἀνέλαβε σῶμα ὁμοιοπαθὲς ἀνθρώποις· διὰ μὲν γὰρ τοῦ πρώτου ἔδειξεν ὅτι θεός, διὰ δὲ τοῦ δευτέρου, ὅτι καὶ ἄνθρωπος.

(1) Neque graece neque latine video hoc fragmentum apud Coteleriam in patribus apostolicis.

Ἰουστίνου φιλοσόφου καὶ μάρτυρος, ἐκ τοῦ περὶ τριάδος βιβλίου γ, κεφ. ιζ.

Ὁ δὲ Χριστὸς οὐκ ἐκ θεότητος καὶ ἀνθρωπότητος ἀποτελεῖ Χριστός, ἄλλος ὢν παρὰ ταῦτα, ἀλλὰ καὶ Θεὸς καὶ ἄνθρωπος ἑκάτερα τυγχάνει, Θεὸς μὲν νοούμενος τῇ τῶν τεραστίων ἐνεργείᾳ, ἄνθρωπος δὲ δεικνύμενος τῇ τῆς φύσεως ὁμοιοπαθείᾳ.

Βασιλείου ἐκ τοῦ ἐπιγεγραμμένου λόγου πρὸς τὴν Εὐνομίου δόξαν, ἧς Ἀέτιος ἦρξατο (2).

Ἐξ ὧν δὲ παρήγαγεν αὐτὸς περί τε τῆς οὐσίας καὶ τῆς ἐνεργείας λογισμῶν σαθρῶν, ὁ λόγος ἀποδείκνυσι καὶ κατ' οὐσίαν καὶ κατ' ἐνέργειαν ὅμοιον ἐστὶ τὸν υἱὸν τῷ πατρί, μᾶλλον δὲ ἀληθέστερον εἰπεῖν τὸν αὐτόν· οὔτε γὰρ οὐσία κατὰ φύσιν ἐνεργείας ἄνευ, οὔτε ἐνέργεια χωρὶς οὐσίας ποτέ· μᾶλλον δὲ τὴν οὐσίαν πρὸς πίστωσιν ἔχοντες· οὐσίαν γὰρ οὐ πώποτέ τις οἶδε Θεοῦ· διὰ δὲ τῆς ἐνεργείας ὁμοίως τὴν οὐσίαν πιστευόμεθα.

Σχόλιον Σωφρονίου.

Ὁρᾷς ὡς ἀλλήλαις ταύτας συνέζευξε· καὶ οὔτε φύσιν ἐνεργείας ἄνευ ἐστὶ θεάσασθαι, ἵνα μὴ πρὸς τὸ μὴ ὂν ἀπανέλθῃ ἐνεργείας ἀμοιροῦσα, οὐδ' αὖ πάλιν ἐνέργειαν τῆς ἐνεργούσης αὐτὴν ἐκτὸς φύσεως; εἰ πᾶσα τοίνυν ἐνέργεια φύσεώς τινος οὐσιώδης ὁρίζεται κίνησις, ὡς οἱ περὶ ταῦτα δεινοὶ διειλήφασι, ποῦ φύσιν τίς οἶδέ ποτε ἀκίνητον, ἢ παντελῶς ἀνενέργητον ἐνέργειαν εὕρηκεν, οὐ φυσικῆς δυνάμεως ὑπάρχουσαν κίνησιν; ἵνα ὑπὲρ οὐδαμοῦ καθορᾶσθαι ἢ λέγεσθαι δύναται, τοῦτο ἐπὶ μόνου Χριστοῦ καθορᾶται καὶ λέγεται, μᾶλλον δὲ μὴ καθορώμενον λέγεται· ἐπειδὴ δὲ τῶν οὐσιῶν ἐστιν ὁμολογουμένη ἡ ἐνέργεια, ἀνάγκη θεωρεῖν σὺν

(2) Ponitur Basilii editus locus ut intelligatur subsequens Sophronii scholium quod est ineditum.

Digitized by Google

ταῖς οὐσίαις καὶ τὰς ἐνεργείας, ἵνα μὴ κολοβῶμεν ἐν τῇ ἑνώσει τὰ τῶν ἑνωθέντων ἰδιώματα· λῆρος γὰρ ἂν εἴη πλατύς, φύσιν μὲν ὁμολογεῖν, ἀνενεργῆ δὲ λέγειν αὐτήν.

Σχόλιον (1).

Εἰδέναι χρὴ ὡς ἐν τῇ οὐσίᾳ ὄντα περὶ τὴν οὐσίαν τὰ ἰδιώματα τῆς οὐσίας θεωροῦνται, οἱονεὶ σύμπαντά τινα τῇ μονοειδεῖ παρεπόμενα φύσει· ἐκ δὲ τῆς οὐσίας προϊέναι τὰς ἐνεργείας δοξάζομεν· καὶ ἰδιώματα μὲν τῆς θεότητος φαμὲν, ὅσα τὴν κτίσιν ὑπερβαίνει καὶ ὑπερβάλλεται, τὸ ἄτρεπτον, τὸ ἀΐδιον, τὸ ἀπερίγραπτον, τὸ ἀπαθὲς φύσει, τὸ ἀθάνατον, τὸ ἄφθαρτον, τὸ πανσθενὲς, καὶ ὅσα τοιαῦτα· θεοπρεπεῖς δὲ ἐνέργειαι εἰσὶ τὸ δημιουργικὸν, τὸ προνοητικὸν, τὸ τῶν ὅλων συστατικὸν, τὸ ἁγιαστικὸν, τὸ ζωοποιὸν, καὶ τὰ τούτοις ἐοικότα· ἡ τοίνυν ἀθανασία καὶ ἡ ἀφθαρσία καὶ ἡ ἀπάθεια ἐπὶ τοῦ λόγου, καὶ ποιότητες φυσικαὶ καὶ πάλιν ἐνέργειαι· καθ' ὃ μὲν γὰρ αὐτῷ προσπέφυκε ταῦτα, τὴν ὡς ποιότητος φυσικῆς ἔχουσι τάξιν· καθ' ὃ δὲ εἰς τοὺς ἔξω πρόεισι παρ' αὐτοῦ, νοοῖντ' ἂν αὐτοῦ ὡς ἐνέργειαι.

Πῶς δεῖ νοεῖν τὴν ἐνέργειαν ἐπὶ θεοῦ.

Ὁ μὲν Χρυσόστομος ἐν τῷ ὑπομνήματι τῆς πρὸς κολασσαεῖς ἐπιστολῆς, γυμνάσας μετὰ τῶν ἄλλων τῶν περὶ θεοῦ κεφαλαίων τοῦτο, καὶ ἀπορίᾳ τὴν ἀπορίαν διαλύσας, ἀκατάληπτον αὐτὸ ἀπεφήνατο· ὁ δὲ ἀρεοπαγίτης τὸ συνεκτικὸν καὶ περιεκτικὸν καὶ προνοητικὸν ἐκάλεσεν ἐνέργειαν θεοῦ.

Cap. XV.

Γελασίου ἐπισκόπου καισαρείας Παλαιστίνης ἐν ἐξηγήσει τοῦ μαθηματικοῦ.

Ἦλθε τοίνυν εἰς ταυτὸν, θεὸς ἅμα καὶ ἄνθρωπος, ἵνα σῶμα μὲν ὑπηρετήσηται, θεὸς δὲ δι' αὐτοῦ τὴν ἐνέργειαν παράσχηται· διαλλᾷ πάντα, καὶ τέλεια πάντα· καὶ φιμούσθω πᾶν αἱρετικῶν στόμα.

Τοῦ αὐτοῦ ἐκ τοῦ βιβλίου τῆς κατὰ τὴν ἐκκλησίαν πρακτικῆς στοιχειώσεως.

Εἰ τοίνυν οἰκειοτάτη τοῖς ἀνθρώποις καὶ μάλιστα πρέπουσα καὶ κατὰ φύσιν ἐνέργεια ἡ διὰ τοῦ νοῦ γίνεται θεωρία, καθ' ἣν τῶν ἄλλων ζώων διαφέρων ὁ ἄνθρωπος θεῖόν τι ζῶον εἶναι πεπίστευται, ταύτης δὲ τῆς οὔσης ἐν ἡμῖν τιμιωτέρας φύσεως, ἡ περὶ τὸ θεῖον διάληψις τιμιωτέρα· ἥ τις καὶ τὸν τῆς πίστεως ἐπέχει λόγον, εὔδηλον ὡς ἡ περὶ ταύτης σχολὴ βελτίων ἂν εἴη καὶ προτιμοτέρα, καὶ οὐκ ὀλίγῳ δὲ τῷ μέτρῳ εἴ γε δύο συστοιχείαις ὅλαις προτεροῦσα φαίνεται ἡ θεολογία· οὐκ ἐκ δευτερείων τὰ πρῶτα, ἀλλ' ἐκ τῶν ἀναβεβηκότων τῇ φύσει τὰ πρεσβεῖα δικαίως ἀποίσεται.

Κυρίλλου Ἱεροσολύμων, ἐκ τῆς εἰς τὸ εὐαγγέλιον ἑρμηνείας, ἔνθα ὁ κύριος τὸ ὕδωρ οἶνον ἐποίησεν.

Ἐσπούδασε μήτε δι' ὅλου φανερῶσαι τὴν ἑαυτοῦ θεότητα, μήτε εἰς τὸ παντελὲς ἀποκρύψαι· ἐσπούδασε μὴ φανερῶσαι διὰ τοὺς τότε, ἐσπούδασε μὴ ἀποκρύψαι διὰ τοὺς μετὰ ταῦτα· ἀλλὰ δεῖξαι καὶ τῆς θεότητος αὐτοῦ καὶ τῆς ἀνθρωπότητος τρανῶς τὰς ἐνεργείας· ἵνα μήτε ἡ θεία δύναμις ἀμβλυνθῇ, μήτε ἡ ἀνθρωπίνη φύσις ἀπιστηθῇ· ἐπειδὴ γὰρ ἔμελλον αἱρέσεις ἀνακύπτειν ἡ λέγουσα ὅτι φάντασμα ἦν τὸ σῶμα καὶ ἐξ οὐρανοῦ κατῆλθεν, οὐ γὰρ ἀνέλαβε τοῦ φθαρτοῦ σώματος σάρκα ἡ ἄφθαρτος φύσις, οὐδ' ἂν κατεδέξατο ῥύπον ἢ μολυσμὸν ἢ σπίλον, ἵνα πιστώσηται ὁ θεὸς τῶν ἀνθρώπων τὸ γένος, ὅτι τοῦτο ἐγένετο ὃ ἐσμὲν, μένων ὃ ἦν, διὰ τοῦτο συνεχώρησε τῇ σαρκὶ πάσχειν τὰ ἴδια. — Καὶ μεθ' ἕτερα. — Ἐγεννήθη, ἐθαυματούργησεν, ἔδειξε τὴν

(1) Scholion hoc eclogarii subest sub loco Nysseni ex epistola seu sermone ad Eustathium de trinitate.

διπλῆν ἐνέργειαν, πάσχων μὲν ὡς ἄνθρωπος, ἐνεργῶν δὲ ὡς Θεὸς ὁ αὐτός· οὐ γὰρ ἄλλος καὶ ἄλλος, εἰ καὶ ἄλλως καὶ ἄλλως.

Ἰουστίνου φιλοσόφου καὶ μάρτυρος, ἐκ τοῦ τρίτου βιβλίου περὶ τῆς ἁγίας τριάδος, κεφαλαίῳ ιζ.

Τινὲς μὲν ἕνωσιν ἐκ ψυχῆς πρὸς σῶμα νοήσαντες, οὕτως ἐκδεδώκασι· καὶ ἁρμόδιόν γε τὸ παράδειγμα, εἰ καὶ μὴ κατὰ πᾶν, κατά τι γοῦν· ὥσπερ γὰρ εἷς μέν ἐστιν ὁ ἄνθρωπος, ἔχει δὲ φύσεις διαφόρους δύο, κατ' ἄλλο μὲν λογίζεται, κατ' ἄλλο δὲ τὸ λογισθὲν ἐνεργεῖ· ψυχῇ μὲν νοερᾷ λογισάμενος εἰ τύχοι τὴν τοῦ πλοίου σύμπηξιν, χερσὶ δὲ τὸ νοηθὲν εἰς πέρας ἄγων, οὕτως ὁ Χριστὸς, εἷς ὢν καὶ δύο φύσεις, κατ' ἄλλην μὲν τὰς θεοσημείας εἰργάζετο, κατ' ἄλλην δὲ τὰ ταπεινὰ παρεδέχετο· ᾗ μὲν γὰρ ἐκ πατρὸς καὶ Θεὸς, ἐνεργεῖ τὰ θαύματα· ᾗ δὲ ἐκ παρθένου καὶ ἄνθρωπος, τὸν σταυρὸν καὶ τὸ πάθος καὶ τὰ παραπλήσια ἃ φυσικῶς ἐθέλων ὑπέμεινε. — Καὶ μεθ' ἕτερα — Ὥσπερ τοῦ φωτὸς, ὃ φῶς ἐστιν ἓν τὴν ἐνέργειαν οὐκ ἄν τις χωρίσειε τοῦ σώματος αὐτοῦ τοῦ δεκτικοῦ, τῷ λόγῳ δὲ διαιρῶν γνωρίσει τὴν φύσιν ἧς ἐστιν ἰδία ἡ ἐνέργεια, οὕτως ἐπὶ τοῦ ἑνὸς υἱοῦ τοῦ Θεοῦ, πᾶσαν μὲν ἐνέργειαν οὐκ ἄν τις χωρίσειε τῆς μιᾶς υἱότητος, τῆς δὲ φύσεως ᾗ ἐστιν οἰκεῖον τὸ γινόμενον, τῷ λόγῳ γνωρίσειεν.

Κυρίλλου ἐπισκόπου Ἀλεξανδρείας, ἐκ τῆς ἑρμηνείας τῆς πρὸς Ἑβραίους ἐπιστολῆς.

Εἰ δὲ τετελείωκεν ἡμᾶς δι' ὕδατος καὶ πνεύματος, πῶς οὐκ ἐνήργει θεϊκῶς τε ἅμα καὶ ἀνθρωπίνως ὁ αὐτὸς ὑπάρχων καὶ ὡς ἐν ἑνὶ, Θεός τε ὁμοῦ καὶ ἄνθρωπος;

Τοῦ αὐτοῦ ἐκ τοῦ δευτέρου βιβλίου τοῦ εἰς τὸ κατὰ Ματθαῖον ὑπομνήματος.

Συνεκβαίνουσι τοίνυν οἱ μαθηταὶ καὶ προσδέχεται μὲν τὸν ὕπνον αὐτὸς· οἰκονομικῶς δὲ μάλιστα κατ' ἐκεῖνο καιροῦ τὸ παθεῖν ἐφιεὶς τὰ ἴδια τῇ σαρκί· καί τοι διέπων αὐτὸς κατά γε τὴν τῆς θεότητος ἐνέργειάν τε καὶ φύσιν οὐρανοὺς καὶ γῆν, καὶ τὰ ἐπὶ τούτοις ἐπέκεινα.

Τοῦ αὐτοῦ, ἐκ τοῦ, νῦν ἡ ψυχή μου τετάρακται.

Ὥσπερ δὲ οἰκονομικῶς συγκεχώρηκε τῇ οἰκείᾳ σαρκὶ παθεῖν, ἐφ' ὅτε τὰ ἴδια οὕτω πάλιν συγχωρεῖ καὶ τῇ ψυχῇ τὰ οἰκεῖα παθεῖν καὶ τὸ τῆς κενώσεως μέτρον τετήρηκε πανταχοῦ, καί τοι Θεὸς ὢν φύσει καὶ ὑπὲρ πᾶσαν τὴν κτίσιν.

Τοῦ αὐτοῦ ἐκ τῆς ἑρμηνείας τῆς πρὸς Ἑβραίους ἐπιστολῆς.

Οὐ γὰρ ἦν ἀνθρώπου ψιλοῦ καὶ τοῦ καθ' ἡμᾶς ἑνὸς τῆς κατὰ φύσιν ζωῆς ἀποπεραίνειν δύνασθαι τὴν ἐνέργειαν· ἀλλὰ τοῦτο χάριτι Θεοῦ καὶ αὐτὸ τὸ σῶμα τοῦ δι' ἡμᾶς ἐνανθρωπήσαντος λόγου καί τοι κατὰ φύσιν ὂν τῆς ζωῆς ὑπὲρ τῆς ἁπάντων σωτηρίας ἐγεύσατο θανάτου, καθ' ἅ φησιν αὐτὸς ὁ ἱερώτατος Παῦλος· ἵνα μὴ τοῦ γηΐνου σώματος ἔργον εἶναι νομισθῇ τὸ καταργῆσαι τὸν θάνατον, αὐτοῦ δὲ δὴ μᾶλλον τοῦ ἑνωθέντος αὐτῷ, καὶ παρ' αὐτοῦ ἑτέρου κατὰ φύσιν ὑπάρχοντος λόγου.

Προδήλως τὸ πρόσωπον ἀντὶ τῆς ὑποστάσεως ἔλαβεν· τὸ δὲ ἕτερον καὶ ἕτερον, οὐ περὶ προσώπου εἴρηται, ἀλλὰ περὶ οὐσιῶν· καὶ μηδεὶς τοῦ λόγου κατατρεχέτω· τὴν γὰρ ἑαυτοῦ ἔννοιαν εὐθὺς διὰ τῶν ἑξῆς ἐφανέρωσε, σαφηνίσας τὸ ἕτερον καὶ ἕτερον, καὶ εἰπὼν οὕτως.

Σκόπει ὅτι οὐκ εἰσὶ θεότης καὶ ἀνθρωπότης προσώπων σημαντικαὶ, ἀλλ' οὐσιῶν, ὧν τὴν διαφορὰν εἶναι εἰπὼν ἐν τῷ Χριστῷ, πάλιν τὴν καθ' ὑπόστασιν ἕνωσιν εὐθὺς παρεδήλωσεν· ἐπήγαγε γάρ.

Digitized by Google

καὶ ἐνταῦθα τὴν τοῦ προσώπου μονότητα ἥγων ἕνωσιν, ἀντὶ τῆς μιᾶς εἰπὼν ὑποστάσεως, τῆς ἐν ἑκατέρᾳ φύσει νοουμένης· καὶ ἐν ἑκατέρᾳ θεωρεῖται φύσις ἀδιαιρέτως, ὡς αὐτὸς ἐν τοῖς ἑξῆς ἐδήλωσε.

Εὐσταθίου ἐπισκόπου Βηρυτοῦ περὶ τῆς τοῦ μακαρίου Λέοντος ἐπιστολῆς, ἀπολογία πρὸς Τιμόθεον τὸν αἴλουρον.

Γνῶθι δὲ καὶ ἐκ τῶν ἑξῆς τὴν τούτου τῶν δογμάτων ἀκρίβειαν· εἰπὼν γάρ, ἐνεργεῖ γὰρ ἑκατέρα μορφὴ μετὰ τῆς θατέρου κοινωνίας ὅπερ ἴσχηκεν ἴδιον, ἐπάγει· τοῦ μὲν λόγου κατεργαζομένου τοῦθ' ὅπερ ἐστὶ τοῦ λόγου, τοῦ δὲ σώματος ἐκτελοῦντος ὅσα ἐστὶ τοῦ σώματος· ὡς ἂν σοι κατασημαίνῃ ὅ τι περ τὸ σῶμα πρὸς τὸ βούλημα τοῦ ἑνωθέντος αὐτῷ λόγου, οὗ καὶ γέγονεν ἴδιον ἐκινεῖτο κατὰ τὴν ἀκολουθίαν τῆς φύσεως, ἡνίκα τοῦτο παρασταίη τῷ θείῳ λόγῳ· οὐ γὰρ ἀφ' ἑαυτοῦ πρὸς τὰ φυσικὰ πάθη τὴν ὁρμὴν ἐποιεῖτο, ἢ τὰ ἔξωθεν προσπίπτοντα, ἀλλὰ τοῦ λόγου συγχωροῦντος οἰκονομικῶς.

Ἰουστίνου φιλοσόφου καὶ μάρτυρος.

Τινὲς τὴν ἕνωσιν ὡς ψυχῆς πρὸς σῶμα νοήσαντες, οὕτως ἐκδεδώκασιν.

Κυρίλλου ἐκ τῆς ἑρμηνείας τῆς πρὸς ἑβραίους ἐπιστολῆς.

Εἰ δὲ τετελείωκεν ἡμᾶς δι' ὕδατος καὶ πνεύματος, πῶς οὐκ ἐνέργεια θεϊκῶς;

Cap. XVI.

Σχόλιον.

Ἰστέον ὅτι τὸν περὶ ἀγνοίας λόγον διαφόρως οἱ τῆς ἐκκλησίας ἐξέθεντο διδάσκαλοι, καθὼς ἐν τοῖς ἑξῆς εὑρήσεις· δῆλον δὲ ὡς πάντες εὐσεβῶς· σημειωτέον τοίνυν ὡς εἰ καί τινες αὐτῶν ἀνθρωπίνως ἔφησαν εἰπεῖν τὸν σωτῆρα ἠγνοηκέναι τῆς συντελείας καὶ τῆς κρίσεως τὴν ἡμέραν, οὐχ ὡς ἄγνοιαν αὐτοῦ κατηγοροῦντες τοῦτο εἰρήκασιν, ἀλλ' ἀπέδειξαν τὴν φύσιν αὐτὴν, φημὶ δὲ τὴν ἀνθρωπίνην, οὐκ ἔχουσαν οἴκοθεν καὶ ἐξ αὐτῆς τῶν μελλόντων τὴν γνῶσιν εὐσεβῶς· ὡς μέντοι ἡνωμένην τῷ θεῷ λόγῳ, καὶ ἀχώριστον αὐτοῦ οὖσαν, καὶ ἓν πρὸς αὐτὸν λελογισμένην διὰ τὴν ὑποστατικὴν ταυτότητα, μετὰ τῶν ἄλλων θεοσημειῶν, καὶ τῆς ἐσομένων τὴν γνῶσιν καταπεπλουτηκέναι αὐτὴν, οὐδεὶς ἀντερεῖ λόγος· τότε γὰρ ἀγνοεῖν αὐτὸν ὡς ἄνθρωπον νοήσεις κατὰ τὸν θεολόγον Γρηγόριον, ὅτε τὸ φαινόμενον χωρίσεις τοῦ νοουμένου· τουτέστιν ὅτε αὐτὴν καθ' ἑαυτὴν τὴν ἀνθρωπίνην φύσιν τῇ ἐπινοίᾳ θεωρήσεις· καὶ τοῦτο τοῖς πατράσι τὰ περὶ ἀγνοίας ἤδη ἐσπούδασται· ὁ γὰρ Θεμίστιος ὃς ἐγένετο ὕστερον τῶν ἀγνοητῶν ἀρχηγὸς, τῶν θεοδοσιανῶν ἐστιν ἀπόσχισμα, καὶ μίαν Χριστοῦ πρεσβεύων ὥσπερ ἐκεῖνος σύνθετον φύσιν.

Κυρίλλου ἐκ τοῦ εἰς τὸ κατὰ Ματθαῖον ὑπομνήματος.

Ἠγνοηκέναι δέ φησιν· οὐκ ἠγνόει θεός· ἀλλ' εἰ καὶ αὐτὸς καίτοι θεὸς ὢν λόγος γέγονέ τε καὶ κεχρημάτικεν ἄνθρωπος, ὡς ἀγνοεῖ τὰ ἐσόμενα κατά γε τὴν ἰδίαν φύσιν καὶ τὸ τῆς ἀνθρωπότητος μέτρον, δέχεται δὲ πολλάκις ἐξ ἀποκαλύψεως θεοῦ· καὶ μή τοι θαυμάσῃς εἰ τὰ τῆς ἀγνοίας καταδέχεται μικροπρεπῶς· εἰ γὰρ δεσπότης ὑπάρχων, κέκληται δοῦλος διὰ τὸν ἄνθρωπον, καὶ κύριος ὢν τῆς δόξης, δόξαν ὡς οὐκ ἔχων αἰτεῖ παρὰ πατρὸς, καὶ αὐτὸς ὢν κατὰ ἀλήθειαν ἡ ζωὴ καὶ πάντα ζωογονῶν, ἐν δυνάμει τοῦ πνεύματος ἐγηγέρθαι λέγεται, καὶ συναΐδιος ὢν τῷ πατρὶ, ὡς εἰς ἀρχὰς τοῦ εἶναι κεκλημένος, ὅτε καὶ καθ' ἡμᾶς γέγονεν ἄνθρωπος, ἤκουε λέγοντος αὐτοῦ υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε, καί τοι τῷ σήμερον τὸν ἐνεστηκότα καιρὸν σημαίνοντος,

Digitized by Google

τί τὸ παράδοξον εἰ καὶ ὅπερ πρέπει κατὰ φύσιν, τουτέστι τὸ ἀγνοεῖται τι τῶν ὄντων, τυχὸν μετὰ τῶν ἄλλων αὐτῆς ἰδιωμάτων οἰκειοῦσθαι κατήξιωσεν, εἰ γὰρ ἐφ' ἑνὶ δὴ τούτων σκανδαλιζόμεθα, λελύσθω μετὰ τούτου καὶ τὰ ἕτερα· καὶ τί τὸ ἐντεῦθεν; οἰχήσεται λοιπὸν τῆς μετὰ σαρκὸς οἰκονομίας ὁ λόγος, καὶ ἀνατετράφθω τὸ μυστήριον δι' οὗ καὶ σεσώσμεθα· γεγόναμεν γὰρ κατ' αὐτὸν ἡμεῖς, ἐπειδὴ γέγονε καθ' ἡμᾶς ὁ αὐτός· ὀρθῶς τοιγαροῦν νοοῦντες, εἰδέναι γὰρ φήσομεν τὸν υἱὸν καθ' ὃ καὶ νοεῖται καὶ ἔστι Θεός· ὅσον δὲ ἧκεν εἰς ἀνθρώπου φύσιν, ἐπειδὴ καὶ γέγονεν ἄνθρωπος, ψευδομυθήσει οὐδαμῶς ὅταν λέγῃ καὶ μὴ εἰδέναι· καὶ οὐχὶ τοῖς τῆς θεότητος ἀξιώμασι τὸ χρῆμα προσάψομεν, ἀλλὰ τῇ τοῦ δούλου μορφῇ, καὶ τῇ καθ' ἡμᾶς πτωχείᾳ· περιτίθησι τῷ Θεῷ λόγῳ τὰ ἀνθρώπινα· γέγονε γὰρ οὐκ ἐν ἀνθρώπῳ τινὶ κατὰ τὴν τινῶν ἀβουλίαν, ἀλλ' αὐτὸς κατ' ἀλήθειαν ἄνθρωπος, μετὰ τοῦ εἶναι καὶ φύσει Θεός.

Τοῦ αὐτοῦ ἐν ὁμιλίᾳ ἐπιγεγραμμένῃ εἰς τὸ εὐθέως δὲ μετὰ τὴν θλῖψιν τῶν ἡμερῶν ἐκείνων ὁ ἥλιος σκοτισθήσεται, καὶ σελήνη οὐ δώσει τὸ φέγγος αὐτῆς, καὶ οἱ ἀστέρες πεσοῦνται ἐκ τοῦ οὐρανοῦ· περὶ δὲ τῆς ἡμέρας ἐκείνης ἢ τῆς ὥρας, οὐδεὶς οἶδεν.

Ἀλλ' ὅταν καὶ τοῦτο λέγῃ, οὐ πάντως ἑαυτὸν σημαίνει· οὔτε γὰρ προστέθηκεν ἀκριβῶς, οὐδὲ ὁ υἱὸς τοῦ Θεοῦ, ἀλλ' ἀπολελυμένως, οὐδὲ ὁ υἱός φησιν· ἵνα τοιοῦτόν τι νοῇς· ἐσπούδαζον κατὰ ἀκρίβειαν πάντα μανθάνειν οἱ μαθηταί, καὶ ἐπεχείρουν ἵνα οὕτως εἴπω καὶ αὐτὰ περιεργάζεσθαι τὰ βάθη τοῦ κυρίου· ἀλλ' ἦν τὸ πρᾶγμα λέγειν ὑπὲρ αὐτούς· ἵνα τοίνυν μὴ ἀπαγορεύσας τὴν ἐξήγησιν ὡς ἐβούλοντο μαθεῖν, δόξῃ πως λυπεῖν τοὺς γνωσιοῦντας, ὑποσκιασμένως φησί, περὶ δὲ τῆς ἡμέρας ἐκείνης ἢ τῆς ὥρας, οὐδεὶς οἶδεν, οὐδὲ οἱ ἄγγελοι, οὐδὲ ὁ υἱός, εἰ μὴ ὁ πατήρ· ἵνα νοήσῃς οὕτως· εἰ καὶ κέκληται πρὸς υἱοθεσίαν ὁ ἄνθρωπος καὶ υἱὸς ἀνεδείχθη νέος, ἀλλὰ μὴ ζητείτω τὰ ὑπὲρ τὴν φύσιν, μηδὲ ἀξιούτω μαθεῖν ἅπερ δὴ τοῖς ἀγγέλοις ἀπεκάλυψεν ὁ πατήρ· εἰ δὲ ἄγγελος οὐκ οἶδεν, οὐδὲ ἄνθρωπος εἴσεται, κἂν εἰ κέκληται πρὸς υἱοθεσίαν.

Cap. XVIII.

Κυρίλλου ἐκ τοῦ κατὰ Ματθαῖον ὑπομνήματος.

Εἰ γὰρ καὶ ὅτι μάλιστα τὸ συμβὰν εἶχε πάντη τε καὶ πάντως θελητὸν ἦν αὐτῷ, ἀλλ' οὖν τῆς πάντων ἕνεκα σωτηρίας καὶ ζωῆς, ἑκούσιον ἐποιήσατο τὸ ἐπὶ τοῦ σταυροῦ πάθος· ᾔδει γὰρ ᾔδει τὰ ἐντεῦθεν ἐσόμενα κατορθώματα, καὶ ὅτι τὴν ἀνθρώπου φύσιν ἀνακαινοῖ, καὶ αἵματι τῷ οἰκείῳ κατακτήσεται τῷ Θεῷ καὶ πατρί· εἰ γὰρ μὴ ἐποιήσατο θελητόν, καίτοι ἀβούλητον ὂν τὸ παθεῖν, τίς ἂν νοοῖτο λοιπὸν ἡ πρόφασις τοῦ προσεύχεσθαι καὶ λέγειν αὐτόν, πάτερ εἰ δυνατόν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο; — Καὶ μεθ' ἕτερα. — Θεῖα δὲ πῶς ἀνεθέλητον μὲν ἦν τῷ σωτῆρι τὸ πάθος· ἐπειδὴ δὲ πάντη τε καὶ πάντως ὑπομεῖναι ἐχρῆν διὰ τὰ ἐκ τοῦ παθεῖν ἀγαθά, θελητὸν ἐποιήσατο δι' ἡμᾶς· οὐ γὰρ ἠπείλησε τῷ προδότῃ τὸ παντὸς ἐπέκεινα δολῶσαι κακοῦ, καὶ ὅτι κρεῖττον ἦν αὐτῷ τὸ μὴ μὴ γεννηθῆναι τὴν ἀρχήν, ἀλλ' οὐδ' ἂν ὅλως κολάσεως ἄξιον ἡγήσατό ποτε τῶν ἰδίων θελημάτων τὸν ὑπουργόν, εἴπερ ἦν αὐτῷ θελητὸν τὸ παθεῖν.

Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τὸ εἰς Ματθαῖον ὑπομνήματος βιβλίου ϛ΄.

Καὶ ἐπείγεται μὲν τὸ δεῖνα τοῦ παθεῖν ἐν αὐτῷ διὰ τὸ ἀνθρώπινον· κατευνάζεται δὲ ταράχημα τῇ τοῦ ἐνοικοῦντος λόγου ῥώμῃ τε καὶ εὐθυμίᾳ· θεία γὰρ ὅπως παραδεικνύει μὲν ἑαυτῷ τὸ ἀνθρώπινον ἡ παραίτησις· τὸ δὲ τῆς θεότητος ἀκαμπὲς ἀντέλαμψεν εὐθύς.

Digitized by Google

Σευηριανοῦ Γαβαλῶν, εἰς τὸ πάτερ παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ, καὶ εἰς τὸ πάτερ σῶσόν με ἐκ τῆς ὥρας ταύτης (1).

Προλαβὼν ὁ κύριος ἐμφράττει τῶν αἱρετικῶν τὰ στόματα, ἵνα δείξῃ ὅτι τὸ πολυπαθὲς τοῦτο ἐνεδύσατο σῶμα, τοῦτο τὸ ἀγωνιῶν τὸν θάνατον, τὸ τρέμον τοῦ θανάτου τὴν βίαν, τὸ λυπούμενον καὶ ταραττόμενον πρὸς τὸ τοῦ βίου τέλος λέγει, νῦν ἡ ψυχή μου τετάρακται, περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου· οὐχ ἡ θεότης μου, ἀπαθὲς γὰρ τὸ θεῖον καὶ ἀτάρακτον καὶ ἀδείλαντον· τὸ γὰρ πνεῦμα, φησὶν ὁ κύριος, πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής· ὥστε δύο θελήματα ἐμφαίνει, τὸ μὲν θεῖον, τὸ δὲ ἀνθρώπινον.

Θεοφίλου Ἀλεξανδρείας, ἐκ τοῦ περὶ μετανοίας λόγου.

Ὥσπερ τὸ πεινῆν καὶ τὸ διψῆν καὶ τὸ κοπιᾶν οὐκ ἴδια τῆς θεότητος ἦν, ἀλλὰ σωματικὰ γνωρίσματα, οὕτω καὶ τὸ ἵνα τί με ἐγκατέλιπες, σωματικωτέρας ἦν φωνῆς ἴδιον πεφυκότος τοῦ σώματος μηδαμοῦ θέλειν συμφύτου στερεῖσθαι ζωῆς· εἰ γὰρ καὶ αὐτὸς ὁ σωτὴρ ἔλεγε τοῦτο, ἀλλ' ᾠκειοῦτο τοῦ σώματος τὴν ἀσθένειαν, μένων δύναμις καὶ σοφία θεοῦ· ὅτι μὴ ἄλλου τινὸς ἀνθρώπου, ἀλλ' αὐτοῦ τοῦ σωτῆρος ἦν ὅπερ ἐκ Μαρίας ᾠκοδόμησεν ἑαυτῷ σῶμα· οὗ ἕνεκεν ἔλεγε τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής.

Cap. XX.

Ἰουστίνου φιλοσόφου ἐκ τοῦ περὶ τριάδος κεφαλαίου ιζ.

Πάλιν ἐρωτῶμεν, πῶς μετὰ τὴν ἕνωσιν ἀπεθεώθη τὸ σῶμα· ἆρ' εἰς θεότητος οὐσίαν μεταποιὸν ἔμεινε, καὶ ἀνθρώπου σῶμα ἄφθαρτον καὶ ἀθάνατον μετὰ τὴν ἕνωσιν τοῦ λοιποῦ διαμεῖναν; ἀλλ' εἰ μὴ τοῦτο, μένει μὲν σῶμα τὸ σῶμα, ἐπείπερ οὐ σῶμα θεός· μετείληφε δὲ θείας ἀξίας οὐ φύσεως οὐσίᾳ τοῦ λόγου· εἰ δ' ὁ λόγος μετὰ τὴν ἕνωσιν, εἰς τὴν ἑαυτοῦ φύσιν τὸ σῶμα μετέβαλε, πάλιν ὑμῖν ἐρωτητέον, πῶς εἰς τὴν οὐσίαν τοῦ λόγου μετεβλήθη τὸ σῶμα· ἆρα μεταβληθὲν εἰς τὴν οὐσίαν τοῦ λόγου προσθήκην τῇ οὐσίᾳ παρέσχεν;

Κυρίλλου ἐκ τοῦ κατὰ συνουσιαστῶν λόγου.

Καὶ μὴν καὶ ἐξ οὐρανοῦ καταβεβηκέναι λέγεται, καὶ ζωὴν διδόναι τῷ κόσμῳ· διὰ τὸν ἄνωθεν καὶ ἐξ οὐρανοῦ καταβάντα λόγον, οὗ καὶ ἰδία γέγονεν ἡ σάρξ· οὐκοῦν θεία μὲν ὡς ἰδία ἐστίν· οὐ μὴν ὅτι καὶ εἰς φύσιν θεότητος μεταβαλεῖν ὑποπτεύσει τις ἄν, εἴ γε νοῦν ἔχει τὸν εὖ βεβηκότα καὶ δογματικῆς εὐτεχνίας ἐπιστήμονα.

ΔΙΔΑΣΚΑΛΙΑΙ ΠΑΤΕΡΩΝ ΑΣ ΠΡΟΒΑΛΛΟΝΤΑΙ ΟΙ ΑΝΤΙΔΙΑΤΙΘΕΜΕΝΟΙ.

Ἀναστασίου Ἀντιοχείας ἐκ τῆς πρὸς Σέργιον τὸν γραμματικόν.

Κέκρυπται δὲ ταῖς ἀληθείαις ὑπὸ τῆς θείας φύσεως ἡ ἀνθρωπεία, κἂν ὁ λόγος διακρίνῃ τὴν οὐσίαν αὐτῆς· ὥστε μὴ ῥᾴδιον εἶναι διαγνῶναι τὴν φύσιν αὐτῆς, καταποθείσης οἷον καὶ μεταποιηθείσης πρὸς τὴν προσλαβοῦσαν· ὥσπερ τὰ τῷ πυρὶ τῆς τοῦ πυρὸς μεταλαμβάνει ποιότητος, ὡς σχεδὸν ἄγνωστον εἶναι τὴν διάκρισιν τοῦ τε μετεχομένου καὶ τοῦ μετέχοντος· οὐκ ἔστι μὲν οὖν εὑρεῖν εἰκόνα παραστατικὴν τῆς ἑνώσεως ταύτης· πλὴν πειρώμεθά τινα παραγαγεῖν μετρίως μὲν ὡς πρὸς τὸ μέγεθος τοῦ μυστηρίου, τὴν δὲ λοιπὴν ἀληθεστέραν ἐμφέρειαν ἔχουσαν· οἷον γὰρ ἄν τις εἰκάσαι πάντα τὸν ἐκτὸς οὐρανοῦ ἀέρα πεπερατῶσθαι,

(1) Extat hic locus armeniace et latine in oratione Severiani nuper edita a cl. Auchero armenio, qui graece quoque citari hoc fragmentum in concilio rom. sub Martino I. animadvertit. (ed. Coleti T. VII. p. 299.)

Digitized by Google

μᾶλλον δὲ πῦρ εἶναι, κόκκον δὲ σινάπεως ἢ κέγχρου ἐμβεβλῆσθαι τῷ τοσούτῳ πυρί, ἀνάγκη κἀκεῖνον πρὸς τὸ ἐπικρατοῦν πεπονθέναι, ὡς μὴ δοκεῖν ἕτερον εἶναι τὸ πῦρ, εἰ καὶ τῆς οὐσίας ὁ λόγος ὑφίστηκεν· οὕτω καὶ ἡ ἀνθρωπεία φύσις ἑνωθεῖσα τῷ θεῷ λόγῳ κατεκρατεῖτο τοσοῦτον, ὡς μὴ δοκεῖν ἔτι φύσιν ἀνθρώπου εἶναι· ταύτῃ τε λέγειν τοὺς πατέρας τεθεῶσθαι μὴ ἀποκτῆσαι τὴν φύσιν· εἰ δὲ καὶ ὅτι τοσοῦτον ἀνεκρατήθη τὴν οὐσίαν, δεῖ γε σώζειν τὴν διαφοράν· οὐ γὰρ κατὰ πρῶτον λόγον ἑαυτῆς ἐξέστη· καὶ γὰρ καὶ ἡ θεία φύσις μεμένηκεν ἀναλλοίωτος ἐν τῇ τοῦ φυράματος ἡμῶν προσλήψει ὅπερ πᾶσα παρίστησιν ἡ θεόπνευστος γραφή.

Τοῦ αὐτοῦ.

Ἀλλ' ἡ ἕνωσις μίαν ὑπέδειξεν ἡμῖν τὴν προσκύνησιν, τοῦ τε θεοποιήσαντος καὶ τοῦ θεοποιηθέντος· μία γάρ ἐστιν ἀχώριστος ὑπόστασις· οὐ τῶν φύσεων ἀλλοιωθεισῶν, οὐδὲ τῶν ἰδιοτήτων κατὰ πρῶτον λόγον ἀμειφθεισῶν, ἀλλὰ κατὰ τὸν τῆς ἀνακράσεως ἵν' οὕτως εἴπω τρόπον, καθ' ὃ ἂν εἴποι τις αὐτὸν θεὸν καὶ ἄνθρωπον, καὶ ὅλον θεὸν καὶ ὅλον ἄνθρωπον.

Θεοδότου Ἀγκύρας [διαβέβληται *].

Οἷον ὅταν σιδήρῳ τὸ πῦρ ἢ χαλκῷ ἢ ἀργύρῳ ἢ ξύλῳ βαρεῖ συναφθῇ ἡνίκα καὶ ταῦτα εἰς τὴν πυρὸς ἰδέαν μεθίστανται· ἐνταῦθα γὰρ τῆς ἑκατέρου ἰδέας εἰς τὸ ἕτερον μετάδοσις γίνεται, οὐδ' ἑτέρου τῶν συνελθόντων ὑπομείναντος σύγχυσιν· καὶ γὰρ ὁ σίδηρος, καὶ εἰ πῦρ γεγονώς, καὶ τὸ πῦρ μόνον πῦρ, βάρος ἔχει σιδήρῳ ὃ τινι τοιούτῳ γενόμενον συμμιγές· καὶ ἔστι τὸ αὐτὸ σίδηρόν τε καὶ πῦρ, ἑκατέρου τὴν ἐνέργειαν ἀσυγχύτως δεξάμενον· καὶ γὰρ καὶ εἰ βαρὺ τὸ αὐτὸ ὑπομεῖναν, σιδήρου καὶ πυρὸς εἰς αὐτὸν συνημμένων.

Σχόλιον.

Δέδεικται διὰ πάντων, ὡς οὐ κατὰ μεταβολὴν φύσεως ἢ τροπὴν ἢ ἀλλοίωσιν ἢ σύγχυσιν ἡ τοῦ σὰρξ κυρίου τεθεῶσθαι λέγεται καὶ θεὸς ὀνομάζεται, ἀλλὰ κατὰ τὴν οἰκονομικὴν ἕνωσιν, καθ' ἣν ἀδιασπάστως καὶ καθ' ὑπόστασιν τῷ θεῷ ἥνωται· λέγει μὲν γὰρ ὁ θεολόγος Γρηγόριος οὕτως ἐν τῷ εἰς τὸ πάσχα λόγῳ· τέλειον δὲ οὐ διὰ τὴν θεότητα μόνον ἧς οὐδὲν τελειότερον, ἀλλὰ καὶ διὰ τὴν πρόσληψιν τὴν χρισθεῖσαν θεότητι, καὶ γενομένην ὅπερ τὸ χρῖσαν, καὶ θαρρῶ λέγειν ὁμόθεον. Καὶ πάλιν ἐν τῷ, Χριστὸς δὲ διὰ τὴν θεότητα· χρῖσις γὰρ αὕτη τῆς ἀνθρωπότητος, οὐκ ἐνέργεια κατὰ τοὺς ἄλλους χριστοὺς ἁγιάζουσα, παρουσίᾳ δὲ ὅλου τοῦ χρίοντος, καὶ ἔργον ποιῆσαι θεὸν τὸ χριόμενον, καὶ ἄνθρωπον ἀκοῦσαι τὸ χρῖσαν· ὥσπερ οὖν τὴν ἐνανθρώπησιν τοῦ λόγου χωρὶς μεταβολῆς καὶ τροπῆς γενέσθαι ὁμολογοῦμεν, οὕτω καὶ τὴν θέωσιν γενέσθαι τῆς σαρκὸς δοξάζομεν· ὁ γὰρ αὐτὸς καὶ ἀνθρωπισθέντα τὸν λόγον ἐδίδαξε, καὶ Διονύσιος ὁ θεσπέσιος ἀνδρωθέντα, καὶ πάντες οἱ διδάσκαλοι σαρκωθέντα· καὶ ἑκάτερα εὐσεβῶς λαμβανόμενα, τὴν ὑποστατικὴν ἡμῖν ταυτότητα ὑποφαίνουσιν οὐ τῶν φύσεων τὴν εἰς ἄλληλα μεταβολήν, μὴ γένοιτο, καθὼς καὶ διὰ τῶν προκειμένων μαρτυριῶν ἀποδέδεικται· καὶ ἄνθρωπος γὰρ γεγενῆσθαι λέγεται ὁ θεὸς λόγος διὰ τὸ ἑνωθῆναι σαρκί, καὶ θεὸς καὶ ὁμόθεος ἡ αὐτοῦ σὰρξ διὰ τὴν πρὸς αὐτὸν τὸν λόγον ὁμοίως ἀπαρασπαστάτην καὶ καθ' ὑπόστασιν ἕνωσιν· καὶ δῆλον ὅτι θάτερον αὐτῶν ὥσπερ ἂν ἐκλάβωμεν, οὕτως ἀνάγκη καὶ τὸ ἕτερον νοεῖσθαι κατὰ τὴν ὀρθὴν τῶν πατέρων παράδοσιν· οὔτε οὖν διὰ τὸ σαρκωθῆναι ὁ λόγος τῶν ὅρων ἐξέστη τῆς οἰκείας θεό-

* Nimirum, ut puto, ceu *supposititum repudiatur*, cuiusmodi aliud tributum Theodoto scriptum νοθείας insimularunt secundae synodi nicaenae patres. Sane hoc fragmentum mihi non occurrebat (nisi festinans oculus omnia non vidit) inter Theodoti ancyrani scripta apud Gallandii bibliothecam T. IX. Vocabulum tamen διαβέβληται ab antiquiore codice abest.

ντος, οὔτε τῶν προσόντων αὐτῇ θεοπρεπῶν αὐχημάτων, οὔτε μὴν ἡ σὰρξ θεωθεῖσα, τῶν ἑαυτῆς ἐστέρηται φυσικῶν ἰδιωμάτων· μεμενήκασι γὰρ καὶ μετὰ τὴν ἕνωσιν αἵ τε φύσεις ἀσύμφυρτοι, καὶ αἱ τούτων ἰδιότητες ἀλώβητοι· τὸ δὲ πάλιν τῆς θείας ἐνεργείας ἡ τοῦ κυρίου σὰρξ καὶ τὸ ἐνδυναμοῦν τῷ λόγῳ καὶ τὰ λοιπὰ θεοπρεπῆ διὰ τὴν πρὸς τὸν λόγον ἀπλουστάτην ἕνωσιν, οὐδαμῶς τῶν κατὰ φύσιν ἰδίων ἔκπτωσιν ὑποστᾶσα ἐνεργειῶν· καὶ αὐτὸς ὁ τῆς ἀληθείας ἐχθρὸς δείγνυσι Σευῆρος· φησὶ γὰρ ἐν τῇ ἀπολογίᾳ τῇ ὑπὲρ τοῦ φιλαλήθους πρὸς τῷ ἑκατοστῷ τεσσαρακοστῷ τρίτῳ κεφαλαίῳ, οὕτω· πᾶν γὰρ ὅπερ ὑπάρξαι τῇ σαρκί φαμέν, ἔσται τὸ ἰᾶσθαι τοὺς ἐν ἀῤῥωστίαις· εἴ τε τὸ ἐνδυναμοῦν τῷ λόγῳ κατὰ τὴν ἐν πάσαις ταῖς θεοσημείαις ἐνέργειαν, εἴ τε τὸ ὑπὲρ φύσιν ἀναστῆναι διὰ τὴν πρὸς αὐτὸν τὸν λόγον ἕνωσιν αὐτῇ τοῦτο ὑπάρξαι φαμέν. Ὁ μέντοι θειότατος Κύριλλος ἐν τῷ ια τῶν ἑαυτοῦ σχολίων οὕτως ἐδίδαξε. — καταβῆναι δὲ φαμὲν ἐξ οὐρανοῦ τὸν υἱὸν τοῦ ἀνθρώπου, καθ' ἕνωσιν οἰκονομικήν, τοῦ λόγου προσνέμοντος τῇ ἰδίᾳ σαρκὶ τῆς ἑαυτοῦ θεοπρεποῦς δόξης τὰ αὐχήματα. — Καὶ πάλιν ἐν τῷ ια σχολίῳ. — Ὅτι δὲ ἀσύγχυτοι μεμενήκασιν αἱ φύσεις ἤγουν ὑποστάσεις, ἐντεῦθεν εἰσόμεθα· τὸ γάρ τοι χρυσίον ἐπαληλιμμένον τῷ ξύλῳ μεμένηκεν ὅπερ ἦν· καταπλουτεῖ μὲν τὸ ξύλον τῆς χρυσίου τὴν δόξαν, πλὴν οὐκ ἀπέστη τοῦ εἶναι ξύλον. — Ἀκούεις ὅτι οὐκ ἀπέστη τοῦ εἶναι ξύλον τὸ ξύλον; πῶς οὖν δυνατὸν φρονεῖν περὶ αὐτοῦ, ὅτι τοῦ χρυσίου τοῦ ἐπ' αὐτῷ οὐ διαφέρει; Καὶ αὖθις εἰς τὸ κατὰ Ματθαῖον ἐν τῷ δευτέρῳ βιβλίῳ ὁ αὐτός. — Ἅγιον μὲν γὰρ ὁμολογουμένως ἐστὶ τὸ σῶμα τοῦ Χριστοῦ, καὶ πᾶσαν ἔχον κατὰ πάσης νόσου τὴν δύναμιν· ἀλλ' ἦν τε καὶ ἔστιν ἅγιον, οὐκ ἐπείπερ ἁπλῶς νοοῖτο σὰρξ, ἐν μόνοις οὖσα τοῖς ἰδίοις λόγοις, ἀλλ' ἔστι ναὸς τοῦ κατοικοῦντος ἐν αὐτῇ θεοῦ λόγου, ἁγιάζοντος τὴν ἰδίαν σάρκα διὰ τοῦ ἰδίου πνεύματος.

(1) Confer Concil. ed. Coleti T. VI. p. 578.

Cap. XXI.

Ἰουστίνου φιλοσόφου καὶ μάρτυρος ἐκ τοῦ περὶ τριάδος δεκάτη λόγου, κεφαλαίῳ δεκάτη.

Τότε δὴ τῶν οὐρανῶν οὐκ ἀποστὰς ὁ θεὸς δηλονότι καὶ λόγος, πρὸς ἡμᾶς κατελήλυθεν· οὐ γὰρ ἦν σώματος ἡ κατάβασις, ἀλλὰ θεϊκῆς ἐνεργείας ἡ βούλησις· μεσιτείᾳ δὲ παρθένῳ ἐκ δαυιτικοῦ καταγομένης γένους, διὰ τὰς πρὸς αὐτὸν ἐπαγγελίας πρὸς τὴν τῆς οἰκονομίας χρείαν χρησάμενος, καὶ ταύτης τῇ νηδύϊ εἰσδὺς οἷον τὸ θεῖος σπόρος, πλάττει ναὸν ἑαυτῷ τέλειον ἄνθρωπον· μέρος τι λαβὼν τῆς ἐκείνης φύσεως, καὶ εἰς τὴν τοῦ ναοῦ διάπλασιν οὐσιώσας.

Ἐκ τοῦ ἰδίκτου Ἰουστινιανοῦ (1).

Εἴ τις οὐσιώδη ἤγουν φυσικὴν ἕνωσιν ἐπὶ τοῦ κατὰ Χριστὸν μυστηρίου λέγων οὐχ οὕτω τοῦτο νοεῖ, ὡς τῆς φρικτῆς οἰκονομίας τὰς δύο οὐσίας ἤτοι φύσεις μίαν ὑπόστασιν ἑνωσάσης, ἀλλ' ἐκ τούτου μίαν φύσιν ἤγουν οὐσίαν τοῦ Χριστοῦ γεγενῆσθαι λέγει, ὁ τοιοῦτος ἀνάθεμα ἔστω.

Ἐκ τοῦ Ἡρακλειανοῦ πρὸς Σωτήριχον.

Οἶσθα δὲ ὁσιώτατε ὅτι καὶ οἱ τῆς ἐν Χαλκηδόνι συνόδου, εἰς μίαν ὑπόστασιν τὴν συνδρομὴν τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος φασὶ γεγονέναι, ὅπερ οὐδὲν ἕτερόν ἐστιν ἢ τὴν καθ' ὑπόστασιν ἕνωσιν ἀναφανδὸν ὁμολογῆσαι.

Ἀναστασίου Ἀντιοχείας, ἐκ τοῦ περὶ ἐνεργειῶν λόγου.

Τῶν δύο φύσεων ἡ συνδρομὴ μίαν ὑπόστασιν ἀπετέλεσεν· ἓν μὲν γὰρ ἡ ἀνθρωπεία φύσις, ἤτοι τὸ κοινὸν εἶδος ἐξ οὗ τὸ ἡμέτερον προσελήφθη φύραμα· τὸ πρότερον οὐκ ὂν ἐν ἰδικῇ ὑποστάσει, προσληφθὲν δὲ τὴν αὐτὴν

ὑπόστασιν ὑπογράφεται τῆς προσλαβόντος· ὥσπερ γὰρ τῷ πατρὶ φυσικῶς ὁ λόγος ἥνωται, οὕτω καὶ ἡμῖν καὶ ὁ λόγῳ τοῦ πατρὸς διήρηται, καθ' ὑπόστασιν γὰρ, οὐ ταυτῇ καὶ ἡμῶν· οὐ γάρ ἐστιν ἡμῖν ὥσπερ ἐμφυὴς, οὕτω καὶ ὁμοϋπόστατος, ὅτι μηδὲ τῷ ἰδίῳ πατρί· οὐ γὰρ ταυτὸν φύσις τε καὶ ὑπόστασις· ἑαυτῷ δὲ καθ' ὑπόστασιν ἥνωται, ἐκεῖνο μείνας ὅπερ πρὸ τῶν αἰώνων ὑπῆρχεν υἱός· ἣν δὲ πρὸς ἑαυτὸν ἔχειν ἕνωσιν τήν τε πρὸς τὸν πατέρα τήν τε πρὸς ἡμᾶς ἔχειν δύναται· καθ' ὑπόστασιν γάρ ἐστιν ἡ τῶν φύσεων ἕνωσις, καὶ ἡ αὐτὴ αὐτοῦ ἐστιν ὑπόστασις· υἱὸς γὰρ ὢν, πάλιν υἱός ἐστι καὶ τὴν ἀνθρωπίνην ἑλόμενος ἑαυτῷ φύσιν· οὐ γὰρ ὑπόστασιν ἑτέραν ἑαυτῷ λαβὼν ἥνωσεν, ἀλλὰ φύσιν ἥρμοσεν ἀφθάρτως τῇ ἑαυτοῦ ὑποστάσει· καὶ ἔστι καὶ τοῦτο Θεὸς καὶ ἄνθρωπος κατ' οὐσίαν ὁ αὐτὸς δὲ καθ' ὑπόστασιν μόνος υἱὸς καὶ Χριστὸς καὶ κύριος· οὕτως οὐκ ἔστι χωρὶς ὑποστάσεως οὐσία, κἂν ὁ λόγος τῆς οὐσίας ἕτερός ἐστιν, ἄλλος δὲ τῆς ὑποστάσεως· κοινὴν γὰρ τὴν μίαν καὶ τὴν αὐτὴν ὑπόστασιν αἱ συναφθεῖσαι πρὸς τὴν ἄρρητον ἕνωσιν ἔχουσι δύο φύσεις· διὸ προσθήκην τῇ ἁγίᾳ τριάδι οὐκ ἐποίησε· προσθήκης γὰρ ἀνεπίδεκτός ἐστιν ἄλλως τε δὲ καὶ ἡ τριὰς ὑποστάσεών ἐστιν· ἡ γὰρ οὐσία μοναδική ἐστι· τῆς οὖν ὑποστάσεως τῆς αὐτῆς μεινάσης τοῦ υἱοῦ, πῶς ἀμαθῶς ληροῦσι τινὲς τερατευόμενοι τετράδα λέγειν ἀντὶ τριάδος τοὺς τὴν ἀλήθειαν ὁμολογοῦντας τῶν ἐν Χριστῷ φύσεων, ἢ τῶν ἐν αἷς ἐστιν ὁ Χριστός; εἰ μὲν ὑποστῆναι πάντοτε καθ' ἑαυτὴν τὴν ἔμψυχον τοῦ κυρίου σάρκα λέγομεν, ἢ ἰδίᾳ καὶ ἀνὰ μέρος αὐτὴν ἐνεργεῖν διεβεβαιούμεθα, καλῶς ἡμᾶς τετράδα ἀντὶ τριάδος λέγειν ὑπελάμβανον· εἰ δὲ μετὰ τοῦ συντεθειμένου καὶ συνυφεστῶτος αὐτῇ λόγου ἐνεργεῖν αὐτὴν πάντοτε ὁμολογοῦμεν ἀχωρίστως, καὶ οὔτε προϋφεστάναι λέγομεν τῆς πρὸς αὐτὸν ἑνώσεως, ἀλλ' ἐν αὐτῷ τὸ εἶναι λαβοῦσαν αὐτὴν γινώσκομεν, κακῶς ἡμᾶς συκοφαντοῦσιν οἱ ἀβασανίστως ἅπερ βούλονται ὁριζόμενοι· ἐξ ὑποδείγματος δὲ τὸ λεγόμενον σαφέστερον δείξομεν· ὑπόθου τρεῖς εἶναι στήλας χαλκᾶς· καὶ τὴν μίαν ἐκπυρωθεῖσαν ἄκρως καὶ ῥάβδον ἐν τῇ χειρὶ αὐτῆς προστεθεῖσαν· εἶτα ἐπειδὴ αἱ ἄλλαι δύο ἀβλαβεῖς τοῖς προσαπτομένοις εἰσίν, αὐτὴ δὲ ἀνέπαφος διὰ τὴν λαβρότητα τῆς ἐκπυρώσεως, παρὰ τοῦτο τέσσαρες στῆλαι εἰσὶ καὶ οὐ τρεῖς; ἢ τῆς ἰδίας ἐξέστη φύσεως ὁ χαλκὸς πυρωθεὶς, οὐχὶ δὲ μᾶλλον προσθήκην μὲν ἔλαβε τὴν τοῦ πυρὸς οὖν καὶ τὴν ἐνέργειαν ἐκτήσατο τῆς οὐσίας τε καὶ ἐνεργείας καὶ δυνάμεως; καὶ ἄλλως δὲ τὸ λεγόμενον διασαφηνίσωμεν· ἔστω εἶναι τρεῖς πάλιν ἀνδριάντας χαλκοῦς· καὶ ἐπιχρισθῆναι κηρῷ, ἤγουν ἀναμαχθῆναι, ἢ τυχὸν χρυσῷ ἢ πηλῷ, ὥστε σκεπασθῆναι τὸν χαλκὸν καὶ ἀφανῆ γενέσθαι τῇ ὄψει· λέγει αὐτὸν βλαβῆναί τις εἰς τὴν ἰδίαν οὐσίαν, διὰ τὴν τοῦ κηροῦ ἢ τῶν ἄλλων πρόσληψιν, οὐ λέγει δὲ σώζεσθαι ἐν αὐτῷ τὰς δύο τοῦ τε χαλκοῦ καὶ τοῦ κηροῦ ἢ τοῦ χρυσοῦ φύσεις ἀλωβήτως; εἶτα μὴ δυνάμεθα λέγειν τέσσαρας γίνεσθαι αὐτοὺς ἀνδριάντας διὰ τὴν γενομένην προσθήκην· οὐκοῦν τῷ αὐτῷ παραδείγματι ὡς ἐκ τῶν μικρῶν τὰ μεγάλα στοχάσασθαι, καὶ ἀμυδραῖς τισὶν εἰκόσι τὴν ἀλήθειαν ἐνοπτρίσασθαι, νοήσεις καὶ ἐπὶ Χριστοῦ δύο μὲν τὰς φύσεις, μίαν δὲ τὴν ὑπόστασιν· καὶ προσθήκην τῇ τριάδι γενέσθαι οὐδαμῶς ὑποπτεύσεις.

Cap. XXII.

Διονυσίου ἐκ τοῦ περὶ ἐρωτικῶν ὕμνων.

Ἔστι μὲν γὰρ ἄλογον καὶ σκαιὸν τὸ μὴ τῇ δυνάμει τοῦ σκοποῦ προσέχειν, ἀλλὰ ταῖς λέξεσι· καὶ τοῦτο οὐκ ἔστι τῶν τὰ θεῖα νοεῖν ἐθελόντων ἴδιον· ἀλλὰ τῶν ἤχους ψιλοὺς ὑποδεχομένων, καὶ τούτους ἄχρι τῶν ὤτων ἀδιαβάτους ἔξωθεν δεχομένων, καὶ οὐκ ἐθελόντων εἰδέναι τί μὲν ἡ τοιὰ λέξις σημαίνει, πῶς δὲ ταύτην χρὴ καὶ δι' ἑτέρων ὁμοδυνάμων καὶ ἐκφαντικωτέρων λέξεων διασαφῆσαι, προσπασχόντων δὲ στοιχείοις καὶ γραμμαῖς ἀνοήτοις καὶ συλλαβαῖς καὶ λέξεσιν ἀγνώστοις, μὴ διαβαί-

Digitized by Google

νεύσεις εἰς τὸ τῆς ψυχῆς αὐτῶν νοερὸν, ἀλλ' ἔξω περὶ τὰ χείλη καὶ τὰς ἀκοὰς αὐτῶν βομβουμένας.

Πρὸς τοὺς λέγοντας ὅτι ἀδιαφόρως ἐχρήσατο τοῖς δυσὶ τούτοις ὀνόμασι φύσεως τε καὶ ὑποστάσεως ἐπὶ τῆς ἑνώσεως καὶ διαφορᾶς καὶ ἰδιότητος τῶν ἑνωθέντων Κύριλλος ὁ θεσπέσιος, ὅτι καθάπερ λέγει φύσεων ἕνωσιν καὶ διαφορὰν καὶ ἰδιότητα, οὕτω καὶ ὑποστάσεων ὡς ταυτὸν σημαίνοντος, καθὰ διϊσχυρίζονται, τοῦ τῆς φύσεως καὶ τῆς ὑποστάσεως ὀνόματος. Εὐβούλου ἐπισκόπου Λυστρῶν, ἐκ τοῦ λόγου τοῦ πρὸς τὸν χάρτην τὸν ἐπιδοθέντα τῷ εὐσεβεστάτῳ βασιλεῖ Ἡρακλείῳ ὑπὸ Ἀθανασίου τοῦ τῶν Συριανῶν ψευδεπισκόπου, συντεθέντος αὐτῷ.

Οὐ ταυτὸν οἶδεν ὁ τῆς ἁγιωτάτης ἐκκλησίας νόμος τε καὶ ὅρος σημαίνειν, τὸ τῆς φύσεως καὶ ὑποστάσεως ὄνομα· ἀλλ' οὔτε δὲ οἱ ἁγιώτατοι πατέρες τοῦτο διδάσκουσιν, οὔτε γὰρ ἔστιν ἡ φύσις ὑπόστασις· ἐπειδὴ ἡ μὲν φύσις κοινὸν καὶ γενικὸν πρᾶγμα σημαίνει, ἡ δὲ ὑπόστασις τὸ ἰδικὸν, τουτέστι τὸ καθ' ἕνα· κεχρῆσθαι δὲ πολλάκις τὸν μακάριον Κύριλλον καὶ ἑτέρους πατέρας ἀδιαφόρως τούτοις τοῖς δυσὶν ὀνόμασιν ἐπὶ ἑνὸς σημαινομένου, οὐκ ἀμφιβάλλομεν· κατεχρήσαντο γὰρ τῇ μὲν τὴν ὑπόστασιν ἀντὶ οὐσίας καὶ φύσεως, τῇ δὲ τὴν φύσιν ἀντὶ ὑποστάσεως ἐκφωνοῦντες ἐπὶ τῆς θείας ἐνανθρωπήσεως· οὐχ ὡς ταυτὸν γινώσκοντες τὴν φύσιν τε καὶ ὑπόστασιν· εἴωθε γὰρ ἐξ ἀρχῆς οὐ μόνον ἡ θεία γραφὴ, ἀλλὰ καὶ οἱ ἁγιώτατοι τῆς ἐκκλησίας διδάσκαλοι ἀδιαφορεῖν περὶ τὰς λέξεις καταχρηστικῶς ἔσθ' ὅτε παρ' αὐτῶν ἐκφωνουμένων· ἐπειδὴ οὐδὲν ἀδικοῦσιν αἱ λέξεις, ὅταν ἄλλως ἔχῃ τὰ πράγματα· τὰ τοίνυν καταχρηστικῶς λεγόμενα, οὐκ εἰσὶ κυρίως ἃ λέγονται, ἐπειδὴ ἐκ καταχρήσεως ἔχουσι τὴν κλῆσιν, οὔτε δὲ νοοῦνται ὡς ὀνομάζονται· ἡνίκα τοιγαροῦν ὑποστάσεων ἕνωσιν λέγει ὁ ἐν ἁγίοις Κύριλλος καὶ διαφορὰν καὶ ἰδιότητα, ἀντὶ φύσεων κέχρηται τῇ φωνῇ· τὸ ὑφεστὸς τῶν πραγμάτων τῶν κυρίως ἑνωθέντων, διὰ τοῦ ὀνόματος τῆς ὑποστάσεως δεικνὺς σαφῶς, καὶ διδάσκων, ὡς οὐχ ὁμοιοτήτων τινῶν ἢ μορφῶν ἀνυποστάτων γέγονεν ἕνωσις, ἀλλὰ τῶν πραγμάτων· καὶ τῶν εἰρημένων μάρτυς ἀξιόπιστος αὐτὸς ὁ τῆς φωνῆς πατήρ· ταύτην γὰρ ἐξηγούμενος ἐν τῇ ἀπολογίᾳ τοῦ πρώτου ἀναθεματισμοῦ πρὸς τὰς Θεοδωρήτου μέμψεις, λέγει τάδε. — Ἐπειδὴ δέ φησι παρὰ τὴν τοῦ θεοῦ μορφῆς ἀναληφθῆναι δούλου μορφὴν, διδασκέτω παρελθὼν εἰ δίχα τῶν ὑποστάσεων μόναι καθ' ἑαυτὰς αἱ μορφαὶ συνῆλθον ἀλλήλαις· ἀλλ' οἶμαι καταβάλλει καὶ αὐτὸς αὐτόθεν· οὔτε γὰρ ὁμοιότητες ἁπλῶς ἀνυπόστατοι καὶ μορφαὶ συνέβησαν ἀλλήλαις καθ' ἕνωσιν οἰκονομικὴν· ἀλλὰ πραγμάτων ἤγουν ὑποστάσεων γέγονε σύνοδος· ἵνα καὶ ὁ τῆς ἐνανθρωπήσεως λόγος ἀληθῶς γεγενῆσθαι πιστεύηται. — Καὶ μετ' ὀλίγα. — Ἐπυθόμην δὲ ἂν ἡδέως αὐτοῦ, πότερον δὴ τὴν ἕνωσιν τοῦ λόγου πρὸς τὸν ἄνθρωπον ἤγουν πρὸς τὸ ἅγιον σῶμα ψυχωθὲν νοερῶς πεπρᾶχθαί φησι κατὰ ἀλήθειαν ἢ τοῖς ἄλλοις ὁμοῦ καὶ αὐτὸς κατὰ συνάφειαν σχετικὴν δουλοπρεποῦς καὶ ἀνυποστάτου μορφῆς, πρὸς ἐνυπόστατον καὶ θείαν μορφὴν, ἢ καὶ καθ' ἕτερον τρόπον κατὰ μόνην τῆς υἱότητος τὴν ὁμωνυμίαν, καὶ κατὰ μόνην τῆς υἱότητος τῶν ἀξιωμάτων.

Ὅτι δὲ οὐ ταυτὸν εἶναι γινώσκει ὁ διδάσκαλος κατ' ἐκείνους τὸ ἐκ τῶν δύο τούτων ὀνομάτων φύσεως φημὶ καὶ ὑποστάσεως σημαινόμενον· ἀλλὰ διάφορα ἐπίσταται τὰ δι' αὐτῶν δηλούμενα, κἂν καταχρηστικῶς πολλάκις ἐκφωνῇ τὰς λέξεις, δῆλον ἐξ ὧν ἐν ἑτέροις ἐδίδαξε· τοὺς μὲν διαιροῦντας ἐπὶ δύο φύσεων τὰς εὐαγγελικὰς καὶ ἀποστολικὰς φωνὰς τὰς ὑπὸ τοῦ κυρίου εἰρημένας πρὸς τοὺς ἀνατολικοὺς ἐπισκόπους γράφων, ἀσπαζόμενός τε καὶ ἀποδεχόμενος, τοὺς δὲ ὑποστάσεσι δυσὶ ταύτας διανέμοντας φανερῶς οὐκ ἀποδεχόμενος, καὶ ἀναθεματίζων καθάπερ ἔστιν εὑρεῖν καὶ ἐν τῷ τετάρτῳ κεφαλαίῳ τῶν ἀναθεματισ-

Digitized by Google

μῶν τῆς πρὸς Νεστόριον τὸν δυσσεβέστατον· καὶ οὐκ ἂν δὲ τοῦτο ἔπραττεν ὁ μακάριος ἐκεῖνος εἰ μὴ διάφορον ἠπίστατο τῶν δύο τούτων ὀνομάτων τὴν σημασίαν· ἐνταῦθα γὰρ διαῤῥήδην τῷ χαρακτηριστικῷ προσώπῳ συνέζευξε τὴν ὑπόστασιν, καθὰ ἀπαιτεῖ ὁ τῆς ἐκκλησίας ὅρος τε καὶ λόγος· καὶ φησίν· εἴ τις προσώποις δυσὶν ἤγουν ὑποστάσεσι τάς τε ἐν τοῖς εὐαγγελικοῖς καὶ ἀποστολικοῖς συγγράμμασι διανέμει φωνάς· καὶ τὰ ἑξῆς. Ἐν δὲ τῇ πρὸς Νεστόριον δευτέρᾳ ἐπιστολῇ οὕτω πάλιν ἔγραψε. — Τὰς δέ γε ἐν τοῖς εὐαγγελίοις τοῦ κυρίου καὶ σωτῆρος ἡμῶν φωνάς, οὔτε ὑποστάσεσι δυσίν, οὔτε μὴν προσώποις καταμερίζομεν· οὐ γάρ ἐστι διπλοῦς ὁ εἷς καὶ μόνος Χριστός, κἂν ἐκ δύο νοῆται, καὶ διαφόρων πραγμάτων εἰς ἑνότητα τὴν ἀληθινὴν καὶ ἀμέριστον συνενηνεγμένος. Ἐν μέν τοι τῇ πρὸς ἀνατολικοὺς ἐπιστολῇ τὰς ἐκείνων ἀναλαβὼν φωνὰς οὕτως ἔγραψε· τὰς δὲ εὐαγγελικάς τε καὶ ἀποστολικὰς περὶ τοῦ κυρίου φωνὰς ἴσμεν τοὺς θεολόγους ἄνδρας, τὰς μὲν κοινοποιοῦντας ὡς ἐφ' ἑνὸς προσώπου, τὰς δὲ διαιροῦντας ὡς ἐπὶ δύο φύσεων· καὶ τὰς μὲν θεοπρεπεῖς κατὰ τὴν θεότητα τοῦ Χριστοῦ, τὰς δὲ ταπεινὰς κατὰ τὴν ἀνθρωπότητα παραδιδόντας. Καὶ ἐπάγει ὁ Κύριλλος. — Ταύταις ὑμῶν ἐντυχόντες ταῖς ἱεραῖς φωναῖς, οὕτω τε καὶ ἑαυτοὺς φρονοῦντας εὑρίσκοντες, εἷς γὰρ κύριος, μία πίστις, ἓν βάπτισμα, ἐδοξάσαμεν τὸν τῶν ὅλων σωτῆρα Χριστόν, ἀλλήλοις συγχαίροντες ὅτι ταῖς θεοπνεύστοις γραφαῖς καὶ τῇ παραδόσει τῶν ἁγίων ἡμῶν πατέρων συμβαίνουσαν ἔχουσι πίστιν, αἵ τε παρ' ἡμῖν καὶ παρ' ὑμῖν ἐκκλησίαι. — Ἀποδέδεικται τοίνυν τοῖς εὐγνωμονεῖν βουλομένοις ἡ ἀλήθεια, καὶ περὶ τῆς αὐτῶν φιλονεικίαν μάταιον. Ὅτι δὲ πολλάκις καταχρηστικῶς λέγονταί τινα ὀνόματα παρὰ τῆς θείας γραφῆς καὶ τῶν ἁγίων πατέρων, αὐτὸν τὸν μακάριον Κύριλλον παράγομεν μάρτυρα, καὶ Γρηγόριον τὸν ἁγιώτατον τῆς νυσσαέων ἐπίσκοπον, τὸ αὐτὸ προσμαρτυροῦντας, εἴπερ τούτοις πεισθήσονται· ἀρκοῦσι γὰρ καὶ οὗτοι μόνοι ἀντὶ πάντων τῶν ἁγίων πατέρων παραγόμενοι.

Τοῦ αὐτοῦ μετ' ὀλίγα.

Ἐπειδὴ οὖν πολλάκις διισχυρίζονται οἱ τὸν προτεταγμένον χάρτην ἐκδεδωκότες καὶ τὰ ἀπὸ καρδίας λαλοῦντες, διαβεβαιούμενοι ὡς ταυτὸν σημαίνει τὸ τῆς φύσεως καὶ ὑποστάσεως ὄνομα, οὐκ ἄτοπον οὔτε λόγου ἐκτὸς, ἐν ἐρωτήσεως σχήματι πρὸς αὐτοὺς εἰπεῖν· λέγετε ὦ οὗτοι, τί δὴ τὸ ἐκ τῶν ὀνομάτων τούτων φύσεώς τε καὶ ὑποστάσεως ἐπὶ Χριστοῦ σημαινόμενον καθ' ὑμᾶς ταυτὸν; οὐσία ἡ τὸ κοινὸν ἢ γενικὸν σημαίνουσα καὶ κατὰ πολλῶν ὑποστάσεων ἤγουν ἀτόμων κατηγορουμένη, ἢ χαρακτηριστικὸν πρόσωπον; εἰ μὲν οὖν εἴπετε ὅτι οὐσίαν οἶδε σημαίνειν τὸ τῆς φύσεως καὶ ὑποστάσεως ὄνομα, τί δήποτε μάτην ἀποστρέφεσθε ἐν τοῖς καθηγηταῖς ὑμῶν, τὴν τῶν δύο οὐσιῶν ἐπὶ Χριστοῦ λέγειν ἕνωσιν, ταύτην ὁμολογοῦντες γεγενῆσθαι ἐκ δύο φύσεων, ὡσαύτως καὶ δύο ὑποστάσεων; ἐλεγχθήσεσθε δὲ ῥᾳδίως ἐκ τούτου καὶ μίαν οὐσίαν τὴν τὸ κοινὸν σημαίνουσαν σύνθετον φρονοῦντες ἐπὶ Χριστοῦ, ὥσπερ καὶ μίαν φύσιν ὡς ὑμεῖς φατὲ σύνθετον καὶ ὑπόστασιν, ὅπερ ὁμολογεῖν προφανῶς σὺν Σευήρῳ παραιτεῖσθε, τὴν ἰδίαν νόσον ἀποκρυπτόμενοι· εἰ δὲ τοῦτο ὡς εἰκὸς ἐκκλίνοντες ὡς βλάσφημον, οὐκ οὐσίαν μᾶλλον, ἀλλὰ πρόσωπον, ἐκ τῶν ὀνομάτων τούτων τὸ σημαινόμενον εἶναι δογματίζετε, φανήσεσθε δὲ καὶ ἄκοντες ὥσπερ ἐκ δύο φύσεων καὶ δύο ὑποστάσεων ἕνωσιν λέγοντες, οὕτω καὶ ἐκ δύο προσώπων· ὅπερ ἐστὶ τοῦ πρώτου χεῖρον ἐν βλασφημίᾳ· τῆς γὰρ Νεστορίου τῆς δυσσεβοῦς κακουργίας τὸ ἀσέβημα, ὥσπερ καὶ τὸ πρῶτον τῆς Ἀπολιναρίου κακοδοξίας.

Ἰστέον ὡς ἡνίκα ἁπλῶς καὶ ἀδιαφόρως ὁ λόγος πρόεισι, τότε οὐ μόνον τοὺς πατέρας, ἀλλὰ καὶ αὐτὴν τὴν θείαν γραφὴν συγκεχρημένην τοῖς ὀνόμασι κατ' ἐξουσίαν ἁπλῶς εὑρίσκομεν· ὁ μὲν γὰρ θεῖος ἀπόστολος τὸ ἔσω τοῦ ἀνθρώπου καὶ τὸ ἔξω, ἀνθρώπους ἐκάλεσεν· Ἡσαΐας δέ, ὄψεταί φησι πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν· Ἰωὴλ δέ, ἐκχεῶ ἀπὸ τοῦ

Digitized by Google

σωματός μου ἐπὶ πᾶσαν σάρκα· ὁ μὲν τῷ τοῦ ὅλου ὀνόματι τὰ μέρη καλέσας, οἱ δὲ τῷ τοῦ μέρους ὀνόματι τὸ ὅλον σημαίνοντες· καίτοι οὔτε σὰρξ καθ' ἑαυτὴν ἄνθρωπός ἐστιν, οὔτε ψυχὴ καθ' ἑαυτὴν ἄνθρωπος ὀνομάζεται· εἴπερ τὸ κυρίως σημαινόμενον ἑκατέρου σκοποῦμεν ὀνόματος· γράφει γὰρ Μεθόδιος κατὰ Ὠριγένους οὕτως. — Ἄνθρωπος δὲ ἀληθέστατα λέγεται κατὰ φύσιν, οὔτε ψυχὴ χωρὶς σώματος, οὔτ' αὖ σῶμα χωρὶς ψυχῆς, ἀλλὰ τὸ ἐκ συστάσεως ψυχῆς καὶ σώματος, εἰς μίαν τὴν τοῦ ὅλου.

Καὶ ὅμως οἱ μὲν προφῆται ἀντὶ τοῦ ἄνθρωπος, τὴν σάρκα ἔλαβον· ὁ δὲ ἀπόστολος τὰ μέλη καταχρηστικῶς τῇ τοῦ ὅλου ὡς εἴρηται προσηγόρευσε κλήσει· καὶ οὐδὲν ἡ τῶν ὀνομάτων ἀδιαφορία, τὴν τῶν πραγμάτων παραβλάψαι δεδύνηται ἀκρίβειαν· ὁπόταν γὰρ καιρὸς καλέσῃ ταῖς κυρίαις χρήσασθαι προσηγορίαις, καὶ ὁριστικῶς τὸν περὶ τοῦ ζητουμένου ἀποδοῦναι λόγον, τότε τὰς ὁμωνυμίας καταλείποντες, ταῖς κυρίαις κεχρήμεθα σημασίαις· ἄνθρωπον ἀληθῶς ὁριζόμενοι τὸ ἐκ ψυχῆς λογικῆς καὶ σώματος συντιθέμενον ζῶον· καὶ οὐ τὰ μέρη καλοῦμεν κυρίως ἄνθρωπον, ἀλλὰ τὸ συναμφότερον· ἐπεὶ καὶ ὁ θεῖος εὐαγγελιστὴς ταύτῃ χρησάμενος τῇ ἀδιαφορίᾳ τῶν ὀνομάτων, σάρκα γεγονέναι τὸν λόγον ἐκήρυξεν, ἀντὶ τοῦ εἰπεῖν ὁ λόγος ἄνθρωπος ἐγένετο.

Ἀλλ' οὐδὲν περὶ τούτων ζυγομαχοῦμεν· οὐ γὰρ ἐν ἤχοις καὶ φωναῖς καὶ ὀνόμασιν, ἀλλ' ἐν πράγμασιν ἡ εὐσέβεια· διὸ καὶ ἄλογον ἡγούμεθα καὶ τῶν τὰ θεῖα νοεῖν ἐθελόντων ἀλλότριον, ὡς τῶν ἱεροφαντῶν τις ἀκριβῶς εἴρηκε, τὸ μὴ τῇ δυνάμει τοῦ σκοποῦ προσέχειν, ἀλλὰ ταῖς λέξεσι· καὶ γὰρ καὶ ἡ κοινὴ συνήθεια παρὰ τὴν τοῦ πράγματος ἀκρίβειαν, ταῖς ὁμωνυμίαις ἐν πολλοῖς καὶ ἄλλοις ἁπλῶς συγχρωμένη τὸ τοῦ ἀνθρώπου σῶμα μετὰ τὴν τῆς ψυχῆς διάζευξιν, νεκρὸν ἄνθρωπον καλεῖν οἶδε· δέον εἰπεῖν ἀνθρώπου σῶμα νεκρὸν καὶ οὐχὶ ἄνθρωπον· ἀλλ' οὐκ ἐπείπερ δημώδης καὶ παλαιὰ τοιαύτη συνήθεια, ἄνθρωπον ἡμεῖς κυρίως καὶ ἀληθῶς τὸ σῶμα καθ' ἑαυτὸ ὁριζόμεθα τῆς λογικῆς χωρίζον ψυχῆς.

Τί οὖν ἄτοπον εἰ Κύριλλος ὁ θαυμάσιος τὴν ἀληθῆ τῆς οἰκονομίας παραστῆσαι βουλόμενος καὶ δεῖξαι πραγμάτων ὑφεστώτων γενέσθαι ἕνωσιν οὐκ ἀξιωμάτων, ὑποστάσεις τὰ συνελθόντα ἐκάλεσεν; ἐπεὶ τοίνυν ἴδιον τῶν ὀνομάτων καθέστηκε τὸ ἐπὶ τινῶν μὲν κυρίως λέγεσθαι, ἐπὶ τινῶν δὲ καταχρηστικῶς, ὅταν τὰ ὀνόματα κυρίως λέγηται, αὐτοτελῆ συνεισάγει τῆς ἰδίας σημασίας τὴν διάνοιαν· ὅταν δὲ καταχρηστικῶς προφέρωνται, τέλειον τὸν ὅρον ἐπιδέχεσθαι οὐ δύνανται· διά τινα γὰρ ὁμοίωσιν ἣν πρὸς κυρίως λεγόμενον ἔχει τὴν καταχρηστικὴν ἐκεῖνο ἣν κέκτηται προσηγορίαν, οἷον ἐστιν ἰδεῖν ἐπὶ τοῦ ἀνθρώπου, αὐτό τε γὰρ τὸ ζῶον κυρίως λέγεται ἄνθρωπος· καταχρηστικῶς δὲ καὶ ὁ γεγραμμένος ἄνθρωπος καλεῖται, διὰ τὴν ὁμοιότητα ἣν πρὸς τὸν κυρίως λεγόμενον ἄνθρωπον ἔχει· ὅτε μέντοι ὅρον τις ἀπαιτεῖ τοῦ ἀνθρώπου, τὸν τοῦ ζώου πάντως ἀποδώσει λόγον, οὐδὲν παραβλαπτόμενον ἐκ τοῦ μὴ καὶ τὸν γεγραμμένον ἄνθρωπον, τὸν αὐτὸν ἐπιδέχεσθαι ὅρον· ὁ μὲν γὰρ καταχρηστικῶς λέγεται ἄνθρωπος, ὁ δὲ κυρίως καὶ ἀληθῶς.

Ἀληθὲς οὖν ἐστι καὶ κύριον ὄνομα ὅπερ ἂν κατὰ τὴν τοῦ ὀνόματος δύναμιν ὁλοτελῆ καὶ πληρεστάτην τὴν διάνοιαν συνεισάγει, μηδὲν ἐλλείπουσαν πρὸς τὴν ὑπὸ τοῦ ὀνόματος δηλουμένην σημασίαν· αἱ γὰρ λέξεις, ὥς φησιν ὁ θεσπέσιος Κύριλλος ἐν τῷ δωδεκάτῳ τοῦ θησαυροῦ βιβλίῳ, οὐδὲν ἀδικοῦσιν, ὅταν ἑτέρως ἔχῃ τὰ πράγματα· καὶ Γρηγόριος δὲ ὁ τῆς Νυσσαέων ἐν τῷ ιγ' κεφαλαίῳ τῆς εἰς τὸν ἄνθρωπον κατασκευῆς, πάντα φησὶν ἃ μὴ δι' ὅλου ἐστὶν ἅπερ λέγεται, ἐκ καταχρήσεως ἔχει τὴν κλῆσιν· πλὴν ὅτι καὶ αὐτὸς Κύριλλος ὅτι τὸ ὄντως σημαινόμενον τῆς οὐσίας καὶ τῆς ὑποστάσεως δηλῶσαι ἠβουλήθη, διαῤῥήδην τὸ παράλληλα διάφορον αὐτῶν ἐκήρυξεν· ἔχει γοῦν τὰ παρ' αὐτοῦ ἐν τῷ περὶ τριάδος διαλόγῳ γεγραμμένα ἐπὶ λέξεως οὕτω. — Ἐν ἰδίᾳ φὴς οὖν εἶναι τὸν υἱὸν οὐσίᾳ παρὰ τὴν τοῦ πατρός; οὐκ ἐν οὐσίᾳ μᾶλ-

Digitized by Google

λου ἑτέρᾳ παρὰ τὸν ὡς Θεὸν, ἀλλ' ἐν ὑποστάσει τῇ ὡς υἱῷ· ἕτερον γάρ ἐστιν οὐσία, καὶ ἕτερον ὑπόστασις «ναί»· πολὺ γὰρ τὸ διάφορον εἴπερ ἐστὶν οὐσία τῶν καθέκαστα περιεκτική. Ὅτι δὲ ἓν ταυτὸν φύσις, ἐν ἰδιάζοντι ὄντι κεφαλαίῳ τῆς παρούσης βίβλου, πολλὰς εὑρήσεις μαρτυρίας.

Cap. XXIII.

Κυρίλλου ἐκ τῶν κατὰ τῶν τοῦ Νεστορίου δυσφημιῶν ἐκ τοῦ β τόμου.

Παῦσαι διαιρῶν τὰς φύσεις μετὰ τὴν ἕνωσιν.

Σχόλιον.

Ἰδοὺ τὸ διαιρεῖν ἐκώλυσε μετὰ τὴν ἕνωσιν· οὐ μὴν τὴν τούτων ἀνεῖλεν ὁμολογίαν ὁ Κύριλλος. Πάλιν δὲ ὁ αὐτὸς ἐν τῇ πρὸς Εὐλόγιον ἐπιστολῇ, μετὰ τὸ καταγράψαι Νεστόριον, καὶ δεῖξαι αὐτὸν μόνῃ συναφείᾳ τῇ κατὰ τὴν ἀξίαν καὶ ὁμοτιμίαν τὴν ἕνωσιν πρεσβεύοντα, καὶ δύο υἱοὺς καὶ δύο Χριστοὺς κηρύττοντα, ἐπάγει ἐπὶ λέξεως οὕτω ταῦτα· οἱ δ' ἐκ τῆς ἀνατολῆς κ. τ. λ.

Σχόλιον.

Ὥστε εὔδηλον ὅτι τὸ λέγειν δύο ὑποστάσεις βδελύττεται, καὶ δύο πρόσωπα, καὶ δύο προσκυνήσεις· οὐ τὸ λέγειν δύο φύσεις.

Προβλήματα τινὰ πρὸς τοὺς λέγοντας μίαν φύσιν καὶ ἀπολογία πρός τινα τῶν παρ' αὐτῶν προτεινομένων κεφαλαίων· καὶ συνηγορία ὑπὲρ τῆς συνόδου, περὶ ὧν ταύτῃ οἱ Σευήρου καταμέμφονται.

Ἐπαπορήσεις ὀρθοδόξου πρὸς τοὺς μίαν πρεσβεύοντας ἐπὶ Χριστοῦ φύσιν.

Εἰ μιᾶς φύσεως μετὰ τὴν ἕνωσιν ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός ἐστιν, εἰπὲ ποίας; τῆς λαβούσης, ἢ τῆς ληφθείσης; καὶ τί γέγονεν ἡ ἑτέρα; εἰ δ' ὑπάρχουσιν ἀμφότεραι, πῶς μία; εἰ μὴ ἐξ ἀμφοτέρων μία ἀπετελέσθη σύνθετος· εἰ δὲ τοῦτο, πῶς οὐχὶ ἑτεροούσιος ὁ Χριστὸς, τοῦ πατρὸς ἀσυνθέτου ὑπάρχοντος; εἰ οὐδέποτε δύο φύσεων ὁ Χριστὸς ὁμολογεῖται, πῶς δυνατὸν λέγειν μιᾶς μετὰ τὴν ἕνωσιν τὸν Χριστὸν; ἢ καὶ ὅλως λέγειν ἕνωσιν; εἰ δὲ ὁμολογεῖται ὁ Χριστὸς δύο φύσεων γεγονέναι, εἰπὲ πότε ἦν δύο φύσεων ὁ Χριστὸς; καὶ ἐκ πότε γέγονε μιᾶς; ὁμοούσιος ὁ Θεὸς λόγος τῇ προσληφθείσῃ σαρκὶ, ἢ ἑτεροούσιος; ἀλλ' εἰ μὲν ὁμοούσιος, πῶς οὐ γέγονε τετρὰς ἡ τριὰς, ἑτέρου παρεισκριθέντος προσώπου; τὸ γὰρ ὁμοφυὲς καὶ ὁμοούσιον, ἐπὶ τῶν πρὸς μίαν οὐσίαν ἀναγομένων ἀτόμων λέγεσθαι πέφυκε· καὶ ταῖς ὑποστάσεσι ταῖς ὑπὸ τὸ ἓν καὶ τὸ αὐτὸ εἶδος ἀναφερομέναις, τὸ ὁμοούσιον ἐπιλέγεται· ἀλλὰ τῶν ὑποστάσεων τὸ ὁμοούσιον κατηγορεῖται· εἰ οὖν ὁμοούσιος ὁ Θεοῦ λόγος τῇ σαρκὶ, δύο ἔσται ὑποστάσεων· εἰ δὲ καὶ ἑτεροούσιος ἡ σὰρξ τοῦ Θεοῦ λόγου, πῶς οὐ δύο φύσεις ὁ Χριστός;

Μίαν φύσιν τοῦ Θεοῦ λόγου σεσαρκωμένην ὁμολογεῖν ἴσως δοκεῖτε· ἀλλ' εἰ μὲν μίαν οὐσίαν τοῦ Θεοῦ λόγου καὶ τῆς σαρκὸς ἐντεῦθεν νοεῖν ἡμᾶς βούλεσθε, πῶς οἷόν τε τὸ κτιστὸν τῷ ἀκτίστῳ, καὶ τὸ ἀΐδιον τῷ ὑπὸ χρόνον εἶναι κατ' οὐσίαν ταυτόν; εἰ δὲ ὡς μιᾶς φύσεως ἐχούσης ἑτέραν ἢ ἐχομένης ὑφ' ἑτέρας τοῦτο νοητέον, τίς ὑποίσει μίαν καὶ μίαν, οὐ δύο ἀλλὰ μίαν εἰπεῖν· εἰ μία φύσις τοῦ Θεοῦ λόγου καὶ τῆς σαρκὸς, μία δὲ φύσις τοῦ Θεοῦ λόγου καὶ τοῦ πατρὸς, πῶς οὐ μία φύσις τοῦ πατρὸς καὶ τοῦ λόγου καὶ τῆς σαρκός; εἰ κατ' οὐδὲν δύο, ὁ Θεὸς λόγος καὶ ἡ σὰρξ, καὶ εἰ κατὰ πάντα ἓν ὁ Θεὸς λόγος καὶ ἡ σὰρξ, πῶς οὐκ ἔσται ὁ λόγος σὰρξ, καὶ ἡ σὰρξ λόγος; καὶ ἀΐδιος λοιπὸν καὶ τῷ πατρὶ ὁμοούσιος ὡς ὁ λόγος; εἰ δὲ οὔ, οὐ κατὰ πάντα ἓν ὁ θεὸς λόγος καὶ ἡ σάρξ· εἰ ἀδύνατον πλέον ἑνοῦσθαι τὸν λόγον καὶ τὴν σάρκα οὗ ἥνωται ὁ θεὸς λόγος καὶ ὁ πατὴρ, κατά τε εἰσὶ δύο; ἡνωμένος

δὲ ὁ Θεὸς λόγος καὶ ἡ σάρξ, κατ' οὐδὲν εἰσὶ δύο· εἰ ἐκ δύο φύσεων μία φύσις γέγονεν ὁ Χριστὸς, ὥς φατε, εἴπατε τί τὰ ἐξ ὧν ὁ Χριστός; καὶ εἰ οὐκ ἔστι ταῦτα ὁ Χριστός; ἀλλ' εἰ μία φύσις γέγονεν ἑτέρα παρὰ τὰς ἐξ ὧν ὁ Χριστὸς, εἴπατε ὁποία αὕτη, καὶ τίνι ἡ τοιαύτη φύσις ἔσται ὁμοούσιος; ἀνάγκη γὰρ τὴν μίαν φύσιν, μιᾷ τινὶ καὶ τῇ αὐτῇ εἶναι ὁμοούσιον.

Εἰ μία φύσις σύνθετος ὁ Χριστὸς μετὰ τὴν ἕνωσιν, οὐ μιᾶς δὲ συνθέτου φύσεως ὁ πατὴρ, πῶς ἔσται ὁμοούσιος τῷ πατρὶ μετὰ τὴν ἕνωσιν ὁ Χριστός; εἰ δὲ μὴ, κατὰ τὴν μίαν σύνθετον ἑαυτοῦ φύσιν τὸν Χριστὸν λέγετε ὁμοούσιον τῷ πατρί; καὶ εἰ κατ' ἐκείνην ἐστὶν ἡμῖν ὁμοούσιος ἢ κατ' ἄλλην; εἰ Θεὸς καὶ ἄνθρωπος καὶ καθ' ἡμᾶς ὁ Χριστὸς μετὰ τὴν ἕνωσιν ὁμολογεῖται, οὐ τῇ αὐτῇ δὲ φύσει ᾗ ἐστι Θεὸς, ταύτῃ ἐστὶ καὶ ἄνθρωπος, πῶς οὐ δύο φύσεις εἰσὶν, Θεὸς καὶ ἄνθρωπος ὁ Χριστός; εἰ ἀσύγχυτοι κατὰ τοὺς ἱεροὺς ἡμῶν διδασκάλους μεμενήκασιν αἱ φύσεις, θεωρεῖται δὲ καὶ ἡ τούτων διαφορὰ μετὰ τὴν ἕνωσιν καὶ οὐκ ἀνῄρηται, πάντως τῶν σωζομένων ἐν Χριστῷ δύο φύσεων μετὰ τὴν ἕνωσιν ἐστὶν ἡ διαφορά· εἰ γὰρ αἱ φύσεις οὐ σώζονται, κατὰ τίνος ἡ διαφορὰ κατηγορηθήσεται, οὐκ ἔχουσα ποσὸν ὑποκείμενον; διαφορὰν γὰρ νοηθῆναι χωρὶς ποσοῦ, ἀμήχανον· πῶς γὰρ τὸ ἓν καὶ τὸ αὐτὸ διαφέρειν ἑαυτοῦ λέγοιτο; ἀνάγκη οὖν πρὸς δήλωσιν τῆς διαφορᾶς τὸ ποσὸν ἐξειπεῖν τῶν διαφερόντων, ἵνα μὴ ψιλὸν καὶ ἀνέπλαστον ὀφθῶμεν λέγοντες τὴν διαφοράν· εἰ ἐκ θεότητος καὶ ἀνθρωπότητος λέγετε τὸν Χριστὸν συντεθεῖσθαι, καὶ ἀδιάφορον ὑμῖν ἐστὶ τὸ ἐκ θεότητος καὶ ἀνθρωπότητος λέγειν καὶ ἐκ δύο φύσεων τὸν Χριστὸν, τί τὸ κωλῦον ὑμᾶς ἐν θεότητι καὶ ἀνθρωπότητι τὸν Χριστὸν ὁμολογοῦντας, ἐν δύο φύσεσιν αὐτὸν ἀκολούθως ὁμολογεῖν, εἰ μὴ πεπλασμένως καὶ μεθ' ὑποκρίσεως τὸν ἐν θεότητι τέλειον καὶ ἐν ἀνθρωπότητι τέλειον;

Χρήσεις ἀντιθετικαὶ πρὸς τοὺς λέγοντας κατὰ τῆς ἁγίας συνόδου ὡς τέταρτον πρόσωπον ἐπεισάγει διὰ τὸ λέγειν· περί τε γὰρ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἐκδιδάσκει τὸ τέλειον, καὶ τοῦ κυρίου τὴν ἐνανθρώπησιν τοῖς πιστῶς δεχομένοις παρίστησιν.

Τιμόθεος αἴλουρος ὁ τῆς ἀληθείας ἐχθρὸς ἐν τῇ γραφείσῃ παρ' αὐτοῦ ἐπιστολῇ πρὸς Λέοντα τὸν βασιλέα διὰ τοῦ σιλεντιαρίου Διομήδους ἔφη. — Τριάδα γὰρ οἶδα τελείαν, ὁμοούσιον τῇ δόξῃ καὶ τῇ ἀϊδιότητι, οὐδὲν ἑαυτῆς πλέον ἢ ἔλαττον ἔχουσαν· τοῦτο γὰρ καὶ ἐπὶ τῆς Νικαίων οἱ μακάριοι πατέρες ἡμῶν τριακόσιοι ὀκτὼ καὶ δέκα ἐδίδαξαν, ὥσπερ ἀμέλει καὶ περὶ τῆς σαρκώσεως αὐτοῦ τοῦ κυρίου ἡμῶν καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ.

Ἀπολογία πρὸς τοὺς συκοφαντοῦντας τὴν ἁγίαν σύνοδον.

Ἐπειδή τινες ἀποστατοῦσι τῆς ἁγίας καθολικῆς ἐκκλησίας δι' αἰτίαν ἥτις αὐτοὺς καὶ πλέον συνάπτειν ὤφειλεν, οὐ φέροντες ὥσπερ τινὸς ἀναγκαίου μέλους ἐξ ἡμῶν παρασπωμένου, ἡγησάμεθα δεῖν τὰς ἀπὸ τῆς ἁγίας συνόδου τῆς ἐν Χαλκηδόνι τικτομένας αὐτοῖς ὑποψίας, ὥσπερ τινὰς ἀτμοὺς τοῦ διαβόλου διαλῦσαι· ἵνα μὴ ταῖς κατὰ τῶν ἁγίων πατέρων τῶν ἐν αὐτῇ συνελθόντων ψευδολογίαις κατεχόμενοι, τῆς πνευματικῆς αὐτῶν μητρὸς ἀποστερῶνται, φημὶ δὲ τῆς κοινῆς ἐκκλησίας· πειρῶνται γὰρ διαβάλλειν τὴν κατὰ θεοῦ γνώμην ἐν Χαλκηδόνι σύνοδον συναθροισθεῖσαν οἷα δὴ οὐκ ὀρθῶς ἔχουσαν, ἀλλὰ πατέρων πραγμάτων καινοτομίαν εἰσφέρουσαν καὶ προφάσει χρώμενοι τοιᾷδε, τῆς ἐκκλησίας ἑαυτοὺς ἀφιστῶσιν· οὓς δὴ πειρασόμεθα διδάσκειν, εἴ γε βούλοιντο δέχεσθαι, ὡς οὐκ ἀληθῶς τὰ τοιαῦτα φρονοῦσιν· οὔτε δίκαια ποιοῦντες, περὶ τοιαύτην συκοφαντίαν ἐγείροντες.

Πᾶσαν τοίνυν συνηγορίαν ἀφέντες, ἐκεῖνο μόνον καὶ πρῶτον φαμὲν, ὡς ἡ ἁγία σύνοδος ἐκείνη, διὰ πάντων συμβαίνουσα δείκνυται τῇ τε ἐν Νικαίᾳ συνόδῳ καὶ τῇ ἐν

Κωνσταντίνου πόλει τῶν ἑκατὸν πεντήκοντα ἁγίων πατέρων, ἐν οἷς περὶ τῆς τῶν δογμάτων ἀκριβείας ἠγωνίσαντο, καὶ νικῶντες τὸν στέφανον ἀνεδήσαντο· μετὰ τῆς διανοίας καὶ τῶν ῥημάτων αὐτῶν ὡς εἰπεῖν τὴν τάξιν φυλάττουσα, καὶ τύποις ἀκολουθεῖ καθάπερ νόμοις τισὶν ἀῤῥαγέσι καὶ λύεσθαι μὴ δυναμένοις· πόῤῥω φεύγουσα τὴν Εὐτυχέως μανίαν, καὶ τὸ βλάσφημον Νεστορίου στόμα μακρὰν ἑαυτῆς ἀποθεμένη, καὶ κατηγοροῦσα τῆς τούτου θρασύτητος, ὥσπερ οἱ σοφοὶ ἐκεῖνοι καὶ τῆς πίστεως συνήγοροι· ὅτι δὲ οὕτως ἔχοι, καὶ τοῦτον οἱ πατέρες ἐκεῖνοι μετὰ τῆς ἀληθείας προείλοντο τὸν ἀγῶνα, κοινὸν χαριζόμενοι κέρδος, ἐξ αὐτῆς τῆς ὑποθέσεως ἔξεστι μαθεῖν, καὶ σαφῆ τὴν μαρτυρίαν λαμβάνειν· πάντα γὰρ τὰ αὐτῶν συναγαγόντες καὶ παράλληλα θέντες ἐκείνοις, προτεθείκαμεν τοῖς βουλομένοις ὀρθῶς ἐξετάζειν, καὶ τὴν ἀλήθειαν διαγινώσκειν· τοῖς λεγομένοις τοίνυν προσέχοντες, ῥᾳδίαν λήψεσθε τὴν ἀπόδειξιν, ὡς οὐδὲ κατὰ μικρὸν ἐκβέβηκε τῆς ὀρθῆς τῶν ἁγίων πατέρων δόξης, ἡ ἐν Χαλκηδόνι γενομένη ἁγία σύνοδος.

Κυρίλλου χρήσεις τοῦ ἁγιωτάτου πάπα Ἀλεξανδρείας, αἷς συνηγορεῖ ἡ ἐν Χαλκηδόνι τετάρτη ἁγία σύνοδος· καὶ ἔκθεσις πίστεως τῆς ἐν Χαλκηδόνι ἁγίας τετάρτης συνόδου συναθροισθείσης τῶν ἑξακοσίων τριάκοντα ἁγίων πατέρων, συμφωνοῦσα ταῖς Κυρίλλου χρήσεσι.

Κυρίλλου. — Ἐδιδάχθημεν παρά τε τῆς θείας γραφῆς καὶ τῶν ἁγίων πατέρων, ἕνα υἱὸν καὶ Χριστὸν ὁμολογεῖν· ἡμεῖς γὰρ ἑνώσαντες ταῦτα, ἕνα Χριστὸν, ἕνα υἱὸν τὸν αὐτὸν, ἕνα κύριον ὁμολογοῦμεν· τέλειος ὁ αὐτὸς ἐν θεότητι, καὶ τέλειος ἐν ἀνθρωπότητι· προσδιαμαρτύρασθαι δὲ κἀκεῖνο οἶμαι· ὥσπερ γάρ ἐστιν ἐν θεότητι τέλειος ὁ ἐκ θεοῦ πατρὸς λόγος, οὕτω καὶ ἐν ἀνθρωπότητι τέλειος, κατά γε τὸν τῆς ἀνθρωπότητος λόγον· οὐκ ἄψυχον σῶμα λαβὼν, ἐμψυχωμένον δὲ μᾶλλον ψυχῇ λογικῇ. — Καὶ μετ᾽ ὀλίγα. — Θεὸν τέλειον καὶ ἄνθρωπον τέλειον ἐκ ψυχῆς λογικῆς καὶ σώματος, πρὸ αἰώνων ἐκ πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα· ἐπ᾽ ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι᾽ ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν, ἐκ Μαρίας τῆς παρθένου κατὰ τὴν ἀνθρωπότητα· ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον ἡμῖν τὸν αὐτὸν κατὰ τὴν ἀνθρωπότητα· ἐννοοῦντες τοίνυν, ὡς ἔφην, τὸν τῆς ἐνανθρωπήσεως τρόπον, ὁρῶμεν ὅτι δύο φύσεις συνῆλθον ἀλλήλαις καθ᾽ ἕνωσιν ἀδιάσπαστον ἀσυγχύτως, ἀτρέπτως· ἡ γὰρ σὰρξ, σάρξ ἐστι καὶ οὐ θεότης, εἰ καὶ γέγονε θεοῦ σάρξ, ὁμοίως καὶ ὁ λόγος θεός ἐστι καὶ οὐ σάρξ· εἰ καὶ ἰδίαν ἐποιήσατο τὴν σάρκα οἰκονομικῶς. — Καὶ μετ᾽ ὀλίγα. — Δύο τὰς φύσεις εἶναι φαμὲν, ἕνα δὲ Χριστὸν υἱὸν κύριον, τὸν τοῦ θεοῦ λόγον, ἐνανθρωπήσαντα καὶ σεσαρκωμένον· οὔτε δὲ τὴν σάρκα φαμὲν εἰς θεότητος τραπῆναι φύσιν, οὔτε μὴν εἰς σαρκὸς τὴν ἀπόῤῥητον τοῦ θεοῦ λόγου παρενεχθῆναι φύσιν· ἄτρεπτος γάρ ἐστι καὶ ἀναλλοίωτος, ὁ αὐτὸς ἀεὶ μένων κατὰ τὰς γραφάς.

Οὕτω καὶ ἐπὶ Νεστορίου. — Κἂν λέγῃ δύο φύσεις τὴν διαφορὰν σημαίνων τῆς σαρκὸς καὶ τῆς θεότητος, ἀλλ᾽ οὐ τὴν ἕνωσιν ὁμολογεῖ μεθ᾽ ἡμῶν· ἡμεῖς γὰρ ἑνώσαντες ταύτας, ἕνα Χριστὸν, ἕνα υἱὸν, ἕνα κύριον ὁμολογοῦμεν· ἐγὼ τὸ συγκεκραμμένον οὐ καταδέχομαι· ἀλλότριον γάρ ἐστι τῆς ἀποστολικῆς πίστεως, καὶ τῆς τοῦ θεοῦ ὀρθῆς παραδόσεως· ἡ γὰρ σύγκρασις, ἀφανισμὸν τῶν φύσεων ἐργάζεται· ἡ δὲ ἄῤῥητος ἕνωσις παρὰ τῶν ὀρθῶς φρονούντων ὁμολογουμένη, ἀμφοτέρας σώζει ἀσυγχύτους τὰς φύσεις, οὐχ ὡς τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν· εἰ γὰρ καὶ εἷς λέγοιτο παρ᾽ ἡμῶν ὁ μονογενὴς υἱὸς τοῦ θεοῦ σεσαρκωμένος καὶ ἐνανθρωπήσας, οὐ πέφυρται διὰ τοῦτο κατὰ τὸ ἐκείνοις δοκοῦν· οὔτε μὲν εἰς τὴν σαρκὸς φύσιν μεταπεφοίτηκεν ἡ τοῦ λόγου· ἀλλ᾽ οὔτε ἡ τῆς σαρκὸς πρὸς τὴν αὐτοῦ, ἀλλ᾽ ἐν ἰδιότητι τῇ κατὰ φύσιν, ἑκατέρου μένοντός τε ὁμοῦ καὶ νοουμένου κατά γε τὴν ἀρτίως ἡμῖν ἀποδο-

Digitized by Google

θέντα λόγον, ὁ ἀπόῤῥητος καὶ ἄφραστος ἕνωσις, μίαν ἡμῖν ἔδειξεν υἱοῦ φύσιν, πλὴν καὶ σεσαρκωμένην καὶ ὡς ἐν ἑνὶ προσώπῳ νοούμενος· εἷς γὰρ κύριος Ἰησοῦς Χριστὸς, κἂν ἡ τῶν φύσεων μὴ ἀγνόηται διαφορά· καὶ οὐκ εἰς δύο μερισθήσονται διὰ τοῦτο πρόσωπα καὶ υἱούς· ἀλλὰ μεμένηκεν εἷς καὶ ὁ αὐτὸς Ἰησοῦς Χριστός. οὕτως εὑρήσομεν τοὺς ἁγίους πεφρονηκότας πατέρας.

Τούτων τοίνυν ἀναγνωσθέντων, ὥρισεν ἡ ἁγία σύνοδος ἑτέραν πίστιν μηδενὶ ἐξεῖναι προφέρειν, ἤγουν συγγράφειν ἢ συντιθέναι, παρὰ τὴν ὁρισθεῖσαν παρὰ τῶν ἁγίων πατέρων τῶν ἐν τῇ νικαέων συναχθέντων σὺν ἁγίῳ πνεύματι· τοὺς δὲ τολμῶντας ἢ συντιθέναι πίστιν ἑτέραν, ἤγουν προκομίζειν ἢ προφέρειν τοῖς θέλουσιν ἐπιστρέφειν εἰς ἐπίγνωσιν ἀληθείας, ἢ ἐξ ἑλληνισμοῦ, ἢ ἐξ ἰουδαϊσμοῦ, ἤγουν ἐξ αἱρέσεως οἱασδήποτε, τούτους εἰ μὲν εἶεν ἐπίσκοποι ἢ κληρικοὶ, ἀλλοτρίους εἶναι τοὺς ἐπισκόπους τῆς ἐπισκοπῆς, καὶ τοὺς κληρικοὺς τοῦ κλήρου· εἰ δὲ λαϊκοὶ, ἀναθεματίζεσθαι αὐτούς.

Τῆς συνόδου.

Ἑπόμενοι τοίνυν τοῖς ἁγίοις πατράσι, ἕνα καὶ τὸν αὐτὸν ὁμολογεῖν υἱὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν συμφώνως ἅπαντες ἐκδιδάσκομεν (κ. τ. λ. — ἀναθεματίζεσθαι αὐτούς.)

Σχόλιον.

Τούτων τοίνυν οὕτως ἐχόντων καὶ τῶν πραγμάτων μονονουχὶ φωνὴν ἀφιέντων, καὶ βοώντων τὸν ἔλεγχον, τίς ἔτι φιλονεικῶν, εἰκότα ἂν πράττοι; καὶ διαβάλλων ἃ διαβολῆς εἰσὶν ἰσχυρότερα, καὶ σύνοδον αἰτιώμενος, τοῖς μὲν οὐδὲν ὑγιὲς φέρουσιν μαχομένην, Νεστορίῳ φαμὲν καὶ Ἀπολιναρίῳ καὶ τοῖς τὰ ἐκείνων φρονοῦσι τὸ καὶ ἀγαπῶσι, τοῖς δὲ ἀληθέσι καὶ ὀρθοδόξοις φίλην καὶ σύμμαχον, Κυρίλλῳ καὶ τοῖς ὁμοίοις αὐτῷ διδασκάλοις· καὶ οὐδαμοῦ τοὺς θείους ὅρους ἐκβαίνουσα, οὐδέ τι καίτοιον ἢ ἴδιον τίκτουσαν, ἀλλὰ τῶν παλαιῶν ἐχομένην ὥσπερ θεμελίου τινὸς ἀκινήτου· καὶ συντόμως εἰπεῖν τὰ ἐν Χαλκηδόνι πραχθέντα τοῖς ἐν Νικαίᾳ συνελθοῦσιν ἁγίοις πατράσι, πᾶσαν ἐπιδείκνυνται συμφωνίαν, ἐκείνων μὲν νομοθετούντων, τῶν δὲ ἐν Χαλκηδόνι τὰ τούτων ἐξηγουμένων καὶ πρὸς ἑρμηνείαν ἀγόντων, καὶ κηρυττόντων μίαν εἰδέναι πίστιν, καὶ σύμβολον ἓν καὶ μόνον, ὅπερ ἐκεῖνοι παρέδωκαν· καὶ προλάμπειν μηδὲ ὁριζάντων τῆς ὀρθῆς καὶ ἀμωμήτου πίστεως, τὴν ἐκτεθεῖσαν παρὰ τῶν ἁγίων καὶ μακαρίων πατέρων τῶν ἐν Νικαίᾳ· καὶ ταύτην μηδὲ εἶναι ἀπαρεγχείρητον προσταξάντων· καὶ τούτῳ τῷ παρ' αὐτῶν ἐκτεθέντι συμβόλῳ παρακελευσαμένων τοὺς ἐκ πλάνης ἢ δόξης ἑτέρας ἐπιστρέφοντας, καὶ σωτηρίας τυχεῖν βουλομένους, ὁπλίζεσθαί τε καὶ παιδεύεσθαι· οἰκεῖον κατάδηλον ἐντεῦθεν, ὡς πρὸς τὴν ἐν Νικαίᾳ τὸν πόλεμον ἔχει· δείκνυνται δὲ καὶ τῷ ἁγίῳ Κυρίλλῳ ἀντιτασσόμενος· τοῖς γὰρ ἐκείνου σεμνύνονται λόγοις, ὡς φράσουσι, καὶ διὰ πάντων σύμφωνοι τῇ τε πίστει καὶ τοῖς ῥήμασιν ἐκείνου φαίνονται.

Ἐπειδὴ τοίνυν διὰ πάντων ἀπεδείξαμεν τὴν ἐν Χαλκηδόνι σύνοδον τοῖς τῶν ἁγίων πατέρων δόγμασι συμβαίνουσαν, καὶ μηδὲν ἀλλότριον τούτων ἔχουσαν, καταμάθωμεν καὶ ὅπως καὶ οἵαις αἱρέσεσιν ἀντιμάχονται καὶ ὅσον ἀγῶνα τίθενται τὰ ἀσεβῆ καταλῦσαι δόγματα· σκοπήσωμεν δὲ οὕτως.

Τῆς συνόδου.

Ἕνα καὶ τὸν αὐτὸν ὁμολογεῖν υἱὸν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, συμφώνως ἅπαντες ἐκδιδάσκομεν. — Ἐν τούτοις τὸν σαμοσατέα Παῦλον καὶ Νεστόριον τοὺς ἀνθρωπολάτρας ἐπιστομίζει, τοὺς εἰς υἱῶν δυάδα τολμῶντας αὐτὸν διαιρεῖν καὶ ἄλλον μὲν λέγοντας φύσει τὸν λόγον, ἄλλον δὲ πάλιν υἱὸν χάριτι τὸν Χριστὸν Ἰησοῦν ἑνώσει καὶ συναφείᾳ τῇ πρὸς τὸν κατὰ φύσιν υἱὸν, τὴν υἱότητα κεκτημένον· καὶ οὐχ ὁμολογοῦντας ἕνα καὶ τὸν αὐτὸν υἱὸν, ἄσαρκον

μὲν πρὸ τῆς καταβάσεως καὶ ἐνανθρωπήσεως, πεπερασμένον δὲ τὸν αὐτὸν μετὰ τὴν δι' ἡμᾶς κατάβασίν τε καὶ ἐνανθρώπησιν· τέλειον τὸν αὐτὸν ἐν θεότητι, καὶ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι· τέλειον ἐν θεότητι εἰποῦσα, τὴν ἀρειανῶν ἀπωθεῖται βλασφημίαν· οὗτοι γὰρ θεὸν μὲν καὶ λέγουσι τὸν Χριστὸν, ἀτελῆ δὲ καὶ ἐλάττονα τοῦ πατρὸς θεὸν αὐτὸν δογματίζουσιν· ἐν δὲ τῷ εἰπεῖν καὶ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι, οὐ μόνον τὴν ἀρειανῶν, ἀλλὰ καὶ τὴν ἀπολλιναρίων διελέγχει ἔννοιαν· ὁ μὲν γὰρ Ἄρειος ἄψυχον παντελῶς σάρκα ἀνειληφέναι τὸν λόγον ληρωδεῖ· ὁ δὲ Ἀπολινάριος ἔμψυχον μὲν, ἄνουν δὲ· ὡς ἀμφοτέρους ἀτελῆ τὴν ἀνθρωπότητα τοῦ κυρίου ἀμαθῶς δογματίζοντας.

Θεὸν ἀληθῶς, καὶ ἄνθρωπον ἀληθῶς τὸν αὐτόν. — Ταῦτα διὰ Μανέντα, ὃς θεὸν μὲν ψιλὸν αὐτὸν ὁμολογεῖ καὶ οὐκ ἄνθρωπον· καὶ διὰ Παῦλον τὸν σαμοσατέα, καὶ Ἀρτεμᾶν, οὕτως ἀρνοῦνται αὐτοῦ τὴν θεότητα, ψιλὸν ἄνθρωπον αὐτὸν ὁμολογοῦντες. — Ἐκ ψυχῆς λογικῆς καὶ σώματος. — Ἐνταῦθα πάλιν Ἀπολιναρίῳ πολεμεῖ τῷ λέγοντι μὴ ἐσχηκέναι νοερὰν ψυχὴν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἀλλὰ ζωτικὴν μόνον· καὶ διὰ Μανέντα καὶ Οὐαλεντῖνον τοὺς ἀρνουμένους αὐτοῦ τὴν σάρκωσιν. — Ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα. — Δι' Εὐνόμιον καὶ Ἄρειον, τοὺς τὸν μονογενῆ λόγον τοῦ πατρὸς κτίσμα καὶ δοῦλον ἀσεβῶς καταγγέλλοντας. — Ὁμοούσιον ἡμῖν τὸν αὐτὸν κατὰ τὴν ἀνθρωπότητα. — Διὰ Μαρκίωνα καὶ Μανέντα καὶ Οὐαλεντῖνον καὶ Εὐτυχῆ, τοὺς δοκήσει καὶ φαντασίᾳ ψιλῇ λέγοντας αὐτὸν ἄνθρωπον ὀφθῆναι, οὐ μὴν ἀληθείᾳ καὶ κατὰ φύσιν ἀνθρωπίνην ὁμολογοῦντας ἄνθρωπον αὐτὸν γεγονέναι.

Πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα. — Διὰ Σίμωνα καὶ Εὐνόμιον καὶ Ἄρειον τοὺς ἀρνουμένους αὐτοῦ τὴν ἐκ πατρὸς πρὸ αἰώνων γέννησιν. — Ἐπ' ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς παρθένου καὶ θεοτόκου, κατὰ τὴν ἀνθρωπότητα. — Διὰ Φωτεινὸν καὶ Θεόδωρον καὶ Νεστόριον, τοὺς λέγοντας αὐτὸν ἄνθρωπον ἐξ ἀρετῆς κατὰ προκοπὴν θεοποιηθέντα, καὶ οὐχὶ θεὸν ἐκ θεοῦ ὄντα, καὶ διὰ φιλανθρωπίαν ἀτρέπτως ἄνθρωπον γεγενημένον. — Ἐν δύο φύσεσιν ἀσυγχύτως, ἀτρέπτως, ἀδιαιρέτως, ἀχωρίστως γνωριζόμενον· οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν, σωζομένης δὲ μᾶλλον τῆς ἰδιότητος ἑκατέρας φύσεως· καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συντρεχούσης. — Δι' Ἀστέριον καὶ Ἀπολινάριον καὶ Εὐτυχῆ, οἳ τὰς διαφόρους φύσεις, τοῦ λόγου λέγω καὶ τῆς σαρκὸς αὐτοῦ, μίαν φύσιν ἀποτετελεκέναι φασὶν, ἐκστάσας δηλονότι τῆς ἑαυτῶν ἰδιότητος· ὡς κατὰ τὸν ἐκείνων λόγον, μηκέτι δύνασθαι σώζεσθαι τοῦ Χριστοῦ μήτε τὸ παθητὸν διὰ τὸ ἀπαθὲς αὐτοῦ τῆς θεότητος, μήτε τὸ ἀπαθὲς, διὰ τὸ παθητὸν αὐτοῦ πάλιν τῆς ἀνθρωπότητος.

Ἰστέον ὡς οἱ ἐν Χαλκηδόνι πανταχοῦ τῆς Νεστορίου αἱρέσεως τὴν ἔννοιαν φεύγοντες, πρὸ τοῦ ἐν δύο φύσεσιν εἰπεῖν, ὥσπερ ἀσφαλιζόμενοι τῶν συκοφαντησάντων τὴν διαστροφὴν, ὅτι καὶ τὸν αὐτὸν ἔφασαν Χριστὸν υἱὸν μονογενῆ· καὶ τηνικαῦτα ἐπήγαγον τὸ ἐν δύο φύσεσιν ἀσυγχύτως καὶ ἀτρέπτως· καὶ μὴν καὶ ἀδιαιρέτως γνωριζόμενον· καὶ ἄλλα δέ τινα κατὰ τῆς ἁγίας συνόδου οἱ λεγόμενοι Ἀκέφαλοι προβάλλονται· καὶ δεῖ καὶ τούτων μνημονεῦσαι. Λέγουσιν ὅτι οὐ δεῖ δέξασθαι τὴν ἐν Χαλκηδόνι σύνοδον, διότι οἱ ἐν αὐτῇ συναχθέντες, παλίμβουλοι ἦσαν καὶ ἀλλόκοτοι· οἱ αὐτοὶ γὰρ καὶ ἐν Βυζαντίῳ καθεῖλον τὸν Εὐτυχῆ, καὶ ἐν Ἐφέσῳ τοῦτον ἐδέξαντο μετὰ Διοσκόρου, ἀποβαλλόμενοι Φλαβιανόν· καὶ πάλιν οἱ αὐτοὶ ἐν Χαλκηδόνι Φλαβιανὸν μὲν ἐδέξαντο, τὸν δὲ Διόσκορον ἀπεβάλλοντο. Πρὸς τοῦτο λέγομεν ὅτι οὐ δεῖ λογίζεσθαι τὰ ἀνθρώπινα· πολλοὶ γὰρ πολλάκις τοῦτο φαίνονται πεπονθότες· ἴσως καὶ τῶν δοκούντων πλὴν εἰ καὶ πέντε ἢ πλείους ἢ τριάκοντα ἀπὸ τῶν ἑξακοσίων τριάκοντα ἐφάνησαν παλίμβουλοι ὥς φατε, οὐ διὰ τοῦτο χρὴ ἑξακοσίων ἀνδρῶν σύνοδον ἀποβάλλεσθαι, ὅπου

γε οἱ αὐτοὶ καὶ ἐν Ἐφέσῳ συνέδρευσαν μετὰ Διοσκόρου, καὶ οὐ δεῖ τούτους ἀποβάλλεσθαι τὴν τοιαύτην σύνοδον.

Πάλιν λέγουσιν ὅτι εἰ κατὰ τὴν φωνὴν Ἀνατολίου Κωνσταντινουπόλεως, οὐ διὰ πίστιν καθῃρέθη ὁ Διόσκορος, τί μὴ δέχεσθε αὐτόν; καὶ λέγομεν ὅτι ἐπ' ἀληθείας οὐ διὰ πίστιν καθῃρέθη. Πάλιν λέγουσιν ὅτι αἱρετικοὺς ἐδέξατο ἡ αὐτὴ σύνοδος, καὶ οὐ δεῖ δέξασθαι αὐτήν· φασὶ δὲ περὶ Θεοδωρίτου καὶ Ἴβα· καὶ λέγομεν ὅτι οὐ πρότερον ἐδέξατο αὐτούς, ἕως οὗ ἀνεθεμάτισαν Νεστόριον. Ἀλλὰ πάλιν ἀπεροῦσιν ὅτι διὰ τί μὴ ἀπῄτησαν Θεοδώρητον ἀναθεματίσαι τὰ ἴδια συγγράμματα κατὰ Κυρίλλου; καὶ λέγομεν πρὸς τοῦτο ὅτι οὐκ ἔδει αὐτοὺς τῇ συνόδῳ τοῦτο ἐγκαλέσαι, ἀλλὰ τῷ ἁγίῳ Κυρίλλῳ· κοινωνίαν γὰρ ποιήσας πρὸς τοὺς ἀνατολικοὺς καὶ πρὸς αὐτὸν Θεοδώρητον, οὐκ ἀπῄτησεν αὐτὸν ἀναθεματίσαι τὰ οἰκεῖα συγγράμματα· ὃ οὖν οὐκ ἐποίησεν ὁ ἅγιος Κύριλλος, ἡ σύνοδος μὴ ποιήσασα, ἐγκαλεῖσθαι οὐκ ὤφειλε· καί τοι ὃ οὐκ ἐποίησεν ἐκεῖνος, ἐποίησεν αὕτη, ἀπαιτήσασα αὐτὸν ἀναθεματίσαι Νεστόριον. εἰ δὲ καὶ θῶμεν ὅτι αἱρετικοὶ ἦσαν, οὐδ' οὕτως ἡ σύνοδος διὰ τούτους ἀπόβλητος· ἰδοὺ γὰρ ἡ ἐν Νικαίᾳ ἐδέξατο ἑπτὰ αἱρετικούς, καὶ πρὸ τούτων Ἀρειανούς, καὶ μετὰ ταῦτα ἐπιμείναντας τῇ αἱρέσει· καὶ οὐ διὰ τοῦτο λέγεται σύνοδος τῶν τριακοσίων ἕνδεκα, ἀλλὰ τῶν τριακοσίων δέκα καὶ ὀκτώ· ὅπου γε καὶ Ἰουβενάλιος Ἱεροσολύμων, καὶ ἄλλοι ἱκανοὶ ἐπίσκοποι εἰς τὴν ἐν Ἐφέσῳ σύνοδον εὑρεθέντες μετὰ Διοσκόρου, εὑρέθησαν ἐν Χαλκηδόνι· καὶ οὐ διὰ τοῦτο ἀποβάλλονται ἐκεῖνοι τὴν σύνοδον ἐκείνην, ἀλλ' ὅτι καὶ ἁγιάζονται.

Θεοφίλου ἐπισκόπου
ἐκ τῆς πρὸς μοναχοὺς ἐπιστολῆς.

Ὁ Χριστὸς ἐνανθρωπήσας, καὶ ἡμῶν καὶ τῷ πατρὶ μεσιτεύσας, οὔτε τὴν πρὸς αὐτὸν ὁμοούσιον ὁμοιότητα κατέλειψεν, οὔτε τῆς πρὸς ἡμᾶς ἀλλότριος γέγονε κοινωνίας· ἀλλ' ἀόρατος ὢν Θεός, καὶ ὁρώμενος ἄνθρωπος, δούλου μορφῇ σκεπόμενος, καὶ κύριος τῆς δόξης παρὰ τῶν εὐαγγελιζομένων ὡμολογεῖτο.

Θεοφίλου ἐπισκόπου
ἐκ τοῦ εἰς τὸ πάσχα κατὰ Ὠριγένους.

Ὅθεν σταυρὸν ἀναδέχεται τυπτόμενος, κολαφιζόμενος, μαστιζόμενος· ὅπως μὲν οὓς ἐδίδαξατο μαθητὰς ἀδρανεῖς ἀποδείξῃ, ἐναντία κατὰ τὸν τοῦ ἀγῶνος ἐνεργήσας καιρόν· καὶ βλάπτεται μὲν οὐδὲν ἡ θεότης αὐτοῦ, κεντεῖται δὲ τὸ σῶμα καὶ σταυρῷ παραδίδοται· καὶ Θεὸς ἀβλαβὴς ἐν παθητῷ μένων σώματι, ἀγῶνος ἡμῖν ἀρετῆς θαυμάσιον ὑπογράφει τύπον· ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καθαρὰν ἑαυτὸν ὑπὲρ ἡμῶν θυσίαν τῷ πατρὶ προσένεγκεν.

Θεοφίλου ἐπισκόπου
ἐξ ἐπιστολῆς κατὰ Ὠριγένους.

Εἷς υἱὸς πατρός τε καὶ ἡμῶν μεσίτης, οὔτε τῆς ἡμετέρας κεχώρισται κοινωνίας· ὁ καὶ ἄνθρωπος ὁρατός, καὶ Θεὸς ἀόρατος, τῇ μορφῇ τοῦ δούλου κρυπτόμενος καὶ κύριος τῆς δόξης τῇ τῶν πιστῶν ὁμολογίᾳ δεικνύμενος· οὐδὲ γὰρ ἀπεστέρησεν αὐτὸν ὁ πατὴρ τοῦ ὀνόματος τοῦ κατὰ τὴν φύσιν αὐτοῦ μετὰ τὸ ὑπὲρ ἡμῶν γενέσθαι καὶ ἄνθρωπον καὶ πτωχόν· οὐδὲ ἐν τῷ Ἰορδάνῃ ποταμῷ βαπτισθέντα, ἑτέρῳ ὀνόματι βαπτισθέντα, ἀλλὰ μονογενῆ υἱόν· σὺ εἶ ὁ υἱός μου ὁ ἀγαπητός, ἐν ᾧ εὐδόκησα· οὔτε ἡ πρὸς ἡμᾶς ὁμοιότης εἰς τὴν τῆς θεότητος μεταβέβληται φύσιν, οὔτε μὴν ἡ θεότης εἰς τὴν ὁμοίωσιν τῆς ἡμετέρας φύσεως μετηλλάγη.

Πρόκλου ἐπισκόπου Κωνσταντινουπόλεως
ἐκ τοῦ εἰς τὰ γενέθλια τοῦ Χριστοῦ λόγου.

Τόκος παράδοξος· ἀρχὴ καὶ οὐκ ἀρχὴ τοῦ τεχθέντος· τῆς μὲν γὰρ ἀνθρωπότητος γέγονεν ἀρχή, ἡ δὲ θεότης ἔμεινεν ἄναρχος, μορφὴ μορφὴν προσλαβοῦσα· καὶ ἡ τριὰς οὐκ ἐπλεόνα-

Digitized by Google

σιν εἰς τετράδα· δύο φύσεων σύνοδος, καὶ ἑνὸς υἱοῦ τόκος, λόγου καὶ σαρκὸς ἀσύγχυτος ἕνωσις· καὶ ὁ γεννηθεὶς χθὲς κατὰ σάρκα, Θεός ἐστιν ἐκ πατρὸς καὶ ἄνθρωπος ἐξ ἐμοῦ.

Ἀθανασίου ἐπισκόπου
ἐκ τοῦ εἰς τὸ ὁ λόγος σὰρξ ἐγένετο.

Καὶ ὥσπερ πτύσαντος αὐτοῦ, καὶ ἐκτείναντος χεῖρα, καὶ φωνήσαντος Λάζαρον, οὐκ ἐλέγομεν ἀνθρώπινα εἶναι τὰ κατορθώματα, εἰ καὶ διὰ τοῦ σώματος ἐγένοντο, ἀλλὰ Θεοῦ· οὕτως ἐὰν τὰ ἀνθρώπινα λέγηται περὶ τοῦ σωτῆρος ἐν τῷ εὐαγγελίῳ, πάλιν εἰς τὴν φύσιν τῶν λεγομένων ὁρῶντες, καὶ ὡς ἀλλότρια Θεοῦ πάντα τυγχάνοντα, μὴ τῇ θεότητι τοῦ λόγου ταῦτα λογιζώμεθα, ἀλλὰ τῇ ἀνθρωπότητι αὐτοῦ· εἰ γὰρ καὶ ὁ λόγος σὰρξ ἐγένετο, ἀλλὰ τῆς σαρκὸς ἴδια τὰ πάθη.

Τοῦ μακαρίου Ἰωάννου
ἐπισκόπου Κωνσταντινουπόλεως
πρὸς Φαντασιανοὺς λέγοντος.

Ἀλλὰ τίς ὁ ψυχρὸς λόγος αὐτῶν καὶ καταγέλαστος; μορφὴν δούλου ὅτι τὸ λέντιον ἔλαβεν διαζωσάμενος, καὶ ἔνιψεν τοὺς πόδας τῶν μαθητῶν· τοῦτο μορφὴ δούλου ἐστίν. Ἀλλ' οὐκ ἔστι τοῦτο μορφὴ δούλου, ἀλλ' ἔργον δούλου· ἕτερον δὲ ἐστὶν ἔργον δούλου λαβεῖν. Διὰ τί γὰρ οὐκ εἶπεν, ἔργον ἐποίησεν δούλου, ὃ σαφέστερον ἦν; οὐδαμοῦ δὲ ἐν τῇ γραφῇ μορφὴ ἀντὶ ἔργου εἴρηται· πολὺ γὰρ τὸ μέσον· τὸ μὲν γὰρ φύσεως ἐστί, τὸ δὲ ἐνεργείας· καὶ ἐν τῇ συνηθείᾳ δὲ οὐδαμοῦ τὴν μορφὴν ἀντὶ ἔργου λέγοντες λαμβάνομεν.

Ἰωάννου ἐπισκόπου εἰς τὸν σταυρόν.

Οἶδα Χριστὸν πεινάσαντα, καὶ οἶδα Χριστὸν ἐκ πέντε ἄρτων καὶ δύο ἰχθύων θρέψαντα πενταχισχιλίους χωρὶς γυναικῶν καὶ παίδων. Οἶδα Χριστὸν διψήσαντα, καὶ οἶδα Χριστὸν ὕδωρ εἰς οἶνον μεταβαλόντα. Οἶδα Χριστὸν πλεύσαντα, καὶ οἶδα Χριστὸν ἐπὶ τῶν ὑδάτων περιπατήσαντα. Καὶ τὸ μὲν ὑπάγω τῇ θεότητι, τὸ δὲ ἀνθρωπότητι.

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου.

Χριστὸν δὲ ὅταν ἀκούσῃς, μὴ τὸν Θεὸν λογίσῃς μόνον, μηδὲ τὴν ἔνσαρκον οἰκονομίαν μόνον, ἀλλὰ τὸ συναμφότερον, καὶ τὸν Θεὸν λόγον καὶ τὴν ἔνσαρκον οἰκονομίαν.

Τὰ τριάκοντα κεφάλαια
τοῦ μακαρίου Λεοντίου κατὰ Σευήρου.

α. Εἰ τὰ πάντῃ ταυτὰ μιᾶς ἐστι φύσεως, αὐτὰ δὲ ταῦτα καὶ μία φύσις λέγεται, πῶς τὰ μὴ πάντῃ ταυτὰ κατὰ φύσιν, μιᾶς ἂν εἴη φύσεως, ἢ μία φύσις λεχθήσεται; ἀλλὰ μὴν οὐδέποτε πάντῃ ταυτὸν καὶ κατ' αὐτοὺς ἡ τοῦ Χριστοῦ θεότης τῇ κατ' αὐτοὺς ἀνθρωπότητι· οὐκ ἄρα μιᾶς ταῦτα ἂν εἴη φύσεως, ἢ μία φύσις λεχθήσεται ταῦτα μετὰ τὴν ἕνωσιν.

β. Ὧν μία ἡ φύσις, κοινὸς ὁ λόγος· ὧν δὲ κοινὸς ὁ λόγος, καὶ ἡ ὕπαρξις ὁμοούσιος· οὐδέποτε δὲ καὶ κατὰ ταυτὸν ὁμοούσιος ἡ θεότης τοῦ Χριστοῦ τῇ ἀνθρωπότητι· οὐκ ἄρα εἷς ποτε τούτων ὁ λόγος· ὧν δὲ μηδέποτε εἷς ὁ λόγος, τούτων ἄρ' αἱ φύσεις δῆλον ὅτι διάφοροι.

γ. Εἰ ἐκ θεότητος καὶ ἀνθρωπότητος λέγοντες, καὶ ἐκ δύο φύσεων λέγουσιν, καὶ ταυτὸν αὐτοῖς σημαίνειν ἄμφω δοκεῖ, πῶς ἐν θεότητι καὶ ἀνθρωπότητι λέγοντες μετὰ τὴν ἕνωσιν, οὐκ ἐν δύο φύσεσι λέγειν ἐκ τῶν παρ' αὐτῶν δοθέντων ἀναγκασθήσονται; ταυτὸ γὰρ καὶ ἐνταῦθα τὸ ἐξ ἀμφοῖν δηλούμενον.

δ. Εἰ ἐκ δύο φύσεων τὸν Χριστὸν λέγοντες, ἐκ θεότητος καὶ ἀνθρωπότητος λέγουσιν, καὶ ἐκ θεότητος καὶ ἀνθρωπότητος λέγοντες, ἐκ δύο φύσεων αὐτὸν λέγουσιν· θεότητα δὲ καὶ ἀνθρωπότητα μετὰ τὴν ἕνωσιν λέγουσιν, δύο ἄρα φύσεις καὶ αὐτοὶ τοῦ Χριστοῦ καὶ μετὰ τὴν ἕνωσιν λέγουσιν· εἰ δὲ τὸ λέγειν δύο φύσεις ἐν τῷ Χριστῷ μετὰ τὴν ἕνωσιν ἀρνοῦνται, τὸ ἄρα λέγειν

Digitized by Google

θεότητα Χριστοῦ καὶ ἀνθρωπότητα μετὰ τὴν ἕνωσιν ἀρνοῦνται.

ε. Εἰ ἀσύγχυτα ἐν τῇ ἑνώσει τὰ συνελθόντα γινώσκουσι, δύο δὲ τὰ συνελθόντα καὶ κατ' αὐτὸν ἐστι, πῶς τὰ ἐν τῇ ἑνώσει μὴ συγχυθέντα δύο, καὶ μετὰ τὴν ἕνωσιν οὐ δύο γνωρίζουσιν; εἰ δὲ δύο γνωρίζουσι, πῶς οὐχ ὁμολογοῦσιν; εἰ δὲ ὁμολογοῦσι, πῶς ἀριθμεῖν ταῦτα παραιτοῦνται, ὧν τὴν τῆς φύσεως ἰδιότητα ἀσύγχυτον μετὰ τὴν ἕνωσιν ἐπίστανται; ὃ γὰρ ὁμολογοῦσι, φησὶν ὁ θεῖος Βασίλειος, καὶ ἀριθμείτωσαν.

ϛ. Εἰ ἐκ δύο μὲν φύσεων λέγουσι τὸν Χριστὸν, δύο δὲ φύσεις αὐτὸν οὐ λέγουσιν, ἐκ τούτων μὲν, οὐχὶ δὲ καὶ ταῦτα, λέγουσι τὸν Χριστόν· εἰ δὲ μὴ, ἐξ ὧν συνίστανται Χριστὸν, καὶ ἐν τούτοις γνωρίζειν αὐτὸν ἀξιοῦσιν· εἰ γὰρ μὴ ἐν αὐτῷ τὰ ἐξ ὧν αὐτὸς, ἢ οὐδαμοῦ, ἢ ἐν ἑτέρῳ δηλονότι, καὶ ἔν τινι παρ' αὐτόν· καὶ τίς οὗτος, σαφῶς διδασκέτωσαν.

ζ. Εἰ ἐπὶ τῶν ὁμοουσίων ἡ μία φύσις λεγομένη ταυτότητα τῶν ὑποκειμένων δηλοῖ προηγουμένως, πῶς ἐπὶ τῶν ἑτεροουσίων αἱ δύο φύσεις οὐ τὸ διάφορον ἀλλὰ τὸ κεχωρισμένον ἀναγκαίως σημαίνουσιν;

η. Εἰ πάντη τε καὶ πάντως ὁ ἀριθμὸς τὴν διαίρεσιν συνεισφέρει, ὁ ἀριθμὸς ἄρα ἔσται τῆς διαιρέσεως αἴτιος, οὐχ ἡ διαίρεσις τοῦ ἀριθμοῦ· καὶ δυοῖν ἀνάγκη θάτερον, ἢ μηδὲν ἀριθμεῖσθαι τῶν ἡνωμένων, ἢ μηδὲ ἡνῶσθαι τῶν ἀριθμουμένων· καὶ πῶς οὐ καταγέλαστον τοιαύτην ἐξουσίαν τῷ ἀριθμῷ διδόναι; παντὸς ἀριθμοῦ τὸ ποσὸν τῶν πραγμάτων οὐ τὴν φύσιν ἢ τὴν σχέσιν τούτων σχέσιν παριστᾷν πεφυκότος.

θ. Εἰ ἡ ἕνωσις καὶ τὰ ἡνωμένα, τῶν πρός τι· τὰ δὲ πρός τι, καὶ ἀεὶ ἅμα· ἅμα οὖν καὶ ἀεὶ ἡ ἕνωσις καὶ τὰ ἡνωμένα· εἰ δὲ τὰ ἡνωμένα παύσηται, καὶ ἡ ἕνωσις ἅμα παύσηται (1).

ι. Εἰ ὁ ἀριθμὸς πάντως χωρίζει τὰ ἀριθμούμενα, οὐχ ὁ τῶν φύσεων μόνος ἀριθμὸς χωρίσει τὰς φύσεις, ἀλλὰ καὶ ὁ τῶν ἰδιοτήτων χωρίσει πάντως ἀριθμός· πῶς τοίνυν ἰδιότητας λέγοντες, οὐχὶ καὶ αὐτοὶ τῇ αἰτίᾳ τῆς διαιρέσεως ὑποκείσονται;

ια. Εἰ ἔμπαλιν κατὰ τὸν θεῖον Γρηγόριον τῆς τριάδος ἔχει ἡ κατὰ τὸν σωτῆρα οἰκονομία, τρεῖς δὲ μὲν τὰς ὑποστάσεις, μίαν δὲ φύσιν ἐπὶ τῆς θεολογίας ὁμολογοῦμεν, πῶς οὐ δύο μὲν φύσεις, μίαν δὲ ὑπόστασιν ἐπὶ τῆς κατὰ τὸν σωτῆρα οἰκονομίας δώσομεν; εἴ περ τὸ ἔμπαλιν, τοῦ παντός ἐστι κατὰ τὸ ὅλον ἀντιστροφή.

ιβ. Εἰ τὸ ἄλλος καὶ ἄλλος ἀντωνυμία ὑποστάσεων κατὰ τὸν αὐτὸν θεολόγον, τὸ δὲ ἄλλο καὶ ἄλλο ἀντωνυμία φύσεων, ἀεὶ δὲ τὸ πρότερον ἐπὶ τῆς θεολογίας, ἀεὶ ἄρα τὸ δεύτερον ἐπὶ τῆς οἰκονομίας· εἰ δὲ ἀεὶ τὸ δεύτερον ἐπὶ τῆς οἰκονομίας, ἀεὶ ἄρα αἱ φύσεις, ἐπεὶ ἀεὶ καὶ αἱ κατ' αὐτῶν ἀντωνυμίαι.

ιγ. Εἰ ταυτὸν τὸ ἄλλο καὶ τὸ φύσιν ἄλλην εἰπεῖν, ἀεὶ δὲ τὸ πρότερον ἀληθεύει ἐπὶ τῆς θεότητος τοῦ σωτῆρος καὶ τῆς ἀνθρωπότητος, ἀεὶ ἄρα τὸ δεύτερον ἐπὶ τῶν αὐτῶν ἀληθεύειν ἀνάγκη.

ιδ. Εἰ οὐ ταυτὸν ἡ ἁπλῆ φύσις τῇ συνθέτῳ φύσει, ἡ δὲ ἁπλῆ τοῦ λόγου φύσις μίαν μόνην φύσιν δηλοῖ, ἡ σύνθετος κατὰ τὰς φύσεις τοῦ Χριστοῦ οὐ μίαν φύσιν δηλοῖ· εἰ δὲ ἡ ἁπλῆ καὶ ἡ σύνθετος μίαν κατ' αὐτοὺς φύσιν δηλοῖ, λεγέτωσαν τὴν διαφορὰν τῆς συνθέτου κατ' αὐτοὺς Χριστοῦ φύσεως καὶ τῆς ἁπλῆς τοῦ λόγου φύσεως.

ιε. Τῶν ὀνομάτων καὶ τῶν ῥημάτων τὰ μὲν ἔχει τὴν προφορὰν πληθυντικὴν, ἑνικὴν δὲ τὴν σημασίαν, ὡς Θῆβαι καὶ Ἀθῆναι καὶ παρέμβολαί· τὰ δὲ ἔμπαλιν ἑνικὴν μὲν τὴν προφορὰν, πληθυντικὴν δὲ τὴν σημασίαν, ὡς τὸ χορὸς, δῆμος, στρατὸς, πόλις· λεγέτωσαν τοίνυν πῶς ἡ μία σύνθετος αὐτοῖς φύσις λέγεται; εἰ μὲν

(1) Desideratur hoc capitulum nonum in codice vaticano, culpa librarii qui incaute praetermisit. Extat tamen latine ex interpretatione Turriani apud Canisium antiq. lect. ed. Basnag. T. I. p. 628, graece vero paene ad litteram ego sumpsi ex Damasceni opusculo adversus Iacobitas apud eundem Canisium T. II. p. 46. Moneo insuper ut in primo capitulo v. 1. legatur μιᾶς ἐστι φύσεως; v. 5. et 6. κατ' αὐτοὺς pro κατ' αὐτόν.

ως παρὰ τοῖς πατράσιν ἡ διττὴ λεγομένη καὶ ἁπλῆ φύσις, χώραν οὐκ ἔχει τὸ προσκεῖσθαι τῇ συνθέτῳ φύσει τὸ μίαν αὐτὴν ὀνομάζειν, ὥσπερ μηδὲ τῇ διττῇ· πρὸς δὲ καὶ μάταιος αὐτοῖς ὁ πρὸς τὰς δύο φύσεις πόλεμος· ἑνικῇ γὰρ σημασίᾳ καὶ αὐτοὶ πληθυντικὴν ἀποδεδώκασιν ἔννοιαν· εἰ δὲ ὥσπερ ἔχει τὴν κλῆσιν ἑνικὴν, οὕτως ἀξιοῦσι τὴν σημασίαν εἶναι ἑνικὴν, ταυτὸν αὐτοῖς σημαίνεται ἐκ τῆς ἁπλῆς καὶ ἀσυνθέτου φύσεως· καὶ περιττὴ αὐτοῖς ἡ τῆς συνθέτου φωνή· τὸ γὰρ αὐτὸ ἐκ τῆς ἁπλῆς τε καὶ συνθέτου ἀποδίδοται νόημα· εἰ δὲ μηδέτερον (1) τῶν εἰρημένων νοηθείη, ἄρα καὶ συγκεχυμένην μίαν φύσιν ἐκ δύο φύσεων μυθοπλαστοῦσιν, ὁποία καὶ ἡ τῶν ἡμιόνων ἐπινενόηται, καὶ παρὰ τοῖς Ἕλλησι δὲ ἡ τῶν πολυμόρφων ζώων ἐπινενόηται τεράτεια.

ις. Εἰ τὸ λέγειν μίαν φύσιν τοῦ Θεοῦ λόγου σεσαρκωμένην ἐναντίον ἐστὶ τῷ λέγειν δύο ἡνωμένας, δυοῖν ἀνάγκη θάτερον, ἢ τὴν σάρκα ταύτην μὴ εἶναι φύσιν, μηδὲ σαρκὸς ἔχειν φύσιν, ἢ οὖσαν μὴ λέγεσθαι ὅπερ ἐστίν· ὁποτέραν τοίνυν βούλονται τῶν ἀτοπιῶν, αἱρείσθωσαν, ἢ τὴν φύσιν ταύτην σάρκα μὴ εἶναι, ἢ τὴν σάρκα φύσιν μὴ λέγεσθαι.

ιζ. Ἡ (2) μία φύσις τοῦ Θεοῦ λόγου σεσαρκωμένη, τριπλῆν ἔχει τὴν ἔννοιαν· ἢ γὰρ κατ' ἀντιστροφὴν λέγοιτο, οἷον ὅτι καὶ σεσαρκωμένη μία πάλιν ἐστὶ, γυμνὴ σώματος· ὥσπερ καὶ τοῦ χαλκοῦ ἀνδριάντος μία φύσις χαλκοῦ ἐσχηματισμένη· ἢ κατὰ τροπὴν οὐσίας, οἱονεὶ μία φύσις τοῦ λόγου ἀποσαρκωθεῖσα· ὥσπερ ἂν εἴ τις καὶ τοῦ ὕδατος λέγοι μίαν φύσιν ἀπολιθωθεῖσαν· ἢ ὅτι μία οὖσα ἡ τοῦ λόγου φύσις οὐ μόνον καθ' ἑαυτὴν, ἀλλὰ μετὰ σαρκὸς οὖσα θεωρεῖται· εἰ μὲν οὖν κατὰ τὰς πρώτας ἐννοίας τοῦτο λέγουσιν, αὐτόθεν αὐτοῖς τῆς ἀσεβείας ὁ ἔλεγχος· μετὰ γὰρ Ἀπολιναρίου καὶ Εὐτυχοῦς ἀποσκευάζονται τὴν οἰκονομίαν· εἰ δὲ κατὰ τὸ τελευταῖον σημαινόμενον, πῶς ἡ μετὰ σαρκὸς τοῦ λόγου φύσις τῇ φύσει, τῆς σαρκὸς τῇ μετὰ τοῦ λόγου οὔσῃ, μία τῇ φύσει ἐστὶν; ἢ πῶς μὴ οὖσα μία τῇ φύσει, μία φύσις λεχθήσεται;

ιη. Τὰ κυρίως ἀλλήλοις ἀντικείμενα, ὅλην τὴν ἀπόφασιν καθ' ὅλης τῆς καταφάσεως ἀντιστρέφουσιν· οἷον τῇ λεγούσῃ καταφάσει Παῦλος ἀπόστολος, ἡ λέγουσα ἀπόφασις Παῦλος ἀπόστολος οὐκ ἐστίν· οὕτως δὲ καὶ ταῖς δύο φύσεσιν ἡ μία φύσις ἀντίκειται· οὐ γὰρ μία φύσις ἐστὶν ὁ Χριστὸς, οὐ δύο· καὶ εἰ δύο, οὐ μία· εἰ δὲ μίαν λέγοντες, ἄλλο τι προστιθέασιν, οὐκέτι αὐτοῖς ἀντιφατικῶς λέγεται, ἀλλ' ἑτεροίως κατὰ περίφρασιν· καὶ συνιστῶσιν αὐτοῖς ἐξ ὀνόματος καὶ ὅρου ἡ τῶν δύο φύσεων ὁμολογία· ἐκ μὲν ὀνόματος τῆς φύσεως τοῦ λόγου· ἐκ δὲ ὅρου τῆς ἐψυχωμένης σαρκὸς ψυχῇ λογικῇ καὶ νοερᾷ· ὅρος γὰρ ἀνθρωπίνης φύσεως οὗτος· πῶς τοίνυν τὸν ὅρον τῆς φύσεως λέγοντες, τὴν κλῆσιν αὐτῆς παραιτοῦνται; λεγέτωσαν οἱ μηδὲ τὰ συμφέροντα ἑαυτοῖς καὶ τὰ μαχόμενα συνορᾷν δυνάμενοι.

ιθ. Ἡ ἁπλῆ φύσις τῇ συνθέτῳ φύσει οὐχ ὁμοούσιος· εἰ δὲ ἁπλῆ μὲν ἡ τοῦ πατρὸς φύσις, σύνθετος δὲ ἡ τοῦ Χριστοῦ, οὐκ ἄρα ὁμοούσιος ἡ τοῦ Χριστοῦ φύσις τῇ φύσει τοῦ πατρός· ἀλλὰ μὴν ὁμοούσιον τῷ πατρὶ τὸν Χριστὸν καὶ ἡμῖν ὁμοούσιον τὸν αὐτὸν λέγειν προσποιοῦνται· λεγέτωσαν τοίνυν εἰ ἐνδέχεται τὴν μίαν, ὡς αὐτοί φασι, σύνθετον τοῦ Χριστοῦ φύσιν ἐξ ὅλου τῷ πατρὶ ὁμοούσιον, καὶ ὅλην πάλιν ἡμῖν ὁμοούσιον, καὶ εἰ μὴ εἰς τὴν τοῦ πατρὸς ὁμοουσιότητα, τοῦτο καὶ ἡμᾶς ἀναφέρει· εἰ δὲ λέγοιεν μὴ κατὰ τὸ ὅλον τὴν μίαν τοῦ Χριστοῦ φύσιν τῷ τε πατρὶ καὶ ἡμῖν ὁμοούσιον, λείπεται τῆς μιᾶς φύσεως τὸ μὲν ἥμισυ εἶναι τῷ πατρὶ, τὸ δὲ ἥμισυ ἡμῖν ὁμοούσιον· καὶ τοῦτο τί ἕτερον ἐστὶν ἢ μερίζειν ἣν αὐτοὶ λέγουσι μίαν Χριστοῦ φύσιν εἴς τε ὁμοουσιότητα, καὶ εἰς ἑτερουσιότητα, καὶ εἰς πρὸς τῇ μοίρᾳ (3) τῶν συμπληρούντων αὐτοῖς τὴν μίαν τοῦ Χριστοῦ φύσιν τὴν σύνθετον· τῆς δὲ Ἀπολιναρίου ἀσεβείας καὶ τῆς Ἀρείου

(1) Cod. μὴ δὲ ὁπότερον.

(2) Prima manu recte ἡ, secunda perperam εἰ.

(3) In margine τημορία. Malim ergo εἰς τὰ μόρια, vel potius εἰς τὴν μοῖραν.

ἀρνεῖσθαι τὸ τέλειον τῆς θεότητος τοῦ Χριστοῦ καὶ τῆς κατ' αὐτὸν ἀνθρωπότητος.

κ. Εἰ θεὸς καὶ ἄνθρωπος καὶ κατ' αὐτοὺς ὁ Χριστὸς καὶ μετὰ τὴν ἕνωσιν λέγεται, φύσει δὲ ἀμφότερα, πῶς οὐ δύο φύσεις ὁ Χριστὸς, καὶ μετὰ τὴν ἕνωσιν, εἴπερ μηδὲ ταυτὸν τῇ φύσει θεὸς καὶ ἄνθρωπος, μηδὲ τῇ αὐτῇ φύσει ἧπερ ἐστὶ θεὸς, ταύτῃ ἐστὶ καὶ ἄνθρωπος;

κα. Εἰ ὁμοούσιον, καὶ ὁμοούσιον τὸν Χριστὸν μετὰ τὴν ἕνωσιν λέγουσι, πρὸς ἄλλο καὶ ἄλλο λέγοντες τοῦτο εἶναι, πρὸς τὸν πατέρα καὶ πρὸς ἡμᾶς, οὐδέποτε δὲ ὁ πατὴρ καὶ ἡμεῖς ὁμοούσιοι, οὐδὲ τὸ ἡμῖν ἄρα ὁμοούσιον, ὁμοούσιον ἔσται τῷ τοῦ πατρὸς ὁμουσίῳ· εἰ δὲ τὰ ὁμοούσια μιᾶς καὶ λέγεται φύσεως, οὐχ ὁμοούσιος δὲ καὶ κατ' αὐτοὺς ἡ τοῦ Χριστοῦ θεότης τῇ κατ' αὐτοὺς ἀνθρωπότητι, τὰ δ' ἑτεροούσια καὶ διαφόρου ἐστὶ φύσεως, καὶ τὰ τῇ φύσει ἕτερα, καὶ φύσεις ἑτέρας δηλοῦσι.

κβ. Αἱ ἰδιότητες οὐχ ἑαυτῶν, ἀλλά τινων εἰσὶν ἰδιότητες· εἰ δὲ δύο καὶ κατ' αὐτοὺς μετὰ τὴν ἕνωσιν αἱ ἰδιότητες, τίνων δύο πάντως εἰσὶν ἰδιότητες; ἀλλὰ μὴν δύο ἰδιότητας λέγοντες, φυσικὰς ταύτας λέγουσιν· λεγέτωσαν τοίνυν εἰ μὴ αἱ δύο φυσικαὶ ἰδιότητες· εἰ δὲ τὰς δύο φυσικὰς ἰδιότητας καὶ μετὰ τὴν ἕνωσιν λέγουσιν, δύο ἄρα αἱ δύο φύσεις, ἐπεὶ καὶ δύο τούτων φυσικαὶ ἰδιότητες.

κγ. Ἡ διαφορὰ διαφερόντων ἐστὶ διαφορά· αἱ δὲ συστατικαὶ διαφοραὶ τὰ οὐσιωδῶς διαφέροντα διακρίνουσιν· λεγέτωσαν τοίνυν εἰ μὴ διαφορὰν θεότητος καὶ ἀνθρωπότητος λέγοντες, φυσικὴν τούτων διαφορὰν καὶ μετὰ τὴν ἕνωσιν λέγουσιν· εἰ δὲ φυσικὴν λέγουσι διαφορὰν, φύσεων πάντως λέγουσι διαφορὰν· εἰ δὲ τοῦτο, φύσεων ἄρα διαφορὰν καὶ μετὰ τὴν ἕνωσιν λέγουσιν· εἴπερ αἱ δύο φύσεις φυσικῇ διαφορᾷ πάντως δύο φύσεις εἰσίν.

κδ. Εἰ κατὰ τὸν ἀληθῆ λόγον καὶ τοὺς ἁγίους πατέρας ταύτην ἔχει τὴν διαφορὰν ἡ οὐσία πρὸς τὴν ὑπόστασιν, ἣν ἔχει τὸ κοινὸν πρὸς τὸ ἴδιον, ἡ μία φύσις τοῦ λόγου οὐ πρὸς τὴν σάρκα μία φύσις λέγεται, ἀλλὰ πρὸς τὸν πατέρα· πρὸς αὐτὸν γὰρ ἔχει τὴν τῆς φύσεως ἑνότητα· εἰ δὲ πρὸς τὸν πατέρα μία φύσις ἐστίν τε καὶ λέγεται, εὔδηλον ὡς οὐ μία φύσις ποτὲ πρὸς τὴν σάρκα λεχθήσεται· εἰ δὲ ὁ λόγος οὐ μία φύσις πρὸς τὴν σάρκα λέγεται, εὔδηλον ὡς οὐδὲ ἡ σὰρξ πρὸς αὐτὸν ποτὲ μία φύσις λεχθήσεται· εἰ δὲ μηδὲ ἡ σὰρξ πρὸς τὸν λόγον, μηδὲ ὁ λόγος πρὸς τὴν σάρκα μία φύσις λέγεται, μεταξὺ δὲ μιᾶς καὶ δύο οὐδὲν τὸ μέσον, σαφῶς ὅτι ἡ ἀναίρεσις τῆς μιᾶς φύσεως, τὴν τῶν δύο φύσεων συνεισάγει ὁμολογίαν.

κε. Εἰ τὴν ἀπὸ τοῦ πατρὸς ἰδιότητα ἡ ὑπόστασις τοῦ λόγου ἀφορίζει, ταύτῃ δὲ τῇ ἀφοριστικῇ ἰδιότητι τῇ ἀπὸ τοῦ πατρὸς, ἥ τις ἐστὶν ὑπόστασις, ἄλλος ἐστὶν πρὸς τὸν πατέρα· οὐ ταύτῃ δὲ τῇ ἀφοριστικῇ ἰδιότητι καὶ ἀπὸ τῆς σαρκὸς διακρίνεται, πῶς ἢ γὰρ ἄλλος ἔσται ὁ λόγος ἀπὸ τῆς σαρκὸς, ἢ ὡς ὑπόστασις ἀπ' αὐτῆς ἀφορισθήσεται; εἰ δὲ οὐ ταύτῃ τῇ ἰδιότητι διαστέλλεται ἀπὸ τῆς σαρκὸς, ἑτέρᾳ δηλονότι τῇ τῆς φύσεως ἰδιότητι ἥ τις τῷ πατρὶ συνάπτουσα, τῆς σαρκὸς ἀποδιαστέλλει αὐτόν· ἐκ τούτων τοίνυν δῆλον πῶς δύο μὲν φύσεις λέγομεν ἐπὶ Χριστοῦ, μίαν δὲ ὑπόστασιν· ὅτι τῇ ἀφοριστικῇ ἰδιότητι τῇ ἀπὸ τοῦ πατρὸς συνάπτεται πρὸς τὴν σάρκα· ὥσπερ ἀμέλει τῇ συναπτούσῃ αὐτὸν φυσικῇ ἰδιότητι τῷ πατρὶ, τὸ διάφορον ἔχει πρὸς τὴν σάρκα· καὶ ὥσπερ πρὸς τὸν πατέρα μία φύσις ἐστὶ διὰ τὴν τῆς φύσεως ταυτότητα, οὕτως οὐ μία φύσις πρὸς τὴν σάρκα διὰ τὴν ταύτης καὶ ἐν τῇ πρὸς τὸν λόγον ἑνώσει φυσικὴν ἄτρεπτον ἰδιότητα.

κϛ. Εἰ πάντα τὰ ὁμοούσια τῷ τῆς φύσεως λόγῳ συνάπτεται, καὶ διὰ τοῦτο λέγονται μία φύσις, τὰ δὲ ἑτεροούσια ἑνώσει καὶ οὐ φύσει συνάπτεσθαι πέφυκεν, οὐ ταυτὸν δὲ ἕνωσις καὶ φύσις, οὐ ταυτὸ ἄρα τὸ ἐξ ἀμφοῖν ἀποτέλεσμα· εἰ δὲ ἃ ἡ φύσις συνάπτει, μία φύσις λέγεται, τὰ τῇ ἑνώσει συναπτόμενα ὑποστάσει μιᾷ, οὐ μὴν φύσει καὶ οὐσίᾳ, ἓν εἶναι λεχθήσεται.

κζ. Κοινῶς παρὰ πάντων ὁμολόγηται τὸ ἄνθρωπος ὄνομα τὴν φύσιν δηλοῦν, τὸ δὲ

Παῦλος ὁ Πέτρος τὴν ὑπόστασιν· κατὰ δὲ τὸν μακάριον Κύριλλον τὸ Χριστὸς ὄνομα οὔτε δύναμιν ὅρου ἔχει, οὔτε τὴν τινὸς οὐσίαν δηλοῖ, ὡς ἀνθρώπου καὶ ἵππου καὶ βοὸς καὶ ἑκάστου τῶν ὑπὸ τὸ αὐτὸ εἶδος· οὐκοῦν οὐ ταυτὸν ἄνθρωπόν τε ἁπλῶς εἰπεῖν καὶ Χριστόν· πῶς τοίνυν τὸ τοῦ ἀνθρώπου παράδειγμα τῆς φύσεως ὂν δηλωτικόν, μετάγεται ἐπὶ τὸ τοῦ Χριστοῦ πρόσωπον; τοῦ ὀνόματος τοῦ Χριστοῦ κατὰ τὸν διδάσκαλον οὐ φύσιν δηλοῦντος ἀλλ' ὑπόστασιν· εἰ δὲ λέγοιεν αὐτόν τε καὶ τοὺς ἄλλους πατέρας χρήσασθαι τῷ τοῦ ἀνθρώπου παραδείγματι εἰς τὸν τῆς ἑνώσεως λόγον, οὐ τὸν ἁπλῶς ἄνθρωπον, ἀλλὰ τόν τινα παραλαμβάνουσιν, ὑπόστασις δὲ οὗτος· ἐπιστήσατε δὲ ὅτι καὶ ἐν δυσὶν αὐτὸν ταῖς χιμάραις διαγράψαι τῷ λόγῳ· ὥσπερ οὖν ἐνταῦθα οὐ πρὸς τὰς ὑποστάσεις τῶν χιμάρων φέρει τὸ παράδειγμα (1), ἀλλὰ πρὸς τὸ διάφορον τοῦ τε ζῶντος καὶ τοῦ τεθυμένου τὴν ἀναφορὰν ἔχει· οὕτως καὶ ἐνταῦθα οὐ πρὸς τὴν ἀναίρεσιν τῶν φύσεων, ἀλλὰ πρὸς τὴν ἑνότητα τοῦ προσώπου ἡ τοῦ τινος ἀνθρώπου εἰκὼν παραλαμβάνεται· ὅτι δὲ καὶ ὁ τις ἄνθρωπος παρὰ τοῖς αὐτοῖς πατράσιν ἐκ δύο τε καὶ δύο φύσεις ἐστί, καθ' ὃ ψυχὴ καὶ σῶμα, ἐκ τῶν συγγεγραμμένων αὐτοῖς πολλαχόθεν ἐστὶ πιστώσασθαι.

κη. Τὸ λέγειν ἐκ δύο φύσεων τὸν Χριστόν, ἢ ὡς ἀπὸ τῶν ἀρχῶν, ἢ ὡς ἀπ' αὐτῶν τῶν ἑνωθέντων μερῶν νοεῖν ὑποβάλλει· ἀλλ' εἰ μὲν ὡς ἀπὸ τῶν ἀρχῶν, ἐξ ὑποστάσεων μᾶλλον, καὶ οὐκ ἐκ φύσεων ἔσται· εἴπερ ἀρχαὶ αὐτοῦ κατὰ μὲν τὴν θεότητα ὁ πατήρ, κατὰ δὲ τὴν ἀνθρωπότητα ἡ μήτηρ· ἐκ τούτων δὲ ὢν ὡς ἀπ' αἰτίων, σαφὲς ὅτι οὐ ταυτὰ ἔσται, κἂν ὅπερ ταῦτα· εἰ δὲ ὡς ἀπὸ μερῶν, πῶς οὐκ ἐν τῷ ὅλῳ τὰ μέρη; ἢ πῶς τὸ ὅλον οὐκ ἐν τοῖς μέρεσιν; εἰ γὰρ μήτε τὸ ὅλον ἐν τοῖς μέρεσιν, μηδὲ τὰ μέρη ἐν τῷ ὅλῳ, λείπεται, ὡς προείρηται, ἢ μηδαμοῦ μηδ' ὅλως ἐστὶ ταῦτα, ἢ ἐν ἑτέρῳ παρὰ τὸν Χριστὸν θεωρεῖσθαι τὴν θεότητα τοῦ Χριστοῦ καὶ τὴν ἀνθρωπότητα, καὶ ἐν ἑτέροις τὸν Χριστὸν καὶ οὐκ ἐν τῇ κατ' αὐτὸν θεότητι καὶ ἀνθρωπότητι θεωρεῖσθαι· τοῦτο δὲ οὐ τῆς κατ' αὐτὸν ἀνθρωπότητος μόνον, ἀλλὰ καὶ αὐτῆς τῆς τοῦ λόγου θεότητος τὴν ὕπαρξιν ἀναιρεῖ.

κθ. Τὸ ποσὸν τῶν πραγμάτων περίσταται οὐ μόνον ἐξ ὡρισμένου τὰ δύο ἢ τρία ἢ τέσσαρα, ἀλλὰ καὶ ἐξ ἀορίστου, οἷον τὸ πολλὰ καὶ πλείονα καὶ ἐλάττονα καὶ εἴ τι ὅμοιον· καὶ ἐξ ἀναλογίας, οἷον μεῖζον, ἧττον, ἴσον πρός τι· καὶ ἀπὸ τῆς δεικτικῆς φωνῆς, οἷον τὸ τοῦτο κἀκεῖνο καὶ ταῦτα καὶ ἄλλα καὶ ἕτερα· καὶ ἀπὸ τῆς τάξεως, οἷον πρὸ τοῦδε, καὶ μετ' ἐκεῖνο, καὶ ἀπ' ἀρχῆς, καὶ ὕστερον· εἰκὸς δὲ καὶ καθ' ἑτέρους τρόπους· εἰ μὲν οὖν ἅπαντας τοὺς δηλωτικοὺς τρόπους τοῦ ποσοῦ τῶν πραγμάτων διαιρετικοὺς εἶναι τῶν δηλουμένων, αὐτόθεν αὐτοῖς τῆς ἀτοπίας ὁ ἔλεγχος· καὶ γὰρ καὶ αὐτοὶ μίαν καὶ μίαν λέγουσι καὶ φύσεις ἀορίστους καὶ ἰδιότητας, τοῦτό τε κἀκεῖνο, καὶ ἄλλο καὶ ἄλλο, καὶ ἕτερον καὶ ἕτερον, καὶ μεῖζον καὶ ἧττον, καὶ ἴσον καὶ πρός τι, καὶ πρὸ τοῦδε καὶ μετ' ἐκεῖνο, καὶ ἀπ' ἀρχῆς καὶ ὕστερον· εἰ δὲ μὴ πάντας τοὺς τρόπους, τὸν δὲ ὡρισμένον μόνον ἀριθμόν, καὶ μάλιστα τῆς δυάδος διαίρεσιν ὑποτίθενται, ἀποκληρωτικὸς ἔσται ὁ λόγος· ἐπεὶ λεγέτωσαν αὐτοὶ τί δήποτε κατὰ πολλοὺς τοὺς τρόπους τῆς ποσότητος τῶν ὑποκειμένων δηλουμένης, μόνη ἡ δυὰς τὴν φοβερὰν αὐτοῖς τῆς διαιρέσεως ἔννοιαν ἐπεισάγει, τῶν ἑτέρας ἑτέρως ἐχούσης; ἡ γὰρ δυὰς τὰ δύο ὁμοῦ ἀριθμούμενα ἀλλ' οὐ κεχωρισμένα κατὰ τὴν συλληπτικὴν τοῦ ἀριθμοῦ τούτου δύναμιν παρίστησι μᾶλλον, ἢ τῆς μιᾶς αὐτῶν ὁ διαλελυμένος καὶ καθ' ἑαυτὸν θεωρούμενος.

λ. Εἰ πᾶσα σύνθεσις μοναδικῶς ἐξαγγέλλεται, καὶ τὸν ἀριθμὸν ἐκβάλλει τῶν συντιθεμένων, δυοῖν ἀνάγκη θάτερον, ἢ ἀσύνθετον εἶναι τὸ ἡμέτερον ὄνομα καὶ τὸν ὅλον ἄνθρωπον, ἢ μὴ κατηγορεῖσθαι κατὰ τοῦ ὀνόματος ἢ τοῦ ὅλου ἀνθρώπου κατ' αὐτοὺς τὸν ἀριθμὸν λεγέτω-

(1) Confer Damasceni opusculum adversus Iacobitas in antiq. lect. Canisii ed. Basnag. T. II, p. 45.

Digitized by Google

σαν τοίνυν εἰ μὲν ἀριθμὸν τῶν συνθέτων ὑποβάλλει τὰ οὕτως ἔχοντα γραφικά, τὸ ἔθετο τὰ μέλη ἓν ἕκαστον ἐν τῷ σώματι· καὶ πολλὰ μὲν μέλη, ἓν δὲ σῶμα· καὶ ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου· καὶ ὤρυξαν χεῖράς μου καὶ πόδας· καὶ ἐξεχύθη πάντα τὰ σπλάγχνα αὐτοῦ· ἀλλὰ καὶ ἐπὶ συναμφοτέρου τρία ἀριθμεῖ ὁ ἀπόστολος, ψυχὴν καὶ σῶμα καὶ πνεῦμα· καὶ ἐζυμώθη κατὰ τὴν παραβολὴν τοῦ σωτῆρος εἰς ἀλεύρου σάτα τρία· καὶ δοξάσατε δὴ τὸν θεὸν ἐν τῷ σώματι ὑμῶν καὶ ἐν τῷ πνεύματι, ἅτινά ἐστι τοῦ θεοῦ· καὶ πάλιν περὶ τῶν αὐτῶν· ταῦτα δὲ ἀντίκειται ἀλλήλοις· λεγέτωσαν τοίνυν εἰ μή τι ἅτινα καὶ ταῦτα καὶ ἀντίκειται ἀλλήλοις ἀριθμοῦ εἰσὶν εἴδη· λεγέτωσαν δὲ καὶ τίνες οἱ ἐπὶ τῆς κλίνης καὶ τοῦ μύλωνος δύο, ὧν ἡ μία παραλαμβάνεται καὶ ἡ μία ἀφίεται· ἔτι δὲ καὶ εἰ μὴ τῷ σωτῆρι δύο νοοῦνται ὁ ἄνθρωπος, τὸ σῶμα καὶ ἡ ψυχή, ὧν τὸ μὲν δύναται ἀποκτεῖναι οἱ ἐπιβουλεύοντες, τὸ δὲ ἀνώτερον τῆς ἐπιβουλῆς τυγχάνει· ἀμφότερα δὲ ἐν γεέννῃ ἀπολλύμενα, εἰ ταύτου ἀριθμεῖν ἄξια· ἐὰν γὰρ εἴπωμεν τὴν συνεχῆ τοῦ χρόνου φύσιν πλέον ἐνοῦσθαι, ἢ τὰ κατὰ σύνθεσιν εἰς δώδεκα ὥρας ὑπὸ τοῦ κυρίου διαιρεῖσθαι· ἢ πάλιν κατὰ τὸ ὑπ' αὐτοῦ εἰρημένον ὅλον τὸν νόμον ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς κρεμᾶσθαι, τῇ εἰς τὸν θεὸν καὶ τῇ εἰς τὸν πλησίον ἀγάπῃ, τάχα καὶ αὐτὸς ὁ κύριος μεθ' ἡμῶν τῆς διαιρέσεως τὸ ἔγκλημα οὐκ ἐκφεύξεται, τὴν ἡμέραν εἰς δώδεκα τεμὼν ὥρας, καὶ τὸν νόμον εἰς δύο γενικὰς ἐντολάς. Καὶ ὅλως τῷ γε φιλοπόνως ἐντυγχάνοντι τῇ τε γραφῇ καὶ τοῖς πατράσι ποικίλην καὶ πολυειδῆ τοῦ ἀριθμοῦ τὴν χρῆσιν εὑρεῖν ἔξεστιν κατά τι ἁπλῶν καὶ συνθέτων καὶ ἡνωμένων καὶ διῃρημένων καὶ ὑφεστώτων καὶ ἐπινοίᾳ θεωρητῶν, καὶ μέχρι τῶν πάντη ἀνυποστάτων χωρεῖσθαι· καὶ τοῦτο δὲ μὴ ἀγνοῶμεν ὡς λανθάνειν προσποιοῦνται τοὺς ἁπλουστέρους· ὡς τινος οὖν διαφορᾶς μεταξὺ τῶν δύο εἰπεῖν καὶ ἄμφω καὶ ἑκατέρας καὶ ἐν ἀμφοῖν καὶ δι' ἀμφοῖν· ταῦτα δὲ πάντα καὶ τὰ τοιαῦτα ταυτὸ ἀλλήλοις ἐστίν, εἴπερ τι ἕτερον· καὶ τὰ μὲν αὐτῶν ἐν τῇ κοινῇ χρήσει, τὰ δὲ παρὰ τοῖς ἐλλογιμωτέροις εὑρίσκεται, ὡς καὶ πολλὰ ἕτερα ταυτὰ ὄντα πολλοῖς δηλοῦται τοῖς τοῦ λόγου μέρεσιν· ὁ γοῦν θεσπέσιος Παῦλος τὴν διάφορον τούτων χρῆσιν ἀποικίλλει φάσκων, ὁ ποιήσας τὰ ἀμφότερα ἓν καὶ πάλιν, ἵνα κτίσῃ τοὺς δύο ἐν αὐτῷ· καὶ πάλιν, καὶ ἀποκαταλλάξῃ τοὺς ἀμφοτέρους· ὥστε παντὸς ἀληθέστερον μήτε ἐν τῇ θείᾳ γραφῇ, μήτε μὴν ἐν τοῖς πατράσι ταῦτα διάφορον νοῦν ἐμποιεῖν ἐν τῇ διαφόρῳ αὐτῶν σημασίᾳ, ἀλλ' ἓν ᾧ ἂν ἓν τούτων εὑρίσκεται, ταυτὸν δηλοῦσθαι τῇ ἐκ πάντων τούτων διαφόρῳ σημασίᾳ· ὑμεῖς δὲ ἐπὶ τοῖς εἰρημένοις τῷ θεῷ εὐχαριστήσαντες, αὐτοῦ που τὸν ἀριθμὸν τῶν ἐπαπορήσεων στήσωμεν· οὐ λογογραφεῖν, ἀφορμὴν δὲ καὶ σπέρμα τοῖς φιλοπονωτέροις καὶ τελεωτέρας ἐπεξεργασίας καταλιπεῖν πάσῃ δυνάμει προθυμήθημεν.

Χρήσεις ἀντιθετικαὶ πρὸς τοὺς λέγοντας κατὰ τῆς ἁγίας συνόδου ὡς τέταρτον πρόσωπον ἐπεισάγει· περί τε γὰρ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἐκδιδάσκεται τέλειον, καὶ τοῦ κυρίου τὴν ἐνανθρώπησιν τοῖς πιστῶς δεχομένοις παρίστησιν.

Ἐκ τοῦ κατὰ Ματθαῖον εὐαγγελίου.

Φησὶν ὁ κύριος τοῖς μαθηταῖς· πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν· καὶ ἐγὼ μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος. Καὶ πάλιν· ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα· καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται εἰς τὸ σταυρωθῆναι.

Σχόλιον.

Ἆρα ὡς ἕτερος περὶ ἑτέρου ἔλεγεν ὁ κύριος, καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου παραδίδοται, ἅπαξ εἰπὼν ἰδοὺ ἀναβαίνομεν; ἢ μετὰ τὸ εἰπεῖν εἰς

τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος, τὸ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμι λέγων τέταρτον εἰσάγει πρόσωπον; ἀλλ' οὐκ ἔστιν εἰπεῖν τοῦτο.

Ἐκ τῆς συνοδικῆς ἐπιστολῆς ἧς ἔγραψαν οἱ ἐν Κωνσταντινουπόλει ρν Δαμάσῳ τῷ Ῥώμης, καὶ τῇ κατ' αὐτὸν συνόδῳ.

Μήτε μὲν τὴν εὐνομιανῶν καὶ ἀρειανῶν καὶ πνευματομάχων βλασφημίαν ἰσχύειν τῆς οὐσίας ἢ τῆς φύσεως ἢ τῆς θεότητος τεμνομένης, ἢ τῇ ἀκτίστῳ καὶ συναϊδίῳ καὶ ὁμοουσίῳ τριάδι μεταγενεστέρας τινὸς ἢ κτιστῆς ἢ ἑτερουσίου φύσεως ἐπεισαγομένης καὶ τὸν περὶ τῆς ἐνανθρωπήσεως τοῦ κυρίου λόγον ἀδιάστροφον σώζομεν.

Καὶ Τιμόθεος δὲ ὁ Αἴλουρος ὁ τῆς ἀληθείας ἐχθρὸς οὕτως ἐν τῇ γραφείσῃ παρ' αὐτοῦ ἐπιστολῇ πρὸς Λέοντα τὸν βασιλέα διὰ τοῦ σιλεντιαρίου Διομήδους ἔφη· τριάδα γὰρ οἶδα τελείαν ὁμοούσιον τῇ δόξῃ καὶ τῇ ἀϊδιότητι οὐδὲν ἑαυτῆς πλέον ἢ ἔλαττον ἔχουσαν· τοῦτο γὰρ καὶ ἐπὶ τῆς νικαίας οἱ μακάριοι πατέρες ἡμῶν τιν ἐδίδαξαν· ὥσπερ ἀμέλει καὶ περὶ τῆς σαρκώσεως αὐτοῦ τοῦ κυρίου ἡμῶν καὶ σωτῆρος Ἰησοῦ Χριστοῦ.

Ὅρος τῆς ἐν Χαλκηδόνι συνόδου, καὶ ἀπολογία περὶ ὧν τινες τῶν αἱρετικῶν διαβάλλουσι τὸν τοιοῦτον ὅρον.

Ἡ ἁγία μεγάλη κ. τ. λ.

Ἀπολογία πρὸς τοὺς συκοφαντοῦντας τὴν ἁγίαν σύνοδον.

Ἐπειδή τινες ἀποστατοῦσι τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας δι' αἰτίαν ἥτις αὐτοὺς καὶ πλέον συνάπτειν ὤφειλεν, οὐ φέροντες ὥσπερ τινὸς ἀναγκαίου φίλους ἐξ ἡμῶν σπαραττομένη, ἡγησάμεθα δεῖν τὰς ἀπὸ τῆς ἁγίας συνόδου τῆς ἐν Χαλκηδόνι τικτομένας αὐτοῖς ὑποψίας, ὥσπερ τινὰς ἀτμοὺς τοῦ διαβόλου διαλῦσαι, εἴπερ μὴ ταῖς κατὰ τῶν ἁγίων πατέρων τῶν ἐν αὐτῇ συνεληλυθότων ψευδολογίαις κατεχόμενοι, τῆς πνευματικῆς αὐτῶν μητρὸς ἀποστερηθῶσιν, φαμὲν δὴ τῆς κοινῆς ἐκκλησίας· πειρῶνται γὰρ διαβάλλειν τὴν κατὰ θεοῦ γνώμην ἐν Χαλκηδόνι σύνοδον συναθροισθεῖσαν οἷα δὴ οὐκ ὀρθῶς ἔχουσαν ἀλλὰ νεωτέρων δογμάτων καινοτομίαν εἰσφέρουσαν· καὶ προφάσει χρώμενοι τοιᾷδε, τῆς ἐκκλησίας ἑαυτοὺς ἀφιστῶσιν· οὓς δὴ πειρασόμεθα διδάσκειν, εἴπερ βούλοιντο δέχεσθαι, ὡς οὐκ ἀληθῶς τὰ τοιαῦτα φρονοῦσιν οὔτε δίκαια ποιοῦντες πρὸς τοιαύτην συκοφαντίαν ἐγείρονται· πᾶσαν τοίνυν συνηγορίαν ἀφέντες, ἐκεῖνο μόνον καὶ πρῶτον φαμὲν ὡς ἡ ἁγία σύνοδος ἐκείνη διὰ πάντων συμβαίνουσα δείκνυται τῇ τε ἐν Νικαίᾳ ἁγίᾳ συνόδῳ καὶ τῇ ἐν Κωνσταντινουπόλει ρν ἁγίων πατέρων, ἐν οἷς περὶ τῆς τῶν δογμάτων ἀκριβείας ἠγωνίσατο, καὶ νικῶντες τὸν στέφανον ἀνεδύσαντο, μετὰ τῆς διανοίας, καὶ τῶν ῥημάτων αὐτῶν ὡς εἰπεῖν τὴν τάξιν φυλάττουσα, καὶ τούτοις ἀκολουθεῖ καθάπερ νόμοις τισὶν ἀρραγέσι καὶ ἀλλάξαι μὴ δυναμένοις, πόῤῥω φεύγουσα τὴν Εὐτυχέος μανίαν, καὶ τὸ βλάσφημον Νεστορίου στόμα μακρὰν ἑαυτῆς ἀπωθουμένη, καὶ κατηγοροῦσα τῆς τούτου θρασύτητος, ὥσπερ οἱ σοφοὶ ἐκεῖνοι καὶ τῆς πίστεως συνήγοροι· ὅτι δὲ οὕτως ἔχει, καὶ τοῦτον οἱ πατέρες ἐκεῖνοι μετὰ τῆς ἀληθείας προείλοντο τὸν ἀγῶνα, κοινὸν χαριζόμενοι κέρδος, ἐξ αὐτῆς τῆς ὑποθέσεως ἔξεστι μαθεῖν, καὶ σαφῆ τὴν μαρτυρίαν λαμβάνειν· πάντα γὰρ τὰ αὐτῶν συναγαγόντες καὶ παράλληλα θέντες ἐκείνοις προστεθήκαμεν τοῖς βουλομένοις ὀρθῶς ἐξετάζειν καὶ τὴν ἀλήθειαν διαγινώσκειν· τοῖς λεγομένοις τοίνυν προσέχοντες, ῥᾳδίαν λήψεσθε τὴν ἀπόδειξιν, ὡς οὐδὲ κατὰ μικρὸν ἐκβέβηκε τῆς ὀρθῆς τῶν ἁγίων πατέρων δόξης ἡ ἐν Χαλκηδόνι γενομένη ἁγία σύνοδος.

Κυρίλλου ἐκ τοῦ περὶ πίστεως λόγου πρὸς Ἀλεξανδρέας.

Ἐγὼ τὸ συγκεκραμένον οὐ καταδέχομαι· ἀλλότριον γὰρ ἐστι τῆς ἀποστολικῆς πίστεως καὶ τῆς

τοῦ Θεοῦ ὀρθῶς παραδόντος· ἡ γὰρ σύγκρασις ἀφανισμὸν τῶν φύσεων ἐργάζεται· ἡ δὲ ἄῤῥητος ἕνωσις παρὰ τῶν ὀρθῶς φρονούντων ὁμολογουμένη, ἀμφοτέρας σώζει ἀσυγχύτως τὰς φύσεις.

Τῆς συνόδου.

Τούτων τοίνυν μετὰ πάσης — ἀναθεματίζεσθαι αὐτούς.

Τούτων τοίνυν οὕτως ἐχόντων, ϗ τῶν πραγμάτων οὐχὶ μόνον φωνὴν ἀφιέντων ϗ βοώντων τὸν ἔλεγχον, τίς ἔτι φιλονεικῶν εἰκότα ἂν πράττοι, ϗ διαβάλλων ἃ διαβολῆς ἐστὶν ἰσχυρότερα, ϗ σύνοδον αἰτιώμενος τοῖς μὲν οὐδὲν φέρουσαν ὑγιὲς μαχομένην Νεστορίῳ φαμὲν ϗ Ἀπολιναρίῳ ϗ τοῖς τὰ ἐκείνων φρονοῦσι τε ϗ ἀγαπῶσι, τοῖς δὲ ἀληθέσι ϗ ὀρθοδόξοις φίλην ϗ σύμμαχον Κυρίλλῳ ϗ τοῖς ὁμοίοις οὕτω διδασκάλοις, ϗ οὐδαμοῦ τοὺς θείους ὅρους ἐκβαίνουσαν, οὐδέ τι νεώτερον ἢ ἴδιον τίκτουσαν, ἀλλὰ τῶν παλαιῶν ἐχομένην ὥσπερ θεμελίου τινὸς ἀκινήτου; ϗ συντόμως εἰπεῖν τὰ ἐν Χαλκηδόνι πραχθέντα τοῖς ἐν Νικαίᾳ συνελθοῦσιν ἁγίοις πατράσι πᾶσαν ἐπιδείκνυται συμφωνίαν, ἐκείνων μὲν νομοθετούντων, τῶν δ' ἐν Χαλκηδόνι τὰ τούτων ἐξηγουμένων, καὶ πρὸς ἑρμηνείαν ἀγόντων, ϗ κυρούντων μίαν εἶναι πίστιν ϗ σύμβολον ἓν ϗ μόνον ὅπερ ἐκεῖνοι παρέδωκαν ϗ προλάμψαν μὲν ὁρισάντων τῆς ὀρθῆς ϗ ἀμωμήτου πίστεως τὴν ἐκτεθεῖσαν παρὰ τῶν ἁγίων ϗ μακαρίων πατέρων τῶν ἐν Νικαίᾳ· ϗ ταύτην μόνην ἀπαρεγχείρητον προσταξάντων, ϗ τούτῳ τῷ παρ' αὐτῶν ἐκτεθέντι συμβόλῳ παρακελευσαμένων τοὺς ἐκ πλάνης ἢ δόξης ἑτέρας ἐπιστρέφοντας, ϗ σωτηρίας τυχεῖν βουλομένους, ὁπλίζεσθαί τε ϗ παιδεύεσθαι. Οὐκοῦν κατάδηλον ἐντεῦθεν ὡς τῇ συνόδῳ ταύτῃ μαχόμενος, πρὸς τὸν ἐν Νικαίᾳ τὸν πόλεμον ἔχει· δείκνυται δὲ ϗ τῷ ἁγίῳ Κυρίλλῳ ἀντιτασσόμενος· τοῖς γὰρ ἐκείνου σημαίνεται λόγοις ὡς πρέπεται, ϗ διὰ πάντων σύμφωνος τῇ τε πίστει ϗ τοῖς ῥήμασιν ἐκείνου φαίνεται· ἐπειδὴ τοίνυν διὰ πάντων ἀπεδείξαμεν τὴν ἐν Χαλκηδόνι σύνοδον τοῖς τῶν ἁγίων πατέρων δόγμασι συμβαίνουσαν, ϗ μηδένα ἀλλότριον τούτων ἔχουσαν, καταμάθωμεν ϗ ὅσαις ϗ οἵαις αἱρέσεσιν ἀντιμάχεται, ϗ ὅσον ἀγῶνα τίθεται τὰ ἀσεβῆ καταλῦσαι δόγματα· σκοπήσωμεν δὲ οὕτως.

Τῆς συνόδου.

Ἕνα ϗ τὸν αὐτὸν ὁμολογεῖν υἱὸν τὸν κύριον Ἰησοῦν χριστὸν συμφώνως ἅπαντες ἐκδιδάσκομεν.

Ἐν τούτοις τὸν σαμοσατέα Παῦλον ϗ Νεστόριον τοὺς ἀνθρωπολάτρας ἐκστομίζει τοὺς εἰς υἱῶν δυάδα τολμῶντας αὐτὸν διαιρεῖν, ϗ ἄλλον μὲν λέγοντας φύσει τὸν λόγον, ἄλλον δὲ πάλιν υἱὸν χάριτι τὸν χριστὸν Ἰησοῦν ἑνώσει ϗ συναφείᾳ τῇ πρὸς τὸν κατὰ φύσιν υἱὸν τὴν υἱότητα κεκτημένον ϗ οὐχ ὁμολογοῦντες ἕνα ϗ τὸν αὐτὸν υἱὸν, ἄσαρκον μὲν πρὸ τῆς καταβάσεως καὶ ἐνανθρωπήσεως, σεσαρκωμένον δὲ τὸν αὐτὸν μετὰ τὴν δι' ἡμᾶς κατάβασιν τε ϗ ἐνανθρώπησιν.

Τῆς συνόδου.

Τέλειον τὸν αὐτὸν ἐν θεότητι, ϗ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι.

Τέλειος ἐν θεότητι εἰποῦσα, τὴν ἀρειανῶν ἀπωθεῖται βλασφημίαν· οὗτοι γὰρ θεὸν μὲν εἶναι λέγουσι τὸν Χριστὸν, ἀτελῆ δὲ ϗ ἐλάττονα τοῦ πατρὸς θεὸν αὐτὸν δογματίζουσιν· ἐν δὲ τῷ εἰπεῖν ϗ τέλειον τὸν αὐτὸν ἐν ἀνθρωπότητι, οὐ μόνην τὴν ἀρειανῶν, ἀλλὰ ϗ τὴν ἀπολιναρειῶν ἐλέγχει ἄνοιαν· ὁ μὲν γὰρ Ἄρειος ἄψυχον παντελῶς σάρκα ἀνειληφέναι τὸν λόγον ληρωδεῖ· ὁ δὲ Ἀπολινάριος ἔμψυχον μὲν, ἄνουν δέ· ὡς ἀμφοτέρους ἀτελῆ τὴν ἀνθρωπότητα τοῦ κυρίου ἀμαθῶς δογματίζειν.

Τῆς συνόδου.

Θεὸν ἀληθῶς καὶ ἄνθρωπον ἀληθῶς τὸν αὐτόν.

Ταῦτα διὰ Μανέντα, ὃς Θεὸν μὲν ψιλὸν αὐτὸν ὁμολογεῖται καὶ οὐχὶ ἄνθρωπον· καὶ διὰ Παῦλον τὸν σαμοσατέα καὶ Ἀρτέμαν, οἵτινες ἀρνοῦνται αὐτοῦ τὴν θεότητα, ψιλὸν ἄνθρωπον αὐτὸν ὁμολογοῦντες.

Τῆς συνόδου.

Ἐκ ψυχῆς λογικῆς καὶ σώματος.

Ἐνταῦθα πάλιν Ἀπολιναρίῳ πολεμεῖ τῷ λέγοντι μὴ ἐσχηκέναι νοερὰν ψυχὴν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, ἀλλὰ ζωτικὴν μόνον· καὶ διὰ Μανέντα καὶ Οὐαλεντῖνον τοὺς ἀρνουμένους αὐτοῦ τὴν σάρκωσιν.

Τῆς συνόδου.

Ὁμοούσιον τῷ πατρὶ κατὰ τὴν θεότητα.

Δι' Εὐνόμιον καὶ Ἄρειον τοὺς τὸν μονογενῆ λόγον τοῦ πατρὸς κτίσμα καὶ δοῦλον ἀσεβῶς καταγγέλλοντας.

Τῆς συνόδου.

Ὁμοούσιον ἡμῖν τὸν αὐτὸν κατὰ τὴν ἀνθρωπότητα.

Διὰ Μαρκίωνα καὶ Μανέντα καὶ Οὐαλεντῖνον καὶ Εὐτυχῆ τοὺς δοκήσει καὶ φαντασίᾳ ψιλῇ λέγοντας αὐτὸν ἄνθρωπον ὀφθῆναι, οὐ μὲν ἀληθῶς καὶ κατὰ φύσιν ἀνθρωπίνην ὁμολογοῦντας ἄνθρωπον αὐτὸν γεγονέναι.

Τῆς συνόδου.

Πρὸ αἰώνων μὲν ἐκ τοῦ πατρὸς γεννηθέντα κατὰ τὴν θεότητα.

Διὰ Σίμωνα καὶ Εὐνόμιον καὶ Ἄρειον τοὺς ἀρνουμένους αὐτοῦ τὴν ἐκ πατρὸς πρὸ αἰώνων γέννησιν.

Τῆς συνόδου.

Ἐπ' ἐσχάτων τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς καὶ διὰ την ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τῆς παρθένου θεοτόκου κατὰ τὴν ἀνθρωπότητα.

Διὰ Φωτεινὸν καὶ Θεόδωρον καὶ Νεστόριον τοὺς λέγοντας αὐτὸν ἄνθρωπον ἐξ ἀρετῆς καὶ προκοπῆς θεοποιηθέντα, καὶ οὐχὶ Θεὸν ἐκ Θεοῦ ὄντα, καὶ διὰ φιλανθρωπίαν ἀτρέπτως ἄνθρωπον γεγενημένον.

Τῆς συνόδου.

Ἐν δύο φύσεσιν ἀσυγχύτως ἀτρέπτως ἀδιαιρέτως ἀχωρίστως γνωριζόμενον· οὐδαμοῦ τῆς τῶν φύσεων διαφορᾶς ἀνῃρημένης διὰ τὴν ἕνωσιν, σωζομένης δὲ μᾶλλον τῆς ἰδιότητος ἑκατέρας φύσεως, καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συντρεχούσης.

Δι' Ἀστέριον καὶ Ἀπολινάριον καὶ Εὐτυχῆ, οἳ τὰς διαφόρους φύσεις, τοῦ λόγου λέγω καὶ τῆς σαρκὸς αὐτοῦ, μίαν φύσιν ἀποτετελεσθέναι φασίν. Ἐντεῦθεν δῆλον, ὅτι τῆς ἑαυτῶν ἰδιότητος ὡς κατὰ τὸν ἐκείνων λόγον, μηκέτι δυναμένης σώζεσθαι τοῦ Χριστοῦ μήτε τὸ παθητὸν διὰ τὸ ἀπαθὲς αὐτοῦ τῆς θεότητος, μήτε τὸ ἀπαθὲς διὰ τὸ παθητὸν αὐτοῦ πάλιν τῆς ἀνθρωπότητος· ἰστέον ὡς οἱ ἐν Χαλκηδόνι πανταχοῦ τῆς Νεστορίου αἱρέσεως τὴν ἔννοιαν φεύγοντες, πρὸ τοῦ ἐν δύο φύσεσιν τῶν συκοφαντούντων τὴν διαστροφὴν εἰπεῖν, ἵνα καὶ τὸν αὐτὸν ἔφασαν Χριστὸν υἱὸν μονογενῆ· καὶ τοιαῦτα ἐπήγαγον τὸ ἐν δύο φύσεσιν ἀσυγχύτως καὶ ἀτρέπτως καὶ μὴν καὶ ἀδιαιρέτως γνωριζόμενον.

Καὶ ἄλλα δέ τινα (1) κατὰ τῆς ἁγίας συνόδου οἱ λεγόμενοι ἀκέφαλοι προβάλλονται· καὶ δεῖ καὶ τού-

(1) Ἐκ τῶν τοῦ Λεοντίου σχολίων.

τῶν μνημονεύεσθαι· λέγουσιν ὅτι οὐ δεῖ δέξασθαι τὴν ἐν Χαλκηδόνι σύνοδον, διότι οἱ ἐν αὐτῇ συναχθέντες παλίμβολοι ἦσαν καὶ ἀλλόκοτοι· αὐτοὶ γὰρ καὶ ἐν Βυζαντίῳ τὸν Εὐτυχῆ καθεῖλον, καὶ ἐν Ἐφέσῳ τοῦτον ἐδέξαντο, μετὰ Διοσκόρου ἀποβαλλόμενοι Φλαβιανόν, καὶ πάλιν οἱ αὐτοὶ ἐν Χαλκηδόνι Φλαβιανὸν μὲν ἐδέξαντο, τὸν δὲ Διόσκορον ἀπεβάλοντο· πρὸς τοῦτο λέγομεν ὅτι οὐ δεῖ λογίζεσθαι τὰ ἀνθρώπινα· πολλοὶ γὰρ πολλάκις τοῦτο φαίνονται πεπονθότες, ἴσως καὶ τῶν δοκούντων· πλὴν εἰ καὶ πέντε ἢ καὶ πλείους ἢ καὶ τριάκοντα ἀπὸ τῶν χιλ ἐφάνησαν παλίμβολοι, ὡς φατὲ, οὐ διὰ τοῦτο χάριν ἑξακοσίων ἀνδρῶν ἀποκαλεῖσθαι (1), ὅπου γε οἱ αὐτοὶ καὶ ἐν Ἐφέσῳ συνέδρευσαν μετὰ Διοσκόρου, καὶ οὐ διὰ τούτους ἀποβαλέσθαι τὴν τοιαύτην σύνοδον. Πάλιν λέγουσιν ὅτι εἰ κατὰ τὴν φωνὴν Ἀνατολίου τοῦ Κωνσταντίνου πόλεως οὐ διὰ πίστιν καθῃρέθη Διόσκορος, τί μὴ δέχεσθαι αὐτόν; καὶ λέγομεν ὅτι ἐπ' ἀληθείας οὐ διὰ πίστιν καθῃρέθη· διὰ τοῦτο γὰρ οὐ συνῆλθεν ἐν τῇ συνόδῳ, ἵνα μὴ ζητηθῇ τὰ κατ' αὐτόν· εἰ δὲ συνῆλθε, καὶ ζήτησις γέγονεν, καὶ ὡς αἱρετικὸς καθῃρεῖτο· καὶ γὰρ ἄν· ἐπειδὴ δὲ κληθεὶς ἐκ τρίτου οὐ παρεγένετο, καὶ ταύτην ἐποιήσαντο αἰτίαν τῆς καθαιρέσεως αὐτοῦ, τούτου ἕνεκα εἶπεν ὁ Ἀνατόλιος, ὅτι οὐ διὰ πίστιν καθῃρέθη. Πάλιν λέγουσιν ὅτι αἱρετικοὺς ἐδέξατο ἡ αὐτὴ σύνοδος, καὶ οὐ δεῖ δέξασθαι αὐτήν· φασὶ δὲ περὶ Θεοδωρήτου καὶ Ἴβα. Καὶ λέγομεν ὅτι οὐ πρότερον ἐδέξατο αὐτοὺς ἕως ἀνεθεμάτισαν Νεστόριον. Ἀλλὰ πάλιν ἀπορεῦσιν ὅτι διὰ τί μὴ ἀπῄτησαν Θεοδώρητον ἀναθεματίσαι τὰ ἴδια συγγράμματα κατὰ Κυρίλλου; Καὶ λέγομεν πρὸς τοῦτο ὅτι οὐκ ἴδιον αὐτοὺς τῇ συνόδῳ τοῦτο ἐγκαλέσαι, ἀλλὰ τῷ ἁγίῳ Κυρίλλῳ· κοινωνίαν γὰρ ποιήσας πρὸς τοὺς ἀνατολικοὺς καὶ πρὸς αὐτὸν Θεοδώρητον, οὐκ ἀπῄτησεν αὐτὸν ἀναθεματίσαι τὰ οἰκεῖα συντάγματα· ὃ οὖν οὐκ ἐποίησεν ὁ ἅγιος Κύριλλος, ἡ σύνοδος μὴ ποιήσασα, ἐγκαλεῖσθαι οὐκ ὤφειλεν· καί τοι ὃ οὐκ ἐποίησεν ἐκεῖνος, ἐποίησεν αὕτη ἀπαιτήσασα αὐτὸν ἀναθεματίσαι Νεστόριον· εἰ δὲ καὶ θῶμεν ὅτι αἱρετικοὶ ἦσαν, οὐδὲ οὕτως ἡ σύνοδος διὰ τούτους ἀπόβλητος· ἰδοὺ γὰρ καὶ ἡ ἐν Νικαίᾳ ἐδέξατο ἑπτὰ αἱρετικοὺς καὶ πρὸς τούτοις ἀρειανοὺς καὶ μετὰ ταῦτα ἐπιμείναντας τῇ αἱρέσει· καὶ οὐ διὰ τοῦτο λέγεται ἡ σύνοδος τῶν τινων, ἀλλὰ τῶν τινων· ὅπου γε καὶ Ἰουβενάλιος ὁ Ἱεροσολύμων, καὶ ἄλλοι ἱκανοὶ ἐπίσκοποι εἰς τὴν ἐν Ἐφέσῳ σύνοδον εὑρεθέντες μετὰ Διοσκόρου, εὑρέθησαν ἐν Χαλκηδόνι· καὶ οὐ διὰ τοῦτο ἀποβάλλονται ἐκεῖνοι τὴν σύνοδον ἐκείνην, ἀλλὰ καὶ ἀσπάζονται.

Cap. XXV.

Κατὰ Ὠριγένους τοῦ προΰπαρξιν δογματίσαντος καὶ ἀποκατάστασιν· καὶ ἀσώματον μὲν πρὸ τῆς παραβάσεως τὸν ἄνθρωπον διδάξαντος εἶναι, μετὰ δὲ τὴν ἔκπτωσιν λέγοντος αὐτῷ γενέσθαι τοὺς δερματίνους χιτῶνας, τὴν σάρκα ταύτην νοεῖσθαι τούτους διαβεβαιουμένου, καὶ λέγοντος οἷον τινα δεσμὸν καὶ φυλακὴν καὶ τάφον τὸ σῶμα εἶναι τῇ ψυχῇ, καὶ μηδὲ ἀνίστασθαι τοῦτο ὁμολογοῦντος· ἀλλὰ καὶ πρόσκαιρον εἶναι τὴν κόλασιν διισχυριζομένου (2).

Τοῦ ἁγίου Μεθοδίου ἐπισκόπου καὶ μάρτυρος ἐκ τῶν παρ' Ἐπιφανίου τοῦ τρισμάκαρος ἐν τῷ β βιβλίῳ τῶν πανταρίων κατὰ Ὠριγένους γραφέντων.

Ἄτοπον δὲ κἀκεῖνο προφανῶς τὸ οἴεσθαι τὸ σῶμα ἐν τῇ κατὰ τοὺς αἰῶνας διαγωγῇ μὴ συνέσεσθαι τῇ ψυχῇ, διὰ τὸ δεσμὸν αὐτὸ καὶ πέδας εἶναι, ἵνα μὴ αἰώνιοι γενώμεθα κατάκριτοι δεσμῶται κατ' αὐτοὺς φθορᾶς ἐν τῇ βασιλείᾳ τοῦ φωτὸς ἐσόμενοι· λελεγμένου γὰρ ἱκανῶς καὶ ἐλεγχθέντος τοῦ λόγου ἐν ᾧ δεσμὸν τῆς

(1) Ita codex. Sed ἀποβάλλεσθαι Leontius de sectis act. VI, a quo sumit noster auctor.

(2) Schol. Ὅτι σύνδεσμός τις ψυχῆς τὸ σῶμα, ἀλλὰ καὶ ἀναστήσεται.

ψυχῆς ὑφήναντο ἐστι τὴν σάρκα, λέλυται καὶ τὸ ἵνα μὴ δεσμῶται δεῖ τὴν ἐν τῇ βασιλείᾳ τοῦ φωτὸς ἣν ἀπολαμβάνομεν ἐσόμεθα (1).

Καὶ μετ' ὀλίγα. Προσφέρεται — ἐκπεσεῖν.

Θεοφίλου Ἀλεξανδρείας ἐκ τῆς ις΄ ἑορταστικῆς, ἧς ἡ ἀρχὴ Χριστὸν Ἰησοῦν τὸν κύριον τῆς δόξης.

Οἰχέσθωσαν τοίνυν αἱ παράφρονες, μᾶλλον δὲ καταβαινέτωσαν εἰς ᾅδου ζῶντες ὡς ἡ ψαλμῳδία φησί, καὶ τὸν προστάτην ἑαυτῶν τῆς ἀσεβείας ἐκεῖνον κατιόντα ὁρώμενοι ἀναβοάτωσαν, καὶ σὺ ἑάλως ὥσπερ καὶ ἡμεῖς, ἐν ἡμῖν δὲ κατελογίσθης· κατέβη εἰς ᾅδου δόξα σου καὶ τάξις· οὗτος (2) γὰρ ποιμὴν δυσγενῶν μαθητῶν γενόμενος, Χριστὸν μὲν ἀτιμάζειν πανταχοῦ πεφρόντικεν, πολλὰ δὲ τιμῆσαι τὸν διάβολον τετόλμηκεν, τοῦτον μὲν φάμενος πάσης ἁμαρτίας ἐλευθερούμενον ἐπὶ τὴν ἀρχαίαν ἀναδραμεῖσθαι τιμήν, Χριστοῦ δὲ παύσεσθαι τὴν βασιλείαν· καὶ τοῦτον ὑπὸ θεοῦ διαβόλῳ συμβασιλευθήσεσθαι ποτὲ ἀποφηνάμενος Ἰησοῦν, ἐπὶ τούτῳ πλέον ἢ τοῖς Ἰουδαίοις ὁ προφήτης εἴποι, ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ καὶ ἔφριξεν ἐπὶ πλεῖον σφόδρα, λέγει κύριος, ὅτι δύο καὶ πονηρὰ πεποίηκεν Ὠριγένης, Χριστὸν μὲν τὴν οἰκείαν ποτὲ βασιλείαν ἀπολέσειν ἰσχυριζόμενος, διάβολον δὲ ἐλευθερούμενον ἐπὶ τὴν ἀρχαίαν ἀναβήσεσθαι τιμὴν ψευσάμενος· τοῦτο γὰρ ἑαυτῷ τὸν βαθὺν τῆς ἀσεβείας λάκκον ὀρύξας οὐ δυνάμενον ὕδωρ συνέχειν, ἰσότιμον τῷ υἱῷ κατὰ τοῦτο τὸν διάβολον πεποίηκεν, ἀλλάξας τὴν δόξαν τοῦ μονογενοῦς, καὶ τοῦτον ἅμα διαβόλῳ συμβασιλευθησόμενον ποτὲ παρὰ θεοῦ φρονήσας. ἀλλ' οὐχ ἕξει τέλος ἡ Χριστοῦ βασιλεία, καθάπερ αὐτὸς μαρτυρῶν τοῖς μαθηταῖς ἔλεγεν· ὑμεῖς οἱ διαμεμενηκότες μετ' ἐμοῦ ἐν τοῖς πειρασμοῖς μου, κἀγὼ διατίθεμαι ὑμῖν διαθήκην αἰώνιον, ἵνα ἐσθίητε καὶ πίνητε διὰ παντὸς ἐπὶ τῆς τραπέζης μου ἐν τῇ βασιλείᾳ μου· πῶς γὰρ τὸ διαπαντὸς χώραν ἕξει, εἰ μὴ διαπαντὸς ἡ βασιλεία τούτου διαμένει, οὐδὲ πώποτε ἐστι τὸ μὴ βασιλεύειν ἰοῦσαν;

Καὶ μεθ' ἕτερα. — Παῦλος μὲν οὖν διαρρήδην βοᾷ, παρέδωκα γὰρ ὑμῖν ἐν πρώτοις ὃ καὶ παρέλαβον, ὅτι Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν κατὰ τὰς γραφάς· καὶ γραφὰς ὀνομάζει, τῇ τούτων μαρτυρίᾳ τὴν ἀμφιβολίαν λύων καὶ τὸ βέβαιον τοῦ δόγματος εἰσηγούμενος. Ὠριγένης δὲ ἀμαρτύρῳ λόγῳ βιάζεται τὴν ἀλήθειαν ἀθωτίστῳ λόγχῃ θηρᾶν αὐτὴν λογιζόμενος· καὶ φιλοδαίμων μᾶλλον ἢ φιλόχριστος τυγχάνων, συχναῖς συκοφαντίαις ἀναιδῶς νεανιεύεται, ἀνασταυρῶν ἑαυτῷ τὸν υἱὸν τοῦ θεοῦ, καὶ παραδειγματίζων· οὐ δεδιὼς οἷον ἄτοπον καὶ φρικῶδες ἀσεβείας βάθος ἀκολουθεῖν τῷ τοιούτῳ λόγῳ· ὥρα γὰρ αὐτὸν λέγειν, ὅτι καὶ δαίμοσιν ὁ σωτὴρ ὑπὲρ αὐτῶν σταυρούμενος λέξει, λάβετε φάγετε τοῦτό μου τὸ σῶμα· καὶ λάβετε ἐσθίετε, τοῦτό ἐστι τὸ αἷμά μου· εἰ γὰρ καὶ ὑπὲρ δαιμόνων σταυροῦται, καθάπερ ὁ κακολόγος νενόμικεν, τίς ἡ ἀποκλήρωσις μόνους ἀνθρώπους μετέχειν τοῦ σώματος αὐτοῦ καὶ τοῦ αἵματος, καὶ μὴ καὶ δαίμονας, εἴ γε κατὰ τὸν ἀπαίδευτον ἐκεῖνον, καὶ ὑπὲρ τούτων σταυροῦται; ἀλλ' οὐ δαίμονες ἀκούσονται, λάβετε πίετε· οὐδὲ αὐτὸς ὁ σωτὴρ τὸ οἰκεῖον καταλῦσαι πρόσταγμα τοῖς μαθηταῖς εἰρηκώς, μὴ δότε τὸ ἅγιον τοῖς κυσίν, μηδὲ βάλετε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων, μήποτε καταπατήσωσιν αὐτοὺς τοῖς ποσὶν αὐτῶν, καὶ στραφέντες ῥήξωσιν ὑμᾶς· ὥσπερ καὶ ὁ ἀπόστολος γράφει, οὐ θέλω δὲ ὑμᾶς κοινωνοὺς τῶν δαιμονίων γενέσθαι· οὐ δύνασθε ποτήριον κυρίου πίνειν καὶ ποτήριον δαιμονίων· οὐ δύνασθε τραπέζης κυρίου μετέχειν καὶ τραπέζης δαιμονίων· οὕτως ἀδύνατον δαίμονας ποτήριον κυρίου πίνειν ἢ τραπέζης κυρίου μετέχειν.

Καὶ μετ' ὀλίγα. — Ἀλλὰ κἂν Ὠριγένης μὴ

(1) Huc usque locus videtur ineditus, nempe incidere in lacunam editionis S. Epiphanii Petav. T. I. p. 540. Reliquus tractus editus est in cit. edit p. 546. A—D.

(2) Schol. Τὸν Ὠριγένην φησί.

Digitized by Google

βούλεται, Χριστὸς ὁ κύριος ἡμῶν καὶ τὸν θάνατον καὶ τὸν ἔχοντα τὸ κράτος τούτου καταργήσας διάβολον, ἀθάνατον ἡμῖν τὸ κατ' αὐτοῦ φυλάττων ἐν οὐρανοῖς τρόπαιον, οὐκ εἰς τὸ μὴ ἐν φέρειν τὰ σώματα, ἀλλὰ τὸν θάνατον καὶ τὴν φθορὰν εἰς τὸ μὴ ἐν μέρει τὴν τῶν σωμάτων ἀνάστασιν ἀπολύειν παρασκευάζων· ὅθεν καὶ δικαίως πανηγυρίζομεν θανάτου καὶ φθορᾶς λυτρούμενοι.

Καὶ μεθ' ἕτερα. — Οὐδὲ τῆς μακαρίας Ἄννης τὴν αἴτησιν κακίζομεν σπέρμα λαβεῖν ἱκετευούσης ἀνδρός· οὐ γὰρ παιδοποιίας ἐρῶσα ψυχὴν ἐν οὐρανῷ διατεταμένην πρὸς ἁμαρτεῖν ηὔχετο, ἵνα τῆς οἰκείας ἐπιθυμίας πληρουμένην ἴδῃ τὴν δύναμιν· οὐδὲ Μωϋσῆς τοῖς υἱοῖς Ἰσραὴλ ἐπευχόμενος καὶ λέγων, κύριος ὁ θεὸς ὑμῶν ἐπλήθυνεν ὑμᾶς, καὶ ἰδοὺ ἐστὲ σήμερον ὡσεὶ τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει, κύριος ὁ θεὸς τῶν πατέρων ὑμῶν προσθείη ὑμῖν ὡς ἐστὲ χιλιοπλασίως, καὶ εὐλογήσαι ὑμᾶς καθότι ἐλάλησε, τοσαύτας ψυχὰς ἁμαρτάνειν ἠβούλετο, ἵνα χιλιοπλάσιοι γένωνται.

Κυρίλλου Ἀλεξανδρείας ἐκ τοῦ ὑπομνήματος τοῦ εἰς τον ε ψαλμόν.

Καὶ γὰρ ἀμελούμενα μείζονα γίνεται τῶν ἁμαρτημάτων τὰ τραύματα· καὶ οὐ μέχρι τραυμάτων ἵσταται τὰ τῆς νόσου καὶ τῆς ἀρρωστίας, ἀλλὰ καὶ θάνατον τίκτει τὸν ἀθάνατον.

Σχόλιον.

Ἐπιμαρτυρείτω δὲ τούτοις καὶ τοὺς τῶν ἱερῶν διδασκάλων βεβαιούτω λόγους αὐτὸς ὁ κύριος ἡμῶν καὶ θεὸς διά τε τοῦ προφήτου Δανιὴλ διά τε τῶν εὐαγγελίων αἰώνιον εἶναι ὥσπερ τῶν δικαίων τὴν τρυφὴν καὶ τὴν τῶν ἀγαθῶν ἀπόλαυσιν, οὕτω καὶ τῶν ἁμαρτωλῶν τὴν κόλασιν ὑποδεδάσκων, καὶ τῶν πρόσκαιρον ταύτην λεγόντων ἀποφράττων τὰ χείλη· φησὶ γοῦν διὰ μὲν τοῦ προφήτου Δανιὴλ οὕτως· καὶ πολλοὶ τῶν καθευδόντων ἐν γῆς χώματι ἐξεγερθήσονται, οὗτοι εἰς ζωὴν αἰώνιον, καὶ οὗτοι εἰς κόλασιν αἰώνιον· διὰ δὲ τῶν ἁγίων εὐαγγελίων οὕτως· ὅταν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ αὐτοῦ, καὶ πάντες οἱ ἄγγελοι μετ' αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ, καὶ συναχθήσονται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη καὶ ἀφορίσει αὐτοὺς ἀπ' ἀλλήλων, ὥσπερ ὁ ποιμὴν ἀφορίζει τὰ πρόβατα ἀπὸ τῶν ἐρίφων καὶ στήσει τὰ μὲν πρόβατα ἐκ δεξιῶν αὐτοῦ, τὰ δὲ ἐρίφια ἐξ εὐωνύμων· τότε ἐρεῖ ὁ βασιλεὺς τοῖς ἐκ δεξιῶν, δεῦτε οἱ εὐλογημένοι τοῦ πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου· τότε ἐρεῖ καὶ τοῖς ἐξ εὐωνύμων· πορεύεσθε ἀπ' ἐμοῦ οἱ κατηραμένοι εἰς το πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ. Καὶ μετὰ βραχέα. — Καὶ ἀπελεύσονται οὗτοι εἰς κόλασιν αἰώνιον· οἱ δὲ δίκαιοι εἰς ζωὴν αἰώνιον. — Ἡσαΐου προφήτου. Καὶ ἐξελεύσονται καὶ ὄψονται τὰ κῶλα τῶν ἀνθρώπων τῶν παραβεβηκότων ἐν ἐμοί· ὁ γὰρ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται, καὶ ἔσονται εἰς ὅρασιν πάσῃ σαρκί.

Cap. XXVI.

Ὅτι ἐπὶ πάντων τῶν ἡνωμένων τὸ ἓν λόγῳ ἐστὶ θεωρητὸν, καὶ οὐδὲ ὑφίσταται τὰ κοινὰ καὶ καθόλου λεγόμενα, μόνῃ δὲ τῇ ἰδίᾳ καὶ ὑπαρχούσῃ οὐσίᾳ πεφύλακται κυρίως τὸ ἓν πράγματι καὶ ἀληθείᾳ.

Ἰστέον ὅτι ἐφ' ἡμῶν μὲν καὶ ἐπὶ πάντων τῶν ὑπὸ γένεσιν ὄντων, ἡ κοινότης λόγῳ καὶ ἐπινοίᾳ θεωρεῖται· τὸ δὲ διῃρημένον, πράγματι· ἐπὶ δὲ τῆς θεότητος, τὸ ἀνάπαλιν· ἐκεῖ μὲν οὖν πράγματι τὸ ἓν εὑρίσκεται διά τε τὸ συναΐδιον καὶ τὸ ταυτὸν τῆς ἐνεργείας καὶ τοῦ θελήματος καὶ τῆς ἀγαθότητος· ἐπινοίᾳ δὲ τὸ διῃρημένον· ἐν μόναις γὰρ ταῖς ἰδιότησι τῆς τε πατρότητος καὶ υἱότητος καὶ τῆς ἐκπορεύσεως θεωρεῖται, καὶ κατὰ τὸ αἴτιον καὶ τὸ αἰτιατὸν, καὶ τὸ τὸν μὲν εἶναι ἀγέννητον, τὸν δὲ γεννητὸν, τὸν δὲ ἐκπόρευτον

ἐν τούτοις δὲ μόνοις ἡ διαφορά· οὔτε γὰρ τοπικὴν διάστασιν ὥσπερ ἐφ' ἡμῶν δυνάμεθα ἐπὶ τῆς θεότητος κατηγορεῖν τῆς ἀπεριγράπτου· οὔτε θελήματος διαφορὰν ἢ δυνάμεως ἢ γνώμης, ἅπερ τὴν πραγματικὴν ἐν ἡμῖν ποιοῦσι πρὸς ἀλλήλους διαίρεσιν· καλῶς οὖν τῷ θεολόγῳ εἴρηται Γρηγορίῳ ὅτι περ οὐ φθάνω τὸ ἓν νοῆσαι καὶ τοῖς τρισὶ περιλάμπομαι· οὐ φθάνω τὰ τρία διελεῖν, καὶ εἰς τὸ ἓν ἀναφέρομαι, ὅταν ἕν τι τῶν τριῶν φαντασθῶ, τοῦτο νομίζω τὸ πᾶν· καὶ ἄλλως δὲ τοῦτο σκοπητέον, ἐπὶ τῆς ἁγίας τριάδος τρεῖς μὲν τὰς ὑποστάσεις γινώσκομεν, μίαν δὲ τὴν οὐσίαν καὶ τὴν θεότητα· ἀλλ' οὐκ ἐπινοίᾳ τὸ ἓν τῆς θεότητος καὶ τῆς οὐσίας θεωροῦμεν, ὥσπερ ἀμέλει ἐφ' ἡμῶν τὸ ἓν τῆς οὐσίας καὶ τῆς ἀνθρωπότητος, ἤγουν τὴν κοινότητα γινώσκομεν· ἀλλ' ἐπὶ τῆς θεότητος πράγματι καὶ ἀληθείᾳ ὑπάρχειν τὸ ἓν ἐπιστάμεθα, διότι οὐκ ἦν ποτε ὅτε οὐκ ἦν ἐν ταῖς παρ' ἡμῶν πιστευομέναις τρισὶν ὑποστάσεσιν, πώποτε ἐδέξατο ἢ δέξεται· ἐφ' ἡμῶν δὲ τοὐναντίον ἅπαν· ἦν γάρ ποτε ὅτε οὐκ ἦν ἐν Πέτρῳ τυχὸν καὶ Παύλῳ καὶ Ἰωάννῃ ἡ κοινὴ φύσις, ἀλλ' ἐν ἑτέρῳ ἢ ἑτέροις, καὶ ἔσται πάλιν ἐν ἄλλοις, καὶ ἦν ποτε ὅτε ἐν οὐδενὶ ἦν· πῶς; γῆν οὐκ ἐπινοίᾳ μόνῃ θεωρηθήσεται ἡ κτιστὴ καὶ φθαρτὴ φύσις, ἡ καθόλου φημὶ καὶ κοινὴ ἐκ μὴ ὄντων τε γενομένη, καὶ ἐξ ἑτέρου εἰς ἕτερον μεταβαίνουσα; ὧν οὐδὲν ἐπὶ τῆς ἀληθοῦς καὶ ἀγεννήτου.

Μαρτυρίαι περὶ τούτου Βασιλείου ἐκ τῆς πρὸς Ἀμφιλόχιον κεφ. τῶν λεγόντων μὴ συναριθμεῖσθαι πατρὶ καὶ υἱῷ καὶ ἅγιον πνεῦμα, ἀλλ' ὑπαριθμεῖσθαι

Ἆρα τοῦτο νοοῦσιν τὴν ὑπαρίθμησιν τὴν τοῦ κοινοῦ εἰς τὰ ὑποσταλμένα διαίρεσιν· ἀλλ' οὐκ ἂν πιστεύσοιμι εἰς τοσοῦτον αὐτοὺς παραπληξίας ἐλαύνειν, ὥστε φάναι τὸν θεὸν τῶν ὅλων ὡς κοινότητά τινα λόγῳ μόνῳ θεωρητὴν, ἐν οὐδεμιᾷ δὲ ὑποστάσει τὸ εἶναι ἔχουσαν, εἰς τὰ ὑποκείμενα διαιρεῖσθαι (1). Σχόλιον. — Ἰστέον ὅτι οὕτως δοξάζουσιν οἱ τὰς μερικὰς λέγοντες οὐσίας.

Cap. XXVII.

Τί τὸ ἐνυπόστατον καὶ τὸ ἀνυπόστατον, καὶ τί ὑπόστασις (2), καὶ ὅτι διττὸν ἕκαστον τούτων, καὶ πῶς δεῖ ἀπαντᾷν τοῖς ἐρωτῶσιν εἰ ἔστι

(1) Basilii hunc locum, propter consequens scholium posui.

(2) Leontii de hoc argumento amplam disputationem, seu potius excerpta eius, exhibent codices vaticani duo, neque me exscribere piget. Attamen conferendus est idem Leontius de sectis act. VII.

Ἀπὸ τοῦ Λεοντίου.

Ὅτι οὐ ταὐτὸν ὑπόστασις καὶ ἐνυπόστατον, ὥσπερ ἕτερον οὐσία καὶ ἐνούσιον· ἡ μὲν γὰρ ὑπόστασις τὸν τινὰ δηλοῖ, τὸ δὲ ἐνυπόστατον τὴν οὐσίαν· καὶ ἡ μὲν ὑπόστασις πρόσωπον ἀφορίζει τοῖς χαρακτηριστικοῖς ἰδιώμασι, τὸ δὲ ἐνυπόστατον τὸ μὴ εἶναι αὐτὸ συμβεβηκὸς δηλοῖ, ὅπερ ἐν ἑτέρῳ ἔχει τὸ εἶναι καὶ οὐκ ἐν ἑαυτῷ θεωρεῖται· τοιαῦται δὲ πᾶσαι αἱ ποιότητες, αἵ τε οὐσιώδεις καὶ ἐπουσιώδεις καλούμεναι, ὧν οὐδετέρα ἐστὶν οὐσία, τουτέστι πράγματος ὑφεστώς, ἀλλ' ἀεὶ περὶ τὴν οὐσίαν θεωρεῖται, ὡς χρῶμα ἐν σώματι, καὶ ὡς ἐπιστήμη ἐν ψυχῇ. Ὁ τοίνυν λέγων, οὐκ ἔστι φύσις ἀνυπόστατος, ἀληθῶς μὲν λέγει, οὐ μὴν ὀρθῶς συμπεραίνει, τὸ μὴ ἀνυπόστατον συνάγων εἰς τὸ ὑπόστασιν εἶναι· ὥσπερ ἂν εἴ τις μὴ εἶναι σῶμα ἀσχημάτιστον ἀληθῶς λέγων, ἔπειτα συνάγει οὐκ ὀρθῶς, τὸ σχῆμα σῶμα εἶναι, ἀλλ' οὐκ ἐν τῷ σώματι θεωρεῖσθαι· ἀνυπόστατος μὲν οὖν φύσις, τουτέστιν οὐσία, οὐκ ἂν εἴη· οὐ μὴν ἡ φύσις ὑπόστασις, ὅτι μὴ δὲ ἀντιστρέφει· ἡ μὲν γὰρ ὑπόστασις, καὶ φύσις· ἡ δὲ φύσις, οὐκ ἔστι καὶ ὑπόστασις· ἡ μὲν γὰρ φύσις, τὸν τοῦ εἶναι λόγον ὑποδέχεται· ἡ δὲ ὑπόστασις, καὶ τὸν τοῦ καθ' αὑτὸ εἶναι· καὶ ἡ μὲν, εἴδους λόγον ἐπέχει· ἡ δὲ, τοῦ τινός ἐστι δηλωτική· καὶ ἡ μὲν, καθολικοῦ πράγματος χαρακτῆρα δηλοῖ· ἡ δὲ, τοῦ κοινοῦ τὸ ἴδιον ἀποδιαστέλλεται· καὶ συντόμως εἰπεῖν, φύσεως μὲν μιᾶς λέγονται τὰ ὁμοούσια, καὶ ὧν ὁ λόγος τοῦ εἶναι κοινός· ὑποστάσεως δὲ ὅρος· ἢ τὰ κατὰ τὴν φύσιν μὲν ταὐτά, ἀριθμῷ δὲ διαφέροντα· ἢ τὰ ἐκ διαφόρων φύσεων συνεστῶτα· τὴν δὲ τοῦ εἶναι κοινωνίαν ἅμα τε καὶ ἐν ἀλλήλοις κεκτημένα· οὕτω γέ τοι φημὶ κοινωνοῦνται τοῦ εἶναι, οὐχ ὡς συμπληρωτικαὶ τῆς ἀλλήλων οὐσίας, ὅπερ ἐστὶν ἐπὶ τῶν οὐσιῶν καὶ τῶν οὐσιωδῶς κατ' αὐτῶν κατηγορουμένων· ὡς ἡ ἐν σώματι ποιότης, λευκότης, μελανότης· ὅπερ ἄν τις εὕροι καὶ ἐν ἄλλοις, μᾶλλον δὲ ἐπὶ ψυχῆς καὶ σώματος, ὧν κοινὴ μὲν ἡ ὑπόστασις, ἰδία δὲ ἡ φύσις.

Digitized by Google

φύσις ἀνυπόστατος, καὶ οὐ ἔστι φύσις ἀπρόσωπος.

Ἐκ τῶν σχολίων Λεοντίου.

Ἰστέον ὅτι τὸ ἐνυπόστατον διττὸν ἐστί· σημαίνει γὰρ τὸ ἁπλῶς ὂν καθ' ὃ σημαινόμενον οὐ μόνον τὴν οὐσίαν ἣν αὐθυπόστατον οἱ περὶ ταῦτα δεινοὶ ὑπογράφουσιν ἐνυπόστατον καλοῦμεν δι' αὐτὸ τοῦτο τὸ εἶναι ἁπλῶς καὶ ὑφεστάναι, ἀλλὰ καὶ τὰ συμβεβηκότα ἐνυπόστατα λέγομεν, κἂν ἐν ἑτέρῳ ἔχουσι τὸ εἶναι, ταυτό ἐστιν ἐν τῇ οὐσίᾳ· καὶ εἰσὶν κυριώτερον εἰπεῖν ἑτερουπόστατα· σημαίνει δὲ πάλιν καὶ τὸ καθ' ἑαυτὸ ὂν τοῦτο εἶναι ἰδιοσυστάτως, καθ' ὃ σημαινόμενον καὶ τὰ ἄτομα ἐνυπόστατα λέγονται τοῦτο εἶναι ὁ Πέτρος ἢ ὁ Ἰωάννης, ἅπερ κυρίως οὐκ ἐνυπόστατα ἀλλ' ὑποστάσεις μᾶλλον εἰσίν τε καὶ γνωρίζονται.

Ἀλλὰ καὶ τὸ ἀνυπόστατον διττῶς εὑρίσκομεν λεγόμενον· λέγεται γὰρ ἀνυπόστατον καὶ τὸ μηδαμῇ μηδαμῶς ὄν, ὡς τραγέλαφος καὶ ἱπποκένταυρος· λέγεται πάλιν ἀνυπόστατον οὐ τὸ μηδαμῇ μηδαμῶς ὄν, ἀλλὰ τὸ ἐν ἑτέρῳ ἔχον τὴν ὑπόστασιν, ὥσπερ εἰσὶν τὰ συμβεβηκότα· διότι εἰ καὶ ὑφεστήκασιν ἐν ταῖς οὐσίαις, ἀλλ' ἐπειδὴ καθ' ἑαυτὰ μὴ ὑφεστάναι λέγεται, καὶ τοῦτο τὸ σημαινόμενον ἀνυπόστατα.

Τὸν ὅμοιον δὲ τρόπον καὶ ἡ ὑπόστασις κατὰ δύο σημαινομένων φέρεται· σημαίνει γὰρ καὶ τὸ

Καὶ ὁ λόγος διάφορος· ὅτι διττὸς ὁ τῆς τελευτῶντος ὅρος, ὁ μὲν ἁπλῶς λεγόμενος, ὁ δὲ σχέσει θεωρούμενος· ὅτι εἰ φύσει παθητὸς ἦν ὁ λόγος, ἢ τὴν ἐνταῦθα ἐδέχετο περιγραφὴν, ἔσται τοῖς ἀπὸ Νεστορίου ταῦτα ἐν αὐτῷ, τὸ φοβεῖσθαι σαρκὶ συνάπτειν καὶ ὅλῳ ἀνθρώπῳ, ἵνα μὴ περιγραφῇ· τὸ δὲ φύσει ἄτρεπτός ἐστι καὶ ἀπερίγραπτος καὶ ἀπαθὴς, κἂν ἐν σώματι γένηται, σώζει ἂν τὸν ἴδιον τῆς ἀπαθείας καὶ παντελῆ τῆς ἀτρεψίας λόγον· καὶ γὰρ οὐδὲ κόσμον κτίζων, καὶ εἰς τόδε τὸ σχῆμα τοῦ παντὸς ἄγων αὐτὸν οὐκ ὄντα πρότερον, ἐκ τοῦ ὑπερκοσμίου καὶ ὑπερουσίου εἰς τὸ περικόσμιον τοῦτο ἢ ἐγκόσμιον ἐκπεπτωκὼς φαίνεται· καὶ ἐκ τοῦ οἰκείου ἀπεριγράπτου εἰς τὸ περιγεγράφθαι ὑπ' αὐτοῦ ἐληλυθώς· οὔτε τοίνυν οὐδὲ πρότερον ἡνίκα τὸν κόσμον καὶ τὰ ἐν αὐτῷ πάντα παρήγαγεν, οὔτε ὕστερον ὅτε τὸν μέγαν ἐν μικρῷ κόσμον τὸν ἄνθρωπον ἑαυτῷ περιεπτύξατο, περιεγράφη. Καὶ τί θαῦμα, ὅπου γε καὶ ἡ ἀνθρωπίνη ψυχὴ οὐχ ἁπλῶς καὶ διὰ τὸ σώματι αὐτὴν εἶναι πάσχει ταῦτα, ἀλλὰ διὰ τὸ πεφυκέναι πάσχειν καὶ χωρὶς σώματος· ὅτι ἄρρητος ὄντως ἐστὶ καὶ ἀνεννόητος μόνη ἡ κατ' οὐσίαν τε καὶ οὐσιώδης καὶ ἐνυπόστατος ἕνωσις· πῶς γὰρ τὰ τοσοῦτον κατὰ φύσιν παρηλλαγμένα καὶ μακρῷ διῳκισμένα, ἀλλήλοις τε συνέβη, καὶ κραθέντα οὐ συγκέχυνται, ἀλλὰ καὶ ἔστιν ἓν καὶ γνωρίζονται δύο; Ὅτι δεῖ ἀποστῆναι, ὡς οἱ τὴν ἕνωσιν μὴ κατ' οὐσίαν, ἀλλὰ κατ' ἐνέργειαν ἢ εὐδοκίαν, ἢ ἄλλην τινὰ σχέσιν δογματίσαντες, κατ' οὐδὲν μὲν τῇ ἀληθείᾳ ἐγγίζουσι, τὸ δὲ ψεῦδος πολυσχιδὲς ἐνεμερίσαντο· ποία γὰρ ἂν εἴη ταῦτα, καὶ ποῦ τοῦ τῆς ἑνώσεως ἀξία ὀνόματος τῆς ὑπερφυοῦς καὶ μόνης μετὰ τὴν μόνην καὶ πρώτην ἢ μὴ τὰ πράγματα συνδέουσα καὶ εἰς ταυτὸν ἄγουσα. Ὅθεν καὶ θαυμάζειν ἔπεισι μοι, ὅτ' ἂν αὐτοὶ τὴν τοιαύτην ἕνωσιν πρεσβεύοντες, τὸ ἀσύγχυτον προσποίηνται καὶ τὸ ἄτρεπτον· ποίαν γὰρ καὶ ὑφορᾶσθαι τροπὴν αὐτοὺς δίκαιον ἐν τῇ διαιρέσει τῶν πραγμάτων, τὰς μὲν ἀξίας εἰς μίαν ἀξίαν συγχέοντας· οὐ γὰρ αἱ ἀξίαι ἀξία ποτ' ἂν γένοιτο ἀσυγχύτως, ὥσπερ οὐδὲ αἱ φύσεις μία φύσις ἀτρέπτως, τὰς δ' ἐξουσίας χωρίζοντας· ὁ γὰρ πραγμάτων ἕνωσις, ἡ τὰς ἀξίας ἕνωσις· ἢ οὕτω γ' ἂν καὶ πάντας τοὺς τῆς θείας λαχόντας ἀξίας εἰς ταυτὸν ἄξομεν τῇ θείᾳ οὐσίᾳ καὶ δύο φύσεις ἐφ' ἑκάστου τῶν ἁγίων δογματίσομεν· τὸ γὰρ ποσὸν τῆς ἀξίας οὐ πάντη χωρίζει τὰ κατὰ τὴν ἀξίαν διάφορα, ἀλλ' ὁπόσα ἂν εἴη, κατὰ τοσοῦτον συνάψει τὰς φύσεις.

Εἰ δέ που ἕτερον τῶν ἐν τῇ τριάδι συνάψαι βούλονται τοὺς παρὰ τὸν Χριστὸν λοιποὺς ἁγίους, τῆς ἐν ἀσεβείᾳ αὐτῶν ἔστω ἐξουσίας· κεχρηματίκασι γὰρ οἱ θεοί τε καὶ οἱ υἱοὶ Θεοῦ, καὶ πνεύματα ἅγια, κατὰ τὸ, ὁ κολλώμενος τῷ κυρίῳ, ἓν πνεῦμά ἐστι. Ὅτι φασὶν ἔθει τοὺς ἀθέους νεστοριανοὺς τίθεσθαι, ὅτι καὶ τὸ ἐξαίρετον τῆς ποικίλης διανομῆς πρόσεστι τοῖς ὑπερτέροις πρὸς τοὺς ὑφειμένους, ἀλλὰ κοινὸν τὸ ἐφ' ἅπασι τῆς ἐνεργείας χάρισμα καὶ τῆς ἀξίας δώρημα· καὶ ἡ κρείττων μετὰ τοῦ Θεοῦ λόγου, ἢ εἰ γε βούλονται ἑνὸς τῶν ἐν τῇ τριάδι θεωρουμένων, ἢ καὶ ὅλης τῆς σεβασμίας τριάδος εἰς δύο συνάπτειν φύσεις, καὶ δύο ἢ τρεῖς ἢ τέσσαρας ὑποστάσεις λέγειν, ἢ μὴ δὲ τούτων μετὰ τῆς φύσεως τοῦ Θεοῦ λόγου συνάπτειν, καὶ εἰς ἕνα υἱὸν συντιθέναι ἢ ὁμωνύμως αὐτὸν ποιεῖν, ὡς τὸν πρωτότυπον υἱόν· ὅτι μία ἐστὶν ἡ φυσικὴ υἱότης, ἐξ ἧς κατὰ μετοχὴν πᾶσα υἱότης· καὶ διὰ τοῦτο ἀνάγκη τὸν ἀποσχεδιασθέντα τοῖς νεστοριανοῖς ἄνθρωπον ἢ τῆς ἐκ χάριτος γενομένης. Ὅτι τῆς κατ' οὐσίαν ἑνώσεως μεγαλοφυῶς κηρύττεσθαι ἡ ἀλήθεια, ὅτι τῶν ἑνωσάντων καὶ τῶν διακρίσεων διττὸς ὁ λόγος· τὰ μὲν γὰρ ἥνωται τοῖς εἴδεσι, διῄρηται δὲ ταῖς ὑποστάσεσι· τὰ δὲ διῄρηται μὲν τοῖς εἴδεσι, διῃρημένων δὲ ταῖς ὑποστάσεσι, τὰ μὲν ἀλλήλοις ἔχει τὴν ἕνωσιν τε καὶ τὴν

Digitized by Google

ἁπλῶς ἐν ὑπάρξει ὄν, ὅτε μάλιστα τῆ χαρακτηριστικῶν ἰδιωμάτων ἐστέρηται σημαίνει καὶ τὸ πρόσωπον τὸ καθ' ἑαυτὸ ὑφεστώς· ὅθεν ὁ ἅγιος Κύριλλος ποτὲ μὲν ἐπὶ τῆ ἁπλῶς ὄντος τῷ ὀνόματι τῆ ὑποστάσεως χρησάμενος φησὶν ὅτι δύο ἀσύγχυτοι μεμενήκασιν αἱ ὑποστάσεις, περὶ τῶν οὐσιῶν λέγων· καὶ πάλιν ὅτι πραγμάτων αὐτῶν ἐχουσῶν ὑποστάσεως γέγονεν σύνοδος· καὶ ὅτι ἐπὶ τῆ ἑνὸς Χριστοῦ διαιρεῖ τὰς ὑποστάσεις· καὶ ἕτερα τοιαῦτα περὶ τῆ οὐσιῶν λέγων. Ἀλλὰ καὶ ὁ ἅγιος Ἀθανάσιος ἐν τῇ πρὸς τοὺς Ἄφρους ἐπιστολῇ φησιν· ἡ δὲ ὑπόστασις οὐσία ἐστὶν, καὶ οὐδὲν ἄλλο σημαινόμενον ἔχει ἢ αὐτὸ τὸ ὄν. Ποτὲ δὲ πάλιν ὁ αὐτὸς Κύριλλος ἐπὶ τοῦ καθ' ἑαυτὸ ἰδιοστάτως ὑφεστῶτος προσώπου τὴν ὑπόστασιν λαμβάνων ἔφασκεν· εἴ τις προσώποις δυσὶν ἤγουν ὑποστάσεσι τὰς ἐν εὐαγγελίοις ἀπονέμει φωνὰς, ἀνάθεμα ἔστω. Δεῖ οὖν ἡμᾶς γνώσκοντας ὡς τῶν ὁμωνύμων τυγχάνει τό τε ἐνυπόστατον καὶ τὸ ἀνυπόστατον καὶ μὴν καὶ ὁ ὑπόστασις καὶ διάφορα ἔχουσι τὰ σημαινόμενα· πρότερον ἐν ταῖς περὶ τούτων διαλέξεσιν ἐπερωτᾶν περὶ ποίου σημαινομένου λόγος ἐστὶν τῷ συζητοῦντι, καὶ οὕτως τὰς ἀπολογίας ποιεῖν.

Ἐκ τῶν συνηγοριῶν Εὐλογίου Ἀλεξανδρείας.

Ἤκουσα τινὸς αὐτῶν γενναίως εἰρηκότος διαλέγεσθαι ὅτι οὐκ ἔστι φύσις ἀπρόσωπος, ἀλλὰ

διαιρετον, το δὲ σύνθετον περὶ μὲν τῶν ἁπλῶν ἐχόντων τὴν διττήν· τὰ νῦν λέγειν ἀφεῖσθαι· οὐ γὰρ τῆς παρούσης σκοψέως ἡ ἐκείνων εἰς τα κατὰ μερος ἐξάπλωσις.

Περὶ δὲ τῶν κατὰ σύνθεσιν ἤγουν συμπλοκὴν ἢ κρᾶσιν ἢ ἕνωσιν ἢ ὅπως ποτε φίλον καλεῖν τὰς οὐσιώδεις τῶν ἑτερογενῶν σχέσεις, λοιπον ἡμῖν τοῖς ὀνοματομάχοις καταλιποῦσι τάς, ὡς αὐτοί νομίζουσιν, ἐμφαντικωτερας ἢ κυριωτερας τῶν σημαντικῶν· οὐ γὰρ ἐκλογῆς λεξεων ἡμῖν σχολὴ, επι τὸ νοεῖν ἀπαγομένοις. Τῶν τοίνυν οὐσιωδῶς ὑπαρχόντων καὶ κατ' οὐσίαν νοουμένων, τὰ μὲν και τῇ ἑνώσει σώζει τον ἴδιον τῆς ὑπαρξεως λογον, τα δε συγχεῖ τε και ἀφανίζει, τοι ἀμφότερα των ἡνωμένων λυμαινόμενα· τῶν οὖν πρότερον ἡ μετ' ἀλλήλων και ἐν ἀλλήλοις θεωρουμενη σχέσις ἓν μεν τοι ἐξ ἀμφοτέρων ἀποτελεῖ, και ὡς ἄν τις εἴποι, ἓν εἶναι τῷ ἀριθμῷ ἀποδεικνυσι, το διάφορον σωζοντα τῆς ὑπαρξεως ἐν τῷ λόγῳ τῆς ἑνοτητος. Καὶ τούτου παράδειγμα ἐν μὲν ζώοις ὁ καθ' ἡμᾶς ἄνθρωπος, ἐν δε τοῖς ἁπλῶς ἢ φυσικοῖς σώμασιν ἡ τῶν αὐθυποστάτων καὶ καθ' ἑαυτα εἶναι δυναμένων πρὸς ἄλληλα ποιά σχέσις οἷον ἐπι λαμπάδος ἐστὶ θεωρῆσαι· ἄλλο μὲν γαρ ἐστιν ἡ θρυαλλὶς ἕτερον δὲ πάλιν ἡ φλεγμῶδης τοῦ πυρὸς νοσία.

Ὅτι καθ' ὅλου φύσις, οὐδὲ τῶν ἑνουμένων, τροπὴν ἢ σύγχυσιν ὑφίσταται, μὴ οὐχὶ ἑκατέρου τῶν ἑνουμένων παθητικῶς ἔχοντος ποιότητας· τῶν γὰρ τοιούτων ἡ μὲν δραστήριος, ποιήσει ἄν ποτὲ τὸ πάθος, ἡ δὲ παθητικὴ πάθοι ἄν καὶ οὐ δράσειεν. Ὅτι δεῖ τὸ κατὰ τὴν θείαν αἴσθησιν ἀκουστικὸν ἡμῶν καθαίρειν πάντοθεν ἄχθους τοῦ ἐκ προλήψεως συνισταμένου καὶ ἀποκαθαίροντος τον νοῦν ἤδη δὲ τὸ καὶ τῶν μαρτυρων τὸ τρόπος ὑποδέξασθαι. Ὅτι ἀσεβὴς οὐκ οἴδαται πρόσωπον ἄντικρυς, ἀσήμους δὲ καὶ οὐκ ἐγνωσμένας χρήσεις προκομίζουσι. Δειξάτωσαν πρῶτον ὅτι μὴ τῶν πατέρων εἰσὶν αἱ χρήσεις τῶν ἐγκρίτων, καὶ τότε ἐκείνας ὡς φασι προαγέτωσαν. Οὐκοῦν ἡ τοὺς πατέρας μὴ δεχόμενος τοὺς διαφανεῖς τε καὶ ἐν τῇ ἐκκλησίᾳ τοῦ Θεοῦ περιβοήτους, ἀλλ' ἀντιθετοτοντος τούτοις, προφανῶς τῇ διαταγῇ τοῦ Θεοῦ ἀνθίστατο. Καί τι δεῖ λέγειν περὶ τῆς κατ' οὐσίαν καὶ οὐσιώδους ἑνώσεως, τῶν τε μιαν ὑπόστασιν τῶν δύο φύσεων· καὶ ὅτι τὰ τοιαῦτα τῆς διαφορᾶς ὄντα, δηλωτικὰ τῶν οὐσιωδῶς ἑνωμένων φύσεων τοῦ Χριστοῦ, ὁ τρόπος δηλαδὴ τῆς ἑνώσεως οὐσιωδῶς ἀλλ' οὐ σχετικῶς γέγονεν ὡς εἶναι ἐν τῇ τελείᾳ ἀνθρωπότητι τοῦ λόγου, ὅπερ ἡμῖν ὁ ὅσιε ἄνθρωπος ὅμως καὶ ἀποστελλον συνοφεστως καὶ εἰς τὸν τοῦ ὅλου ὅρον συντελῶν μετὰ τὴν ἕνωσιν. Ἐπειδὴ ὡς ἔφημεν, μὴ περὶ λεξεως διαμάχη ἐστὶν ἡμῖν, ἀλλὰ περὶ αὐτῶν τῶν πραγμάτων καὶ τῆς πρὸς ἄλληλα τούτων ἑνώσεως τε και συμφυΐας, ἣν οἱ πατέρες οὐσιωδῶς γεγενῆσθαι ἐφρονησαν, Νεστόριος δὲ σχετικὴν τε και γνωμικὴν ταυτην εἰσάγει.

Ὅτι εἶδος ἐστιν οἷον ἄνθρωπος, ἵππος, βοῦς· ὁμοίως γαρ ὁ Σωκράτης, καθ' ὃ ζῷον, ἐστι γένος καθ' ὃ θνητὸς καὶ λογικὸς, διαφέρει καθ' ὃ δὲ ἄνθρωπος, εἶδος οὕτω και πάντες ἄνθρωποι. Γένος δὲ καὶ διαφορὰ καὶ εἶδος συμπληρωτικὰ τῆς ἑκάστου εἰσὶν οὐσίας· διὸ καὶ οὐσιώδη λέγονται τό δε ἴδιον καὶ τὸ συμβεβηκός, ἐπουσιώδη, ἐπειδὴ ὑπάρχει τινι. τὸ δὲ συμβεβηκὸς πόῤῥω ὑπάρχει, ἐπειδὴ τῇ μεν ὑπάρχει, τῇ δὲ οὐχ ὑπάρχει· ταῦτα δὲ καὶ χωριστὰ καλεῖται· ἔστι μὲν οὖν τὸ ἴδιον, τὸ γελαστικόν, τὸ δὲ συμβεβηκὸς, τὸ μελαν, τὸ ἵστασθαι, τὸ καθῆσθαι. Ὅτι τῶν γνωμῶν ἐστιν ὁ σκοπὸς, τὸ χρήσιμον, τὸ παρακολούθημα, τὸ γνήσιον, ἡ τάξις, ἡ ἀποδεικτικὴ χώρα, ὅτου δηλωτικὸν ἐστι σκοποῦ ἡ αἰτία, ἡ ἐπιγραφή.

παρίσταται τῇ φύσει καὶ πρόσωπον· εἰ οὖν δύο φύσεις, πάντως καὶ δύο πρόσωπα· πῶς οὐκ ἄν τις τοὺς τὰ τοιαῦτα προβαλλομένους ἐλεήσειεν, οἳ σαφῶς οὕτω προσπταίουσιν; καὶ Νεστορίῳ προσποιούμενοι πολεμεῖν, τοῖς αὐτοῦ προβλήμασι κέχρηνται, καὶ τὴν ἐκείνου νόσον τό γε ἐπ' αὐτοῖς ἀσπάζονται; εἰ γὰρ οὐκ ἔστι φύσις ἀπρόσωπος, ἀλλὰ καὶ παρίσταται τῇ φύσει καὶ πρόσωπον, φασὶ δὲ ἐκ δύο φύσεων τὴν ἀπόρρητον ἕνωσιν ἐν Χριστῷ γεγενῆσθαι, ἄρα ἐκ δύο προσώπων κατ' αὐτοὺς ὁ Ἐμμανουήλ, καὶ ἀνάγκη λοιπὸν τοῖς βλασφημοῦσι παρρησίᾳ δύο πρόσωπα λέγειν ἐν Χριστῷ, ὅπερ μανίας ἀνάμεστον· οὐ γὰρ ἂν Πέτρον ἢ Παῦλον οἷ τις ἑνώσειν, μίαν ὑπόστασιν καὶ ἓν πρόσωπον εἴποι· αἱ γὰρ ὑποστάσεις, ἃ εἶναι πρόσωπα τὴν κατ' οὐσίαν καὶ σχέσιν ἕνωσιν ἐπιδέχονται, οὐ τὴν ἐνυπόστατον καὶ ἓν πρόσωπον ἀποτελοῦσιν· κατ' οὐσίαν μὲν οὖν αἱ ὑποστάσεις ἑνοῦνται, ὡς ἐπὶ τῆς ἁγίας τριάδος· τρεῖς γὰρ ὑποστάσεις μιᾶς οὐσίας ὑπάρχουσιν.

Ἡ δὲ κατὰ σχέσιν ἕνωσις κατὰ πολλοὺς νοεῖται τρόπους, ἐν ὁμωνυμίᾳ, ἐν ἰσοτιμίᾳ, ἐν ταυτοβουλίᾳ, καὶ ὅσα τούτοις παραπλήσια· ἐν ὁμωνυμίᾳ μὲν, ὡς Ἰούδας ὁ Ἰακώβου, καὶ Ἰούδας ὁ Ἰσκαριώτης· ἰσοτιμίᾳ δὲ καὶ ταυτοβουλίᾳ, ὡς Πέτρος καὶ Ἰωάννης· ἑκάτερος γὰρ ἀπόστολος, καὶ αὔξειν ἐβούλοντο τὸ κήρυγμα τοῦ Χριστοῦ· ὃ οὖν ἔφην εἰπὼν αἱ δύο ὑποστάσεις ἤγουν πρόσωπα ἑνούμενα, οὐδέποτε μίαν ἀποτελοῦσιν ὑπόστασιν καὶ ἓν πρόσωπον· εἰ οὖν ἐκ δύο φύσεων ὁ Ἐμμανουήλ, ἡ δὲ φύσις πρόσωπόν ἐστι κατ' αὐτούς, ἔσται ἄρα καὶ ἐκ δύο προσώπων, ἅπερ οὐκ ἐπιδέχονται τὴν ἐνυπόστατον ἕνωσιν· καὶ οὕτω κατὰ τὸν διεφθαρμένον λόγον τὸ τοῦ ἀθέου Νεστορίου δόγμα χώραν εὑρήσει· καὶ Κύριλλος ἐκβληθήσεται πάλαι κατὰ Νεστορίου τοιαῦτα βοῶν, ἀνήσει δὲ κατ' οὐδένα τρόπον τὸν ὀρθὸν περὶ τῆς πίστεως λόγον εἰς τὸ οὕτως ἔχειν· καὶ εἰ προσώπων ἕνωσιν δογματίζουσι τινὲς, ἀλλ' οὐχ οὕτως οὔτε ἡ ἀλήθεια ἀπαιτεῖ, οὔθ' ἡμεῖς ἀνεξόμεθα, ἀλλὰ τὴν ἁπλῆν καὶ μέσην ὁδὸν βαδιούμεθα, τοὺς μὲν δυάδα προσώπων εἰσαγαγόντας ἀναθεματίζοντες, τὴν δὲ ἀλήθειαν τῶν ἐν Χριστῷ δύο οὐσιῶν ὁμολογοῦντες.

Ἀλλ' ἴσως ἐξ ἀπορίας διαστρίβειν πειρώμενοι τὴν τοιαύτην πεποίηνται πρότασιν· ἡμῶν γὰρ ἐνυποστάτως ἡνωμένας δύο φύσεις λεγόντων, ἐθελοκακοῦσιν, καὶ περιξύοντες τῆς ὁμολογίας ἡμῶν τὸ ἐνυποστάτως ἡνωμένας προβλήματι κέχρηνται καθ' ἡμῶν τῆς ἡμετέρας ὁμολογίας ἀσεβοῦντες, καὶ φασὶν, οὐκ ἔστι φύσις ἀπρόσωπος· τί νοεῖν αὐτοῖς τὸ σαθρὸν τοῦτο βούλεται πρόβλημα; εἰ μὲν ὅτι οὐ δυνατὸν τὰς φύσεις ἄλλως ἢ ἐν προσώποις θεωρεῖσθαι, τούτοις πᾶς τις καὶ τῶν μικρὰ εἰδότων συνομολογήσειεν· τίς γὰρ ἀγνοεῖ ὅτι καθόλου ἐν τοῖς κατὰ μέρος προσώποις, ὅπερ ταῖς χαρακτηριστικαῖς ὑποστάσεσι θεωρεῖται, εἶτ' ἡ τῆς θεότητος φύσις ἐν πατρὶ ἐν υἱῷ ἐν ἁγίῳ πνεύματι; ὁμοίως ἡ ἀγγελικὴ φύσις ἐν Μιχαὴλ ἐν Γαβριὴλ καὶ τοῖς λοιποῖς· καὶ ἡ τῆς ἀνθρωπότητος φύσις ἐν τοῖς καθ' ἕκαστον γνωρίζεται προσώποις; εἰ δὲ τοῦτο βούλονται κατασκευάζειν ὅτι πάσῃ φύσει ἰδιάζον πρόσεστι πρόσωπον, ἐπὶ τῶν μὴ καθ' ὑπόστασιν ἡνωμένων φύσεων, ὅ ἐστιν οὐσιῶν, καὶ τοῦτον ὀρθῶς ἔχειν ἡγοῦμαι τὸν λόγον· ἐπὶ δὲ τῶν ἐν συνθέσει καὶ ἐνυποστάτως ἡνωμένων, πόῤῥω τῆς ἀληθείας καθέστηκεν· ἔστι γὰρ ὅτε διάφοροι φύσεις συνερχόμεναι κατὰ τὴν ἀδιαίρετον ἕνωσιν, ἓν πρόσωπον καὶ μίαν ἀποτελοῦσιν ὑπόστασιν, οἱ τὰ τέσσαρα στοιχεῖα, διάφοροι ὑπάρχουσιν οὐσίαι, ἀλλ' ὅμως ἓν ἀποτελοῦσι σῶμα τοῦδε τυχὸν τοῦ ξύλου ἢ λίθου τοῦ ἐν ἰδιότητι θεωρουμένου, ὅπερ ἐστὶν ὑπόστασις.

Ἀλλ' ἐπειδήπερ τὸ παράδειγμα κρᾶσιν δοκεῖ πως ἐμφαίνειν καὶ σύγχυσιν, ληπτέον ἡμῖν τὸ κατὰ τὸν ἄνθρωπον παράδειγμα τὸν ἐν μιᾷ ὑποστάσει· ἐν ἑκάστῳ γὰρ ἡμῶν ἡ οὐσία τῆς ψυχῆς ἑτέρα ἐστὶν, ὡς πρὸς τὴν οὐσίαν τοῦ σώματος· ἀλλ' ὅμως αἱ δύο οὐσίαι συνελθοῦσαι ἐν τοῖς καθ' ἕκαστον, ἓν πρόσωπον ἀποτελοῦσιν, φέρε εἰπεῖν Ἰωάννῃ ἢ Παύλῳ ἢ ἄλλῳ τινὶ, μένουσαι δύο· οὔτε γὰρ ἡ ψυχὴ σὰρξ ἐγένετο, οὔτε μὴν ἡ σὰρξ ψυχὴ γέγονεν· μάρτυς δὲ τούτου

Παῦλος ὁ κῆρυξ τῆς ἀληθείας φάσκων, ὁ ἔσω ἄνθρωπος καὶ ὁ ἔξω, ἵνα τὸ διάφορον σημαίνῃ τῶν οὐσιῶν· τούτῳ κατ' ἴχνος ἑπόμενος Ἰωάννης ὁ τῆς Κωνσταντίνου πόλεως ἐπίσκοπος καὶ πάσης ἐκκλησίας διδάσκαλος τοιαῦτα γράφει ἐν τῷ ἐπιγεγραμμένῳ λόγῳ εἰς τὴν ἀνάγνωσιν τῆς παλαιᾶς διαθήκης. « Διπλοῦν γὰρ τοῦτο τὸ ζῶον ὁ ἄνθρωπος ἐκ δύο συγκείμενον οὐσιῶν, τῆς μὲν αἰσθητῆς, τῆς δὲ νοητῆς, ψυχῆς λέγω καὶ σώματος, καὶ ἐν οὐρανῷ καὶ ἐν γῇ συγγένειαν ἔχον· διὰ γὰρ τῆς νοητῆς οὐσίας κοινωνεῖ ταῖς ἄνω δυνάμεσιν· διὰ δὲ τῆς αἰσθητῆς, τοῖς ἐπὶ γῆς συνῆπται πράγμασιν, σύνδεσμος ὢν ἀκριβὴς ἑκατέρας τῆς κτίσεως ». Οὕτως οὖν ἐν Χριστῷ τῶν δύο οὐσιῶν γέγονεν ἕνωσις εἰς μίαν ὑπόστασιν καὶ ἓν πρόσωπον· εἰ καὶ ἀμυδρῶς διὰ τῶν παραδειγμάτων ἀποδέδεικται· πᾶσαν γὰρ ἔννοιαν ἡ ἐν Χριστῷ οἰκονομία ὡς ἀληθῶς ὑπερίζουσα τὴν ἀνθρωπίνην διαδιδράσκει κατάληψιν ».

Ἀλλὰ πάλιν τοῖς αὐτοῖς ἐμφιλοχωροῦσι νοήμασιν, καὶ κατὰ τὸν λόγον τῷ βορβόρῳ ἐγκυλιόμενοι· ταῦτα γὰρ πάλιν διαφόρως προβάλλονται· φασὶ γὰρ οὐκ ἔστιν οὐσία ἀνυπόστατος· πῶς οὖν οὐκ ἐν δύο ὑποστάσεσι φρονεῖτε, εἴπερ ἄρα δύο οὐσίας φατέ; ὁρᾶτε τῶν κομψῶν τούτων τὴν ἄγνοιαν· τὴν γὰρ αὐτὴν ὁμοῦ ἀνοήτως εἰσήγαγον πρότασιν· τὰ ὀνόματα πάλιν ὑπαλλάξαντες· τίς γὰρ διαφορὰ οὐσίας καὶ φύσεως; τίς δὲ προσώπου πρὸς τὴν ἐν χαρακτῆρι ὑπόστασιν; ὅθεν ὁ αὐτὸς ὑμῖν καὶ ἐπὶ τοῦ παρόντος ἀρκείτω λόγος· εἴποιμι γὰρ ἂν πρὸς αὐτοὺς καὶ εἰ μετὰ τὸν ἐκ ψυχῆς καὶ σώματος ἐν ἰδιώμασιν χαρακτηριστικοῖς θεωρούμενον ἄνθρωπον, πολλὰς ὑποστάσεις καὶ πολλοὺς ἀνθρώπους δοκεῖτε ποιεῖν; οὐ γὰρ δὴ τοσοῦτον ἠλίθιοι πεφύκατε, ὥστε ἀγνοεῖν ἑτέραν μὲν εἶναι κατ' οὐσίαν τὴν ψυχὴν πρὸς τὸ σῶμα, ἕτερον δὲ τὸ σῶμα τὸν περὶ τῆς οὐσίας λόγον ἐπέχειν· εἰ δὲ ἑκάστη οὐσία καθ' ὑμᾶς ἰδικὴν ὑπόστασιν χαρακτηριστικὴν ἀναδέχεται, κοινά μοι τὰ τῆς ἑνώσεως, καὶ ὁ εἷς γέγονα δύο, ἵνα ὑμῖν δόξῃ καὶ τοῖς ματαίοις σκινδαλάμοις· εἰ δὲ ἐγὼ ἐκ διαφόρων οὐσιῶν δύο συγκείμενος, οὐκ εἰμὶ δύο ἄνθρωποι, ἀλλὰ καὶ τὰς δύο ἔχω οὐσίας τῆς ψυχῆς καὶ τοῦ σώματος, καὶ ἐν ὑποστάσει μιᾷ θεωροῦμαι, τίς ἀνάγκη καὶ ἐπὶ Χριστοῦ τὰς δύο οὐσίας ὁμολογοῦντα, δύο φάναι καὶ ἰδικὰς τὰς ὑποστάσεις αὐτοῦ; μὲν γὰρ τῇ φύσει τὰ θεῖα, αὐτοῦ δὲ διὰ τὴν ἐνυπόστατον ἕνωσιν τὰ ἀνθρώπινα· οὐ γὰρ ἐν ἑτέρῳ, ἀλλ' ἐν αὐτῷ ἡ ἰδικὴ αὐτοῦ ὑφέστη σάρξ, ὡς προείρηται· τὸ κοινὸν γὰρ ἔχουσα τῆς ἀνθρωπίνης οὐσίας τοῦτο, τὸ εἶναι σὰρξ ἐψυχωμένη ψυχῇ λογικῇ, ἐν μόνῳ τῷ θείῳ λόγῳ ἔσχεν τὰ ἰδικά, τουτέστιν τὸ εἶναι τοῦ θεοῦ λόγου καὶ οὐχ ἑτέρου σάρξ· πῶς οὖν ἑτέρα ὑπόστασις, ἡ μηδόλως καθ' ἑαυτὴν ὑποστᾶσα;

Ἄλλως τε μηδὲ τοῦτο ἀγνοείτωσαν ὅτι ἀντὶ οὐσίας ἡ ὑπόστασις τοῖς ἁγίοις πατράσι πολλάκις ἐνόηται, ὡς καὶ Κυρίλλῳ δοκεῖ· ἐν γὰρ τῷ γ' ἀναθεματισμῷ φησίν· εἴ τις ἐπὶ τοῦ ἑνὸς Χριστοῦ διαιρεῖ τὰς ὑποστάσεις μετὰ τὴν ἕνωσιν· τὸ γὰρ ὑφεστηκὸς ἐνταῦθα δηλοῖ ἡ ὑπόστασις· οὐ γὰρ ἂν ὁ θεοφόρος ἐπὶ τοῦ ἑνὸς Χριστοῦ ὑποστάσεις ὠνόμαζεν ὁ ταῖς Νεστορίου βλασφημίαις ἀεὶ πολεμῶν, εἰ μὴ ἀντὶ οὐσιῶν αὐτὰς ἐδέχετο· ὁμοίως καὶ ὁ ἅγιος Ἀθανάσιος ἐν τῇ πρὸς Ἄφρους ἐπιστολῇ φησίν· ἡ δὲ ὑπόστασις οὐσία ἐστί, καὶ οὐδὲν ἄλλο σημαινόμενον ἔχει, ἢ αὐτὸ τὸ ὄν· ὅπερ ὁ Ἱερεμίας ὕπαρξιν ὀνομάζει λέγων, καὶ οὐκ ἤκουσαν φωνὴν ὑπάρξεως· ἡ γὰρ ὑπόστασις καὶ ἡ οὐσία, ὕπαρξίς ἐστιν· ἔστι γὰρ καὶ ὑπάρχει· εἰ οὖν τις ἐντοπωτάτους κατὰ τοῦτον τὸν λόγον εἴποι τὰς οὐσίας, ὡς ὄντως ὑπαρχούσας, οὐδὲ ἡμεῖς ἀρνηθείημεν· ἡ γὰρ ὑπόστασις πρὸς τὴν οὐσίαν τῷ εἶναι μέν τι οὐ διαφέρει, ἀλλὰ τῷ τὴν μὲν κοινῶς εἶναι, φημὶ δὲ τὴν οὐσίαν· τὴν δ' ὑπόστασιν ἰδίως ὅλην μετὰ τῶν καθόλου καὶ ἰδικόν τι ἔχειν· οὐ κατὰ τοῦτο οὖν φαμὲν τὴν ἡμετέραν ἐν Χριστῷ οὐσίαν ἀνυπόστατον εἶναι, οἷον ὑπόστασιν καθ' ἑαυτὴν χαρακτηριστικὴν καὶ πρόσωπον οὖσαν, ἀλλὰ καθ' ὃ ὑφέστηκέν τε καὶ ἐστί· ἐνίοτε γὰρ τὸ ὑφεστηκέναι δηλοῖ ἡ ὑπόστασις, ὅ ἐστιν οὐσία, ὡς ἀποδέδεικται, ὅταν τῶν χαρακτηριστικῶν ἰδιω-

μάτων καὶ περὶ πρόσωπον θεωρουμένων ἱστόρηται.

Cap. XXVIII.

Περὶ τῆς κατ' ἐπίνοιαν θεωρίας, καὶ τοῦ δυνάμει καὶ ἐνεργείᾳ, καὶ περὶ ἕξεως καὶ στερήσεως.

Ἐκ τῶν Λεοντίου μοναχοῦ τοῦ Βυζαντίου.

Τὴν ἐπίνοιαν οἱ πατέρες καὶ ὁ ἀληθὴς λόγος διττὴν εἶναι ἀπεφήναντο· ἡ μὲν γὰρ οἱονεὶ ἐπίνοιά τις καὶ ἐπενθύμησίς ἐστι, τὴν ὁλοσχερῆ τῶν πραγμάτων καὶ ἀδιάρθρωτον ἐξαπλοῦσα τε καὶ διασαφοῦσα θεωρίαν καὶ γνῶσιν, ὡς τὸ αἰσθήσει δόξαν εἶναι ἁπλοῦν τῇ πολυπραγμοσύνῃ τοῦ νοῦ, πολυμερές τε καὶ ποικίλον ἀναφαίνεσθαι· ἡ δὲ, ἀνάπλασμα διανοίας τυγχάνει κατὰ συμπλοκὴν αἰσθήσεώς τε καὶ φαντασίας, ἐκ τῶν ὄντων τὰ μηδαμῶς ὄντα συντιθεῖσα, καὶ εἶναι δοξάζουσα· τοιαύτη δ' ἐστὶν ἡ τῶν ἱπποκενταύρων καὶ σειρήνων μυθοπλαστία· τῶν γὰρ ὅλων τὰ μέρη λαμβάνουσα, καὶ ἐκ μερῶν ἄλλο τι συντιθεῖσα κατὰ πολλὴν ἐξουσίαν τε καὶ εὐκολίαν, τὰ μηδαμῶς ἐν ὑποστάσει καὶ οὐσίᾳ θεωρούμενα ἐν τῇ διανοίᾳ καὶ τοῖς λόγοις ἀνέπλασεν εἶτα καὶ ταῖς ὕλαις διαμορφουμένη ἂν εἰδωλοποιήσειν.

Σχόλιον.

Ἐπειδὴ δὲ ἀκούοντες οἱ τῇ ὀρθῇ μαχόμενοι δόξῃ, τοῦ ἁγίου Κυρίλλου λέγοντος ὅτι περ ἐν ψιλαῖς δηλόντος ἐπινοίαις, καὶ ὡς ἐν ἰσχναῖς θεωρίαις ἤτοι νοῦ φαντασίαις τὴν διαφορὰν δεξάμενοι, οὐκ ἀνὰ μέρος τιθέντες φύσεις, οὔτε μὴν διάμπαξ διὰ τομῆς δύναμιν ἐξίεμεν αὐταῖς· εἶτα καὶ τοῦ ἁγίου Γρηγορίου λέγοντος ἡνίκα αἱ φύσεις διίστανται ταῖς ἐπινοίαις, συνδιαιροῦνται καὶ τὰ ὀνόματα· ἐκεῖνοι τὴν ἔννοιαν διαστρέφοντες τῶν διδασκάλων, οὐκέτι τὴν διαίρεσιν λέγουσι κατ' ἐπίνοιαν, ἀλλ' αὐτὰς τὰς φύσεις μόνῃ ἐπινοίᾳ ψιλῇ θεωρεῖσθαι διισχυρίζονται· ἐρωτητέον αὐτοὺς τί βούλεται αὐτοῖς ἐπίνοια σκοπεῖν, ὅτι μετὰ τὴν ἕνωσιν τὰ ἐξ ὧν ὁ Χριστὸς θεωρεῖν δοκοῦσα, ὥς φασιν; ὄντα πράγματα ἐν τῷ Χριστῷ καὶ ὑποκείμενα θεωρίᾳ, ἢ μὴ ὄντα μηδὲ ὑποκείμενα ἀληθῆ, καὶ ὑφεστῶτα, ἢ ἀναπλάσματα διανοίας; εἰ μὲν οὖν ἀληθῆ καὶ ὑφεστῶτα πράγματα καὶ ὑποκείμενα ἡ ἐπίνοια θεωρεῖ ἐν τῷ Χριστῷ, δύο πάντως τὰ ὑποκείμενα καὶ μετὰ τὴν ἕνωσιν· εἰ δὲ μὴ ἀληθῆ μηδὲ ὄντα ἡ ἐπίνοια ἀναπλάττει καὶ θεωρεῖ, μάτην καὶ τὸ ἐκ δύο ὑποκρίνονται, καὶ ψιλαῖς ἐπινοίαις τὴν ἕνωσιν δογματίζουσιν μηδὲν ἔχουσαν ὑποκείμενον· εἰ γὰρ ἔχει τι ὑποκείμενον ἡ θεωρία, καὶ μὴ ψιλός ἐστιν ἀναπλασμὸς ἡ ἕνωσις, ἀλλὰ πραγμάτων ὑφεστώτων, πάντως που καὶ μετὰ τὴν ἕνωσιν θεωρεῖσθαι τὰ ἑνωθέντα οὐκ ἂν ἀρνηθείημεν, εἰ μήπω ἀφανισμὸς καὶ σύγχυσις ἢ μεταβολὴ ἢ ἀλλοίωσις ἢ τροπὴ μετὰ τὴν ἕνωσιν παρηκολούθησεν· ἐπειδὴ δὲ διαφορὰν δοκοῦσιν ὁμολογεῖν, γινωσκέτωσαν ὡς προϋποκειμένων τῶν φύσεων, αἱ διαφοραὶ προσεπινοοῦνται. Οὕτω γὰρ καὶ Κύριλλος ὁ θειότατος ἐν τῷ α' βιβλίῳ τοῦ θησαυροῦ κεφαλαίῳ β' ἐδίδαξεν εἰπών· εἰ πᾶσα διαφορὰ κ. τ. λ.

Ἐξήγησις περὶ τοῦ δυνάμει καὶ ἐνεργείᾳ.

Ἐκ τῶν σχολίων Ἠλίου.

Μεταξὺ τοῦ δυνάμει καὶ τοῦ ἐνεργείᾳ ὄντος, ἰστέον ὅτι δυνάμει λέγεται, ὅπερ πῇ μέν ἐστι, πῇ δὲ οὐκ ἔστιν· οἷον ὡς ἐπὶ τοῦ σπέρματος τοῦ ἀνθρώπου· τοῦτο γὰρ πῇ μέν ἐστιν ἄνθρωπος, πῇ δὲ οὐκ ἔστιν· δυνάμει μὲν γὰρ ἄνθρωπός ἐστι, καθ' ὃ δύναται ἀποτελεσθῆναι ἄνθρωπον· ἐνεργείᾳ δὲ οὐκ ἔστιν ἄνθρωπος, ἀλλὰ σπέρμα ἀνθρώπου, ὡς ἐπὶ τοῦ κόκκου τοῦ σίτου· τοῦτο γὰρ πῇ μὲν στάχυς ἐστὶ, πῇ δὲ οὐκ ἔστι· δυνάμει μὲν γὰρ στάχυς ἐστὶ, καθ' ὃ ἀποτελεῖ στάχυν σπειρόμενος· ἐνεργείᾳ δὲ οὐκ ἔστι στάχυς, ἀλλὰ σῖτος· καὶ τὸ χλιαρὸν ἐνερ-

γείᾳ μὲν οὐκέτι ψυχρὸν οὔτε θερμόν ἐστι, δυνάμει δὲ ναί· καθ' ὃ δύναται γενέσθαι ψυχρὸν μὲν, ψυχόμενον· θερμὸν δὲ θερμαινόμενον· καὶ πάλιν τὸ παιδίον ἐνεργείᾳ μὲν, οὔτε ἀρετὴν λέγεται ἔχειν οὔτε κακίαν, δυνάμει δὲ ναί, καθ' ὃ δύναται ἔχειν. διττὸν δέ ἐστι τὸ δυνάμει· τὸ μὲν γὰρ κατ' ἐπιτηδειότητα μόνον ἐστὶ, τὸ δὲ καθ' ἕξιν καὶ κατ' ἐπιτηδειότητα μέν ἐστιν, ὡς ὅταν εἴπωμεν τὸ παιδίον δυνάμει γραμματικὸν εἶναι, καθ' ὃ ἔχει ἐπιτηδειότητα πρὸς τὸ γενέσθαι γραμματικόν· καθ' ἕξιν δὲ, ὡς ὅταν εἴπωμεν τὸν ἠρεμοῦντα γραμματικὸν δυνάμει γραμματικὸν εἶναι, καθ' ὃ οἶδε καὶ γινώσκει τοὺς λόγους, οὐ κέχρηται αὐτοῖς· καὶ τὸ ἐνεργείᾳ δὲ διττόν ἐστι· τὸ μὲν γάρ ἐστι καθ' ἕξιν, τὸ δὲ κατὰ προχείρισιν· καὶ καθ' ἕξιν μέν ἐστιν ὡς ὅταν εἴπωμεν τὸν ἠρεμοῦντα καὶ μὴ ἐξηγούμενον γραμματικὸν, ἐνεργείᾳ γραμματικὸν εἶναι, καθ' ὃ οἶδε καὶ ἠρεμεῖ καὶ οὐκ ἐξηγεῖται, ἀλλ' οὖν ἕξιν ἔχει τοὺς λόγους τῆς γραμματικῆς· τοῦτο δὲ ταυτόν ἐστι τῷ καθ' ἕξιν δυνάμει, ἀλλὰ κατὰ τὴν φωνὴν διαφέρει, καθ' ὃ τὸ μὲν δυνάμει λέγεται, τὸ δὲ ἐνεργείᾳ· κατὰ προχείρισιν δέ ἐστιν, ὡς ὅταν εἴπωμεν τὸν ἐξηγούμενον γραμματικὸν, ἐνεργείᾳ γραμματικὸν εἶναι, καθ' ὃ ἐν προχείρῳ ἔχει τὰ τῆς γραμματικῆς θεωρήματα.

Ἄλλως περὶ τοῦ δυνάμει.

Ἐκ τοῦ Στεφάνου φιλοσόφου.

Δύναμις λέγεται καὶ τὸ πρῶτον σημαινόμενον τὸ κατ' ἐπιτηδειότητα ὂν καὶ φύσιν· ὥσπερ λέγομεν τὸ παιδίον γραμματικὸν εἶναι, τουτέστι δύναμιν ἔχειν ἐπὶ γραμματικὴν ἐλθεῖν· δύναμις λέγεται καὶ τὸ δεύτερον σημαινόμενον τὸ καθ' ἕξιν· τρίτον, τὸ κατὰ τὴν δραστικὴν ποιότητα· τέταρτον, τὸ κατὰ τὴν παθητικὴν· πέμπτον, τὸ τοῦ καλοῦ καὶ εὖ ἔχοντος ἀποδοτικὸν, ὡς λέγομεν ὅτι καλῶς βαδίζει, ὡς εὖ τρέχει· ἕκτον, τὸ σπανίως γινόμενον, ὡς τὸ διανήξασθαι τὸ πέλαγος.

Ὅτι πολύσημον τὸ τῆς δυνάμεως ὄνομα.

Ἰστέον ὅτι ἡ ἐνέργεια δυνάμεώς ἐστιν ἀποτέλεσμα, καὶ ὅτι τὴν ἐνέργειαν δύναμις πάντως προβάλλεται· τὸ δὲ τῆς δυνάμεως ὄνομα πολύσημόν ἐστι, καὶ τῶν ὁμωνύμων ὑπάρχει ἡ δύναμις· δύναμιν γὰρ φαμὲν ποτὲ μὲν τὴν ἰσχὺν καὶ οἷον ῥώμην, εἴ τε νοῦ εἴ τε σώματος, ὥσπερ ἐπὶ τῶν ἀγγέλων εἴρηται, δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ· καὶ πάλιν περὶ σωματικῆς ἰσχύος, καὶ περιέζωσάς με δύναμιν εἰς πόλεμον· καὶ αὖθις, καταισχύνθησαν ἀπὸ πάσης δυναστείας αὐτῶν, καὶ ἡ ἰσχὺς αὐτῶν συντριβείη· ποτὲ δὲ τὴν φυσικὴν ἕξιν ἢ ἐπιτηδειότητα, ἐξ ὧν αἱ κατ' αὐτὰς προΐασιν ἐνέργειαι, ὡς ὅταν λέγωμεν θερμαντικὴν δύναμιν κεκτῆσθαι τὸ πῦρ, ἢ φωτιστικὴν τὸν ἥλιον· δύναμιν τε φαμὲν τὸ παιδίον ἔχειν γραμματικῆς ἢ τινὸς ἑτέρας ἐπιστήμης μεταλαβεῖν· τουτέστιν ἐπιτηδειότητα, καθ' ἣν τῶν ἐπιστημῶν μεταλαμβάνειν δυνάμεθα, ἣ τοῖς ἄλλοις ζώοις οὐ μέτεστιν· ὡσαύτως δύναμις λέγεται καὶ ἡ στρατιὰ, ταυτό ἐστι τὸ τῶν στρατευμάτων πλῆθος· ὡς πᾶσα ἡ δύναμις τῶν χαλδαίων, καὶ πᾶσα ἡ δύναμις τῶν ἀλλοφύλων· ἀμφότερα γὰρ ἐπὶ τῶν ὁπλικῶν στρατευμάτων εἴρηται· τοῦτο δ' αὐτὸ σημαίνει καὶ τὸ εὐλογεῖτε τὸν κύριον πᾶσαι αἱ δυνάμεις αὐτοῦ· καὶ τὸ κύριος τῶν δυνάμεων μεθ' ἡμῶν· τινὲς γὰρ τῶν ἑρμηνευτῶν πᾶσαι αἱ στρατιαὶ αὐτοῦ, καὶ κύριος τῶν στρατιῶν ἐκδεδώκασι.

Περὶ ἕξεως καὶ στερήσεως.

Ἰστέον ὡς ἐν τοῖς καθ' ἕξιν καὶ στέρησιν ἀντικειμένοις δεῖ τὸ μὲν εἶναι κατὰ φύσιν, τὸ δὲ παρὰ φύσιν· ὁμοίως ἐπὶ τῆς ἕξεως καὶ στερήσεως ἀδύνατον εἰς ἄλληλα μεταβολὴν γενέσθαι· ἀπὸ μὲν γὰρ τῆς ἕξεως ἐπὶ τὴν στέρησιν γίνεται μεταβολή· καὶ ἀπὸ δὲ τῆς στερήσεως ἐπὶ τὴν ἕξιν ἀδύνατον· οὐδεὶς γὰρ τυφλὸς γενόμενος ἀνέβλεψεν πάλιν· οὔτε φαλακρὸς ὢν κομήτης ἐγένετο· οὔτε νωδὸς ὢν, ὀδόντας ἔφυσεν· πάλιν ἐν

τοῖς καθ' ἕξιν καὶ στέρησιν ἀντικειμένοις τὰ τρία ταῦτα δεῖ ἐπιτηρεῖν, τὸ πεφυκὸς ἔχειν, καὶ ἔνθα πέφυκεν ἔχειν, καὶ ὅτε πέφυκεν ἔχειν· οἷον τε οὐ δυνάμεθα τὸν λίθον λέγειν τυφλὸν, εἶτα ἔχειν· πάλιν τὸν πόδα οὐ λέγομεν ἀκοῆς ἐστερῆσθαι, διότι οὐ πέφυκεν ἔχειν τὸ μόριον τοῦτο τὸ οὖς· πάλιν τὸ ἀρτίγονον σκυλάκιον οὐ λέγομεν τυφλὸν, οὔτε τὸ βρέφος νωδὸν, διότι οὐ κατ' ἐκεῖνον τὸν χρόνον πέφυκεν ἔχειν τὸ μὲν ὄψιν, τὸ δὲ ὀδόντας· ὅταν οὖν κατὰ τὰ τρία ταῦτα δέον ἔχειν οὐκ ἔχῃ, ἐστερῆσθαι λέγεται.

Cap. XXIX.

Ὅτι οὐ μία φύσις ὁ καθέκαστα ἄνθρωπος· τούτῳ γὰρ ἄνω καὶ κάτω κέχρηνται τῷ παραδείγματι οἱ αἱρετικοὶ, ἀλλὰ δύο· εἰ καὶ μιᾶς λέγεται ὁ ἄνθρωπος φύσεως, διὰ τὸ ταυτὸν τοῦ εἴδους· καὶ διδασκαλία περὶ συνθέτου φύσεως· καὶ πότε τὰ συντιθέμενα, μία λέγεσθαι φύσις δύναται.

Ἀναστασίου Ἀντιοχείας ἐκ τῶν κατὰ τοῦ διαιτητοῦ.

Κἂν μιᾶς δὲ ποτὲ λέγηται φύσεως ὁ ἄνθρωπος, οὐχ ὁ καθ' ἕκαστον, ἀλλ' ὁ καθόλου, διά τε ταυτὸν τοῦ εἴδους καὶ τὴν τῆς κατασκευῆς ὁμοιότητα, τῆς φύσεως ἀντὶ τοῦ κοινοῦ εἴδους καὶ τῆς παραπλησίας πεφυκέναι λαμβανομένης· καὶ πάλιν οὐ τοίνυν μία φύσις ψυχῆς τε καὶ σώματος· ἡ μὲν γὰρ λογικὴ ἐστὶ καὶ νοερὰ καὶ ἀσώματος, τὸ δὲ παχύ τε καὶ θνητὸν καὶ ἄλογον· οὐ μιᾶς δὲ κατ' οὐσίαν ἀντιδιαιρούμενα φύσεως, οὐ μιᾶς ἄρα γε οὐσίας ὁ ἄνθρωπος· καὶ ἄλλως γὰρ φάναι, εἰ πᾶς ὅρος τῆς ὑποκειμένων φύσεων ἐστὶ δηλωτικὸς, λέγεται καθ' ὁρισμὸν ζῶον λογικὸν θνητὸν ὁ ἄνθρωπος· οὐ ταυτὸν δὲ κατὰ φύσεως λόγον τὸ λογικὸν τῷ θνητῷ, οὐκ ἄρα μιᾶς εἴη ὁ ἄνθρωπος φύσεως κατὰ τὸν τοῦ οἰκείου ὁρισμοῦ κανόνα· εἰ δὲ λέγοιτο ποτὲ μιᾶς φύσεως ὁ ἄνθρωπος, ἀντὶ τοῦ εἴδους τὸ τῆς φύσεως παραλαμβάνεται ὄνομα· ὡς ἂν εἶεν λεγόντων ἡμῶν ὅτι μὴ διαλλάττει κατά τινα φύσεως διαφορὰν ἄνθρωπος ἀνθρώπου, ἀλλ' ὡσαύτως ἔχειν ἀλλήλοις πεφύκασιν ἄνθρωποι, κατὰ τὸν τῆς συστάσεως λόγον, ὥστε καὶ ὑφ' ἕνα πάντας ἀνάγεσθαι ὁρισμόν· καὶ οὐ παράδοξον δὴ τοῦτο, ὅπου γε καὶ πάντα ἅμα καθόλου τὰ γενητὰ κτιστὰ, εἴ τε λογικὰ εἴη εἴ τε σωματικὰ, μιᾶς ἐστὶν ὅτι συγκαταλεγομένων φύσεως κατ' αὐτὸ τὸ τῆς κτιστοῦ, πρὸς ἀντιδιαστολὴν τῆς ἀκτίστου καὶ ἀγενήτου θείας φύσεως, ὡς ἐναργῶς δηλοῖ πρὸς τοῖς ἄλλοις ἅπασι διδασκάλοις ὁ ἐν ἁγίοις Ἀθανάσιος ἐν τῷ κατὰ τῶν βλασφημούντων τὸ πνεῦμα τὸ ἅγιον οὑτωσὶ λέγων· ὅτι δὲ ἔξω τῆς κτίσεώς ἐστι τὸ πνεῦμα, καὶ ἄλλο μὲν παρὰ τὴν τῶν γενητῶν φύσιν, ἴδιον δὲ τῆς θεότητος, ἔξεστι καὶ ἐκ τούτου πάλιν συνιδεῖν, καὶ ἑξῆς· οὐκ ἄρα γε οὖν μιᾶς εἴη φύσεως ὁ καθ' ἕκαστα καὶ ἄτομος ἄνθρωπος, ἀλλὰ μιᾶς μὲν ὑποστάσεως, δύο δὲ φύσεων.

Ἐκ τῶν Εὐλογίου συνηγοριῶν περὶ τοῦ αὐτοῦ κεφαλαίου.

Πᾶν ὃ κοινῶς καὶ ἐν πολλοῖς θεωρεῖται, οὐ τισὶ μὲν πλέον, τισὶ δὲ ἔλαττον ὑπάρχον, οὐσία ὀνομάζεται· ἐπεὶ οὖν τῷ καθέκαστον ἀνθρώπῳ ἐξ ἴσου πρόσεστι τὸ τὴν σάρκα ἐψυχωμένην ψυχῇ λογικῇ, ὅ ἐστιν ἀνθρωπότης, κατὰ τοῦτο τὴν ἀνθρωπότητα καὶ δύο οὐσιῶν ὑπάρχουσαν γνώρισμα, μίαν φαμὲν οὐσίαν, ὡς κοινῶς ἐν πᾶσιν ἀνθρώποις καὶ ἐξ ἴσου θεωρουμένην· ἐπὶ δὲ τῆς ὑποστάσεως τοῦ Ἐμμανουὴλ οὐ φαμὲν ποιῆσαι μίαν οὐσίαν τὴν ἕνωσιν τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος, ἐπεὶ ἀνάγκη καὶ ἐν πολλοῖς θεωρεῖσθαι τὴν τοιαύτην οὐσίαν· ἡ γὰρ φύσις, ὅ ἐστιν οὐσία, ἐν πολλοῖς ἐξ ἴσου θεωρεῖται, ὡς ἀποδέδεικται· εἰ οὖν μίαν οὐσίαν φασὶ γενέσθαι τὰ δύο, πάντως που τῆς τοιαύτης οὐσίας μετειλήφασιν ἕτεροι, καὶ ἔσονται πολλοὶ ἐξ ἴσου τῷ Ἐμμανουὴλ, ὅπερ οὐκ ἔστι μηδὲ τοσοῦτον παραφρονήσαιεν οἱ νῦν συκοφάν-

Digitized by Google

ται, οἱ καὶ λίαν θεόμαχοι καὶ τῆς ἀληθείας ἐχθροὶ καθεστήκασιν. Καὶ μεθ' ἕτερα. Τὴν ἀνθρωπότητα σύνθετον οὖσαν ἐξ ἀνομοίων πραγμάτων, μιᾶς οὐσίας φαμὲν, οὐ πρὸς τὴν διαφορὰν τῆς ψυχῆς καὶ τοῦ σώματος, ἀλλὰ πρὸς τὸ κοινὸν ἀφορῶντες, ὅτι κοινῶς ἐν πᾶσι τοῖς ὑπὸ τὸ αὐτὸ εἶδος ἀναγομένοις θεωρεῖται· οὗτος γάρ ἐστιν τῆς οὐσίας ὁ ὅρος, ὡς Βασίλειος ἐπαίδευσε λέγων, ὅτι ὃν ἔχει λόγον τὸ κοινὸν πρὸς τὸ ἴδιον, τοῦτον ἔχει ἡ οὐσία πρὸς ὑπόστασιν· κατὰ τοῦτον οὖν τὸν τῆς κοινότητος λόγον, μιᾶς οὐσίας φαμὲν τὴν ἀνθρωπότητα, ὅτι κοινῶς ἐν πᾶσιν ἀνθρώποις τοῖς καθ' ἕκαστον καὶ ἐξ ἴσου ὑπάρχει τὸ εἶναι ζῶον λογικὸν θνητὸν νοῦ καὶ ἐπιστήμης δεκτικόν· οὗτος γὰρ ὁ ὅρος τῆς ἀνθρωπότητος· ἐπ' ὧν δὲ τὰ ἐξ ὧν ἐστι λογισώμεθα, καὶ ψυχὴν ὀνομάσωμεν, καὶ σῶμα σκοπήσωμεν, τὸ ἑτεροφυὲς καὶ τὰ ἴδια τῶν οὐσιῶν καὶ μετὰ τὴν ἕνωσιν οὐκ ἀρνηθείημεν· εἰ γὰρ τῆς αὐτῆς οὐσίας τὸ σῶμα καὶ ἡ ψυχὴ, τῶν δύο ὁμοουσίων ὁ αὐτὸς λόγος· φθαρτὸν δὲ τὸ σῶμα, οὐκοῦν ἄρα καὶ ἡ ψυχὴ διαφθείρεται, καὶ τὸ λέγειν ἀθάνατον εἶναι τὴν ψυχὴν ψευδὲς ἀναδειχθήσεται διὰ τὰς ὑμῶν ἀνοήτους καινοφωνίας.

Ἰουστίνου φιλοσόφου καὶ μάρτυρος ἐκ τοῦ περὶ τριάδος βιβλίου γ.

Ὥσπερ εἷς μέν ἐστιν ἄνθρωπος, ἔχει δὲ φύσεις διαφόρους δύο, καὶ κατ' ἄλλο μὲν λογίζεται κατ' ἄλλο δὲ τὸ λογισθὲν ἐνεργεῖ· καὶ τὰ ἑξῆς.

Πρὸς τοὺς λέγοντας ὅτι εἰ δύο φύσεων ὁ ἄνθρωπος, τρεῖς ἀνάγκη λέγειν ὑμᾶς τὸν Χριστόν.

Ἐκ τοῦ Ἡρακλειανοῦ, ἀπολογία πρὸς ταῦτα.

Πᾶν σύνθετον ἐξ ἐκείνων λέγεται συμπληροῦσθαι ἐκ τῶν προσεχῶς εἰς τὴν αὐτοῦ σύνθεσιν παραλαμβανομένων ἁπλῶν τινῶν καὶ στοιχείων λόγον ἐπεχόντων ἐν τῇ συνθέσει τοῦ ὅλου, καὶ τῇ πρὸς τὸ πᾶν συγκρίσει, κἂν τύχοι αὐτὰ ἐφ' ἑαυτῶν σκοποῦμεν σύνθετα εἶναι· οἷον δὲ τί φαμέ· προκείσθω ἡμῖν ἐν παραδείγματος μέρει οἶκος· ἀλλ' οὗτος πεποίηται δηλονότι ἐκ λίθων τε καὶ ξύλων καὶ σιδήρου καὶ ἄλλης τινὸς ὡς εἰπεῖν ὕλης· ἀλλ' οὐδεὶς οἶμαι τῶν νοῦν ἐχόντων εἴποι ποτὲ συγκεῖσθαι τὴν οἰκίαν ἐξ ὕλης καὶ εἴδους, καίτοι οἵ τε λίθοι καὶ τὰ ξύλα καὶ ὁ σίδηρος δῆπα, καὶ ἵνα συνελὼν εἴπω, πᾶν ἕτερον σῶμα ἐκ τῶν δ συγκεῖται στοιχείων, κἀκεῖνα πάλιν ἐξ ὕλης καὶ εἴδους, ὥστε πρῶτα στοιχεῖα τῶν σωμάτων εἶναι τὸ εἶδος καὶ τὴν ὕλην. Καὶ μεθ' ἕτερα. Ἡνίκα γοῦν περὶ τῶν πρώτων καὶ ἁπλῶν σωμάτων τὸν λόγον ποιούμεθα, τηνικαῦτα ὡς ὅλων ἐκεῖνα παραλαμβάνοντες, τὴν ὕλην καὶ τὸ εἶδος συμπληρωτικὰ τούτων εὑρίσκομεν· ὁπότε μέν τοι τὰ μετὰ τὰ πρῶτα καὶ ἁπλᾶ σώματα, ἅπερ σύνθετα καλοῦμεν, σκοποῦμεν, τηνικαῦτα αὐτὰ ταῦτα ἅπερ εἴπομεν πρῶτα καὶ ἁπλᾶ στοιχεῖα λαμβάνομεν, καὶ συμπληρωτικὰ τῶν σωμάτων τούτων εἶναι φαμέν· ὅτε δὲ πάλιν ἐκ σώματος καὶ τινὸς ἑτέρου οἷον ἐκ ψυχῆς καὶ σώματος συγκείμενόν τι εἰς διάσκεψιν ἡμῖν πρόκειται, τότε οὔτε τῶν στοιχείων οὔτε πολλῷ μᾶλλον τῆς ὕλης τε καὶ εἴδους λόγον ποιούμεθα, ἀλλ' αὐτῶν διὰ τῶν προσεχῶς συντεθέντων τὸ σύγκριμα, τουτέστιν ψυχῆς καὶ σώματος λέγομεν, καὶ οὐδένα λόγον τῶν ἑκατέρων τούτων συντεθέντων ποιούμεθα· ἐπεὶ καὶ τὴν ψυχὴν πολυμερῆ φασὶν εἶναι, καὶ οὐδενὸς ἐν τῇ τοῦ ἀνθρώπου συνθέσει τούτων μνημονεύομεν.

Σχόλιον.

Ἡμῖν μὲν οὖν, ὡς προαποδέδεικται, οὐ συνάγεται τὸ λέγειν τρεῖς φύσεις τὸν Χριστὸν ἐκ τοῦ λέγειν τὸν καθέκαστα ἄνθρωπον δύο φύσεων, διὰ τὸ σώζεσθαι ταύτας ἐν αὐτῷ, καὶ τὰς τούτων διαφοράς τε καὶ ἰδιότητας θεωρεῖσθαι καὶ μετὰ τὴν ἕνωσιν τῆς ψυχῆς πρὸς τὸ σῶμα· ῥα-

Digitized by Google

τίον δὲ πρὸς τοὺς τὰ τοιαῦτα προτείνοντας, ὅτι μᾶλλον ὑμῖν συνάγεται τὸ ἐκ τριῶν λέγειν φύσεων τὸν Χριστὸν, εἴ γε ἐκ λογικῆς ψυχῆς αὐτὸν καὶ σώματος καὶ πιστεύετε καὶ θεότητος, καὶ μὴ κατὰ τὸν Ἄρειον ἄψυχον σῶμα ἀνειληφέναι τὸν λόγον δοξάζετε· οὐ γὰρ δύνασθε λέγειν ὡς πρότερον τῆς νοερᾶς ψυχῆς τῷ σώματι ἑνωθείσης καὶ ὑποστησάσης ἄτομον καὶ ἄνθρωπον ἰδιάζοντας· τοῦτο γὰρ ὑμῖν ἡ μία φύσις δογματίζεται· εἶθ' οὕτως ἡ τοῦ λόγου φύσις ἤγουν ὑπόστασις τῷ ἀνθρώπῳ συνήφθη· τοῦτο γὰρ λέγοντες, Νεστορίου δόγμα κρατύνετε, ψιλὸν ἄνθρωπον πρότερον ὑφιστάντες, ἵνα τὴν μίαν φύσιν ἐν φανῇ καὶ ἐπὶ τοῦ ἀνθρώπου κυρώσητε, εἶτα συνάπτοντες αὐτῷ τὴν τοῦ λόγου ὑπόστασιν· ἡμῖν δὲ οὐδὲν τοιοῦτο συνάγεται, κἂν δύο φύσεις μετὰ τὸν καθέκαστα ἄνθρωπον εἴπωμεν, πρὸς τὰ μέρη, ὡς εἴρηται, βλέποντες καὶ τὰ ἐξ ὧν ἐστι διασκοποῦντες· οὐ γὰρ τὸν ἐν ἰδίᾳ ὑποστάσει νοούμενον ἄνθρωπον ἑνοῦσθαι τῷ θείῳ λόγῳ δογματίζομεν, ἀλλ' ἐκ δύο φύσεων καὶ ἐν δύο φύσεσι τελείως ἐχούσαις τὸν Χριστὸν ὁμολογοῦμεν· πῶς νῦν εἴπωμεν ἐκ τριῶν ἢ ἐν τρισὶν, ἐντελεῖς εἰδότες φύσεις, θεότητα φημὶ καὶ ἀνθρωπότητα; οὔτε γὰρ σῶμα χωρὶς ψυχῆς ἄνθρωπος, οὔτε ψυχὴ καθ' ἑαυτὴν ἄνθρωπος· εἰπόντες δὲ φύσιν ἀνθρώπου, τὸ ἐκ ψυχῆς καὶ σώματος σύγκριμα ἐσημάναμεν· φύσιν γὰρ καλοῦμεν τὸ κοινὸν εἶδος, τὸ ἐν πᾶσι τοῖς ὑπ' αὐτὸ ἀτόμοις ἐξίσης θεωρούμενον, ἥτις ἐν αὐτῷ τῷ λόγῳ, ἡ κοινὴ λέγω φύσις, μετὰ τῶν χωριζόντων αὐτὴν ἀπὸ τῶν λοιπῶν ἰδιωμάτων ὑποστᾶσα, ἐν αὐτῇ τῇ τοῦ λόγου ὑποστάσει τὸ εἶναι ἔσχεν· οὐ γὰρ ὑπόστασιν ἑτέραν προσλαβόμενος ὁ λόγος ἥνωσεν ἑαυτῷ, ἀλλὰ φύσιν ἀνθρωπίνην ἀφράστως καὶ ὡς οὐκ ἔστιν οὐδὲ ἐννοῆσαι, τὴν ἑαυτοῦ ἡνωμένην ὑπόστασιν καὶ ἐν αὐτῷ κυριώτερον εἰπεῖν ὑφίστασαν· ὑμεῖς δὲ αὐτὴν τὴν ἰδιοσύστατον ὑπόστασιν φύσιν καλοῦντες, ἢ ἐκ τριῶν ἀναγκασθήσεσθε λέγειν πάντως τὴν ἕνωσιν φύσεων, ἵνα πρὸ τοῦ ὑποστῆναι τοῦ ἀνθρώπου τὴν φύσιν, ἑνώσητε τὴν ψυχὴν καὶ τὸ σῶμα τῷ λόγῳ ἢ ἐκ δύο λέγοντες, δῆλον ὅτι, εἴ περ ἑαυτοῖς παρακολουθεῖτε, ἐκ δύο ἰδιοσυστάτων, προσώπων δείκνυσθε δογματίζοντες τὴν ἕνωσιν.

Πῶς γίνεται σύνθετος φύσις.

Πάσης συνθέτου φύσεως λόγος οὗτος καθέστηκεν, τὸ ὁμόχρονα ἔχειν τὰ μέρη, καὶ ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παρῆχθαι, καὶ φυσικὴν πρὸς ἄλληλα σχέσιν ἔχειν τὰ μέρη, καὶ παθητικὰς κατὰ φύσιν καὶ ἀλλήλων δεκτικὰς κεκτῆσθαι δυνάμεις, καὶ ἀπροαίρετον τὴν πρὸς ἄλληλα ἕνωσιν, ὡς ἐπὶ ψυχῆς ἔχει καὶ σώματος καὶ τῶν ἄλλων, ὅσα φύσεως ἑτερότητι διαφέροντα, ὑποστάσει ἥνωται· οὐδὲν γὰρ τῶν εἰς ὕπαρξιν ἐλθόντων, ἐκτὸς φυσικῆς ἀνάγκης τυγχάνει· προηγουμένην γὰρ τῆς ἰδίας συστάσεως τὴν θείαν ἔχει θέλησιν· εὔδηλον οὖν ὅτι ἔνθα ταῦτα οὐ θεωρεῖται, κἂν σύνθετος ὑπόστασις τυγχάνῃ, ὑπὸ σύνθετον φύσιν οὐκ ἀνάγεται, τὸν αὐτὸν τῇ συνθέτῳ φύσει μὴ ἐπιδεχομένη λόγον· εἰ δὲ ὅτι πᾶσα σύνθετος ὑπόστασις ὁμόχρονα κέκτηται τὰ μέρη, νομίζοι τις τὴν αὐτὴν ἀτοπίαν συνάγεσθαι καὶ τοῖς λέγουσι μίαν εἶναι τὸν Χριστὸν σύνθετον ὑπόστασιν, οὐκ ὀρθῶς ἐκεῖνος ὑπολαμβάνει· οὐ γὰρ ἁπλῶς πᾶσα σύνθετος ὑπόστασις, ὁμόχρονα ἀλλήλοις κατὰ τὴν γένεσιν ἔχει τὰ μέρη, ἀλλ' ἡ ὑπὸ φύσιν σύνθετον τελοῦσα, καὶ εἶδος τοιοῦτο ἔχουσα κατηγορούμενον αὐτῆς.

Ἐκ τῶν Εὐλογίου συνηγοριῶν.

Ἰστέον γὰρ ὅτι τότε τὸ σύνθετον μίαν ἀπολύτως λέγομεν φύσιν, ὅτε μηκέτι δυνάμεθα κυρίως ἐπ' αὐτοῦ τὰ τῶν ἁπλῶν λέγειν ὀνόματα· οἷον τι λέγω, τὸ ἐκ τεσσάρων στοιχείων σῶμα συγκείμενον ἐξ ὕδατος φαμὲν καὶ γῆς ἀέρος τε καὶ πυρὸς, ὕδωρ καὶ γῆν ἀέρα τε καὶ πῦρ οὐκ ἂν εἴποιμεν κυρίως, καὶ διὰ τοῦτο μίαν σώματος φύσιν ἐπονομάζομεν, ὡς μηκέτι αὐ-

τὸ κυρίως τοῖς ὀνόμασι τῶν ἁπλῶν ἐπονομάζειν ἰσχύοντες· καὶ πάλιν ἐκ λίθων καὶ ξύλων τὴν οἰκίαν φαμὲν, ξύλα δὲ αὐτὴν καὶ λίθους οὐκ ἄν τις καλέσοι, κυρίαις λέξεσι χρήσασθαι βουλόμενος· πάλιν τὸν ἄνθρωπον ἐκ ψυχῆς καὶ σώματος εἶναι φαμὲν, σῶμα δὲ καὶ ψυχὴν οὐκέτι κυρίως· καὶ δῆλον ἐκ τοῦ μὴ δύνασθαι τὸν τῆς ψυχῆς ἢ τοῦ σώματος ὅρον ἐπὶ τοὺς ἀμφοτέρους ἀποδιδόναι, καὶ τούτου χάριν ἐκ δύο φύσεων λέγοντες· ἑτεροφυῆ γὰρ τὰ συνελθόντα καὶ ἀλλήλοις οὐχ ὁμοούσια, μίαν ἐπὶ τοῦ συνθέτου φύσιν δοξάζομεν· οὐδὲ γὰρ σῶμα ἢ ψυχὴν κυριολεκτοῦντες ἀποκαλοῦμεν τὸν ἄνθρωπον, εἰ καὶ σύνηθες τῇ γραφῇ πολλάκις τῇ ἐλευθερίᾳ κεχρημένῃ τοῦ πνεύματος ἐκ τοῦ μέρους τὸ ὅλον ἐπονομάζειν, ὡς ζυγῷ δουλείας οὐκ ἐνεχομένῃ τῆς διαλεκτικῆς ματαιότητος· ἐπὶ δὲ τοῦ Χριστοῦ ἄφραστος μὲν καὶ οὐκ ἀνθρώπινος νοῦς ταύτης ἐφίκοιτο, οὐδὲ παράδειγμα εὑρεῖν ἴσον κατά γε πάντα λέγω δυνήσεται, ἐπειδὴ δὲ αὐτὸν οὐ μόνον ἐκ θεότητος εἶναι καὶ ἀνθρωπότητος φαμὲν, ἀλλὰ καὶ τοῖς ὀνόμασιν ἐπ' αὐτοῦ κεχρῆσθαι τῶν ἁπλῶν· θεὸν γὰρ λέγομεν τὸν Χριστὸν καὶ ἄνθρωπον τὸν αὐτὸν, ὅπερ ἐπ' ἐκείνων λέγειν κυρίως οὐκ ἔχομεν· κυρίως γὰρ καὶ κατὰ ἀλήθειαν θεὸς ὁ Χριστός· διὸ κυρίως καὶ κατὰ ἀλήθειαν θεοτόκον τὴν ἁγίαν παρθένον φαμέν· καὶ κυρίως κατ' ἀλήθειαν ἄνθρωπος ὁ αὐτὸς, ἀληθῶς ἀποθανὼν, ἀληθῶς ἀναστάς· τούτου χάριν αὐτὸν μίαν φύσιν ἁπλῶς εἰπεῖν ἀδύνατον· διὰ τοῦτο τοίνυν ἡμεῖς καὶ ἐκ δύο λέγομεν φύσεων, ἐπειδὴ ἐκ θεότητος αὐτὸν ἴσμεν καὶ ἀνθρωπότητος συγκείμενον, καὶ ἑτεροφυῆ τὰ συνελθόντα γνωρίζομεν καὶ δύο φύσεις διαιρέτως ἐν αὐτῷ λέγομεν, ἐπειδὴ θεὸν καὶ ἄνθρωπον κυρίως τὸν αὐτὸν εἶναι δοξάζομεν· καθάπερ ὁ ἐν ἁγίοις φησὶ Κύριλλος ἐν τῇ δευτέρᾳ πρὸς Σούκενσον ἐπιστολῇ, ἵνα καὶ τὸν αὐτὸν τοῦτο κἀκεῖνο ὑπάρχοντα καὶ σκέψαιτο ὡς οὐκ ἔστιν ἐκ τούτου κἀκείνου ὑπάρχοντα, καὶ τοῦτο γὰρ ὁ ἀληθὲς, ἀλλὰ τοῦτο κἀκεῖνο ὑπάρχοντα· τὸ γὰρ τοῦτο κἀκεῖνο, δύο πάντως ἐστὶ, κἂν αὐτὸς μὴ βουληθῇς· πάλιν δὲ ὁ αὐτὸς πρὸς Οὐαλεριανὸν τὸν τοῦ Ἰκονίου ἐπίσκοπον οὕτω γράφει· οὐκοῦν ὁμολογοῦμεν ὡς μὲν τὸ ἀπὸ σαρκὸς σὰρξ ἐστι, τὸ δὲ ἐκ θεοῦ θεός· ἔστι δὲ κατὰ ταυτὸν ἀμφότερα Χριστὸς εἷς ὢν υἱὸς καὶ εἷς κύριος μετὰ τῆς ἰδίας αὐτοῦ σαρκός· τὸ δὲ τὸν Χριστὸν εἶναι ἀμφότερα, τί ἕτερον ἐστὶν, ἢ δύο εἶναι φύσεις τὸν Χριστόν; οὐ γὰρ εἶπεν ἐνταῦθα ἐξ ἀμφοτέρων εἶναι τὸν Χριστὸν, ἀλλ' ὅτι ἀμφότερα ἐστὶν ὁ Χριστὸς εἷς ὤν.

Ἐκ τῶν σχολίων Λεοντίου, συλλογισμὸς συνάγων ὅτι εἰ μία φύσις ὁ ἄνθρωπος, δύο φύσεις ὁ Χριστός.

Ἐπειδήπερ εἰσὶν ἀρχαί τινες παρὰ τῇ γραφῇ τῇ ἁγίᾳ πᾶσιν ὁμολογούμεναι, ἃς καὶ ἡμεῖς καὶ αὐτοὶ δεχόμεθα, ἐξετάσωμεν ἐπὶ ταύτας ἑκάτερον δόγμα, καὶ ὃ δ' ἂν εὕρωμεν συμφωνοῦν ταῖς ἀρχαῖς, ἐκεῖνο δῆλον ὅτι καλῶς ἔχει· τὸ δὲ ἐναντιούμενον, ἐκεῖνο ὡς οὐ καλῶς ἔχον πρόδηλον ὡς δεῖ ἀποβαλέσθαι· ὡμολόγηται τοίνυν ὅτι αὐτὸς ἐστὶ θεὸς καὶ ἄνθρωπος, καὶ ὅτι αὐτὸς κυρίως θεὸς καὶ κυρίως ἄνθρωπος· καὶ ὅτι αὐτὸς φύσει θεὸς καὶ φύσει ἄνθρωπος· καὶ ὅτι ὁ αὐτὸς ὁμοούσιος τῷ πατρὶ καὶ ὁμοούσιος ἡμῖν· καὶ ὅτι ὁ αὐτὸς εἷς τῆς ἁγίας τριάδος, καὶ εἷς ἐξ ἡμῶν· καὶ ὅτι ὁ θεὸς λόγος ἠξίωσεν ἄνθρωπος γενέσθαι, καὶ ἄλλα δὲ πολλὰ τοιαῦτα εὑρήσομεν ἀνερευνῶντες· ἐξετάσωμεν οὖν ἐπὶ ταύταις ταῖς ἀρχαῖς ἑκάτερον δόγμα, καὶ πρῶτον τὸ περὶ μιᾶς φύσεως· καὶ εἰ μὲν καλῶς ἔχει, δεξόμεθα· εἰ δὲ κακῶς, ἀποβαλώμεθα· ὑποκείσθωσαν οὖν τρία τινὰ, ψυχαὶ ἁπλῶς, καὶ σώματα ἁπλῶς, καὶ ἄνθρωποι ἤδη ἀποτελεσθέντες· λαβόντες ἡμεῖς ἐκ τούτων μίαν ψυχὴν καὶ σῶμα ἓν, ἀποτελέσωμεν τόν τινα ἄνθρωπον, τυχὸν τὸν Πέτρον· καὶ οὗ δ' ἂν εὑρεθῇ τὴν φύσιν ἔχων, ἐκείνου δῆλον ὅτι ὁμοούσιος ἐστίν· ὁ τοίνυν Πέτρος ἀποτελεσθεὶς οὐδὲ ταῖς ψυχαῖς ὁμοούσιος οὐδὲ τοῖς σώμασιν· οὐδὲ κυρίως ψυχὴ, οὐδὲ κυρίως σῶμα, οὐδὲ φύσει ψυχὴ, οὐδὲ φύσει σῶμα· οὐδὲ γὰρ ἓν ἂν λόγον ἀποδῷ τις τῆς ψυχῆς ἢ τοῦ σώματος, τὸν αὐτὸν ἀπο-

Digitized by Google

φύσει Πέτρε· ἀλλὰ τίνι ἐστὶν ὁμοούσιος; τοῖς ἀνθρώποις· ἐκείνων καὶ τὸν ὅρον ἐπιδέχεται, καὶ ἄλλο τι ἐστὶ παρὰ τὴν ψυχὴν καὶ τὸ σῶμα.

Ἔλθωμεν δὴ ἐπὶ τὸν Χριστόν· ἀναλογεῖ γὰρ παρ' αὐτοῖς ἡ μὲν θεότης τῇ ψυχῇ, ἡ δὲ ἀνθρωπότης τῷ σώματι· οὐκοῦν ὁ Χριστὸς οὐδὲ ὁμοούσιος τῷ πατρὶ, οὐδὲ ὁμοούσιος ἡμῖν· ὥσπερ οὖν καὶ ὁ Πέτρος οὐδὲ ὁμοούσιος ἐστὶ τῇ ψυχῇ, οὐδὲ ὁμοούσιος τῷ σώματι· οὐκοῦν καὶ ὁ Χριστὸς οὐδὲ κυρίως θεὸς, οὐδὲ κυρίως ἄνθρωπος, οὐδὲ φύσει Θεὸς, οὐδὲ φύσει ἄνθρωπος, οὔτε εἷς τῆς ἁγίας τριάδος, οὔτε εἷς ἐξ ἡμῶν· ὥσπερ οὖν Πέτρος οὔτε εἷς ἐστὶ τῶν ψυχῶν, οὔτε εἷς τῶν σωμάτων· τὸ δὲ τὰ τοιαῦτα λέγειν ἐπὶ τοῦ Χριστοῦ ἀνελεῖν ἐστὶν ἃς ἔχομεν ὁμολογουμένας ἀρχὰς, ὅπερ ἄτοπον· εἰ δὲ δύο φύσεις ὑποθώμεθα ἔχειν τὸν Χριστόν; οὐδὲν τούτων ἀναιροῦμεν τῶν ἀρχῶν, ἀλλὰ πάντα συντρέχοντα εὑρήσομεν· ὁ αὐτὸς γὰρ καὶ Θεός ἐστι καὶ ἄνθρωπος· καὶ ὁ αὐτὸς ὁμοούσιος τῷ πατρὶ, καὶ ὁμοούσιος ἡμῖν· καὶ κυρίως Θεὸς, καὶ κυρίως ἄνθρωπος, καὶ φύσει θεὸς, καὶ φύσει ἄνθρωπος, καὶ εἷς τῆς ἁγίας τριάδος, καὶ εἷς ἐξ ἡμῶν· ἡ αὐτὴ γὰρ ὑπόστασις τοὺς ὅρους τῶν δύο φύσεων ἐπιδέχεται· καὶ ὃν δ' ἂν ἀποδῷ λόγον τις τῆς θεότητος, τὸν αὐτὸν εὑρίσκει καὶ ἐπὶ τοῦ Χριστοῦ· καὶ ὃν δ' ἂν ἀποδῷ τῆς ἀνθρωπότητος, τὸν αὐτὸν εὑρίσκει καὶ ἐπὶ τοῦ Χριστοῦ καθαρμόζοντα οὐσίαν· ὥστε ἐξ ἀνάγκης δύο φύσεις εἶναι τῆς μιᾶς ὑποστάσεως τοῦ Χριστοῦ.

Ἐκ τῶν Εὐλογίου συνηγοριῶν πρὸς τοὺς λέγοντας ὅτι εἰ δύο κατὰ οὐσίας, ὃ δὴ φύσεις ἡνωμένας, πάντως μία γέγονε φύσις· τὰ γὰρ ἑνούμενα, πάντως ἕν τι γίνεται.

Εἰ μὲν τὸ ἕν τι γενέσθαι κατὰ τὴν χαρακτηριστικὴν ὑπόστασιν βούλονται κατασκευάζειν, ὀρθῶς καὶ λίαν εὐσεβῶς καὶ συνῳδὰ τοῖς ἐν Χαλκηδόνι δογματίζουσιν· κἀκεῖνοι γὰρ μίαν ὑπόστασιν ἀποφαίνονται, δύο δὲ τὰς οὐσίας· ἡ γὰρ σὰρξ ἔμεινε σὰρξ, εἰ καὶ τοῦ Θεοῦ λόγου σὰρξ ἐγένετο, ὃ δὲ προσείληφε σάρκα καὶ ἥνωσεν ἑαυτῷ ἀδιαιρέτως· οὐ γὰρ τροπὴν ὑπέστη τὴν εἰς σάρκα· θεὸς γὰρ ἀναλλοίωτος ὑπάρχει ἡ τῆς τριάδος ἡ φύσις· ὡς ἔδει οὖν ἀσύγχυτοι μεμενήκασιν ἐν τῷ Ἐμμανουὴλ τῷ ἑνὶ Χριστῷ τῷ υἱῷ τοῦ Θεοῦ μετὰ τὴν ἐνανθρώπησιν αἱ δύο οὐσίαι· εἰ δὲ μίαν οὐσίαν φασὶ γεγενῆσθαι τὰς δύο φύσεις, λελήθασιν ἑαυτοὺς ἀπατῶντες, καὶ σύγχυσιν καὶ τροπὴν ὑποτιθέμενοι, ὡς τῆς μιᾶς τραπείσης εἰς τὴν ἑτέραν ἢ συγχυθείσης· ὅτι γὰρ τὰ ἑνούμενα ἀτρέπτως καὶ ἀσυγχύτως φυλάττεται ἐν τῇ οἰκείᾳ ποιότητι, τοῦτο σαφῶς ὑμῖν παραστήσω διὰ παραδείγματος τῶν τριῶν ὑποστάσεων ἀδιαιρέτως καὶ ἀσυγχύτως ἡνωμένων κατὰ τὴν οὐσίαν, φημὶ δὲ πρὸς πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος· οὐ γὰρ διὰ τὸ ἑνῶσθαι αὐτὰς, μία ὑπόστασις γεγόνασιν, ἀλλ' ἡνωμέναι μέν εἰσιν κατὰ τὴν οὐσίαν, ἐν τρισὶ δὲ καὶ ἡνωμέναις γνωρίζονται ὑποστάσεσιν· οὕτως καὶ ἐπὶ τῆς οἰκονομίας τοῦ Χριστοῦ δύο οὐσίαι ἡνωμέναι ἀδιαιρέτως καὶ ἀσυγχύτως ὑπάρχουσιν· κείσθω δὲ τὸ παράδειγμα εἰς μόνον τὸ παραστῆσαι τὸ πρόβλημα τὸ σαθρὸν ἐπὶ τῆς ἐν Χριστῷ ἑνώσεως, ἔμπαλιν ἢ ἐπὶ τῆς τριάδος ἔχει· ἐκεῖ μὲν γὰρ ἄλλος καὶ ἄλλος, ἵνα μὴ τὰς ὑποστάσεις συγχέωμεν, οὐκ ἄλλο δὲ καὶ ἄλλο· ἓν γὰρ τὰ τρία καὶ ταυτὸν τῇ θεότητι· ἐν δὲ τῷ Ἐμμανουὴλ ἄλλο μὲν θεότης, ἄλλο δὲ ἀνθρωπότης, ἵνα μὴ τὰς οὐσίας συγχέωμεν· οὐ γὰρ ταυτὸ τὸ ἄχρονον τῷ ἐν χρόνῳ, καὶ τὸ ὁρατὸν τῷ ἀοράτῳ· οὐκ ἄλλος δὲ καὶ ἄλλος, μὴ γένοιτο· τὰ γὰρ ἀμφότερα τῇ ἑνώσει ἓν πρόσωπον ἀπετελέσθη, καὶ μίαν ὑπόστασιν χαρακτηριστικήν.

Γρηγορίου τοῦ Θεολόγου ἐκ τῶν ἐπῶν κατὰ Ἀπολιναρίου (1).

Ὄλοιτο κοινὸς ὀρθοδόξων ἐξ ἀνήρ
ὃς τὴν πρὸς ἡμᾶς τοῦ Θεοῦ λόγου κρᾶσιν,
ἣν οὐ τρανῶς ἔδειξεν ἄνθρωπον λαβὼν
ἔμψυχον ὄντα ἐμπαθῆ τὰ σώματος

(1) Differunt plane hi iambi ab editis adversus Apollinarem.

Ἀδὰμ ὅλον τὸν πρόσθεν, πλὴν ἁμαρτίας,
ταύτην τεμών, ἄνευ τε νοῦ εἰσάγει Θεόν,
ὥσπερ δεδοικὼς μὴ Θεῷ μάχηθ' ὁ νοῦς.
οὕτω γὰρ ἂν δύναιμι καὶ σαρκὸς φύσιν,
μᾶλλον γὰρ αὐτὴ καὶ Θεοῦ πορρωτάτω·
ἡ τῶν μὲν ἄλλων δεομένων σωτηρίας
τὸν νοῦν δ' ἐλέγξεις παντελῶς δεδεγμένον
ὃ δὴ μάλιστα τῷ Θεῷ μὴ σωστέον·
καὶ γὰρ μάλισθ' ὤλισθεν ἡ πρώτη πλάσις·
ὁ γὰρ δέδεκτο καὶ παρῆκε τὸν νόμον
μὴ τοίνυν ἥμισύν με σωζέτω λόγος
ὅλον παθόντα, μηδ' ἀτιμούσθω Θεὸς
ὡς οὐχ ὅλον λαβών με, πηλὸν δὲ μόνον
ὃ δ' ἦν πάρεδρον τοῦτο καὶ προσλήψομαι,
ψυχὴν δ' ἄνουν τε καὶ λόγου ζῷα τινὸς,
ὃς καὶ σέσωσται δηλαδὴ τῷ σῷ λόγῳ.
καὶ ληξάτω τοιαῦτα εὐσεβῶν ἅπας.
ἔστιν γάρ τι πταίσειν ἐξ ἐναντίας
τοὺς εἰσάγοντας ἀκρόσεως υἱοὺς δύο·
ἢ προσκυνοῦμεν ἀνθ' ἑνὸς δύο Θεοὺς,
ἢ τοῦτο μὴ πάθωμεν εὐλαβούμενοι,
πέμπωμεν ἔξω τοῦ Θεοῦ τὸ σύνθετον
ὧν μὲν γὰρ ἡ σὰρξ οὐδὲν ἦν πάθος Θεὸς,
Θεοῦ δ' ὅλη μετέσχεν ἀνθρώπου φύσις,
οὐχ ὡς προφήτης ἤ τις ἄλλος ἔνθεος,
ὃς οὐ Θεοῦ μετέσχε, τῆς Θεοῦ δέ γε,
ἀλλ' οὐσιωθεὶς ὥσπερ αὐγαῖς ἥλιος·
τοῦτ' οὖν μὲν συνέρρευσεν εἰς μίαν λόγῳ,
εἰ μὴ σέβοιεν ὡς ἕν' ἄνθρωπον Θεόν,
τὸν προσλαβόντα σύν τε τῷ προσλήμματι,
τὸν ἄχρονόν τι, καὶ τὸ συμμιγὲς χρόνῳ,
τὸν ἐκ μόνου πατρός τε καὶ μητρὸς μόνης,
δύο φύσεις εἰς Χριστὸν ἐλθούσας ἕνα,
ἕνα Χριστὸν υἱόν τε, οὐ φύσιν μίαν.

Cap. XXX.

Πρὸς τοὺς λέγοντας ὅτι πᾶς ἀριθμὸς ἰδιοσυστάτων πραγμάτων ἐστὶν δηλωτικὸς· καὶ ὅτι πρώτη διαίρεσις ἐστὶν ἡ δυὰς μετὰ τὴν μονάδα προσυπαντῶσα· καὶ ὅσα ὁ τῆς δυάδος ἀριθμὸς, ἡ ἕνωσις χώραν οὐκ ἔχει.

Ἐκ τῶν Ἡρακλειανοῦ.

Ἰστέον ὅτι εἴ τι μὲν ἰδιοσύστατον ἐστὶν, τοῦτο πάντως ἐν ἀριθμῷ τυγχάνει ὄν· οὐ πᾶν δὲ τὸ ἐν ἀριθμῷ τυγχάνον, καὶ ἰδιοσύστατον ἂν εἴη· πολλὰ γοῦν ἐν τοῖς συνθέτοις, ἵνα μὴ λέγω πάντα, ἑνὸς ὄντα συμπληρωτικὰ καὶ κατὰ μίαν συγκείμενα τὴν συνέχειαν, αὐτὰ μὲν ἐφ' ἑαυτῶν ἰδίαν σύστασιν οὐκ ἔχει, ἑνὸς δὲ συμπληρωτικὰ γινόμενα ἐν τῷ συλλόγῳ τὴν ὕπαρξιν ἐπιδείκνυται· τὰς τοίνυν διαφορὰς τρεῖς οὔσας ἢ τέσσαρας, ἂν οὕτω τύχοι, ἢ καὶ πλείους ἢ ἐλάττους, οἷον τὸ ἔμψυχον τὸ αἰσθητικὸν τὸ λογικὸν τὸ θνητὸν, ἐν μετὰ τῷ ὅλῳ, φημὶ δὴ τῷ ἀνθρώπῳ, τὴν οἰκείαν ὕπαρξιν ἐπιδείκνυσθαι φαμὲν, οὐ μὴν καὶ καθ' ἑαυτὰ ὑφεστῶτα ὁρῶμεν· ὁμοίως καὶ ἐπὶ τῶν μετάλλων καὶ μάλιστα τῶν λίθων ἐστὶν ἰδεῖν μίαν μὲν ἐν ὅλῃ τῇ πέτρᾳ συνέχειαν, διάφορα δὲ τὰ χρώματα καὶ τὰ ἕξεις· τὸ μὲν γὰρ αὐτῆς μαλακόν τε καὶ ὑπόπιον, καὶ τὸ μὲν τῶν ἐν αὐτῇ μέλαν, τὸ δὲ λευκὸν, τὸ δὲ ξανθὸν, καὶ ἁπλῶς ἐκ διαφόρων χρωμάτων συγκείμενον.

Ἐκ τῶν Λεοντίου σχολίων περὶ τοῦ ἀριθμοῦ.

Ἰστέον πάλιν ὅτι ὥσπερ τὸ ἓν τῶν πολλαχῶς λεγομένων ἐστὶν· λέγεται γὰρ ἐν τῷ ἀριθμῷ ὡς τὸ Πέτρος· καὶ τῷ εἴδει ὡς τὸ ἄνθρωπος, καὶ τῷ γένει ὡς τὸ ζῶον, οὕτως καὶ τὰ δύο· λέγεται γὰρ δύο τῷ ἀριθμῷ, ὡς Πέτρος καὶ Ἰωάννης· καὶ δύο τῷ εἴδει, ὡς ἄνθρωπος καὶ ἵππος· καὶ δύο τῷ γένει, ὡς οὐσία καὶ χρῶμα· ὅταν οὖν λέγωμεν τὰ δύο ἐπὶ τοῦ Χριστοῦ, οὐ τῷ ἀριθμῷ λέγομεν αὐτὸν δύο, ἀλλ' ἕνα μὲν τῷ ἀριθμῷ, δύο δὲ τῷ εἴδει, τουτέστι τῇ φύσει· ὅτι δὲ δυνάμεθα οὕτως εἰπεῖν, δηλοῖ καὶ Ἀριστοτέλης, εἰς ὃν ἐκεῖνοι ἐπερείδονται, περὶ τῆς ὕλης καὶ τοῦ εἴδους εἰπὼν ὅτι ταῦτα ἓν μέν ἐστιν τῷ ἀριθμῷ, δύο δὲ τῷ εἴδει· λέγει δὲ καὶ ὁ ἅγιος Γρηγόριος περὶ τοῦ Χριστοῦ, ὥστε τὸ συναμφότερον ἓν, οὐ τῇ φύσει τῇ δὲ συνόδῳ· οὐκοῦν κατ' ἄλλο καὶ ἄλλο τὸ ἓν ἐστὶ τοῦ αὐτοῦ

Digitized by Google

καὶ τὰ δύο λέγειν, οὐκ ἄτοπον ταύτας τὰς δύο χρήσεις, τὴν Ἀριστοτέλους φημὶ καὶ τὴν τοῦ ἁγίου Γρηγορίου, προβλητέον, καὶ ὅταν ἀπορῶσιν ἡμῖν ὅτι πῶς ἐνδέχεται δύο εἴδη ἐπὶ ἑνὸς ἀτόμου εὑρεῖν, ἑνὸς γὰρ εἴδους φασὶν πολλὰ ἄτομα ὁρῶμεν· δύο δὲ εἴδη ἐπὶ ἑνὸς ἀτόμου κατηγορεῖν ἄλογον· ἀκουέτωσαν οὖν καὶ Ἀριστοτέλους λέγοντος, ἓν τῷ ἀριθμῷ, δύο δὲ τῷ εἴδει· τοῦ δὲ ἁγίου Γρηγορίου τῇ μὲν συνόδῳ λέγοντος ἕν, οὐ τῇ φύσει δέ· δῆλον οὖν ὅτι τῇ φύσει δύο.

Πρὸς τοὺς τὴν δυάδα διαβάλλοντας ὡς διαιρετικόν.

Διαβάλλουσι τὴν δυάδα ὡς πρώτην οὖσαν διαίρεσιν εὐθὺς μετὰ τὴν μονάδα προσαπαντῶσαν οἱ σοφοὶ τὰ μάταια· καί τοι συναφὴ μᾶλλον τῶν δύο μονάδων ἐστὶν ἡ δυὰς εὐθὺς μετὰ τὴν μονάδα προσαπαντῶσα, καὶ τὴν συλληπτικὴν ἑαυτῆς δύναμιν παριστῶσα· οὐ γὰρ διαίρεσιν μονάδων τὸν ἀριθμὸν οἱ περὶ τὰ τοιαῦτα δεινοὶ ὡρίσαντο, τοὐναντίον μὲν οὖν σωρείαν μονάδων· εἰ μὲν γὰρ εἴπωσιν ὅτι εἰ τῶν δύο εἰς τὰ ἐξ ὧν συνετέθη ἀνάλυσις διαιρεῖ τὴν ἕνωσιν, καθ' ὃ ἂν καὶ γένηται, εἴτε κατ' ἐπίνοιαν, εἴτε κατ' ἐνέργειαν, εἰκότα ἴσως ἐροῦσι· μένουσα δὲ ἐφ' ἑαυτῆς, οὐκ ἔστι τομὴ τῶν μονάδων οὔτε διαίρεσις, μᾶλλον δὲ τὰς μονάδας ἐν ἑαυτῇ συνάπτειν οἶδε καὶ ἑνοῦν· καὶ τοῦτο δὲ οἱ τὰ τοιαῦτα φιλοσοφεῖν εἰδότες φασί· καὶ ἡ φύσις αὐτὴ τοῦ ἀριθμοῦ κατ' αὐτὴν οὔτε διαιρεῖ οὔτε συνάπτει, ἀλλ' ἀμφοτέρων ἐστὶ δεικτικὴ μετὰ τὴν τῶν ὑποκειμένων ποιότητα· ὥσπερ οὖν τὸ συνεχὲς ξύλον δέκα πηχέων ὄν, οὐ διαιρεῖται μετρούμενον, ἀλλὰ καὶ μετρηθὲν καὶ τῷ ἀριθμῷ τῶν δεκαπηχέων ὑποβληθέν, οὐδὲν ἧττον μένει συνεχὲς καὶ ἄτμητον· οὕτω πάλιν καὶ οἱ δέκα μόδιοι τυχὸν τοῦ σίτου διῃρημένοι νοοῦνται, καὶ οὐδὲν τούτων τῇ τοῦ ἀριθμοῦ φύσει συνῆπται ἢ διῄρηται, ἀλλὰ τῇ οἰκείᾳ ποιότητι θάτερον αὐτῶν τὸ συναφὲς ἔχει καὶ τὸ διῃρημένον.

Εἰ δὲ πάντως ὁ ἀριθμὸς κατὰ τοὺς σοφοὺς τούτους διαίρεσιν ἐργάζεται, ὁ κύριος ἄρα δώδεκα ὥρας εἶναι εἰπὼν τῆς ἡμέρας, τὴν συνέχειαν διεῖλεν τῆς ἡμέρας· καὶ ὁ ἀπόστολος εἰπὼν πολλὰ μέλη ἓν δὲ σῶμα, διέτεμε τὰ μέλη· καὶ ὁ φήσας πάντα τὰ ὀστᾶ μου ἐροῦσι κύριε κύριε τίς ὅμοιός σοι, τὰ ὀστᾶ ἑαυτοῦ διεμέριζεν· εἰ δὲ τὸ δώδεκα καὶ τὸ πολλὰ καὶ τὸ πάντα, ἀριθμοῦ προδήλως ὄντα σημαντικά, οὐδεμίαν ποιεῖται διαίρεσιν, τίς ἡ ἀποκλήρωσις τοῦ μόνον τὸν δύο ἀριθμὸν ὡς αἴτιον διαιρέσεως διαβάλλεσθαι, ἡμῶν μάλιστα οὐκ ἐπὶ διαιρέσει τοῦτο τὸ τῆς Χριστοῦ φύσεων λαμβανόντων, μὴ γένοιτο, ἀλλὰ πρὸς μόνην δήλωσιν τῆς τούτων διαφορᾶς, καὶ ἔνδειξιν σαφῆ τοῦ μένειν αὐτὰς ἀτρέπτους καὶ ἀσυγχύτους καὶ μετὰ τὴν ἀκραιφνῆ καὶ ἀδιάσπαστον ἕνωσιν· ὅπου γε καὶ σώματος τρεῖς λέγομεν διαστάσεις, καὶ οὐ διασπῶμεν τὸ σῶμα εἰς τρία τμήματα.

Εἰ δὲ ἀκούσωσιν οἱ σοφοὶ ἐν ἑαυτοῖς τοῦ λέγοντος τὸν Χριστὸν ἕνα καὶ τὸν αὐτόν, τοῦτο κἀκεῖνο ὑπάρχοντα, καὶ ἔστι κατὰ ταυτὸν ἀμφότερα Χριστός, ἢ τὸ ὡς ἕτερον ἐν ἑτέρῳ νοεῖσθαι, ἢ τὸ δύο νοεῖν τὰ σημαινόμενα τόν τε συνενοῦντα καὶ τὸ ἐν ᾧ ἡ συνένωσις, καὶ τὸ ἀμφοτέρας σώζεσθαι ἀσυγχύτους τὰς φύσεις (ταῦτα γὰρ πάντα Κύριλλος ἔγραψεν ὁ θεσπέσιος) καὶ μὴν καὶ τὸ ἕνα νοήσης ἐκ τῶν πετεινῶν τὸν οὐράνιον ἄνθρωπον ὁμοῦ καὶ θεὸν εἰς δύο φύσεις, ὅσον ἥκει εἰς τὸν ἑκάστῃ πρέποντα λόγον, διαιρούμενον καὶ πάλιν ὅτι οὐ κεκραμένος ἢ ἀποσεσαρκωμένος, ἀλλὰ σώζων ἐν ἑαυτῷ τῶν δύο φύσεων τῶν ἑτεροουσίων ἀσυγχύτως τὴν ἰδιότητα, οὐκ ἀναιδῶς ἄρα τολμήσουσιν κἀκείνου τῆς θεόφρονος διαιρέσιν καταψηφίσασθαι, οὐκ αἰτιάσονται δὲ σὺν αὐτῷ καὶ τὸν Θεολόγον Γρηγόριον εἰπόντα φύσεις μὲν γὰρ δύο Θεὸς καὶ ἄνθρωπος, καὶ ἄλλο καὶ ἄλλο τὰ ἐξ ὧν ὁ Χριστός;

Ἐκ τῆς Εὐλογίου συνηγοριῶν.

Μὴ τοίνυν πράγματα ἡμῖν παρεχέτωσαν οἱ μηδὲν ὑγιὲς νοεῖν βουλόμενοι ἀλλὰ φράτειν εἰ-

κακολογοῦντες καὶ τὴν ὀρθὴν καὶ ἀμώμητον [πίστιν] διαταράττειν ἐγχειροῦντες· ἡμεῖς γὰρ ἕνα Χριστὸν υἱὸν θεοῦ προσκυνοῦμεν σαρκὶ ὀφθέντα τοῖς ἐπὶ γῆς· διαφορὰν μέντοι τῆς θεότητος πρὸς τὴν σάρκα γινώσκομεν· καὶ γὰρ ὁ θεὸς λόγος ἄχρονος, ἄκτιστος, ἀπαθὴς, καὶ ὅσα πρέπει τῇ θείᾳ μεγαλωσύνῃ· ἡ δὲ σὰρξ αὐτοῦ ἕν τι ὑπάρχουσα πρὸς αὐτὸν διὰ τὴν ἄκραν καὶ ἐνυπόστατον ἕνωσιν, δι' ἣν καὶ ὁ θεσπέσιος Ἰωάννης βοᾷ, ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν, ἔγχρονος ὑπάρχει, κτιστὴ, παθητή· πάντα δὲ ταῦτα τῆς σαρκὸς ὁμολογοῦμεν γενέσθαι τοῦ θεοῦ λόγου· εἰ γὰρ ἰδία αὐτοῦ ἡ σὰρξ, δῆλον ὅτι καὶ τὰ τῆς σαρκὸς πάντα αὐτοῦ ἔσται· οἰκειοποιεῖται γὰρ αὐτὰ, εἰ καὶ μὴ ὑπέκειτο τούτοις ἡ θεία αὐτοῦ φύσις· ὅτι γὰρ πάντα τοῦ θεοῦ λόγου ἐστὶ μετὰ τὴν ἐνανθρώπησιν τὰ τῆς σαρκὸς αὐτοῦ, ἡ θεία γραφὴ ἡμᾶς παιδεύει· φησὶ γὰρ ἑωράκαμεν τὸν κύριον, τὸ συναμφότερον λέγουσα· ὁ γὰρ ἑωρακὼς τὴν σάρκα τοῦ Χριστοῦ, ὅλον ἐθεάσατο, εἰ καὶ ἀθέατος τὸ κατὰ φύσιν ὁ θεότης ὑπῆρχεν· καὶ πάλιν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν· καίτοι τῇ θείᾳ φύσει αὐτοῦ μὴ παθόντος, ἀλλὰ τῇ οἰκείᾳ σαρκί· διδασκόμεθα οὖν ἐν πᾶσι τούτοις, ὅτι τοῦ θεοῦ λόγου σαρκωθέντος ἦν τά τε θεοπρεπῆ καὶ τὰ ἀνθρώπινα· ἀλλ' ἐν οἷς φησὶν ὅτι ἐπείνασεν καὶ ἐδίψησεν ἢ ἐψηλαφήθη ἢ ἑωράθη, νοῶ ὅτι οὐ τῇ θείᾳ φύσει ταῦτα πέπονθεν, ἀλλὰ τῇ προσληφθείσῃ σαρκὶ, καθ' ἣν ἄνθρωπος ἐχρημάτισεν (1).

Cap. XXXI.

κατὰ ἰουδαίων μαρτυρίαι γραφικαὶ ὅτι ἐν τριάδι ἡ θεότης ὑπὸ τῶν θείων γραφῶν μυστικῶς κηρύττεται.

Ἄκουε Ἰσραὴλ, κύριος ὁ θεός σου, κύριος εἷς ἐστί. — Ἰδοὺ τῶν τριῶν ὑποστάσεων σημαντικὸν τὸ κύριος ὁ θεὸς κύριος· τῆς δὲ μιᾶς οὐσίας, τὸ εἷς ἐστί.

Τοῦ Μωϋσέως ἐν ἐξόδῳ.

Καὶ ἔδωκεν κύριος ὅρον λέγων, ἐν τῇ αὔριον ἡμέρᾳ ποιήσει κύριος τὸ ῥῆμα τοῦτο ἐπὶ τῆς γῆς. Καὶ ἑτέρωθι. Καὶ ὄρθριος Μωϋσῆς ἀνέβη εἰς τὸ ὄρος, καθότι συνέταξεν αὐτῷ κύριος· καὶ ἔλαβε Μωϋσῆς τὰς πλάκας τὰς λιθίνας· καὶ κατέβη κύριος ἐν νεφέλῃ, καὶ παρέστη ἐκεῖ, καὶ ἐλάλησε τῷ ὀνόματι κυρίου· καὶ παρῆλθεν κύριος ἀπὸ προσώπου κυρίου. — Σαφῶς δείκνυται προσώπων τῶν σημαντικὰς τὰς ἑαυτῆς φωνὰς τῶν εἰς μίαν φύσιν συντελούντων. — Τί δὲ πάλιν τὸ ἔβρεξεν κύριος πῦρ καὶ θεῖον παρὰ κυρίου; καὶ τὸ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι θεοῦ; πῶς δὲ νοητέον καὶ τὸ ἐκ προσώπου τοῦ θεοῦ εἰρημένον, πᾶς ὁ ἐκχέων αἷμα, ἀντὶ τοῦ αἵματος αὐτοῦ ἐκχυθήσεται, ὅτι ἐν εἰκόνι θεοῦ ἐποίησα τὸν ἄνθρωπον; ὁρᾷς ὅτι θεὸς ἐν εἰκόνι θεοῦ ἐποίησεν. Πῶς δὲ τὸ πρὸς Ἀβραὰμ εἰρημένον λάβωμεν, τὸ ἐγώ εἰμι ὁ θεὸς, ὁ ὀφθείς σοι ἐν τόπῳ θεοῦ; Καὶ πάλιν καὶ εἶπεν κύριος τῷ Μωϋσεῖ· καταβὰς διαμάρτυραι τῷ λαῷ, καὶ ἄγνισον αὐτοὺς σήμερον καὶ αὔριον, καὶ πλυνάτωσαν τὰ ἱμάτια, καὶ ἔστωσαν ἕτοιμοι εἰς τὴν ἡμέραν τὴν τρίτην· τῇ γὰρ ἡμέρᾳ τῇ τρίτῃ καταβήσεται κύριος ἐπὶ τὸ ὄρος Σινᾶ ἐναντίον παντὸς τοῦ λαοῦ· καὶ οὐκ εἶπε καταβήσομαι, ἀλλὰ καταβήσεται κύριος (2).

(1) Sequebantur in codice plurimi Pisidae iambi adversus Severum, quos ego more meo praetermisi, quia extant in editionibus a v. 24. ad 257, non tamen sine varietatibus. V. gr. v. 24. in editis ἰσχῦν δὲ μᾶλλον τῆς ζάλης τῶν βαρβάρων; at in codice ἔδει μὲν ἡμᾶς τῆς μάχης τῶν βαρβάρων.

(2) Hactenus edidi, propter auctoris ad biblicos locos commentationem. Exin permulta, nempe a codicis pagina 334. usque ad p. 401, praetermisi, quae partim biblico excerpta erant, partim Epiphanii panariorum compendium, vel Sophronii synodicorum eclogae, vel Philoponi ex diaeteto excerpta apud Damascenum iamdiu extantia. Ad Sophronium tamen quod adtinet, lectores meos admoneo, ne quum apud Caveum in Sophronio, ex Labbaeo bibl. N. MSS., commemorari videant Sophronii tractatum de incar-

Digitized by Google

Διδασκαλία ὀρθόδοξος ἐν ᾗ ἐστήρικται ἡ ἁγία καθολικὴ τοῦ Θεοῦ ἐκκλησία.

Τριὰς ἁπλῆ καὶ ἀσύνθετος ἄφθαρτος ὁμοούσιος ὁμόθρονος ὁμοδύναμος, πατὴρ υἱὸς καὶ ἅγιον πνεῦμα, μία θεότης ἐν τρισὶν ὑποστάσεσιν· πατὴρ υἱοῦ γεννήτωρ ἀΐδιος, ἄχρονος ἀχρόνου, πρὸ πάντων τῶν αἰώνων, οὐ χρονικῶς, οὐ σωματικῶς, οὐ ῥευστῶς, ἀλλ' ὑπὲρ νοῦν καὶ λόγον τέλειον γεννήσας υἱόν, οὐ νόμῳ σωματικῆς γεννήσεως, ἀλλ' ὡς αὐτὸς μόνος ἐπίσταται θεοπρεπῶς· πνεῦμα ἅγιον κύριον καὶ ζωοποιόν, πατρὶ καὶ υἱῷ ὁμοούσιον καὶ ὁμόθρονον, ἐκ πατρὸς ἐκπορευόμενον, καὶ ἐν υἱῷ ἀναπαυόμενον· τριὰς τελεία τελείαις τρισὶν ὑποστάσεσιν ἐν οὐσίᾳ μιᾷ καὶ θεότητι γνωριζομένη. Διδάσκει ἡ ἁγία καὶ ἀποστολικὴ ἐκκλησία τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἕνα τῆς ἁγίας ὁμοουσίου καὶ προσκυνητικῆς τριάδος, βουλήσει τοῦ πατρὸς καὶ συνεργείᾳ τοῦ ἁγίου πνεύματος κατελθόντα ἐκ τῶν οὐρανῶν δι' οἶκτον φιλανθρωπίας, σαρκωθῆναι ἐκ Μαρίας τῆς ἁγίας ἀειπαρθένου θεοτόκου διὰ πνεύματος ἁγίου· καὶ τοῦτον ἐνανθρωπῆσαι ἀληθῶς, καὶ οὐ δοκήσει, καὶ σταυρωθῆναι ὑπὲρ ἡμῶν καὶ ταφῆναι καὶ ἀναστῆναι καὶ ἀναληφθῆναι εἰς οὐρανοὺς μετὰ τῆς ἐξ ἡμῶν σαρκός, μεθ' ἧς καὶ ἐλεύσεται κρῖναι ζῶντας καὶ νεκρούς· τούτου δύο πρεσβεύει τὰς γεννήσεις, μίαν τὴν ἐκ πατρὸς καὶ ἀΐδιον, δευτέραν τὴν ἐξ ἡμῶν καὶ ἐν χρόνῳ· τοῦτο δύο τὰς φύσεις κηρύττει, τὸν αὐτὸν ἐν θεότητι καὶ ἐν ἀνθρωπότητι, ἐξ ὧν γὰρ καὶ ἐν αἷς καὶ ἅπερ ἐστὶν Χριστὸς ὁ εἷς καὶ μόνος ὑποστάσει, φυλάττων καθ' ἕνωσιν ἀδιάσπαστον ἀσυγχύτως ἀτρέπτως ἀδιαιρέτως, οὐ τῆς τῶν φύσεων διαφορᾶς ἀναιρουμένης διὰ τὴν ἕνωσιν, σωζομένης δὲ μᾶλλον, καὶ εἰς ἓν πρόσωπον καὶ μίαν ὑπόστασιν συντρεχούσης· δύο τούτῳ καὶ τὰ θελήματα καὶ τὰς ἐνεργείας κατ' ἄλλο καὶ ἄλλο μετὰ τῆς θατέρου κοινωνίας ἐκδιδάσκει, δι' ὧν αἱ φύσεις ἀφανταστάστως κατοπτεύονται, τοῦ μὲν ἀνθρωπίνου θελήματος οὐκ ἀντιτασσομένου τῷ θείῳ καὶ πανσθενεῖ θελήματι, ἀλλ' εἴκοντος καὶ ὑποκεκλιμένου, ἐν ἑκατέρᾳ μορφῇ μετὰ τῆς θατέρου κοινωνίας δρῶντος τά τε θεῖα καὶ τὰ τοῦ υἱοῦ τοῦ ἑνὸς καὶ μόνου σωτῆρος ἡμῶν καὶ θεοῦ Ἰησοῦ Χριστοῦ τὴν μεθ' ἡμῶν ἀνθρωπίνην φύσιν, ἣν ἑνώσας ἑαυτῷ ἰδίαν ἐπεγράψατο, τῇ θείᾳ καταπλουτίζοντος δόξῃ, εἰς δὲ τὴν θείαν ἀγαθότητα διὰ τὴν ἄκραν ἕνωσιν καὶ χάριν ἀναφέροντος τὰ τοῦ σώματος, ἅπερ οὐκ ἀπαθῶς ἐτελεῖτο, τῆς δὲ τῶν ἀνθρώπων ἕνεκεν σωτηρίας (1).

Cap. XL.

Τοῦ ἁγίου Ἀθανασίου ἐκ τοῦ περὶ πίστεως μείζονος λόγου (2).

Οὕτω μὲν οὖν Ἄρειος κατασκευάζει τὸν τοῦ θεοῦ λόγον κτιστόν, οὐκ ἔχων πιστικῶς ἄλογον τὸν πατέρα· πᾶν γὰρ τὸ φυσικῶς μὴ φρονοῦν λόγος, ἄλογος φύσει πάντως ἐστίν· ἐναντία ψυχῆς νοερᾶς ἐστερημένην αὐτῷ σάρκα διδούς, φύσει παθητὸν αὐτὸν δείκνυσι καὶ θνητὸν καὶ τὸ πάθος ἀκούσιον, ὡς τῆς μηδὲν ἐχούσης ἑκούσιον ἀψύχου σαρκὸς κινητικόν· ἡ γὰρ ἄψυχος σὰρξ πάσης ἀλλοτρία κατὰ φύσιν θελήσεως, εἴπερ οὐδέν ἐστι θέλησις ἢ νοῦς περί τι κινούμενος, ἢ ψυχῆς νοερᾶς αὐτεξούσιος κίνησις· ὡς γυμνὴν τοῦ κυρίου τὴν σάρκα, πτανοῦ

natione unius ex Trinitate, ne inquam de peculiari opera ineditoque cogitent, ut facit Cavaeus, sed partem synodicae epistolae, in concilio quinto obviae, esse sciant; id quod ego vaticanos codices lectitans comperi. Neque ipsam lacunam graeci textus circa epistolae finem, codicibus vaticanis expletum iri sperent; etenim consulti a me duo 834. fol. 133. et 1180. fol. 151. nihil amplius exhibuerunt.

(1) Capita XXXVIII et XXXIX praetermittuntur a me, quia nonnisi nomenclaturam quandam continent.

(2) Non extat hic locus inter tria fragmenta quae huius operis recitat Theodoretus dialog. I. de immutabili ed. in 8. T. IV. part. I. p. 59; nec apud Montfaucon. opp. S. Athan. T. I. part. 2. p. 1282; neque denique in editione imperfecta scripti huius athanasiani in maurin. Bibl. nov. PP. T. II. p. 5. sqq.

τινος ὁ χωρίζει ὁ νοητοῦ ζώου ταύτην ποιοῦνται, καὶ σαφέστερον εἰπεῖν, οὐδὲ τούτων τινός, εἴπερ οὐδενὸς ζώου ψυχῆς ἐστέρηται σάρξ.

Ἀμφιλοχίου Εἰκονίου ἐκ τῆς πρὸς Παγχάριον διάκονον Σίδης δογματικῆς ἐπιστολῆς, ἧς ἡ ἀρχή, ἐπόθουν ἐπὶ σοὶ δοκιμώτατε.

Ἀσεβὴς ὄντως ἐστὶ καὶ τῆς ἀληθείας ἀλλότριος ὁ μὴ λέγων τὸν Χριστὸν τὸν σωτῆρα τῶν ὅλων καὶ ποιητὴν κατ' ἄμφω τὰ ἐξ ὧν ἐστὶν φύσει αὐτεξούσιον, καὶ ἐν ἐνεργεῖν πάσης ἀνάγκης ἐλεύθερον.

Τοῦ ἁγίου Ἱππολύτου.

Ἐνέργεια φυσικὴ τῆς νοερᾶς ἐστὶν ψυχῆς ἡ κατὰ φύσιν αὐτῆς αὐτοκίνητος καὶ πρώτη δύναμις, ἧς ἦν ὁ ἀεικίνητος λόγος φυσικῶς αὐτῆς πηγαζόμενος.

ΧΡΗΣΕΙΣ ΘΕΟΣΤΥΓΩΝ ΑΙΡΕΤΙΚΩΝ ΩΝ ΟΜΟΦΡΟΝΕΣ ΕΙΣΙΝ ΟΙ ΜΙΑΝ ΕΝΕΡΓΕΙΑΝ ΚΑΙ ΘΕΛΗΣΙΝ ΟΜΟΛΟΓΟΥΝΤΕΣ ΕΠΙ ΧΡΙΣΤΟΥ ΤΟΥ ΘΕΟΥ.

Ἐβίωνος ἐκ τῆς περὶ προφητῶν ἐξηγήσεως.

Κατ' ἐπαγγελίαν μέγας καὶ ἐκλεκτὸς προφήτης ἐστίν· ἴσως μεσίτης καὶ νομοθέτης τῆς κρείττονος διαθήκης γενόμενος· ὅστις ἑαυτὸν εὐεργέτας ὑπὲρ πάντων μίαν ἔφανε καὶ θέλησιν καὶ ἐνέργειαν ἔχων πρὸς τὸν Θεόν, θέλων ὥσπερ Θεὸς πάντας ἀνθρώπους σωθῆναι· καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐπὶ τῆς δι' αὐτοῦ τῷ κόσμῳ δι' ὧν εἰργάζετο φανερωθείσης.

Τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς ἐξηγήσεως.

Σχέσει γὰρ τῇ κατὰ δικαιοσύνην καὶ πόθῳ τῷ κατὰ φιλανθρωπίαν συναφθεὶς τῷ Θεῷ, οὐδὲν ἔσχεν μεμερισμένον πρὸς τὸν Θεόν, ἀλλὰ τὸ μίαν αὐτοῦ καὶ τοῦ Θεοῦ γενέσθαι τὴν θέλησιν καὶ τὴν ἐνέργειαν τῆς ἐπὶ τῇ σωτηρίᾳ τῶν ἀνθρώπων ἀγαθῶν.

Τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς.

Εἰ γὰρ ἠθέλησεν αὐτὸς Θεὸς σταυρωθῆναι, καὶ κατεδέξατο λέγων, μὴ τὸ ἐμὸν ἀλλὰ τὸ σὸν γενέσθω θέλημα, δῆλον ὅτι μίαν ἔσχεν μετὰ τοῦ Θεοῦ τὴν θέλησιν καὶ τὴν πρᾶξιν, ἐκεῖνο θελήσας καὶ πράξας, ὅπερ ἔδοξε τῷ Θεῷ.

Παύλου Σαμοσατέως ἐκ τῶν αὐτοῦ πρὸς Σαβῖνον λόγων.

Τῷ ἁγίῳ πνεύματι χρισθεὶς προσηγορεύθη Χριστός, πάσχων κατὰ φύσιν, θαυματουργῶν κατὰ χάριν· τῷ γὰρ ἀτρέπτῳ τῆς γνώμης ὁμοιωθεὶς τῷ Θεῷ, καὶ μείνας καθαρὸς ἁμαρτίας, ἡνώθη αὐτῷ καὶ ἐνηργήθη πω ἑλέσθαι τὴν τῶν θαυμάτων δυναστείαν, ἐξ ὧν μίαν αὐτῷ καὶ τὴν αὐτὴν πρὸς τῇ θελήσει ἐνέργειαν ἔχων, δειχθεὶς λυτρωτὴς τοῦ γένους καὶ σωτὴρ ἐχρημάτισεν.

Τοῦ αὐτοῦ ἐκ τῶν αὐτῶν.

Αἱ διάφοροι φύσεις καὶ τὰ διάφορα πρόσωπα ἕνα καὶ μόνον ἑνώσεως ἔχουσι τρόπον τὴν κατὰ τὴν θέλησιν σύμβασιν, ἐξ ἧς ἡ κατ' ἐνέργειαν ἐπὶ τῶν οὕτως συμβαθέντων ἀλλήλοις ἀναφαίνεται μονάς.

Τοῦ αὐτοῦ ἐκ τῶν αὐτῶν.

Ἅγιος καὶ δίκαιος γέγονεν ἡμῶν ὁ σωτήρ, ἀγῶνι καὶ πόνῳ τῆς τοῦ προπάτορος ἡμῶν κρατήσας ἁμαρτίας· οἷς κατορθώσας τὴν ἀρετήν, συνήφθη τῷ Θεῷ, μίαν καὶ τὴν αὐτὴν πρὸς αὐτὸν βούλησιν καὶ ἐνέργειαν ταῖς τῶν ἀγαθῶν προκοπαῖς ἐσχηκώς· ἣν ἀδιαίρετον φυλάξας, τὸ ὄ-

Digitized by Google

νεμα κληροῦται τὸ ὑπὲρ πᾶν ὄνομα, στοργῆς ἔπαθλον αὐτῷ χαρισθέν.

Τοῦ αὐτοῦ ἐκ τῶν αὐτῶν.

Μὴ θαυμάσῃς ὅτι μίαν μετὰ τοῦ θεοῦ τὴν θέλησιν εἶχεν ὁ σωτήρ· ὥσπερ γὰρ ἡ φύσις μίαν τῶν πολλῶν καὶ τὴν αὐτὴν ὑπάρχουσαν φανεροῖ τὴν οὐσίαν, οὕτως ἡ σχέσις τῆς ἀγάπης μίαν τῶν πολλῶν καὶ τὴν αὐτὴν ἐργάζεται θέλησιν διὰ μιᾶς καὶ τῆς αὐτῆς φανερουμένης εὐαρεστήσεως.

Τοῦ αὐτοῦ ἐκ τῶν αὐτῶν.

Τὰ κρατούμενα τῷ λόγῳ τῆς φύσεως οὐκ ἔχουσιν ἔπαινον· τὰ δὲ σχέσει φιλίας κρατούμενα ὑπεραίνετα, μιᾷ καὶ τῇ αὐτῇ γνώμῃ κρατούμενα διὰ μιᾶς καὶ τῆς αὐτῆς ἐνεργείας βεβαιούμενα, καὶ τῆς κατ' ἐπαύξησιν οὐδέποτε παυομένης κινήσεως· καθ' ἣν τῷ θεῷ συναφθεὶς ὁ σωτὴρ οὐδέποτε δέχεται μερισμὸν εἰς τοὺς αἰῶνας, μίαν αὐτῷ καὶ τὴν αὐτὴν ἔχων θέλησιν καὶ ἐνέργειαν ἀεικινουμένην τῇ φανερώσει τῶν ἀγαθῶν.

Νεστορίου Κωνσταντινουπόλεως ἐξ ὧν ἐσκέψατο κεφαλαίων.

Τῷ κατ' οὐσίαν λόγῳ φύσει φύσις οὐχ ἑνοῦται χωρὶς ἀφανισμοῦ· οὐκέτι γὰρ αὐταῖς σώζεται ὁ τοῦ πῶς εἶναι λόγος· ἡ δὲ κατὰ τὴν θέλησιν ἕνωσις καὶ τὴν ἐνέργειαν, ἀτρέπτους αὐτὰς τηρεῖ καὶ ἀδιαιρέτους, μίαν αὐτῶν δεικνῦσα πεποιημένην τὴν θέλησιν καὶ τὴν ἐνέργειαν, αἷς ὁ κατὰ τὴν ἀντένδειξιν αὐτῆς μυστικῶς διαδείκνυται λόγος.

Τοῦ αὐτοῦ ἐκ τῶν αὐτῶν.

Ἡ καθ' ὑπόστασιν καὶ φύσιν ἕνωσις ξένον ἐπάγεται πρὸς τὸ τοῦ Χριστοῦ μυστήριον τὸν λόγον· οὐ γὰρ ἐπιδέχεται σύνθεσιν θεότης εἰς ἑτέρας ὑπόστασιν φύσεως· ἡ δὲ κατ' εὐδοκίαν ἕνωσις μίαν τῶν ἑνουμένων ἀποσώζουσα θέλησιν καὶ ἐνέργειαν, ἀντιδείκνυται τῷ μὴ φαινομένῳ ποιεῖν τὸ φαινόμενον.

Θεοδώρου Μομψουεστίας ἐκ τῆς πρὸς Δόμνον ἐπιστολῆς.

Ἡ κατ' εὐδοκίαν τῶν φύσεων ἕνωσις μίαν ἀμφοτέρων τῷ τῆς ὁμωνυμίας λόγῳ ἐργάζεται τὴν προσηγορίαν, τὴν αὐθεντίαν, τὴν δυναστείαν, τὴν δεσποτείαν, τὴν ἀξίαν, τὴν ἐξουσίαν, μηδενὶ τρόπῳ διαιρουμένων, ἑνὸς ἀμφοτέρων κατ' αὐτὸν προσώπου καὶ γινομένου καὶ λεγομένου.

Τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς.

Καὶ τί δεῖ πολλὰ λέγειν; ὁ τῆς κατ' οὐσίαν ἑνώσεως ἐπὶ μόνων τῶν ὁμοουσίων ἀληθεύεται λόγος· ἐπὶ δὲ τῶν ἑτερουσίων διέψευσται, συγχύσεως εἶναι καθαρὸς οὐ δυνάμενος· ὁ δὲ τῆς κατ' εὐδοκίαν ἑνώσεως τρόπος ἀσυγχύτους φυλάττων φύσεις καὶ ἀδιαιρέτους, ἓν ἀμφοτέρων τὸ πρόσωπον δείκνυσιν καὶ μίαν τὴν θέλησιν καὶ μίαν τὴν ἐνέργειαν μετὰ τῆς ἑπομένης τούτοις μιᾶς αὐθεντίας καὶ δεσποτείας.

Μοντανοῦ ἐκ τῶν ἰδίων.

Μίαν ὁ Χριστὸς ἔχει τὴν φύσιν καὶ τὴν ἐνέργειαν καὶ πρὸ τῆς σαρκὸς καὶ μετὰ τῆς σαρκός, ἵνα μὴ διάφορος γένηται ἀνόμοια καὶ διάφορα πράττων.

Μανοῦ Πέρσου ἐκ τῆς πρὸς Ζεβινᾶν αὐτοῦ ἐπιστολῆς.

Μία τοῦ φωτός ἐστιν ἁπλῆ καὶ ἀπαθὴς ἡ φύσις, καὶ μία αὐτοῦ ἡ ἐνέργεια· τὸ φῶς γὰρ ἐν τῇ σκοτίᾳ αὐτὸ οὐ κατέλαβεν· οὐ γὰρ οὐσίας ἥψατο σαρκός, ἀλλ' ὁμοίωμά τι καὶ σχῆμά τι τῆς σαρκὸς ἐσκιάσθη· ἵνα μὴ κρατηθῇ διὰ τῆς οὐσίας τῆς σαρκός, καὶ πάθῃ καὶ φθαρῇ, τῆς σκοτίας φθειρούσης αὐτοῦ τὴν ἐνέργειαν τὴν φωτεινήν· πῶς οὖν ἔπαθεν μήτε τῆς σκιᾶς κρατουμένης, μήτε τῆς ἐνεργείας αὐτοῦ σκοτισθείσης;

Digitized by Google

Τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς ἐπιστολῆς.

Ἁπλῆ φύσις οὐκ ἀποθνήσκει, καὶ σκιὰ σαρκὸς οὐ σταυροῦται· μίαν οὖν ἔχων ἔμεινεν τὴν φύσιν καὶ τὴν ἐνέργειαν τὸ φῶς, μηδὲν παθοῦσαν τῷ ἐπισκιάσματι τῆς σαρκὸς οὐκ ἔχοντι φύσιν κρατουμένην.

Ἀπολιναρίου Λαοδικείας ἐκ τοῦ πρὸς Ἰουλιανὸν τὸν ἑαυτοῦ μαθητὴν λόγου.

Δακτύλῳ γλίφουσι πέτραν οἱ δύο νόας ἐπὶ Χριστοῦ δογματίζοντες, θεῖον φημὶ καὶ ἀνθρώπινον· εἰ γὰρ πᾶς νοῦς αὐτοκράτωρ ἐστὶν ἰδικῷ θελήματι κατὰ φύσιν κινούμενος, ἀδύνατόν ἐστιν ἐν καὶ τῷ αὐτῷ ὑποκειμένῳ δύο τοὺς τἀναντία θέλοντας ἀλλήλοις συνυπάρχειν, ἑκατέρου τὸ θεληθὲν ἑαυτῷ καθ' ὁρμὴν αὐτοκίνητον ἐνεργοῦντος.

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου.

Οὐδὲ τοῦτο συνιδεῖν ἠδυνήθησαν, καίτοι πᾶσιν ὂν καταφανές, ὅτι ὁ μὲν θεῖος νοῦς αὐτοκίνητος ἐστὶ καὶ ταυτοκίνητος· ἄτρεπτος γάρ· ὁ δὲ ἀνθρώπινος αὐτοκίνητος μέν, οὐ ταυτοκίνητος δέ· τρεπτὸς γάρ· καὶ ὅτι περ ἀτρέπτῳ νῷ τρεπτὸς οὐ μίγνυται νοῦς εἰς ἑνὸς ὑποκειμένου σύστασιν, στασιασθήσεται γὰρ τοῖς τῶν ἐξ ὧν ἐστι βουλομένοις ἐναντίοις θελήμασι· δι' ἣν αἰτίαν ἡμεῖς ἕνα τὸν Χριστὸν ὁμολογοῦμεν, καὶ μίαν ὡς ἑνὸς αὐτοῦ τήν τε φύσιν καὶ τὴν θέλησιν καὶ τὴν ἐνέργειαν προσκυνοῦμεν, θαύμασιν ὁμοῦ καὶ παθήμασι σύζυγον.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Οἱ γὰρ λέγοντες ἕνα τὸν Χριστὸν καὶ δύο φύσεις αὐτοῦ νοερὰς αὐτοτελεῖς κατηγοροῦντες, οὐκ ἴσασιν αὐτὸν σάρκα γενόμενον λόγον, καὶ μείναντα τῆς φυσικῆς αὐτοῦ μονάδος ἐκτός, ἐκφέροντες αὐτὸν εἰς ἀνομοίους φύσεις καὶ ἐνεργείας τεμνόμενον.

Ἰουλιανοῦ μαθητοῦ Ἀπολιναρίου πρὸς Πολέμωνα συμμαθητήν.

Ἐκ κινητικοῦ καὶ ἀκινήτου, ἐνεργητικοῦ τε καὶ παθητικοῦ, τὸν Χριστὸν εἶναι μίαν οὐσίαν καὶ φύσιν σύνθετον, ἑνί τε καὶ μόνῳ κεκινημένην θελήματι, καὶ μιᾷ ἐνεργείᾳ τά τε θαύματα πεποιηκέναι καὶ τὰ πάθη, μόνος καὶ πρῶτος ὁ πατὴρ ἡμῶν Ἀπολινάριος ἐφθέγξατο, τὸ κεκρυμμένον πᾶσι καταφωτίσας μυστήριον, ὡς ἐν καὶ μόνον οὐσίας μονάδι τιμήσας καὶ φύσεως, καὶ τοὺς κομψῷ λόγῳ αὐτὸ διαιροῦντας, ἀλλοτρίους τῆς ἐν αὐτῷ κεκρυμμένης σοφίας ἀποδείξας.

Ἐκ τῆς Πολέμωνος πρὸς Ἰουλιανὸν ἐπιστολῆς.

Οἱ τὸν Ἀθανάσιον ἐπὶ γνώσει θαυμάσαντες, Βασιλείου τε καὶ Γρηγορίου εὐγλωττίᾳ καταδυσωπηθέντες, τῷ τῆς διαιρέσεως κατεπόθησαν χάσματι σὺν ἐκείνοις, τὸν ἕνα Χριστὸν ἤγουν τὴν συντεθεῖσαν σαρκὶ μίαν τοῦ λόγου φύσιν δύο φύσεις ἔχειν νοερὰς αὐτοκινήτους, καὶ δύο θελήσεις καὶ τοσαύτας ἐνεργείας ἀποφηνάμενοι· μὴ σκοπήσαντες ὅτι ἡ μία φύσις, οὐδέποτε γὰρ διφυής, οὔτε δυάδι κατανέμεται θελημάτων πρὸς ἀνομοίους ἐνεργητικὰς ἐκφερομένη κινήσεις· ἀλλ' εἴπερ εἷς ἐστιν ὁ τοῦ θεοῦ λόγος, μία πάντως αὐτοῦ, ὡς ἑνός, καὶ ἡ φύσις καὶ ἡ θέλησις καὶ ἡ τῶν θαυμάτων τε καὶ παθημάτων ἐνεργητικὴ καθέστηκε κίνησις.

Τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς.

Ἔλαθεν γὰρ αὐτοὺς ὅτι περ ἑνουμένη δυάς, οὐ μένει δυάς· εἰ δὲ μένει δυάς, ἐκ δυάδος αὐτοῖς ὁ Χριστὸς ἔσται δυάς, ὅπερ ἀνόητον· εἰ δὲ καὶ θελημάτων δυάδι μερίζεται καὶ ἐνεργειῶν, ἔτι ἀνοητότερον· τῆς γὰρ τῶν φύσεων δυάδος οὔσης νοερᾶς, ἐξ ἀνάγκης καὶ θελημάτων αὐτῷ συνεισαχθήσεται δυάς· οὐ γάρ ἐστι νοῦς ἀθελής.

Digitized by Google

Εὐσεβίου Βεροίας Θρᾴκης ἐκ τῆς πρὸς Ζώσιμον ἐπιστολῆς.

Οὐ γέγονε δὲ φυσικὴ ἡ θέλησις ἁρμοσθεὶς ὁ λόγος μετὰ τὴν τῶν αἰγυπτίων καὶ καππαδοκῶν καὶ ῥωμαίων ταυτονομίαν, ἀλλὰ σύνθετος· οὐ γὰρ ποσότητι φύσεων ἐπεζεύχθη ἁρμοσθείς, ἐξ ἁπλοῦ γέγονε σύνθετος τῆς οἰκείας φυσικῆς, κατ' οὐδένα τρόπον μονάδος ἐκστάς· εἰ δὲ ταύτης οὐχ ὑπέμεινεν ἔκστασιν, μίαν αὐτοῦ δὴ σαφῶς ὡς ἑνὸς τήν τε φύσιν καὶ τὴν θέλησιν καὶ τὴν ἐνέργειαν μεγάλῃ κηρύττομεν τῇ φωνῇ.

Σευήρου Ἀντιοχείας ἐκ τῆς πρὸς Ἰωάννην τὸν ἡγούμενον γ' ἐπιστολῆς.

Ἡμεῖς, καθὼς ἤδη φθάσαντες ἐν ἄλλοις διὰ πλάτους γεγράφηκαμεν, τὴν φωνὴν τοῦ πανσόφου Διονυσίου τοῦ ἀρεοπαγιτικοῦ τὴν λέγουσαν, ἀλλ' ἀνδρωθέντος θεοῦ καινήν τινα τὴν θεανδρικὴν ἐνέργειαν ἡμῖν πεπολιτευμένου, μίαν ἐνοήσαμεν σύνθετον καὶ νοοῦμεν, ἑτέρως ἡμῖν νοηθῆναι μὴ δυναμένην, ὡς πάσης ἐχοῦσαν δυάδος ἀπέμφασιν, καὶ τὸν ἀνδρωθέντα θεὸν τὴν ταύτην καινοπρεπῶς πεπολιτευμένον, μίαν ὁμολογοῦμεν φύσιν τε καὶ ὑπόστασιν θεανδρικήν, ὥσπερ καὶ τὴν μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην· ὁ γὰρ τῆς οἰκονομίας λόγος καινοτομήσας τὰς φύσεις, συγκεκαινοτόμηκεν αὐταῖς καὶ τὰς προσηγορίας· ὥς ἂν οὖν εἷς ἐστὶν ὁ Χριστός, μίαν ὡς ἑνὸς αὐτοῦ τήν τε φύσιν καὶ τὴν ὑπόστασιν καὶ τὴν ἐνέργειαν σύνθετον ἐπ' ὄρους ὑψηλοῦ, τὸ δὴ λεγόμενον, ἀναβάντες κηρύττομεν ἀναθεματίζοντες καὶ πάντας τοὺς ἐπ' αὐτοῦ μετὰ τὴν ἕνωσιν δυάδα φύσεων καὶ ἐνεργειῶν δογματίζοντας.

Καὶ μετ' ὀλίγα.

Ἀκόλουθον οὖν ἐστὶν συνθέτου νοουμένης μὲν καὶ μιᾶς θεανδρικῆς ἐνεργείας, τοσαύτην εἶναί τε καὶ λέγεσθαι καὶ τὴν τοῦ ταύτην προφέροντος φύσιν τε καὶ ὑπόστασιν, ὡς ἂν μηδὲν ἔχοι κατὰ τὴν ἐνέργειαν πρὸς τὴν ἑαυτοῦ φύσιν ἀπεοικός.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς τὸν ἰατρὸν Προσδόκιον ἐπιστολῆς.

Ἡ σύνοδος Χαλκηδόνος καὶ Λέων ὁ τῆς ῥωμαίων ἡγησάμενος ἐκκλησίας δύο φύσεις ἐπὶ Χριστοῦ, καὶ δύο τούτων ἐνεργείας, ὁρισάμενοι μετὰ τὴν ἄφραστον ἕνωσιν, δικαίως ἀναθεματίζονται, ὡς τὸν ἕνα Χριστὸν εἰς δύο πρόσωπα καταμερίσαντες· οὐ γὰρ ἐνεργεῖ ποτὲ φύσις οὐχ ὑφεστῶσα.

Τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς.

Εἰ δὲ τῆς οἰκείας διαιρέσεως ποιοῦνται πρόφασιν τοὺς ἁγίους πατέρας, δύο φύσεις ἐπὶ Χριστοῦ καὶ δύο τούτων φυσικὰς ἐνεργείας εἰρηκότας, καὶ δυάδα θελημάτων, τολμηρῶς ἡμῖν ὁριζέσθωσαν, ἐπεὶ καὶ τοῦτο φανερῶς εἰρήκασιν οἱ πατέρες· ἐκεῖνοι γὰρ πρὸς τὴν Ἀρείου κτισματολατρείαν ἀράμενοι τὴν μάχην, πολλαῖς ἐχρήσαντο φωναῖς, ἃς οὐ δεῖ προφέρεσθαι νῦν ὡς ἀλυσιτελεῖς τοῖς τὸ μυστήριον διαγυμνάζουσιν τῆς ἀπορρήτου ἑνώσεως, ἐφ' ἧς τὸ διπλοῦν δογματίζεσθαι οἱ μετὰ ταῦτα παντελῶς ἀπηγόρευσαν, ἑκάστῳ νοήματι προσφόρως ἐπιτηδείους φωνὰς ἐκδιδάξαντες.

Ἀετίου ἀρειανοῦ.

Ἀθανάσιος ὁ αἰγύπτιος ἀγωνιζόμενος ταυτὸν δεῖξαι τῷ πατρὶ κατ' οὐσίαν τὸν υἱόν, δύο φύσεις αὐτῷ καὶ δύο ἐνεργείας ἐπεγράψατο, σκαιῶς ἀγνοήσας ὡς αὐτὸν ἑαυτῷ δυσσεβῶς ἐναντιούμενον ἔδειξεν· διχὰς γὰρ πᾶσα δυάς· τὴν αὐτὴν δὲ νόσον αὐτῷ καὶ πάντες οἱ τῷ ὁμοουσίῳ προσθέμενοι ἀπηγάγοντο.

Τοῦ αὐτοῦ ἐκ τῶν αὐτῶν σκεμμάτων.

Φύσει μόνος δημιουργὸς ὁ πατήρ· οὐ γὰρ ἐξ ἄλλου τοῦτο λαβὼν ἔχει δοτόν· θέσει μόνος δημιουργὸς ὁ υἱός, ἐκ τοῦ πατρὸς γὰρ τοῦτο λαβὼν ἔχει δοτόν· πάντα γὰρ ἐδόθη μοι παρὰ

τοῦ πατρός μου· καὶ ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς· εἰ δὲ θέσει δημιουργὸς, φύσει παθητός· παθητὸς γὰρ ἅπαξ τὸ μὴ φύσει δημιουργόν· εἰ δὲ φύσει παθητὸς, καὶ τὴν βούλησιν καὶ τὴν ἐνέργειαν ἔχει πάσχουσαν· οὐδὲν γὰρ ἀπαθὲς ἔχει τὸ φύσει παθητόν.

Τοῦ αὐτοῦ.

Οὐκ ἦν, εἰ μὴ γέγονεν ὁ υἱός· καὶ εἰ μὴ γέγονεν, οὐκ ἐγεννήθη· οὐ γὰρ ἀγέννητος γέννησις· εἰ δὲ γεγέννηται γεγονὼς ὁ υἱὸς, οὐ ταυτὸν τῷ πατρὶ μηδέτερον τούτων ὄντι φυσικῶς· εἰ δὲ μὴ ταυτὸν, ἕτερον τὴν φύσιν καὶ τὴν θέλησιν δηλονότι καὶ τὴν ἐνέργειαν· οὐ γὰρ ὃ θέλω πάτερ, ἀλλ' εἴ τι σύ· καὶ ὅσα βλέπω τὸν πατέρα ποιοῦντα, ὁμοίως ποιῶ· ὅπερ ἐστὶν μιμήσεως ἀλλ' οὐ φύσεως.

Τοῦ αὐτοῦ.

Εἰ σὰρξ γενόμενος ὁ λόγος τὴν φύσιν γέγονε σύνθετος, οὐκ ἂν τοῦτο γεγονὼς εἰ φύσει συνθέσεως ἦν ἀνεπίδεκτος· εἰ δὲ τὴν φύσιν γέγονε σύνθετος, δῆλον ὅτι καὶ τὴν βούλησιν καὶ τὴν ἐνέργειαν· πῶς οὖν ταυτὸ τῷ πατρὶ τῷ κατ' οὐδένα λόγον ἐπιδεχομένῳ σύνθεσιν, ὁ πεφυκὼς ταύτης δεκτικός;

Τοῦ αὐτοῦ.

Εἰ μόνος ἐστὶν, ὡς εἷς φύσει ἀλλ' οὐκ ἀριθμῷ, ὁ υἱὸς, μία αὐτοῦ ἡ φύσις ἐστὶ καὶ ἡ βούλησις καὶ ἡ ἐνέργεια· ἐν δὲ μετὰ δύο ποτ' ἂν οὐ γενήσεται φύσεις, κἂν γένηται σάρξ· ἐπὶ τοῦ φύσει μόνος υἱὸς ἐστὶ, σαφῶς διαπίπτουσι.

Εὐνομίου ἐκ τοῦ πρὸς Ζώσιμον.

Ἑνὶ δὲ λόγῳ τὸ ζητούμενον εἰπεῖν ἐξ αὐτοκινήτων οὐ γὰρ σύνθεσις· ἰδικὴν γὰρ ἑκατέρου ὡς νοερὰν τὴν ἐκ φύσεως ἐπάγει θέλησιν κατ' ἐξουσίαν περὶ τὸ δοκοῦν ἐνεργουμένην· πῶς οὖν σύνθεσις ἐναντίοις ἐκ φύσεως διεσπασμένα θελήμασι πρὸς ἀνομοίους ἐνεργείας;

Εἰρηναίου Ἀρπάσει ἐξ ὧν ἔγραψε κατὰ τῆς ἐν Χαλκηδόνι συνόδου, καὶ τοῦ ἁγίου Λέοντος ἐπεὶ τὸ Ζήνωνος ἑνωτικὸν προσεδέξατο.

Καὶ τάχα οὐδεὶς τῶν ὑφ' ἡμῶν ἔχει βάπτισμα ἢ χειροτονίαν, ὅσον τὸ ἐπ' αὐτοῖς, ἐὰν μὴ νῦν, ὡς προεῖπον, ἀναθεματίζοντες τοὺς ὀρθῶς ἡμῖν τὴν πίστιν παραδεδωκότας, μανίας ἄξια φθεγξόμεθα ῥήματα, δοξάζοντες τὸν κύριον ἡμῶν καὶ θεὸν διπλοῦν καὶ διαμερῆ καὶ δύο φύσεις ἔχοντα καὶ δύο ἐνεργείας.

Κύρου ἐπισκόπου Τυάνης.

Τὰ μὲν τῆς γε ἐν Χαλκηδόνι συναγωγῆς πονηρεύματα καὶ τὸν τῆς λύμης ἰὸν, ὃ ὁ δυσσεβὴς ἀπέστειλε Λέων κατὰ τῆς ὀρθῆς καὶ ἀμωμήτου πίστεως, ἔξω τῶν ἁγίων ποιούμεθα τόπων, κοινῇ τε ψήφῳ τούς τε συνειλεγμένους ἐν Χαλκηδόνι καὶ τὰ κακῶς ὑπ' αὐτῶν πραχθέντα ἀμεταμελήτως, καὶ τὴν τοῦ προέδρου τῶν ῥωμαίων ἐπιστολὴν τῷ ἴσῳ περιβάλλοντες ἀναθέματι.

Τοῦ αὐτοῦ.

Τοὺς δὲ λέγοντας ἐν δύο φύσεσιν μετὰ τὴν ἄφραστον ἕνωσιν διῃρημένας ἢ ἡνωμένας, καὶ τούτων μορφαῖς τε καὶ ἰδιότησι καὶ διπλαῖς ἐνεργείαις ὁρίζεσθαι τὸν σαρκωθέντα τοῦ θεοῦ λόγον τὸν κύριον ἡμῶν καὶ Χριστὸν Ἰησοῦν ἐπιστάμεθα, καὶ τούτους ἀναθεματίζομεν.

Ἰουλιανοῦ τοῦ Ἁλικαρνασέως ἀφθαρτοδοκήτου.

Εἴ τις μετὰ τὴν ἄφραστον καὶ ἀπερινόητον ἕνωσιν τολμήσει λέγειν δύο φύσεις ἢ δύο οὐσίας ἢ δύο ἐνεργείας, ὡς δύο πρόσωπα λέγων καὶ δύο ὑποστάσεις, ἀναθεματιζέσθω.

Digitized by Google

Κολλούθου αἱρετικοῦ.

Ἓν ἐστὶ τὸ θέλημα τοῦ Χριστοῦ, κἂν ποτὲ μὲν θεϊκῶς ποτὲ δὲ ἀνθρωπίνως ἐκινεῖτο· οὕτως ἄρα καὶ οὐκ ἄλλως καὶ μία τοῦ ἑνὸς ἡ γνῶσις.

Θεμιστίου ἀγνοίτου.

Μία μὲν γὰρ ἡ γνῶσις ἐπὶ Χριστοῦ, καθάπερ καὶ ἡ θέλησις καὶ ἡ ἐνέργεια· καὶ γὰρ εἷς ἦν ὁ γινώσκων, ὥσπερ ἀμέλει τοι καὶ θέλων καὶ ἐνεργῶν.

Τοῦ αὐτοῦ.

Ὅτι γάρ τοι καὶ ὁ μακάριος Σευῆρος περὶ Χριστοῦ λέγων ὡς τὰ μὲν θεϊκῶς τὰ δὲ ἀνθρωπίνως ὁ αὐτὸς ἐνήργησεν, τὸ τῆς ἐνεργείας θεανδρικὸν οὐ μόνον μέν τοι θεοπρεπῶς ὁμοίως δεῖξαι προήρετο, καταθιάζεσθαι ῥᾷον.

Τοῦ αὐτοῦ.

Εἰ γὰρ μία τοῦ λόγου θεανδρικὴ, καθ' ἃ πολλάκις εἰρήκαμεν, ἐνέργεια τε καὶ γνῶσις, πῶς μία καὶ μία νοοῖτο κατὰ μέρος, καὶ δύο μᾶλλον καὶ οὐ μία;

Θεοδοσίου Ἀλεξανδρείας.

Ὡς λοιπὸν καὶ ἐνέργειαν εἶναι τοῦ συναμφοτέρου θεοπρεπῆ μίαν ἐπειδὴ ἑνὸς εἶναι καὶ τοῦ αὐτοῦ φαμὲν τὰ θεοπρεπῆ πάντα καὶ ἀδιάβλητα πάθη.

Σευήρου.

Κατὰ προσθήκην καὶ καινοτομίαν πίστιν ὡρίσατο ἡ ἐν Χαλκηδόνι σύνοδος, καὶ διεῖλεν εἰς δύο τὸν σαρκωθέντα καὶ ἐνανθρωπήσαντα δι' ἡμᾶς θεὸν λόγον καὶ κύριον Ἰησοῦν Χριστὸν τὸν σωτῆρα τοῦ ἡμετέρου γένους καὶ λυτρωτὴν, ἐν δύο φύσεσι γνωρίζεσθαι αὐτὸν ποιήσασα, καὶ τούτου ἐνεργείας καὶ ἰδιότητας μετὰ τὴν ἀπερινόητον καὶ ἄφραστον ἕνωσιν, καὶ τὸν Λέοντος τοῦ τῆς ῥωμαίων ἐκκλησίας ἡγησαμένου τόμον προσηκάτο, στήλην αὐτὸν ὀρθοδοξίας ἀποκαλέσασα.

Θεοδώρου περὶ Νεστοριανῶν.

Ἓν μὲν οὖν τὸ ἀξίωμα τοῦ βασιλέως, μία δὲ ἀμφοῖν ἡ ἐνέργεια.

Καὶ μεθ' ἕτερα.

Ἐμφανῆ δὲ λοιπὸν τὴν τιμὴν τῆς βασιλείας διὰ πάντων κομίζεται· ἓν μὲν γὰρ λοιπὸν τὸ ἀξίωμα τῆς εἰκόνος, καὶ τοῦ ταύτην προστεθειμένου θεοῦ· μία δὲ ἀμφοῖν ἡ ἐνέργεια.

Ἀπολιναρίου αἱρετικοῦ.

Καὶ ἰουδαῖοι τὸ σῶμα σταυρωθέντος θεὸν ἐσταύρωσαν, καὶ οὐδεμία διαίρεσις τοῦ λόγου καὶ τῆς σαρκὸς αὐτοῦ ἐν ταῖς θείαις φέρεται γραφαῖς· ἀλλ' ἔστι μία φύσις, μία ὑπόστασις, μία ἐνέργεια.

Hactenus codicem vaticano-columnensem typis committere libuit; cetera enim quae in praevio indiculo promittuntur, neque eiusdem auctoris neque paris pretii visa sunt.

Digitized by Google

PRAEFATIUNCULA

ET TITULI

SEQUENTIS OPERIS.

Θεὸς ἡμῖν ἔστω παντὸς ἔργου καὶ λόγου προοίμιον· ἀρχὴ γὰρ αὕτη πασῶν ἀσφαλεστάτη· καὶ οἱ ταύτης ἐχόμενοι, πρὸς λιμένα καταντῶσιν ἀναπαύσεως. Ἐπεὶ οὖν τὸ πρῶτον βιβλίον τὰ περὶ Θεοῦ εἴληφε, εἰκότως ἄρα τὸ δεύτερον περὶ ἀνθρώπων ἐκλαμβάνει, παιδεῦον ἡμᾶς ἐν οἷς ὁ παρὼν βίος ἐξετάζεται, καὶ τὰ τῆς ἀστάτου καὶ ἀβεβαίου τῶν ἀνθρωπίνων πραγμάτων καταστάσεως, καὶ περὶ εὐπραγίας, καὶ ὡς οὔτε τερπνὰ μόνιμα, οὔτε τὰ λυπηρὰ διαρκῆ· καὶ συντόμως εἰπεῖν πάντα ἐστὶν εὑρεῖν ἐν αὐτῷ ὅσα ἔν τε ἤθει καὶ πράξει τὴν ἡμετέραν τυποῦσι ζωήν.

ΟΙ ΤΙΤΛΟΙ ΤΩΝ ΣΤΟΙΧΕΙΩΝ.

Στοιχεῖον α.

τίτ. α. περὶ τῆς τοῦ ἀνθρώπου πλάσεως καὶ κατασκευῆς.

β. περὶ ἀδελφῶν.

γ. περὶ αὐτεξουσίου, καὶ ὅτι τὸ αὐτεξούσιον δέδοται ἡμῖν.

δ. περὶ τῆς ἀστάτου καὶ ἀβεβαίου τῶν ἀνθρωπίνων πραγμάτων, καὶ τίνι ἔοικεν ὁ ἄνθρωπος καὶ ὁ βίος αὐτοῦ, καὶ ὅτι μάταια τὰ παρόντα.

ε. περὶ ἀγαθοεργίας, καὶ ὅτι χρὴ τὸ ἀγαθὸν πρὸς πάντας ποιεῖν, καὶ μὴ ἀποδιδόναι κακὸν ἀντὶ κακοῦ, ἀλλὰ πειρᾶσθαι νικᾷν ἐν τῷ ἀγαθῷ τὸ κακόν.

ς. περὶ ἀδικουμένων, ὅτι χρὴ βοηθεῖν αὐτοῖς.

ζ. περὶ ἀρχομένων, ὅτι χρὴ ὑποτάττεσθαι τοῖς ἄρχουσιν, καὶ παραχωρεῖν, καὶ τιμὴν νέμειν, καὶ μὴ ἀντιλέγειν ἢ βλασφημεῖν αὐτοῖς.

η. περὶ ἀρχομένων, ὅτι ἐξομοιοῦνται οἱ ἀρχόμενοι τοῖς τῶν κρατούντων ἤθεσι, κἄν τε χρηστοὶ κἄν τε μοχθηροὶ τύχωσιν ὄντες.

θ. περὶ ἀναρχίας, ἤτοι λαοῦ μὴ ἔχοντος ποιμένα.

ι. περὶ ἁμαρτανόντων, καὶ ὅτι ὑπὸ Θεοῦ μισοῦνται οἱ ταῖς ἁμαρτίαις δεινῶς ἐμφυρόμενοι, καὶ φίλον Θεῷ ἐξολοθρεύειν αὐτούς· τὸ γὰρ μὴ κολάζεσθαι αὐτοὺς, αἴτιον γίνεται τοῦ καὶ ἄλλους ἐξομοιοῦσθαι αὐτοῖς.

ια. περὶ ἁμαρτανόντων καὶ συνεχῶς αἰτούντων συγγνώμην.

ιβ. περὶ ἀγγελίας ἀγαθῆς.

ιγ. περὶ ἀγγελίας πονηρᾶς.

ιδ. περὶ ἀγγέλλοντος καὶ μεσάζοντος ἀπόκρισιν καὶ ὅτι ὁ τὰ πεμπόμενα ἐξουθενῶν, τὸν πέμψαντα περιφρονεῖ.

ιε. περὶ αἰτοῦντος ἤγουν πρὸς αἰτοῦντας (1).

ις. περὶ ἀπληστίας, καὶ ὅτι ἀπλήστως ἔχομεν πρὸς τὴν τοῦ πλείονος ὄρεξιν.

ιζ. περὶ ἀδίκων αἰτήσεων, καὶ ὅτι οὐ χρὴ τὰς ἀδίκους αἰτήσεις εἰς πέρας ἄγειν.

ιη. περὶ ἀσπασμοῦ, καὶ ὅτι τὸ μετριάζειν καὶ συγκαταβατικῶς προσπονεῖν εὔνοιαν προξενεῖ.

ιθ. περὶ ἀπαντημάτων, καὶ τῶν ἀπὸ κακῶν εἰς κακὰ ἐμπιπτόντων.

κ. περὶ αἰνιγμάτων καὶ τῶν σκοτεινῶς πρός τι εἰρημένων.

κα. περὶ ἀκηδίας καὶ ἀθυμίας.

κβ. περὶ ἀδυνάτων καὶ τῶν μὴ ἐνδεχομένων.

κγ. περὶ ἀστρονόμων.

κδ. περὶ ἀπογνώσεως. ὅτι οὐ δεῖ ἡμᾶς τῆς ἑαυτῶν σωτηρίας ἀπογινώσκειν.

κε. περὶ αἰσχρολογίας.

(1) Ita bis Leontii codex; et sic etiam Damasceni codex. Perperam ergo Lequinius in Damasceno edebat προσαιτοῦντος.

Digitized by Google

κϛ. περὶ ἀρᾶς εὐλόγως ἢ ἀδίκως ἐπαγομένης.

κζ. περὶ ἀπειλῆς.

κη. περὶ ἀμίκτων καὶ τῶν ἀκοινωνήτως ἐχόντων πρὸς ἄλληλα.

κθ. περὶ ἀγχόνης καὶ τῶν ἑαυτοὺς τοῦ ζῆν ἐξαγαγόντων.

λ. περὶ ἀγγαρείας.

λα. περὶ ἀνασκολοπισθέντος καὶ τετελευτηκότος ἐν τῷ ξύλῳ, ὅτι χρὴ δύνοντος ἡλίου κατάγαγεῖν τὸ σῶμα καὶ ὑπὸ γῆν καλύπτειν.

Ἐντεῦθεν αἱ παραπομπαὶ τῶν τίτλων τῶν ἀπὸ τοῦ αὐτοῦ στοιχείου ἀρχομένων καὶ ἀλλαχοῦ κειμένων τε καὶ εὑρισκομένων.

περὶ ἀσκήσεως καὶ μελέτης· κεῖται ἐνταῦθα ἐν τῷ γ στοιχείῳ, τίτλῳ τετάρτῳ, οὗ ἡ ἀρχὴ περὶ γυμνασίου.

περὶ ἀμοιβῆς καὶ ἀνταποδόσεως τῶν ὑφ' ἡμῶν πραττομένων· κεῖται ἐνταῦθα ἐν τῷ εἰκοστῷ στοιχείῳ, τίτλῳ α, οὗ ἡ ἀρχὴ περὶ ἔργων καὶ πράξεων.

περὶ ἀκουσίων ἁμαρτημάτων κεῖται ἐνταῦθα ἐν τῷ ε στοιχείῳ, τίτλῳ ιη, οὗ ἡ ἀρχὴ περὶ ἑκουσίων.

περὶ ἀλόγων ζῴων· κεῖται ἐνταῦθα ἐν τῷ ζ στοιχείῳ, τίτλῳ α, οὗ ἡ ἀρχὴ περὶ ζῴων.

περὶ ἀγαθῆς ἡμέρας· κεῖται ἐνταῦθα ἐν τῷ η στοιχείῳ, τίτλῳ α, οὗ ἡ ἀρχὴ περὶ ἡμέρας ἀγαθῆς.

περὶ φόνου· κεῖται ἐνταῦθα ἐν τῷ θ στοιχείῳ, τίτλῳ δ, οὗ ἡ ἀρχὴ περὶ θανάτου.

περὶ ἀνθρωπαρεσκούντων· κεῖται ἐνταῦθα ἐν τῷ κ στοιχείῳ, τίτλῳ ϛ, οὗ ἡ ἀρχὴ περὶ κολάκων.

περὶ ἀφορίας καὶ ἐνδείας κεῖται ἐνταῦθα ἐν τῷ λ στοιχείῳ, τίτλῳ γ, οὗ ἡ ἀρχὴ περὶ λιμοῦ.

περὶ ἀσθενούντων καὶ ἀῤῥωστούντων· κεῖται ἐνταῦθα ἐν τῷ ν στοιχείῳ, τίτλῳ α. οὗ ἡ ἀρχὴ περὶ νοσούντων· καὶ ἐν τοῖς παραλλήλοις περὶ παιδείας θεοῦ.

περὶ ἀγοραπίας· κεῖται ἐνταῦθα ἐν τῷ π στοιχείῳ, τίτλῳ γ, οὗ ἡ ἀρχὴ περὶ πράσεως.

περὶ ἀπορίας· κεῖται ἐνταῦθα ἐν τῷ π στοιχείῳ, τίτλῳ δ, οὗ ἡ ἀρχὴ περὶ πείρας.

περὶ ἀνδρὸς πιστοῦ· κεῖται ἐνταῦθα ἐν τῷ π στοιχείῳ, τίτλῳ ε, οὗ ἡ ἀρχὴ περὶ πιστοῦ.

περὶ ἀσύλων τόπων· κεῖται ἐνταῦθα ἐν τῷ π στοιχείῳ, τίτλῳ ια, οὗ ἡ ἀρχὴ περὶ προσφυγίου.

περὶ ἀφορίας χρηστῶν ἀνδρῶν· κεῖται ἐνταῦθα ἐν τῷ σ στοιχείῳ, τίτλῳ ι, οὗ ἡ ἀρχὴ σπάνεως καὶ ἀφορίας.

περὶ ἀγρυπνίας· κεῖται ἐνταῦθα ἐν τῷ υ στοιχείῳ, τίτλῳ γ, οὗ ἡ ἀρχὴ περὶ ὕπνου.

περὶ ἀφορμῆς, ὅτι οὐ δεῖ ἀφορμὴν διδόναι τοῖς θέλουσιν ἀφορμήν· κεῖται ἐνταῦθα ἐν τῷ υ στοιχείῳ, τίτλῳ ε, οὗ ἡ ἀρχὴ περὶ ὑπονοίας.

περὶ ἀνονήτου σπουδῆς· κεῖται βιβλίῳ α ἐν τῷ σ στοιχείῳ, τίτλῳ οὗ ἡ ἀρχὴ περὶ σπουδῆς.

Σχόλιον. Ἀνάγνωθι καὶ ἐν τοῖς παραλλήλοις· κεῖται γὰρ ἐκεῖσε περὶ ἀσεβῶν· περὶ ἀγάπης· περὶ ἀλαζόνων· περὶ ἀναιδῶν· περὶ ἁπλοῦ καὶ ἀκάκου· περὶ ἀπραγμοσύνης· περὶ ἀρετῆς· περὶ ἀδικίας καὶ ἁμαρτίας· περὶ ἀρχόντων χρηστῶν καὶ ἀρχόντων πονηρῶν· περὶ ἀδελφῶν χρηστῶν καὶ ἀδελφῶν πονηρῶν· περὶ ἀγαθῶν καὶ περὶ ἁμαρτωλῶν ἀνδρῶν· περὶ τῶν ἀγαπώντων καὶ ἀποδεχομένων τοὺς ἀρίστους ἄνδρας· καὶ περὶ τῶν ἀποστρεφομένων τὰ κακά, καὶ τῶν ἀποδεχομένων αὐτά· περὶ ἀσκητῶν χρηστῶν καὶ ἀσκητῶν μοχθηρῶν· περὶ αἰσθητικοῦ ἀνδρὸς καὶ περὶ ἀναισθήτου· περὶ ἀβουλίας· περὶ ἄφρονος καὶ ἀνοήτου καὶ ἀπαιδεύτου· περὶ ἀφέσεως πρὸς τὸν πλησίον, καὶ τῶν μὴ ἀφιέντων· περὶ ἀχαριστούντων καὶ ἀγνωμονούντων· περὶ αἰσχύνης ἀγαθῆς καὶ αἰσχυντηροῦ· περὶ αἰσχύνης πονηρᾶς· περὶ ἀπάτης ἐπαινετῆς καὶ ἀπάτης ψευστῆς· περὶ ἀσχημοσύνης· περὶ αὐταρκείας· περὶ ἀμεταθέτων· περὶ ἀμοιβῆς τῶν οὐ πω κατ' ἀρετὴν βιωσάντων, καὶ ἀνταποδόσεως τῶν ἐν κακίᾳ ζώντων.

Στοιχεῖον β.

τιτ. α. περὶ τοῦ βίου καὶ τοῦ κόσμου τούτου· ὅτι ἐν περισπασμῷ καὶ μόχθῳ καὶ ἡμεῖς καὶ ὁ βίος ἡμῶν· καὶ ὡς ἡ τοῦ κόσμου φιλία χωρίζει καὶ ἀπαλλοτριοῖ ἡμᾶς τοῦ θεοῦ.

β. περὶ βλασφήμου καὶ μεγαλορρήμονος.

γ. περὶ βρωμάτων καὶ τῶν πρὸς τὸ ζῆν ἀναγκαίων.

δ. περὶ βιαίου καὶ ἀξιοπίστου.

ε. περὶ βιβλίων, ὅτι οὐ δεῖ βιβλία πολλὰ κτᾶσθαι.

ϛ. περὶ βασιλέως.

Ἐντεῦθεν αἱ παραπομπαὶ τῶν τίτλων τῶν ἀπὸ τοῦ αὐτοῦ στοιχείου ἀρχομένων, καὶ ἀλλαχοῦ κειμένων τε καὶ εὑρισκομένων.

περὶ τῶν βλασφημούντων ἐξ ἀνοίας εἰς θεόν· κεῖται ἐνταῦθα ἐν τῷ π στοιχείῳ, τίτλῳ α, οὗ ἡ ἀρχὴ περὶ πταιόντων.

περὶ βοηθείας ὑπὸ θεοῦ τοῖς ἀδικουμένοις γινομένης· κεῖται βιβλίῳ πρώτῳ ἐν τῷ ε στοιχείῳ, τίτλῳ οὗ ἡ ἀρχὴ περὶ ἐκδικήσεως.

Σχόλιον ἀνάγνωθι καὶ ἐν τοῖς παραλλήλοις· εὑρήσεις γὰρ ἐκεῖ περὶ βασιλέως πονηροῦ· περὶ τῶν βδελυσσομένων τοὺς ἀρίστους ἄνδρας· περὶ βιαζομένων καὶ ἁρπαζόντων τὰ ἀλλότρια· περὶ βουλῆς ἀγαθῆς· περὶ βραχυλογιῶν· περὶ βίου σεμνοῦ.

Στοιχεῖον γ.

τιτ. α. περὶ τοῦ γνῶθι σαυτόν, ἤτοι πρόσεχε σεαυτῷ· καὶ ὅτι χρὴ τὰ οἰκεῖα ἕκαστον περισκοπεῖν, καὶ μὴ τὰ ἀλλότρια αἰτιᾶσθαι κακά.

β. περὶ τῶν γνωσιμαχούντων.

γ. περὶ γεωργίας· ὅτι καλὸν τὸ ἐργάζεσθαι.

δ. περὶ γυμνασίου καὶ μελέτης.

ε. περὶ γογγυσμοῦ.

ϛ. περὶ γυναικῶν· ὅτι χρὴ αὐτὰς ὑποτάσσεσθαι τοῖς ἰδίοις ἀνδράσιν, καὶ μηδὲν παρὰ γνώμην αὐτῶν διαπράττεσθαι.

ζ. περὶ γυναικῶν· ὅτι οὐ δεῖ αὐτὰς ἀκαταλύτ-

τος προσεύχεσθαι, ἢ λαλεῖν, ἢ διδάσκειν ἐν ἐκκλησίᾳ Θεοῦ.

Ἐντεῦθεν αἱ παραπομπαὶ τῶν τίτλων τῶν ἀπὸ τοῦ αὐτοῦ στοιχείου ἀρχομένων, καὶ ἀλλαχοῦ κειμένων καὶ εὑρισκομένων.

περὶ γέλωτος καὶ γελοιαστῶν· κεῖται ἐνταῦθα ἐν τῷ κ στοιχείῳ, τίτλῳ ϛ, οὗ ἡ ἀρχὴ περὶ κολάκων.

Σχόλιον. Ἀνάγνωθι καὶ ἐν τοῖς παραλλήλοις, περὶ γονέων ἀγαθῶν καὶ γονέων κακῶν· περὶ γερόντων ἀγαθῶν καὶ γερόντων κακῶν· περὶ γλώσσης ἀγαθῆς καὶ γλώσσης πονηρᾶς, καὶ περὶ γλωσσώδους· περὶ γάμου σεμνοῦ· περὶ γυναικῶν σωφρόνων καὶ γυναικῶν πονηρῶν.

Στοιχεῖον δ.

τιτ. α. περὶ γαστριμαργίας.

β. περὶ δυσαρεστουμένων.

γ. περὶ διδασκάλων.

δ. περὶ διαφορᾶς καὶ ἀνομοίου καταστάσεως ἀνθρώπων· καὶ ὅτι οὐ τὰ αὐτὰ πᾶσιν ἁρμόζει, οὐδὲ τοῖς αὐτοῖς ἕκαστος χαίρει.

ε. περὶ διαβολῆς· ὅτι οὐ δεῖ ἀκρίτως δέχεσθαι διαβολήν.

ϛ. περὶ διψύχων καὶ παλιμβόλων καὶ ἄστατον γνώμην ἐχόντων.

ζ. περὶ διγλώσσου.

η. περὶ διαγνώσεως καλοῦ τε καὶ κακοῦ.

θ. περὶ δείπνου καὶ συνεστιάσεως.

ι. περὶ διηγήσεως ἀπὸ συνετῶν ἀνδρῶν γενομένης.

ια. περὶ δόξης καὶ τιμῆς· ὅτι οὐ δεῖ τὴν ἰδίαν δόξαν ἑτέρῳ παρασχεῖν.

ιβ. περὶ διαθηκῶν.

ιγ. περὶ διαβόλου, ἤτοι σατανᾶ καὶ δαιμόνων.

Ἐντεῦθεν αἱ παραπομπαὶ τῶν τίτλων τῶν ἀπὸ τοῦ αὐτοῦ στοιχείου ἀρχομένων καὶ ἀλλαχοῦ κειμένων τε καὶ εὑρισκομένων.

περὶ δυσπραγίας· κεῖται ἐνταῦθα ἐν τῷ ε στοιχείῳ, τίτλῳ β, οὗ ἡ ἀρχὴ περὶ εὐπραγίας.

περὶ δεομένων καὶ παρακαλούντων· κεῖται ἐνταῦθα ἐν τῷ ε στοιχείῳ, τίτλῳ α, οὗ ἡ ἀρχὴ περὶ ἱκετεύοντος.

περὶ δήμου καὶ περὶ στάσεως ἐξ αὐτοῦ γινομένης· κεῖται ἐνταῦθα ἐν τῷ κ στοιχείῳ, τίτλῳ δ, οὗ ἡ ἀρχὴ περὶ κινδύνου· καὶ ἐν τῷ π, τίτλῳ ϛ, οὗ ἡ ἀρχὴ περὶ πλήθους.

περὶ δυσωπήσεως· κεῖται ἐνταῦθα ἐν τῷ ο στοιχείῳ, τίτλῳ ϛ, οὗ ἡ ἀρχὴ περὶ οἰήσεως.

περὶ διαθέσεως καὶ γνώμης ἀγαθῆς· κεῖται ἐνταῦθα ἐν τῷ π στοιχείῳ, τίτλῳ η, οὗ ἡ ἀρχὴ περὶ προαιρέσεως.

περὶ δημηγορτῶν· κεῖται ἐνταῦθα ἐν τῷ τ στοιχείῳ, τίτλῳ β, οὗ ἡ ἀρχὴ περὶ ταραχοποιῶν.

Σχόλιον. Ἀνάγνωθι καὶ ἐν τοῖς παραλλήλοις περὶ δικαιοσύνης· περὶ δικαστῶν ἀδεκάστων, καὶ περὶ δικαστῶν ληπτῶν· περὶ δεσποτῶν ἀγαθῶν, καὶ περὶ δεσποτῶν μοχθηρῶν· περὶ δούλων χρηστῶν καὶ πονηρῶν· περὶ δανειστῶν ἀγαθῶν καὶ μοχθηρῶν· περὶ δανειζομένων εὐγνωμονούντων καὶ δανειζομένων ἀγνωμονούντων· περὶ δικαίων καὶ ἀγαθῶν ἀνδρῶν· περὶ δολίου καὶ σκολιοῦ· περὶ διαλλαγῆς πρὸς τὸν πλησίον.

Στοιχεῖον ε.

τιτ. α. περὶ ἔργων καὶ πράξεων, καὶ ὅτι κατὰ τὰ ἔργα καὶ ὁ μισθὸς ἐξομοιοῦται ἡμῖν παρὰ Θεοῦ.

β. περὶ εὐπραγίας καὶ δυσπραγίας, καὶ ὅτι οὐ χρὴ ἐπαίρεσθαι ἐν ταῖς εὐπραγίαις ἢ συστέλλεσθαι ἐν ταῖς δυσπραγίαις.

γ. περὶ εὐθηνίας, καὶ ὅτι ἐν ταῖς εὐπορίαις φιλεῖ τὰ ἁμαρτήματα γίνεσθαι.

δ. περὶ ἐγκωμίων καὶ ἐπαίνων, καὶ τῶν ἐπιχαιρόντων αὐτοῖς.

ε. περὶ ἐχθρῶν καὶ πτώσεως αὐτῶν, καὶ ὅτι οὐ δεῖ χαίρειν ἐπὶ τῇ κακοπραγίᾳ τῶν ἐχθρῶν.

ϛ. περὶ ἐγγυῆς.

ζ. περὶ ἐπιβουλῆς καὶ τῶν ἐπιβουλευόντων λαθραίως.

η. περὶ ἐπιβουλῆς καὶ τῶν ἐπιβουλευόντων τοῖς πλησίον, καὶ ὅτι αἱ καθ' ἑτέρων ἐπιβουλαὶ εἰς τοὺς μηχανησαμένους περιτρέπονται.

θ. περὶ εὐθυνομένων καὶ δίκας εἰσπραττομένων· καὶ ὅτι οὔτε γονεῖς ὑπὲρ τέκνων, οὔτε τέκνα ὑπὲρ γονέων εὐθύνονται.

ι. περὶ ἐπιθυμίας καὶ ὀρέξεως, καὶ ὅτι οὐ δεῖ ταῖς ἰδίαις ἐπιθυμίαις ἐξακολουθῆσαι.

ια. περὶ ἐπιτιμήσεως, ὅτι οὐ δεῖ ἀκρίτως ἐπιτιμᾷν.

ιβ. περὶ ἐλεγμῶν.

ιγ. περὶ ἐπικοίνων, καὶ ὅτι χρὴ φεύγειν τὰ ἐπίκοινα πράγματα καὶ τὰ ἐπίκοινα καταγώγια.

ιδ. περὶ εὐεργεσίας ἐξ ἀδίκων γινομένης.

ιε. περὶ ἐργολάβων καὶ τῶν εἰς ἀλλοτρίας δίκας ἑαυτοὺς ἐμβαλλόντων.

ιϛ. περὶ ἐμπόρων.

ιζ. περὶ εὐδοκιμήσεως, ὅτι εὐχῆς ἄξιον τὸ κατόρθωμα.

ιη. περὶ ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων.

ιθ. περὶ εὐνούχων.

κ. περὶ ἐνυπνίων.

κα. περὶ ἐκδικήσεως, καὶ ὡς ἀπηγόρευται δὶς περὶ τοῦ αὐτοῦ πράγματος εὐθύνας εἰσπράττεσθαι.

Ἐντεῦθεν αἱ παραπομπαὶ τῶν τίτλων τῶν ἀπὸ τοῦ αὐτοῦ στοιχείου ἀρχομένων καὶ ἀλλαχοῦ κειμένων τε καὶ εὑρισκομένων.

περὶ ἐπαιτοῦντος, ἤγουν πρὸς αἰτοῦντος· κεῖται ἐνταῦθα ἐν τῷ α στοιχείῳ, τίτλῳ ιε, οὗ ἡ ἀρχὴ περὶ αἰτοῦντος.

περὶ εὐκαίρως πάντα ποιεῖν καὶ λέγειν· κεῖται ἐνταῦθα ἐν τῷ κ στοιχείῳ, τίτλῳ ε, οὗ ἀρχὴ περὶ καιροῦ.

περὶ εὐτραπέλων· κεῖται ἐνταῦθα ἐν τῷ κ στοιχείῳ, τίτλῳ ϛ, οὗ ἡ ἀρχὴ περὶ κολάκων.

περὶ εὐόπτων· κεῖται ἐνταῦθα ἐν τῷ κ στοιχείῳ, τίτλῳ ι, οὗ ἡ ἀρχὴ περὶ κάλλους.

περὶ ἐπασμάτων καὶ ἐπαοιδῶν καὶ ἐγγαστριμύ-

θων· κεῖται ἐνταῦθα ἐν τῷ κ στοιχείῳ, τίτλῳ ιθ, οὗ ἡ ἀρχὴ περὶ καθαιρόντων ἐν πυρί.

περὶ ἐνδείας· κεῖται ἐνταῦθα ἐν τῷ λ στοιχείῳ, τίτλῳ γ, οὗ ἡ ἀρχὴ περὶ λιμοῦ.

περὶ εὐσπλαγχνίας· κεῖται ἐνταῦθα ἐν τῷ σ στοιχείῳ, τίτλῳ ιε, οὗ ἡ ἀρχὴ περὶ συμπαθείας.

περὶ ἐνδελεχισμοῦ· κεῖται ἐνταῦθα ἐν τῷ ο στοιχείῳ, τίτλῳ ιβ, οὗ ἡ ἀρχὴ ὅτι ἡ παραμονὴ ἔργον ἀνύει.

περὶ ἐπιστημῶν· κεῖται ἐνταῦθα ἐν τῷ τ στοιχείῳ, τίτλῳ ε, οὗ ἡ ἀρχὴ περὶ τεχνιτῶν.

περὶ εἰρωνείας· κεῖται ἐνταῦθα ἐν τῷ υ στοιχείῳ, τίτλῳ α, οὗ ἡ ἀρχὴ περὶ ὑποκρίσεως.

περὶ εὐφραινομένων· κεῖται ἐνταῦθα ἐν τῷ χ στοιχείῳ, τίτλῳ α, οὗ ἡ ἀρχὴ περὶ χαιρόντων.

Σχόλιον. Ἀνάγνωθι καὶ ἐν τοῖς παραλλήλοις περὶ ἐπισκόπων χρηστῶν καὶ ἐπισκόπων πονηρῶν· περὶ ἐμπιστευομένων ἤτοι ἐγχειριζομένων χρηστῶν καὶ πονηρῶν· περὶ τῶν ἐπαινούντων τὰ κακά· περὶ εὐχαριστούντων καὶ εὐγνωμονούντων· περὶ τῶν ἐλέγχους δεχομένων· περὶ ἐπιορκούντων· περὶ εἰσηγήσεως ἀγαθῆς καὶ πονηρᾶς· περὶ ἐλεημοσύνης καὶ εὐποιΐας εἰς πτωχούς, καὶ τῶν ἐλεημοσύνην μὴ ποιούντων· περὶ εἰρήνης καὶ εἰρηνοποιῶν· περὶ ἔχθρας· περὶ ἐξομολογήσεως ἁμαρτιῶν· περὶ εὐλαβείας· περὶ ἐντολῶν Θεοῦ· περὶ τῶν ἐλπιζόντων εἰς Θεὸν καὶ τῶν ἐλπιζόντων εἰς ἀνθρώπους· περὶ εὐφροσύνης καὶ χαρᾶς δικαίων.

Στοιχεῖον ζ.

τιτ. α. περὶ ζώων ἀλόγων τῶν φυσικῇ σοφίᾳ κεκοσμημένων.

Ἐντεῦθεν αἱ παραπομπαὶ τῶν τίτλων τῶν ἀπὸ τοῦ αὐτοῦ στοιχείου ἀρχομένων.

περὶ ζήλου καὶ ζηλοτυπίας· κεῖται ἐνταῦθα ἐν τῷ φ στοιχείῳ, τίτλῳ α, οὗ ἡ ἀρχὴ περὶ φθόνου.

Σχόλιον. Ἀνάγνωθι καὶ ἐν τοῖς παραλλήλοις περὶ ζυγῶν δικαίων καὶ ζυγῶν ἀδίκων· περὶ ζήλου ἀγαθοῦ καὶ ζήλου πονηροῦ.

Στοιχεῖον η.

τιτ. α. περὶ ἡμέρας ἀγαθῆς.

β. περὶ ἡμέρας πονηρᾶς.

γ. περὶ ἡμέρας καὶ νυκτός.

Σχόλιον. Ἀνάγνωθι καὶ ἐν τοῖς παραλλήλοις περὶ ἡσυχίας· περὶ ἤθους ἀγαθοῦ καὶ πονηροῦ.

Στοιχεῖον θ.

τιτ. α. περὶ θαλάσσης.

β. περὶ θερισμοῦ καὶ τρυγητοῦ.

γ. περὶ θανόντων καὶ πενθούντων.

δ. περὶ θανάτου καὶ φόβου ἐξ αὐτοῦ γινομένου.

ε. περὶ θανάτου καὶ τῆς ἐν τῷ ᾅδῃ καταστάσεως.

ϛ. περὶ τοῦ μὴ θαῤῥεῖν τινὶ ὡς ἔτυχεν.

ζ. περὶ θηρευτῶν.

η. περὶ θλιβομένων καὶ φροντιζόντων.

Ἐντεῦθεν αἱ παραπομπαὶ τῶν τίτλων τῶν ἀπὸ τοῦ αὐτοῦ στοιχείου ἀρχομένων, καὶ ἀλλαχοῦ κειμένων τε καὶ εὑρισκομένων.

περὶ θαυμαζομένων πραγμάτων· κεῖται ἐν τῷ ξ στοιχείῳ, τίτλῳ β, οὗ ἡ ἀρχὴ περὶ ξένων πραγμάτων.

περὶ τῆς τοῦ θανάτου ὥρας· κεῖται ἐνταῦθα ἐν τῷ ω στοιχείῳ.

Σχόλιον. Ἀνάγνωθι καὶ ἐν τοῖς παραλλήλοις τίτλῳ α περὶ θυγατρὸς τιμίας καὶ κοσμίας, καὶ θυγατρὸς ἀσέμνου καὶ ἀκόσμου· περὶ θυμώδους καὶ θρασυνομένου.

Στοιχεῖον ι.

τιτ. α. περὶ ἱκετευόντων· ὅτι χρὴ τὰς ἱκεσίας τῶν δεομένων προσίεσθαι.

β. περὶ ἰσότητος· ὅτι χρὴ τὰ πρὸς ἀξίαν ἑκάστῳ νέμειν.

γ. περὶ ἱματίων· ὅτι οὐ δεῖ ἱματισμῷ πολυτελεῖ κεχρῆσθαι, ἢ ἄνδρα γυναικείαν ἐσθῆτα φορεῖν.

Ἐντεῦθεν αἱ παραπομπαὶ τῶν τίτλων.

περὶ εἱμαρμένης· κεῖται ἐνταῦθα ἐν τῷ α στοιχείῳ τίτλῳ κγ, οὗ ἡ ἀρχὴ περὶ ἀστρονόμων.

Σχόλιον. Ἀνάγνωθι καὶ ἐν τοῖς παραλλήλοις περὶ ἱερέων χρηστῶν καὶ μοχθηρῶν· περὶ ἰατρῶν ἀγαθῶν καὶ κακῶν· περὶ ἰδιοπραγμοσύνης.

Στοιχεῖον κ.

τιτ. α. περὶ καρδίας· καὶ ὅτι ἐν καρδίᾳ τὸ ἡγεμονικὸν ἵδρυται.

β. περὶ κρειττόνων· ὅτι οὐ δεῖ πρὸς κρείττονας φιλονεικεῖν.

γ. περὶ καταλαλιᾶς.

δ. περὶ κινδύνου ἀπὸ πλήθους ἀνδρῶν γινομένου.

ε. περὶ καιροῦ· ὅτι δεῖ τὸν καιρὸν ἐξαγοράζειν, καὶ ὅτι χρὴ ἐν καιρῷ πάντα λέγεσθαι καὶ γίνεσθαι.

ϛ. περὶ κολάκων καὶ παρασίτων καὶ γελωτοποιῶν.

ζ. περὶ κλεπτῶν καὶ τῶν κοινωνούντων αὐτοῖς.

η. περὶ κωφῶν καὶ τυφλῶν.

θ. περὶ καυχήσεως καὶ ἐπάρσεως, καὶ ὅτι ἐπ' οὐδενὶ χρὴ καυχᾶσθαι.

ι. περὶ κάλλους καὶ εὐπρεπείας σώματος.

ια. περὶ καπήλων.

ιβ. περὶ κτηνῶν καὶ προνοίας αὐτῶν.

ιγ. περὶ κτισμάτων καὶ οἰκοδομημάτων.

ιδ. περὶ καθαιρόντων ἐν πυρὶ καὶ σιτιζομένων καὶ κληδονιζομένων.

ιε. περὶ κωμαζόντων καὶ φρυμιζόντων.

Ἐντεῦθεν αἱ παραπομπαὶ τῶν τίτλων ἀπὸ τοῦ αὐτοῦ στοιχείου ἀρχομένων.

περὶ καλοποιῶν· κεῖται ἐνταῦθα ἐν τῷ α στοιχείῳ, τίτλῳ ε, οὗ ἡ ἀρχὴ περὶ ἀγαθοεργίας.

περὶ κατάρας εὐλόγως ἢ ἀκαίρως ἐπαγομένης· κεῖται ἐνταῦθα ἐν τῷ α στοιχείῳ, τίτλῳ κβ, οὗ ἡ ἀρχὴ περὶ ἀρᾶς.

περὶ τοῦ κόσμου τούτου· κεῖται ἐνταῦθα ἐν τῷ

β στοιχείῳ, τίτλῳ α, οὗ ἡ ἀρχὴ περὶ τοῦ βίου τούτου.

περὶ καλῆς καὶ κακῆς ἡμέρας· κεῖται ἐνταῦθα ἐν τῷ η στοιχείῳ, τίτλῳ α καὶ β, ὧν αἱ ἀρχαὶ περὶ ἡμέρας.

περὶ κεκραμένης καταστάσεως· κεῖται ἐνταῦθα ἐν τῷ σ στοιχείῳ, τίτλῳ α, οὗ ἡ ἀρχὴ περὶ συμμέτρου καταστάσεως.

περὶ κοσμικῆς σοφίας· κεῖται ἐνταῦθα ἐν τῷ σ στοιχείῳ, τίτλῳ β, οὗ ἡ ἀρχὴ περὶ σοφίας.

περὶ καταστάσεως καὶ ἀκολουθίας· κεῖται ἐνταῦθα ἐν τῷ τ στοιχείῳ, τίτλῳ ϛ, οὗ ἡ ἀρχὴ περὶ τάξεως.

περὶ ματαιοπονουμένων· κεῖται ἐνταῦθα ἐν τῷ β στοιχείῳ, βιβλίῳ α, τίτλῳ οὗ ἡ ἀρχὴ περὶ βοηθείας Θεοῦ.

Σχόλιον· Ἀνάγνωθι καὶ ἐν τοῖς παραλλήλοις περὶ κακίας· περὶ κακοεργῶν χρηστῶν καὶ κακοεργῶν πονηρῶν· περὶ καλῶν καὶ περὶ κακῶν ἀνδρῶν· περὶ καταφρονούντων· περὶ κενοδόξων· περὶ καιροῦ· περὶ καθαρᾶς καρδίας καὶ καλοῦ συνειδότος· περὶ καρδίας διεστραμμένης καὶ τῶν συνειδὸς πονηρὸν ἐχόντων· περὶ κακολόγων καὶ κακοδόξων.

Στοιχεῖον λ.

τιτ. α. περὶ λόγου καὶ τῆς ἀπ' αὐτοῦ δυνάμεως.

β. περὶ λοιδορίας.

γ. περὶ τοῦ λιμοῦ, καὶ τοῦ σῖτον ἐν ἀνάγκῃ μὴ πωλοῦντος.

δ. περὶ λύπης.

ε. περὶ λαλιᾶς, καὶ τοῦ μὴ ὡς ἔτυχε λαλεῖν.

ϛ. περὶ λουτῶν καὶ ἀσωτευομένων· καὶ ὅτι οὐ χρὴ ἀντιλαμβάνεσθαι τῶν τοιούτων.

Σχόλιον· Ἀνάγνωθι ἐν τοῖς παραλλήλοις περὶ λογισμῶν ἀγαθῶν καὶ λογισμῶν πονηρῶν.

Στοιχεῖον μ.

τιτ. α. περὶ μεθυστῶν, καὶ ὅτι οὐ χρὴ συμποσιάζειν ἐν αὐτοῖς.

β περὶ ματαιοπονούντων.

γ περὶ μυστηρίων καὶ περὶ τῶν ἐκφερομυθούντων μυστήρια.

δ. περὶ μαθητευομένων, καὶ ὅτι χρὴ σπουδαίους εἶναι πρὸς τὰς μαθήσεις.

ε. περὶ μεταβαινόντων ἀπὸ τόπου εἰς τόπον.

Ἐντεῦθεν αἱ παραπομπαὶ τῶν τίτλων τῶν ἀπὸ τοῦ αὐτοῦ στοιχείου ἀρχομένων.

περὶ μιμήσεως τρόπων· κεῖται ἐνταῦθα ἐν τῷ α στοιχείῳ, τίτλῳ π, οὗ ἡ ἀρχὴ περὶ ἀρχομένων· καὶ βιβλίῳ τρίτῳ παραλλήλων περὶ συνδιαγωγῆς χρηστῶν ἀνδρῶν, ἐν ἀμφω.

περὶ τῶν μεσαζόντων ἀποκρίσεων· κεῖται ἐνταῦθα ἐν τῷ α στοιχείῳ, τίτλῳ ιθ, οὗ ἀρχὴ περὶ ἀγγέλλοντος.

περὶ μεγαλορημονούντων· κεῖται ἐνταῦθα ἐν τῷ β στοιχείῳ, τίτλῳ β, οὗ ἡ ἀρχὴ περὶ βλασφήμου.

περὶ μελέτης καὶ ἀσκήσεως· κεῖται ἐνταῦθα ἐν τῷ γ στοιχείῳ, τίτλῳ δ, οὗ ἡ ἀρχὴ περὶ γυμνασίου.

περὶ μακαρισμοῦ· ὅτι οὐ δεῖ πρὸ τελευτῆς μακαρίζειν τινά· κεῖται ἐνταῦθα ἐν τῷ ε στοιχείῳ, τίτλῳ οὗ ἡ ἀρχὴ περὶ εὐδαιμονίας.

περὶ μανευομένων· κεῖται ἐνταῦθα ἐν τῷ κ στοιχείῳ, τίτλῳ ιθ, οὗ ἡ ἀρχὴ περὶ καθαιρόντων ἐν πυρί.

περὶ μερίμνης βιωτικῆς· κεῖται ἐνταῦθα ἐν τῷ β στοιχείῳ καὶ ἐν τῷ π.

Σχόλιον. Ἀνάγνωθι καὶ ἐν τοῖς παραλλήλοις περὶ μισαδελφίας· περὶ μητρολοίων· περὶ μισθουμένων χρηστῶν καὶ πονηρῶν· περὶ μισοπονηρίας, καὶ περὶ τῶν μισούντων τὰ καλά· περὶ μοναχῶν χρηστῶν καὶ πονηρῶν· περὶ μισέργων· περὶ μέτρων δικαίων καὶ ἀδίκων· περὶ μωροῦ καὶ ἄφρονος· περὶ μνησικακίας· περὶ τῶν μὴ ποιούντων ἐλεημοσύνην· περὶ μίσους καὶ τῶν μάχας συναπτόντων· περὶ μαρτυρίας πιστῆς· περὶ μετανοίας καὶ περὶ τῶν εἰς μετάνοιαν μὴ ἐπεισφερόντων· περὶ μακροθυμίας· περὶ μοιχείας.

Στοιχεῖον ν.

τιτ. α. περὶ νοσούντων καὶ καμνόντων· καὶ ὅτι χρὴ ἐπισκέπτεσθαι αὐτούς.

β. περὶ νεογάμων.

γ. περὶ τοῦ νήφειν καὶ φροντίζειν τῆς οἰκείας σωτηρίας.

Ἐντεῦθεν αἱ παραπομπαὶ τῶν τίτλων τῶν ἀπὸ τοῦ αὐτοῦ στοιχείου ἀρχομένων.

περὶ νυκτός· κεῖται ἐνταῦθα ἐν τῷ η στοιχείῳ, τίτλῳ γ, οὗ ἡ ἀρχὴ περὶ ἡμέρας καὶ νυκτός.

περὶ νομων πολεμικῶν· κεῖται ἐνταῦθα ἐν τῷ π στοιχείῳ, τίτλῳ ιε, οὗ ἡ ἀρχὴ περὶ πολέμου.

Σχόλιον. Ἀνάγνωθι καὶ ἐν τοῖς παραλλήλοις περὶ νέων συνετῶν καὶ ἀσυνέτων· περὶ νηστείας καὶ νηστευόντων.

Στοιχεῖον ξ.

τιτ. περὶ ξενιτείας καὶ ξενιτευόντων.

Στοιχεῖον ο.

τιτ. α. περὶ ὀρφανῶν καὶ χηρῶν.

β. περὶ ὁρίων, καὶ ὅτι οὐ χρὴ ταῦτα μεταίρειν.

γ. περὶ ὁδοῦ ἀγαθῆς καὶ πονηρᾶς, καὶ ὅτι χρὴ τὰ σκολιὰ πράγματα καὶ τὰς σκολιὰς ὁδοὺς ἐκκλίνειν, καὶ μετὰ τῆς εὐθείας πορεύεσθαι.

δ. περὶ ὅρκου, ὅτι τοῖς ἐπὶ κακῷ ἐκδομένοις ὅρκοις οὐ χρὴ ἐμμένειν.

ε. περὶ ὀνόματος κακοῦ.

ϛ. περὶ οἰήσεως, καὶ ὅτι κρεῖττον τὸ εἶναι τοῦ δοκεῖν· ἐμπόδιον γὰρ πρὸς ἀρετὴν ἡ ἀπὸ τῆς δοκήσεως πλάνη.

ζ. περὶ ὀνόματος χρηστοῦ.

η. περὶ ὀφθαλμοῦ.

θ. περὶ ὀνειδισμοῦ καὶ φαυλισμοῦ, καὶ ὅτι οὐ δεῖ

Digitized by Google

συμφοραῖς ὀνειδίζειν.

ι. περὶ ὀλιγοβίων καὶ ὀλιγοχρονίων.

ια. Ὅτι ἡ τῶν ἀρίστων ἀνδρῶν ἐπιτίμησις λυσιτελεστέρα τῆς τῶν κακῶν θεραπείας.

ιβ. Ὅτι ἡ παραμονὴ ἔργον ἀνύει.

Ἐντεῦθεν αἱ παραπομπαὶ τῶν τίτλων τῶν ἀπὸ τοῦ αὐτοῦ στοιχείου ἀρχομένων.

Ὅτι ἀπὸ γῆς γεγόναμεν καὶ εἰς γῆν ἀπελευσόμεθα· κεῖται ἐνταῦθα ἐν τῷ α στοιχείῳ, τίτλῳ α.

Ὅτι τὸ αὐτεξούσιον δέδοται ἡμῖν παρὰ Θεοῦ κεῖται ἐνταῦθα ἐν τῷ α στοιχείῳ, τίτλῳ γ.

Ὅτι μάταια τὰ παρόντα πάντα· κεῖται ἐν τῷ α στοιχείῳ τίτλῳ δ.

Ὅτι ἐξομοιοῦνται οἱ ἀρχόμενοι τοῖς ἄρχουσιν· κεῖται ἐνταῦθα ἐν τῷ α στοιχείῳ, τίτλῳ η.

Ὅτι ἀπλήστως ἔχομεν πρὸς τὴν τοῦ πλείονος ὄρεξιν· κεῖται ἐνταῦθα ἐν τῷ α στοιχείῳ, τίτλῳ ιϛ, οὗ ἡ ἀρχὴ περὶ ἀπληστίας.

Ὅτι ἐν περισπασμῷ καὶ μόχθῳ καὶ ἡμεῖς καὶ ὁ βίος ἡμῶν· κεῖται ἐνταῦθα ἐν τῷ β στοιχείῳ, τίτλῳ α.

Ὅτι καλὸν τὸ ἐργάζεσθαι τὴν γῆν· κεῖται ἐνταῦθα ἐν τῷ γ στοιχείῳ, τίτλῳ γ, οὗ ἡ ἀρχὴ περὶ γεωργίας.

Ὅτι οὐ δεῖ κρίνειν ἀλλήλους, ἢ καταλαλεῖν ἀλλήλων· κεῖται ἐνταῦθα ἐν τῷ γ στοιχείῳ, τίτλῳ α, οὗ ἡ ἀρχὴ περὶ τοῦ γνῶθι σαυτόν.

Ὅτι οὐ τὰ αὐτὰ πᾶσιν ἁρμόζει· κεῖται ἐνταῦθα ἐν τῷ δ στοιχείῳ, τίτλῳ θ, οὗ ἡ ἀρχὴ περὶ διαφορᾶς ἀνθρώπων.

Ὅτι ὁποῖά τις δρᾷ, τοιαῦτα καὶ ὑφίσταται· κεῖται ἐνταῦθα ἐν τῷ ε στοιχείῳ, τίτλῳ α, οὗ ἡ ἀρχὴ περὶ ἔργων.

Ὅτι ἐν ταῖς εὐπορίαις φιλεῖ τὰ ἁμαρτήματα γίνεσθαι· κεῖται ἐνταῦθα ἐν τῷ ε στοιχείῳ, τίτλῳ γ.

Ὅτι αἱ καθ' ἑτέρων ἐπιβουλαὶ εἰς τοὺς μηχανευσαμένους περιτρέπονται· κεῖται ἐνταῦθα ἐν τῷ ε στοιχείῳ, τίτλῳ ζ, οὗ ἡ ἀρχὴ περὶ ἐπιβουλῆς.

περὶ ὀρέξεως· κεῖται ἐν τῷ ε στοιχείῳ, τίτλῳ ι, οὗ ἡ ἀρχὴ περὶ ἐπιθυμίας.

περὶ ὀνείρων· κεῖται ἐνταῦθα ἐν τῷ ε στοιχείῳ τίτλῳ κ, οὗ ἡ ἀρχὴ περὶ ἐνυπνίων.

περὶ εὐσεβουμένων· κεῖται ἐνταῦθα ἐν τῷ κ στοιχείῳ, τίτλῳ ιδ, οὗ ἡ ἀρχὴ περὶ καθαιρέσεως ἱερέων.

ὅτι ἐπ' οὐδενὶ τῶν περὶ τὸν βίον χρὴ ἡμᾶς ἐπαίρεσθαι· κεῖται ἐν τῷ κ στοιχείῳ, τίτλῳ θ, οὗ ἡ ἀρχὴ περὶ καυχήσεως.

περὶ οἰνοφλυγίας· κεῖται ἐνταῦθα ἐν τῷ π στοιχείῳ, τίτλῳ ν, οὗ ἡ ἀρχὴ περὶ τοῦ συμπεριφέρεσθαι.

Σχόλιον. Ἀνάγνωθι καὶ ἐν τοῖς παραλλήλοις περὶ ὁσίων καὶ δικαίων αἰδῶν· περὶ μικτῶν ἀγαθῶν καὶ πονηρῶν· περὶ ὀκνηρῶν· περὶ ὀνόματος χριστοῦ καὶ χάριν ἔχοντος· ὅτι ἡ φιλοτιμία σωτηρίαν πράξει· περὶ τῶν τοὺς ὅρκους φυλαττόντων· περὶ ὀλιγοδείας· περὶ ὀργίλου καὶ ὀξυχόλου· περὶ ὀλιγοψυχούντων.

Στοιχεῖον π.

τιτ. α. περὶ παιζόντων καὶ βλασφημούντων ἐξ ἀνοίας εἰς τὸν Θεόν.

β. περὶ παῤῥησίας, καὶ πόθεν ἡμῖν παραγίνεται ἡ ταύτης πρὸς πάντα κτῆσις.

γ. περὶ πράσεως καὶ ἀγοράσεως.

δ. περὶ πείρας καὶ ἀπειρίας.

ε. περὶ πιστοῦ ἀνδρός, καὶ ὅτι σπάνιον τὸ εὑρεῖν ἄνδρα πιστόν.

ϛ. περὶ πλήθους καὶ δήμου πόλεως, καὶ πῶς χρὴ τὰς ἀναστροφὰς μετ' αὐτῶν ποιεῖσθαι.

ζ. περὶ πόλεως ἀσεβείας πεπληρωμένης.

η. περὶ προαιρέσεως, καὶ ὅτι τὴν προαίρεσιν ἐπ' ἀγαθῷ τε καὶ κακῷ ἐξετάζει ὁ Θεός.

θ. περὶ παραθήκης, ὅτι χρὴ πιστῶς ποιεῖσθαι τὴν ταύτης φυλακήν.

ι. περὶ προϊσταμένων, ὅτι χρὴ αὐτοὺς σπουδαίως προΐστασθαι.

ια. περὶ προσφυγίου καὶ τῶν προσφυγόντων ἐν ἀσύλοις τόποις.

ιβ. περὶ παραμονῆς καὶ παραμενόντων.

ιγ. περὶ παιδοποιΐας, καὶ ὅτι εὐλογία Θεοῦ ἐστὶν καὶ τιμία κατὰ τὸ ἀρχαῖον.

ιδ. περὶ πρωτοτόκων.

ιε. περὶ πολέμου, καὶ νόμου, καὶ εἰρήνης βιωτικῆς.

ιϛ. περὶ παρατηρήσεως, καὶ ὅτι οὐ δεῖ ἡμέρας ἢ καιροὺς παρατηρεῖσθαι.

ιζ. περὶ παραινούντων (1).

ιη. περὶ πατρίδος, καὶ ὅτι ποθεινὴ καὶ ἐρασμία ἑκάστῳ ἡ ἰδία πατρίς.

Ἐντεῦθεν αἱ παραπομπαὶ τῶν τίτλων τῶν ἀπὸ τοῦ αὐτοῦ στοιχείου ἀρχομένων καὶ ἀλλαχοῦ κειμένων.

περὶ πλάσεως ἀνθρώπου· κεῖται ἐν τῷ α στοιχείῳ, τίτλῳ α.

περὶ προαιρετικῶν κινημάτων· κεῖται ἐνταῦθα ἐν τῷ α στοιχείῳ τίτλῳ γ.

περὶ προστασίας, ὅτι χρὴ προΐστασθαι τῶν ἀδικουμένων· κεῖται ἐνταῦθα ἐν τῷ α στοιχείῳ, τίτλῳ ϛ.

περὶ πειθαρχίας, ὅτι χρὴ πειθαρχεῖν τοῖς ἄρχουσι· κεῖται ἐν τῷ α στοιχείῳ, τίτλῳ ζ, οὗ ἡ ἀρχὴ περὶ ἀρχομένων.

περὶ πταιόντων καὶ συνεχῶς αἰτούντων συγγνώμην· κεῖται ἐνταῦθα ἐν τῷ α στοιχείῳ τίτλῳ ια, οὗ ἡ ἀρχὴ περὶ ἁμαρτανόντων.

περὶ παλαμβόλων· κεῖται ἐνταῦθα ἐν τῷ δ στοιχείῳ, τίτλῳ ϛ, οὗ ἡ ἀρχὴ περὶ διψύχων.

περὶ τοῦ προσέχειν ἑαυτοῖς· κεῖται ἐνταῦθα ἐν τῷ γ στοιχείῳ, τίτλῳ α, οὗ ἡ ἀρχὴ περὶ τοῦ γνῶθι σαυτόν.

(1) It a cod.

περὶ πραγματευομένων· κεῖται ἐνταῦθα ἐν τῷ ε στοιχείῳ, τίτλῳ ιϛ, οὗ ἡ ἀρχὴ περὶ ἐμπόρων.

περὶ πενθούντων· κεῖται ἐνταῦθα ἐν τῷ θ στοιχείῳ τίτλῳ γ, οὗ ἡ ἀρχὴ περὶ θανόντων.

περὶ παρασίτων· κεῖται ἐνταῦθα ἐν τῷ κ στοιχείῳ, τίτλῳ ϛ, οὗ ἡ ἀρχὴ περὶ κολάκων.

περὶ τῶν πλανώντων τοὺς ἐντυγχάνοντας· κεῖται ἐν τῷ αὐτῷ τίτλῳ.

περὶ πραγμάτων σκολιῶν, ὅτι δεῖ ἐκκλίνειν αὐτά· κεῖται ἐνταῦθα ἐν τῷ ο στοιχείῳ, τίτλῳ γ, οὗ ἡ ἀρχὴ περὶ ὁδοῦ ἀγαθῆς.

περὶ πειρασμῶν· κεῖται ἐνταῦθα ἐν τῷ σ στοιχείῳ, τίτλῳ ζ, οὗ ἡ ἀρχὴ περὶ σκανδάλων.

περὶ πλαστῆς εὐλαβείας· κεῖται ἐν τῷ υ στοιχείῳ, τίτλῳ α, οὗ ἡ ἀρχὴ περὶ ὑποκρίσεως.

περὶ τῶν προσκαίρων καὶ αἰωνίων· κεῖται βιβλίῳ α ἐν τῷ π στοιχείῳ.

Σχόλιον. Ἀνάγνωθι καὶ ἐν τοῖς παραλλήλοις περὶ παίδων τιμώντων γονεῖς καὶ περὶ πατρολῳῶν· περὶ πατέρων ἀγαθῶν καὶ κακῶν· περὶ πλουσίων χρηστῶν καὶ πονηρῶν· περὶ πτωχῶν ἀγαθῶν καὶ κακῶν· περὶ πονηρῶν ἀνδρῶν· περὶ πολιτῶν ἀγαθῶν καὶ πονηρῶν· περὶ πονούντων καὶ μοχθούντων· περὶ παιδείας καὶ φρονήσεως· περὶ τοῦ πλησίον, καὶ ὅσα περὶ τοῦ πλησίον εἴρηται· περὶ πολυλόγων· περὶ πλεονεκτούντων· περὶ πτωχῶν τῷ πνεύματι· περὶ πραότητος· περὶ προπετείας· περὶ πανούργων· περὶ παρθενίας· περὶ πορνείας· περὶ περισπασμοῦ· περὶ πλησμονῆς καὶ γαστριμαργίας· περὶ πολιτείας σεμνῆς καὶ πολιτείας ψεκτῆς· περὶ πεποιθότων εἰς θεόν, καὶ τῶν πεποιθότων εἰς ἀνθρώπους· περὶ παιδείας θεοῦ, καὶ τῶν δεχομένων αὐτὴν καὶ μὴ δεχομένων· περὶ πίστεως εἰς θεόν.

Στοιχεῖον ρ

τιτ. α. περὶ ῥεμβομένων.

Σχόλιον. Ἀνάγνωθι καὶ ἐν τοῖς παραλλήλοις περὶ ῥαθυμούντων καὶ καταφρονούντων.

Στοιχεῖον σ.

τιτ. α. περὶ συμμέτρου καταστάσεως, καὶ τοῦ μηδὲν ἀγανακτεῖν.

β. περὶ σοφίας κοσμικῆς.

γ. περὶ συνηθείας ἀγαθῆς καὶ πονηρᾶς.

δ. περὶ σοφῶν καὶ συνετῶν ἀνδρῶν, καὶ ὅτι χρὴ αὐτοὺς ὠφελεῖν τοὺς πλησίον.

ε. περὶ τοῦ συμπεριφέρεσθαι ἐπ' ὠφελείᾳ ψυχῶν.

ϛ. περὶ σωφρονισμοῦ, καὶ ὅτι χρὴ ἡμᾶς ταῖς ἀλλοτρίαις σωφρονίζεσθαι συμφοραῖς.

ζ. περὶ σκανδάλων, καὶ ὅτι χρὴ ἡμᾶς φεύγειν τὰ σκάνδαλα.

η. περὶ σαρκικῶν ἀνθρώπων.

θ. περὶ συγγενῶν· ὅτι χρὴ ἀντιλαμβάνεσθαι αὐτῶν.

ι. περὶ σπάνεως καὶ ἀφορίας χρηστῶν ἀνδρῶν.

ια. περὶ τῶν συχναζόντων ἐν ἀλλοτρίοις οἴκοις.

ιβ. περὶ συνεδρίου· ὅτι οὐ χρὴ ἐν συνεδρίῳ ἀκροάσεως γινομένης διαλέγεσθαι.

ιγ. περὶ τῶν συμβαινόντων, ὃ φασὶν οἱ Ἕλληνες ἀπὸ τύχης.

ιδ. περὶ στρατιωτῶν.

ιε. περὶ συμπαθείας καὶ εὐσπλαγχνίας.

Ἐντεῦθεν αἱ παραπομπαὶ τῶν τίτλων τῶν ἀπὸ τοῦ αὐτοῦ στοιχείου ἀρχομένων, καὶ ἀλλαχοῦ κειμένων τε καὶ εὑρισκομένων.

περὶ στελλομένων εἰς διακονίαν, καὶ ὅτι ὁ τὸν σταλέντα ἐξουθενῶν, τοῦ πέμψαντος περιφρονεῖ· κεῖται ἐνταῦθα ἐν τῷ α στοιχείῳ, τίτλῳ ιδ, οὗ ἡ ἀρχὴ περὶ ἀγγέλλοντος.

περὶ συνεστιάσεως· κεῖται ἐν τῷ δ στοιχείῳ, τίτλῳ θ, οὗ ἡ ἀρχὴ περὶ δείπνου.

περὶ τοῦ σατανᾶ· κεῖται ἐνταῦθα ἐν τῷ δ στοιχείῳ, τίτλῳ ιγ, οὗ ἡ ἀρχὴ περὶ τοῦ διαβόλου.

περὶ στάσεως ἀπὸ δήμου γινομένης· κεῖται ἐνταῦθα ἐν τῷ κ στοιχείῳ, τίτλῳ δ, οὗ ἡ ἀρχὴ περὶ κινδύνου.

περὶ σκολιῶν πραγμάτων· κεῖται ἐνταῦθα ἐν τῷ ο στοιχείῳ, τίτλῳ γ, οὗ ἡ ἀρχὴ περὶ ὁδοῦ ἀγαθῆς.

περὶ συντάξεως καὶ ὅτι χρὴ τὸν συνταξάμενον θεῷ πληρῶσαι τὴν ὑπόσχεσιν· κεῖται ἐν τῷ α βιβλίῳ, ἐν τῷ υ στοιχείῳ, οὗ ἡ ἀρχὴ περὶ ὑποσχέσεως.

περὶ σπουδῆς ἀνθρωπίνης, ὅτι ἀνόνητος αὐτὴ μὴ βουλομένου καὶ συνεργοῦντος τοῦ θεοῦ· κεῖται βιβλίῳ α, ἐν τῷ σ στοιχείῳ, οὗ ἡ ἀρχὴ περὶ σπουδῆς.

Σχόλιον. Ἀνάγνωθι καὶ ἐν τοῖς παραλλήλοις περὶ συνδιαγωγῆς καὶ συνουσίας χρηστῶν ἀνδρῶν καὶ πονηρῶν· περὶ σπουδαίων· περὶ σκέψεως καὶ βουλῆς· περὶ σταθμῶν δικαίων καὶ ἀδίκων· περὶ συνέσεως· περὶ συγγνώμης καὶ συγχωρήσεως πρὸς τὸν πλησίον· περὶ σιωπῆς καὶ σιωπώντων· περὶ στόματος ἐσθλοῦ καὶ στόματος σκληροῦ καὶ ἀπηνοῦς· περὶ τῶν συμβουλὴν δεχομένων καὶ μὴ δεχομένων· περὶ συκοφαντίας· περὶ σοβαρῶν· περὶ σκολιοῦ τὸν τρόπον· περὶ συνειδότος ἀγαθοῦ καὶ πονηροῦ· περὶ σωφροσύνης· περὶ συνεχῶν πραγμάτων.

Στοιχεῖον τ.

τιτ. α. περὶ τελωνῶν.

β. περὶ ταραχοποιῶν.

γ. περὶ τιμῆς, καὶ ὅτι χρὴ ἡμᾶς τιμᾶν ἀλλήλους.

δ. περὶ τυράννων καὶ ὅτι οἱ τυραννοῦντες βασιλεῖς αὐτοὶ μόνοι ἀποθνήσκουσιν, οὐ μὴν καὶ οἱ ἐξ αὐτῶν παῖδες.

ε. περὶ τεχνιτῶν, καὶ τίνες τέχνην ἐξεῦρον.

ϛ. περὶ τάξεως καὶ καταστάσεως, καὶ ὅτι χρὴ ταύτας πανταχοῦ φυλάττεσθαι.

Ἐντεῦθεν αἱ παραπομπαὶ τῶν τίτλων τῶν ἀπὸ τοῦ αὐτοῦ στοιχείου ἀρχομένων.

περὶ τρεπομένων καὶ ἀλλοιουμένων· κεῖται ἐνταῦ-

Digitized by Google

θη ἐν τῷ α στοιχείῳ, τίτλῳ δ, οὗ ἡ ἀρχὴ περὶ ἀσωτίων.

περὶ τυφλῶν· κεῖται ἐνταῦθα ἐν τῷ ο στοιχείῳ, τίτλῳ η, οὗ ἡ ἀρχὴ περὶ κωφῶν.

περὶ τερατοσκοπούντων· κεῖται ἐν τῷ ο στοιχείῳ, τίτλῳ ιδ, οὗ ἡ ἀρχὴ περὶ καθαίροντος ἐν πυρί.

Σχόλιον. Ἀνάγνωθι καὶ ἐν τοῖς παραλλήλοις περὶ τιμώντων γονεῖς καὶ μὴ τιμώντων· περὶ τέκνων ἀγαθῶν καὶ σοφῶν, καὶ τέκνων πονηρῶν καὶ ἀσυνέτων· περὶ ταχυλόγων· περὶ ταπεινοφροσύνης· περὶ τρόπων χρηστῶν καὶ πονηρῶν· περὶ τιμῆς καὶ τῶν ἐν ἀρετῇ βιωσάντων, καὶ τιμωρίας τῶν ἀσέμνως ζησάντων.

Στοιχεῖον υ.

τιτ. α. περὶ ὑποκρίσεως καὶ εἰρωνείας καὶ πλαστῆς εὐλαβείας καὶ τῶν ταῦτα νοσούντων.

β. περὶ ὑβριστοῦ.

γ. περὶ ὕπνου καὶ ἀϋπνίας.

δ. περὶ ὑγείας, καὶ ὅτι πάντων διαφέρει.

ε. περὶ ὑπονοίας, καὶ ὅτι χρὴ φεύγειν τὰς ἀφορμὰς τὰς τικτούσας κακὰς ὑπονοίας.

ϛ. περὶ ὑδροποτούντων.

Ἐντεῦθεν αἱ παραπομπαὶ τῶν τίτλων τῶν ἀπὸ τοῦ αὐτοῦ στοιχείου ἀρχομένων.

περὶ ὑποταγῆς· κεῖται ἐνταῦθα ἐν τῷ α στοιχείῳ, τίτλῳ ζ, οὗ ἡ ἀρχὴ περὶ ἀρχομένων· καὶ ἐν τοῖς παραλλήλοις.

περὶ ὑποδοχῆς κλεπτῶν· κεῖται ἐνταῦθα ἐν τῷ κ στοιχείῳ, οὗ ἡ ἀρχὴ περὶ ὑποδοχῆς κλεπτῶν (τιτ. ζ.)

Σχόλιον. Ἀνάγνωθι καὶ ἐν τοῖς παραλλήλοις περὶ τοῦ υἱοῦ σοφοῦ καὶ υἱοῦ ἄφρονος· περὶ ὑπερηφάνων· περὶ ὑπομονῆς· περὶ ὑπακοῆς καὶ ὑποταγῆς.

Στοιχεῖον φ.

τιτ. α. περὶ φιλοξενίας.

β. περὶ φθόνου καὶ τῶν ὑπὸ τοιούτου πάθους κατακρατημένων.

γ. περὶ φιλαυτίας, καὶ ὅτι οὐ δεῖ τινὰ ἑαυτὸν δικαιῶσαι ἢ ἐπαινέσαι.

δ. περὶ φήμης, καὶ ὅτι οὐ δεῖ ἑαυτῷ πιστεύειν.

ε. περὶ φονέων.

ϛ. περὶ φιλαρχίας, καὶ ὅτι οὐ δεῖ ἐπιπηδᾷν ὡς ἔτυχεν ταῖς ἀρχαῖς.

ζ. περὶ φιλαιτίων καὶ φιλεγκλημόνων, καὶ ὅτι οἱ αἰτιώμενοι ἄλλους καὶ τὰ αὐτὰ δρῶντες, ἑαυτοὺς κατακρίνουσιν.

Ἐντεῦθεν αἱ παραπομπαὶ τῶν τίτλων τῶν ἀπὸ τοῦ αὐτοῦ στοιχείου ἀρχομένων.

περὶ τῶν φονευόντων ἑαυτούς· κεῖται ἐνταῦθα ἐν τῷ α στοιχείῳ, τίτλῳ κθ, οὗ ἡ ἀρχὴ περὶ ἀγχόνης.

περὶ φουρκισθέντος· κεῖται ἐνταῦθα ἐν τῷ α στοιχείῳ, τίτλῳ λα, οὗ ἡ ἀρχὴ περὶ ἀνασκολοπισθέντος.

περὶ φαυλισμοῦ· κεῖται ἐνταῦθα ἐν τῷ ε στοιχείῳ, τίτλῳ θ, οὗ ἡ ἀρχὴ περὶ ὀνειδισμοῦ.

Σχόλιον. Ἀνάγνωθι καὶ ἐν τοῖς παραλλήλοις περὶ φιλαδελφίας· περὶ φίλων χρηστῶν καὶ φίλων μοχθηρῶν· περὶ φιλέργων· περὶ φρονήσεως· περὶ φιλοτιμουμένων καὶ περὶ φιλαύλων· περὶ φιλαργυρίας καὶ φιλοπλουτούντων· περὶ φοβουμένων τὸν Θεὸν καὶ τῶν μὴ φοβουμένων.

Στοιχεῖον χ.

τιτ. α. περὶ χαιρόντων καὶ εὐφραινομένων.

β. περὶ χυδαίων καὶ ἀλογίστων, καὶ ὅτι οὐ χρὴ προσπαίζειν αὐτοῖς.

γ. περὶ χρημάτων.

Ἐντεῦθεν αἱ παραπομπαὶ τῶν τίτλων τῶν ἀπὸ τοῦ αὐτοῦ στοιχείου ἀρχομένων.

περὶ τῶν χαιρόντων ἐγκωμίοις· κεῖται ἐνταῦθα ἐν τῷ ε στοιχείῳ, τίτλῳ θ, οὗ ἡ ἀρχὴ περὶ ἐγκωμίων.

περὶ χηρῶν· κεῖται ἐν τῷ ο στοιχείῳ, τίτλῳ α, οὗ ἡ ἀρχὴ περὶ ὀρφανῶν.

περὶ ὧν χρὴ καὶ ὧν δεῖ ἡμᾶς ποιεῖν.

ὅτι χρὴ τὸν ἀγαθὸν πρὸς πάντας ἐργάζεσθαι· κεῖται ἐνταῦθα ἐν τῷ α στοιχείῳ, τίτλῳ ι, οὗ ἡ ἀρχὴ περὶ ἀγαθοεργίας.

ὅτι χρὴ τοῖς ἀδικουμένοις βοηθεῖν· κεῖται ἐν τῷ α στοιχείῳ, τίτλῳ ϛ, οὗ ἡ ἀρχὴ περὶ ἀδικουμένων.

ὅτι χρὴ ὑποτάσσεσθαι τοῖς ἄρχουσι· κεῖται ἐν τῷ α στοιχείῳ, τίτλῳ ζ, οὗ ἡ ἀρχὴ περὶ ἀρχομένων.

ὅτι χρὴ ἐν καιρῷ πάντα λέγεσθαι καὶ γίνεσθαι· κεῖται ἐνταῦθα ἐν τῷ κ στοιχείῳ, τίτλῳ ε, οὗ ἡ ἀρχὴ περὶ καιροῦ.

ὅτι χρὴ ἡμᾶς νήφειν καὶ φροντίζειν τῆς ἑαυτῶν σωτηρίας· κεῖται ἐν τῷ ν στοιχείῳ, τίτλῳ γ, οὗ ἡ ἀρχὴ περὶ τοῦ νήφειν.

ὅτι χρὴ τὰ σκολιὰ πράγματα ἐκκλίνειν· κεῖται ἐνταῦθα ἐν τῷ ο στοιχείῳ, τίτλῳ γ, οὗ ἡ ἀρχὴ περὶ ὁδοῦ ἀγαθῆς.

ὅτι χρὴ τοὺς παραμένοντας πιστοὺς εἶναι· κεῖται ἐνταῦθα ἐν τῷ π στοιχείῳ, τίτλῳ ιβ, οὗ ἡ ἀρχὴ περὶ παραμονῆς.

ὅτι χρὴ ἐπ' ὠφελείᾳ ψυχῆς συμπεριφέρεσθαι· κεῖται ἐνταῦθα ἐν τῷ σ στοιχείῳ, τίτλῳ ε, οὗ ἡ ἀρχὴ περὶ συμπεριφορᾶς.

ὅτι χρὴ διὰ τῶν ἀλλοτρίων κακῶν παιδεύεσθαι· κεῖται ἐνταῦθα ἐν τῷ σ στοιχείῳ, τίτλῳ ϛ, οὗ ἡ ἀρχὴ περὶ σωφρονισμοῦ.

ὅτι χρὴ τιμᾷν ἀλλήλους· κεῖται ἐνταῦθα ἐν τῷ τ στοιχείῳ, τίτλῳ γ, οὗ ἡ ἀρχὴ περὶ τιμῆς.

ὅτι χρὴ πανταχοῦ τὴν τάξιν φυλάττειν· κεῖται ἐνταῦθα ἐν τῷ τ στοιχείῳ, τίτλῳ ϛ, οὗ ἡ ἀρχὴ περὶ τάξεως.

ὅτι χρὴ ἡμᾶς ἐν τῷ ἀεὶ ἔχειν τὴν τελευτήν· κεῖται ἐν τῷ ω στοιχείῳ περὶ ὥρας θανάτου.

Digitized by Google

Σχόλιον. Ἀνάγνωθι καὶ ἐν τοῖς παραλλήλοις· ὅτι χρὴ πονεῖν, ὠφέλειαν γὰρ ἔχει· ὅτι χρὴ μετὰ βουλῆς πάντα πράττειν· ὅτι χρὴ τὰ βάρη τοῦ πλησίον φέρειν· ὅτι χρὴ τοὺς εὐεργέτας κηρύσσειν· ὅτι χρὴ πειθαρχεῖν τοῖς τὰ χρηστὰ εἰσηγουμένοις· ὅτι χρὴ ζηλοῦν τὰ καλά· ὅτι χρὴ ἀρίστοις ἀνδράσι κολλᾶσθαι καὶ μὴ πονηροῖς· ὅτι χρὴ ἡσυχάζειν, τὴν γὰρ τοῦ Θεοῦ γνῶσιν προξενεῖ· ὅτι χρὴ εἰς Θεὸν ἐλπίζειν καὶ μὴ εἰς ἀνθρώπους· περὶ ὧν οὐ χρὴ καὶ ἃ οὐ δεῖ ἡμᾶς ποιεῖν.

ὅτι οὐ δεῖ πρὸ πείρας ἐπαινεῖν τινά· κεῖται ἐνταῦθα ἐν τῷ ε στοιχείῳ, τίτλῳ δ. οὗ ἡ ἀρχὴ περὶ ἐγκωμίων.

ὅτι οὐ δεῖ πρὸ τελευτῆς εὐδαιμονίζειν τινά· κεῖται ἐνταῦθα ἐν τῷ ε στοιχείῳ, τίτλῳ ιδ. οὗ ἡ ἀρχὴ περὶ εὐδαιμονίας.

ὅτι οὐ δεῖ ὡς ἔτυχεν θαῤῥεῖν τινι· κεῖται ἐνταῦθα ἐν τῷ θ στοιχείῳ, τίτλῳ ϛ, οὗ ἡ ἀρχὴ περὶ τοῦ μὴ θαῤῥεῖν.

ὅτι οὐ δεῖ πρὸς κρείττονας φιλονεικεῖν· κεῖται ἐνταῦθα ἐν τῷ κ στοιχείῳ, τίτλῳ β. οὗ ἡ ἀρχὴ περὶ κρειττόνων.

ὅτι οὐ χρὴ ὡς ἔτυχεν λαλεῖν· κεῖται ἐνταῦθα ἐν τῷ λ στοιχείῳ, τίτλῳ ε, οὗ ἡ ἀρχὴ περὶ λαλιᾶς.

ὅτι οὐ δεῖ συμποσιάζειν κακοῖς· κεῖται ἐνταῦθα ἐν τῷ δ στοιχείῳ, τίτλῳ θ, οὗ ἡ ἀρχὴ περὶ δείπνου.

ὅτι οὐ χρὴ τοῖς ἐπὶ κακῷ δεδομένοις ὅρκοις ἐμμένειν· κεῖται ἐν τῷ ο στοιχείῳ, τίτλῳ δ, οὗ ἡ ἀρχὴ περὶ ὅρκου.

ὅτι οὐ χρὴ συμφορὰν ὀνειδίζειν· κεῖται ἐνταῦθα ἐν τῷ ο στοιχείῳ, τίτλῳ θ. οὗ ἡ ἀρχὴ περὶ ὀνειδισμοῦ.

ὅτι οὐ χρὴ τὴν ἰδίαν ἀπογινώσκειν σωτηρίαν· κεῖται ἐνταῦθα ἐν τῷ α στοιχείῳ, τίτλῳ ιδ. οὗ ἡ ἀρχὴ περὶ ἀπογνώσεως.

Στοιχεῖον ψ.

περὶ ψιθυριστοῦ.

Στοιχεῖον ω.

περὶ ὥρας θανάτου καὶ τῆς ἐξόδου ἡμῶν, καὶ ὅτι χρὴ ἡμᾶς εὐτρεπίζεσθαι πρὸς αὐτήν.

LEONTII PRESBYTERI ET IOHANNIS

RERUM SACRARUM

LIBER SECUNDUS (1).

ΛΕΟΝΤΙΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ ΚΑΙ ΙΩΑΝΝΟΥ

ΤΩΝ ΙΕΡΩΝ

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

ΤΙΤΛΟΣ Α.

Περὶ τῆς τοῦ ἀνθρώπου πλάσεως καὶ κατασκευῆς· καὶ ὅτι περ κατ' εἰκόνα Θεοῦ γεγενῆσθαι τὸν ἄνθρωπον ὁ θεόπνευστος φησὶ γραφὴ, καὶ μὴ προϋπάρχειν τὴν ψυχὴν τοῦ σώματος· καὶ ὅτι ταύτην τὴν σάρκα ἔπλασεν ὁ Θεὸς ἐκ τῆς γῆς ταῖς ἀχράντοις αὐτοῦ χερσὶ, καὶ αὐτῇ ἐνεφύσησε πνεῦμα ζωῆς, καὶ οὐ καθάπερ φασὶν οἱ αἱρετικοὶ, τοὺς δερματίνους χιτῶνας εἶναι τὴν σάρκα (2).

1. Ἀπὸ τῆς Γενέσεως. Εἶπεν ὁ Θεὸς, ποιήσωμεν ἄνθρωπον, κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν. — καὶ μετὰ βραχύ. Ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτὸν, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς.

Σχόλιον. Ὁ ἀναγινώσκων νοείτω ἐμφρόνως πῶς ἀρχὴν συστάσεως δίδωσι τῷ ἀνθρώπῳ Θεὸς ἐν τῷ λέγειν ποιήσωμεν· περὶ γὰρ μέλλοντος δημιουργηθῆναι τὸν λόγον ποιεῖται καὶ οὐχὶ περὶ προϋπάρχοντος· τὸν δὲ τῆς δημιουργίας τρόπον ὑφηγεῖται ἡμῖν ἀκριβῶς ὁ θεοδίδακτος Μωϋσῆς λέγων οὕτως. Ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον χοῦν ἀπὸ τῆς γῆς, καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν.

Σχολ. Τί πρὸς ταῦτα φήσουσιν τῷ Μωϋσεῖ αἱρετικῶν καὶ λογολέσχων παῖδες, οἱ μὴ τῇ γραφῇ τὸν ἑαυτῶν νοῦν ἐξακολουθῆναι διδάξαντες, ἀλλὰ πρὸς τὸν παρεφθαρμένον αὐτῶν σκοπὸν τὴν διάνοιαν τῶν γραφῶν διαστρέφοντες· φάσκοντες τὴν μὲν ψυχὴν προϋπάρχειν τοῦ σώματος, τὸ δὲ σῶμα τοὺς δερματίνους εἶναι χιτῶνας· εἰπάτωσαν σοφοὶ παρ' ἑαυτοῖς καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες, εἰ οἱ μετὰ τὴν παράβασιν γεγονότες ὑπὸ Θεοῦ δερμάτινοι χιτῶνες, ὑπάρχει τοῦτο ἡμῖν τὸ σῶμα, τί τὸ

(1) Nimirum *primus* adhuc desideratur; *secundi* autem nonnisi fere ineditas variorum patrum auctoritates delegimus, praetermissis cognitis.

(2) Sermo est contra Origenem, cuius error circa pelliceas primorum parentum tunicas recitatur in eius operibus ed. Maur. T. II. p. 29, nec non passim in catenis tum editis tum mss. vaticanis. Et quidem de his pelliceis tunicis loquuntur Hieronymus epist. LI. 5; Nazianzenus or. XXXVIII. T. I. p. 619; Photius in amphiloch. quaestione inedita LXX, Nazianzenum iuxta orthodoxam sententiam explicans, qui prope ad Origenis errorem declinare videbatur; Methodius apud Epiphan. ed. Petav. T. I. p. 566; ne alios complures auctores laudem.

πρὸ τῆς παραβάσεως χερσὶ Θεοῦ διαπλασθὲν ἐκ τῆς γῆς, καὶ τὸ θεῖον δεξάμενον ἐμφύσημα, ὃ δὴ λέγεται ψυχή; ἔπειτα μετὰ τὴν παράβασιν πρὸ τῶν δερματίνων χιτώνων ἐν τῇ ἀποφάσει ἀκολουθίας (a), γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ; τί δὲ καὶ πρὸς τὴν ἐξ Ἀδὰμ διάπλασιν, ἤτοι ἀφαίρεσιν τῆς γυναικὸς λέξουσι; μετὰ τὴν παράβασιν καὶ ἐκ τῶν δερματίνων χιτώνων ἡ πλευρὰ τοῦ Ἀδὰμ ὑπὸ Θεοῦ εἰς γυναῖκα, ἢ πρὸ τῆς παραβάσεως, καὶ οὐκ ἐκ τῶν δερματίνων χιτώνων; καὶ εἰ μὲν συντίθενται καὶ παραχωροῦσιν τῇ ἀληθείᾳ, δῆλον ὅτι πρὸ τῆς παραβάσεως φύσει γεγένηται, καὶ λέλυται αὐτῶν ἡ ἀλόγιστος φιλονεικία· σὰρξ γὰρ ἐκ σαρκῶν καὶ ὀστοῦν ἐξ ὀστέων ἐλήφθη ἡ γυνή, καθὼς Ἀδὰμ μεμαρτύρηκεν· καὶ ἄλλως εἰ (b) δερμάτινοι χιτῶνες, καὶ οὐχὶ σὰρξ τοῦ Ἀδὰμ ἡ πρὸ αὐτῶν ὑποστᾶσα, οἱ δὲ δερμάτινοι χιτῶνες, ἡ σὰρξ τοῦ Ἀδάμ, οὗτοι δὲ μετὰ τὴν παράβασιν, μετὰ τὴν παράβασιν ἄρα καὶ ἡ γυνὴ δεδημιούργηται· καὶ πῶς τῷ ἀνδρὶ συγκατακρίνεται, ὡς τῆς παραβάσεως παραίτιος; ἀλλὰ ταῦτα μὲν λήρου καὶ τῆς ἑλληνικῆς ἐμβροντησίας ἄξια. Βαδίσωμεν οὖν ἡμεῖς ἐπὶ τὰ ἑξῆς τοῦ λόγου (1), τοῖς φωσφόροις τῆς ἐκκλησίας καταλείψαντες τὴν τούτων καθαίρεσιν.

3. Ἐπέβαλεν ὁ Θεὸς ἔκστασιν ἐπὶ τὸν Ἀδὰμ κ. τ. λ.

Σχολ. Ἐρωτάσθωσαν οἱ ἀντίθετοι τῆς ἀληθείας· πρὸ τῶν δερματίνων χιτώνων ταῦτα πέπρακται, ἢ οὔ; σαρκικὴ γὰρ ἡ τοῦ Ἀδὰμ διάπλαστος καὶ παχεῖα καὶ τῆς παραβάσεως πρεσβυτέρα· ἀλλ' ἴσασιν πάντως ὅτι πρὸ τῆς παραβάσεως, καὶ μυρίας εὑρήσουσιν ἑαυτοῖς τεχνολογίας· ταύτῃ δὲ βέβαιοι καὶ ἡ πρὸ τῆς τῶν δερματίνων χιτώνων περιβολῆς τῶν περιζωμάτων ἐπίνοια, ἣν οἱ χιτῶνες διεδέξαντο· σάρκα γὰρ κατ' ἀσχήμονα μέρη σαρκὸς ἐπενόησαν ἐπικαλύψαι ὅ τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ· ὡσαύτως οἱ δερμάτινοι χιτῶνες δευτέρου βίου ἀρχὴ καὶ ῥυθμὸς γεγόνασιν τῷ Ἀδάμ, τὴν κατακριθεῖσαν σάρκα ἐπικαλύπτοντες ἀντὶ τῶν φύλλων.

4. Τοῦ ἁγίου Ἱππολύτου Ῥώμης (2) ἐκ τῆς εἰς τὴν γένεσιν πραγματείας.

Καὶ ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον χοῦν ἀπὸ τῆς γῆς. Τί δὲ ἐστι τοῦτο; ἄρα μὴ κατὰ τὴν τινῶν ἐπίνοιαν, τρεῖς ἀνθρώπους λέγομεν γεγονέναι, ἕνα πνευματικόν, καὶ ἕνα ψυχικόν, καὶ ἕνα χοϊκόν; οὐχ οὕτως ἔχει, ἀλλὰ περὶ ἑνὸς ἀνθρώπου ἡ πᾶσα διήγησις· τὸ γὰρ ποιήσωμεν, περὶ μέλλοντός ἐστι· τὸ δὲ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον χοῦν ἀπὸ τῆς γῆς, ὥστε περὶ ἑνὸς ἀνθρώπου τοῦ αὐτοῦ ἡ διήγησις γίνεται· τότε γὰρ λέγει· γεγένηται, νῦν δὲ ποιεῖ, καὶ τὸ πῶς ποιεῖ διηγεῖται.

5. Τοῦ ἁγίου Κλήμεντος Ῥώμης ἐκ τῆς β' ἐπιστολῆς (3).

Ἵνα καὶ γενώμεθα βεβαιωθέντος αὐτοῦ, οὐκ

(a) Ita cod. (b) Cod. οἱ.

(1) Hinc vides scholion hoc decerptum esse ex tractatu fusiore anonymi auctoris. Atque ego quidem auctores nominatim a Leontio laudatos cum editionibus contuli, ut videlicet editos praetermitterem, ineditos autem locos in dias luminis auras proferrem. Quis tamen nescit, fieri facile posse, ut locus aliquis, praesertim exiguus, quamquam fortasse editus, legentem et properantem lateat? quis item nescit titulos immo et auctores operum aliter interdum in codicibus quam in editionibus scribi? Quare mihi ne fraudi sit, siquod forte ἀποσπασμάτιον alicubi in libris obvium inter haec excerpta posuero.

(2) Graecus auctor intelligit Ῥώμης ἐπισκόπου, romani episcopi; quem Graecorum frequentem errorem alibi me narrare memini. Porro Hippolyti commentarium in genesim extitisse docent fragmenta aliquot quae in catena ante hos annos Lipsiae edita occurrunt; quamquam hoc a Leontio prolatum, in illa desideratur. Locum eius commentarii prolixum recitat latine Hieronymus ep. XXXVI. 16. Alius est graece in parall. rupefucald. p. 787. Testimonia denique veterum de hoc Hippolyti opere collegit Fabricius in auctoris editione.

(3) Clementis romani non extat nisi prima ad Corinthios epistola et pars secundae. Et quidem in codice extat locus ex I. ad Cor. cap. 33.

Digitized by Google

ὄντες πρὶν γενέσθαι, καὶ γενόμενοι ἀπολαύσομεν τῶν δι' ἡμᾶς γενομένων· διὰ τοῦτο ἐσμὲν ἄνθρωποι, καὶ φρόνησιν ἔχομεν καὶ λόγον παρ' αὐτοῦ λαβόντες.

6. Τοῦ ἁγίου Πέτρου ἐπισκόπου Ἀλεξανδρείας καὶ μάρτυρος ἐκ τοῦ μὴ προϋπάρχειν τὴν ψυχὴν τοῦ σώματος (1).

Τὰ περὶ τῆς θεότητος καὶ ἀνθρωπότητος τοῦ δευτέρου ἐξ οὐρανοῦ ἀνθρώπου κατὰ τὸν μακάριον ἀπόστολον ἐν πρώτοις παραθέμενοι, ἀναγκαῖον ἡγησάμεθα καὶ τὰ περὶ τοῦ πρώτου ἐκ γῆς χοϊκοῦ γεγενημένου ἀνθρώπου παραθέσθαι, πρὸς τὸ δεῖξαι ἕνα καὶ τὸν αὐτὸν ἐν τῷ αὐτῷ καιρῷ γενόμενον, κἂν μεριστῶς ποτε ὁ ἔσω καὶ ὁ ἔξω ἄνθρωπος λέγηται· εἰ γὰρ κατὰ τὸν σωτήριον λόγον ὁ ποιήσας τὰ ἔξωθεν καὶ τὸ ἔξω ἄνθρωπος λέγηται· εἰ γὰρ κατὰ τὸν σωτήριον λόγον ὁ ποιήσας τὰ ἔξωθεν καὶ τὰ ἔσω αὐτὸς ἐποίησεν, ἀλλ' οὖν γε ἐφ' ἅπαξ καὶ ἐν καιρῷ, τουτέστιν ἐν αὐτῇ τῇ ἡμέρᾳ, ὅτε εἶπεν ὁ Θεὸς ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν· ὡς ἐκ τούτου εὔδηλον ἐστὶν ὅτι οὐκ ἀπὸ συνόδου ὡς προόντος τινὸς ἑτέρῳ τινὶ συναρμολογηθέντος γεγένηται· εἰ γὰρ τὰ ἄλλα ζῶα κατὰ κέλευσιν ἔμψυχα ἐξήγαγεν ἡ γῆ, πολλῷ μᾶλλον ληφθεὶς ὑπὸ τοῦ Θεοῦ χοῦς ἀπὸ τῆς γῆς δύναμιν ἔμψυχον ἔσχεν κατὰ βούλησιν καὶ ἐνέργειαν Θεοῦ.

Τοῦ ἁγίου Εὐσταθίου ἐπισκόπου Ἀντιοχείας καὶ ὁμολογητοῦ ἐκ τοῦ περὶ ψυχῆς κατὰ φιλοσόφων (2).

Ἀλλ' ἐπειδὴ σαφῶς ἴσασιν ἐλεγχομένους, ἐντεῦθεν ἑαυτοὺς μεταβαλλόμενοι πλάττουσιν τὸ τῆς λήθης ὕδωρ, ὅ φασιν πίνοντας ἑκάστους τὰς τῶν ἐκεῖσε βίων γενέσεις ἀμνημονεῖν· ὅτι δὲ ταῦτα μυθώδη καὶ πόρρω φιλοσοφίας ἐστὶν, οὐδεὶς τῶν εὖ φρονούντων ἔοικεν ἀγνοεῖν· τί γὰρ φαμὲν, ὦ Πυθαγόρας καὶ Πλάτωνες, αὐτοὶ τὸ ληθοποιὸν ὕδωρ πεπώκατε λαβόντες; ἢ τοὐναντίον ἐξύγετε λαθόντες; εἰ μὲν οὖν ὑμεῖς οἷοί τε (a) ἐγένεσθε τὸ τῆς πλάνης διαδρᾶναι πόμα, πρόδηλοι πολλοί τινες· εἰ δὲ τὸν κοινὸν πᾶσιν ἀέρα σπασάμενοι τὸ τῆς λήθης ὕδωρ ἐπίετε χανδὸν, πῶς καὶ πόθεν μυθοποιεῖτε λαβόντες (b) περὶ ψυχῶν; πόθεν ὅλως ἴστε τὸ τῶν ῥείθρων τούτων γένος; εἴ τι (c) γὰρ μὴ ὑπεράθετε τῆς χρείας αὐτῶν, ἀγνοεῖτε τὴν ὑδάτων ἀνάδοσιν· εἴ τι τῆς πείρας αὐτῶν ἔσω γεγονότες, λήθῃ τὴν μνήμην τῆς χρήσεως αὐτῶν ἠφανίσατε, καὶ τὴν γνῶσιν ἐξεπτύξατε· ἀλλ' εἰς ταύτην (d) βαρβαρώδη δεισιδαιμονίαν ἀπεκπεσόντες ἐπάλλαξαν αἰγυπτίοις χρησάμενοι καθηγεμόσιν (3).

Ἐκ τοῦ αὐτοῦ λόγου.

Ὅτι μὲν οὐκ εἰσὶν ἀγέννητοι αἱ ψυχαὶ (4), τοῦτο δείκνυσι σαφέστερον ἡ τῶν ἀρτιγόνων ἀλογία βρεφῶν· εἰ μὲν γὰρ ἅμα τῷ τεχθῆναι τὰ

(a) Cod. οἷοταί. (b) Cod. λαβόντες. (c) Cod. εἶτα. (d) Cod. ταῦτα.

quem exscribere supersedeo, quamquam variat a lectione quae est edita apud Cotelerium, nec non apud Damascenum parall. p. 310. Iam de epistola Clementis nona, quam heic citat Leontius, quid dicam? Num est ex illis clementinis epistolis, in quibus Hieronymus adv. Iov. I. 12. laudes virginitatis multo ampliores legebat, quam quae in editis duabus occurrunt? Hic locus nonae subsequitur in codice locum primae. Certe in Mercatoris collectione quinque sunt Clementis epistolae. Sed tamen Turrianus pro epp. pontif. lib. V. cap. 20. ed. Roc. p. 535. dicit Leontium in hoc opere citare primam et secundam Clementis ad Corinthios.

(1) Constat id opus a Petro contra Origenem fuisse conscriptum.

(2) Hoc Eustathii antiocheni opus laudat Theodoretus dialog. III. op. in 8. T. IV. part. I. p. 134. et 233. Item parall. rupefucald. p. 752. Ceterum locus hic a Leontio prolatus non extat in praedictis libris.

(3) Reapse in aegyptiacis papyris atque anaglyphis ad ima manium pertinentibus videre est saepenumero animas mortuorum, quae lethaeos latices potant, vel iis a quodam numine irrorantur. Non itaque *vitae aqua*, ut nonnullorum interpretum sententia fert, sed potius *oblivionis fluenta* in his picturis intelligenda videntur.

(4) Plato apud Tertullianum de anima cap. III. innatam et infectam animam vult. Et qui-

παιδίᾳ, τελείας ἐξέστω φρονήσεως, ἐξῆν ἴσως ὑποληφθῆναι τελείαν ἄνοιαν· οἱ δὲ λείπονται νοῦ καὶ λόγου καὶ συνέσεως. οὐκ ἄρα καθεστήκασιν ἀγένητοι τὴν φύσιν αἱ ψυχαί· σύμπαντες οὖν ἴσμεν ὅτι τοῖς τῶν σωμάτων ὄγκοις ἡ ψυχὴ συνεκτείνεται δαψιλῶς (1), οὐ μεγέθει μόνον ἢ βραχύτητι μιλῶν, ἀλλὰ καὶ ταῖς ἄλλαις τῆς γνώμης ἀναλογίαις (a)· ἐς ὅσον μὲν νήπια τυγχάνει ταῦτα τὰ βρέφη, πάσης μὲν πανταχῶς ἐννοίας ἀπορεῖ καὶ βουλῆς, ἠρέμα δὲ καὶ κατ' ὀλίγον προϊόντα νοῦν τε καὶ φρόνησιν προσλαμβάνει καὶ λόγον· οἱ δὲ ταῦτα ἴδια μὲν τῶν ψυχῶν, ἐκ προκοπῆς δὲ τὰς κρείττους ἐπιδέχονται προσθήκας, ἆρα οὖν δῆλον ὅτι συναυξάνει μὲν τῷ σώματι καθάπερ δὲ τούτῳ λελαθότως ὑπαναλίσκεται τὰς δυνάμεις, οὕτω καὶ ἡ ψυχὴ προκόπτουσα τὸν νοῦν (2)· ὅσοι δὲ μηδέποτε βαίνουσιν ἐπὶ τὸ ἄμεινον ἀλλὰ μωροὶ διαμένουσι, δῆλον ὅτι λελωβημένοι τινὸς μερίς ἀτελῶς ἔχουσι τὰς ψυχάς, ὥσπερ οἱ τὴν φρενῖτιν ἀρρωστήσαντες νόσον. — Καὶ μετ' ὀλίγα. — Ἀμέλει καὶ τὸ τοῦ πρωτοπλάστου σῶμα σχηματισθὲν ἔκειτο νεκρόν, ἀκίνητον, μέλεσιν μὲν καὶ ἁρμονίᾳ ῥυθμιζόμενον ἄκρως, μορφῇ τε καὶ κάλλει κεκοσμημένον ὑπερφυῶς, ἔτι δὲ καὶ παρ' αὐτοῦ πλαστοῦ γενόμενον (b) τοῦ θεοῦ πρωτότυπον ἄγαλμα, καὶ τῆς θεοπρεπεστάτης εἰκόνος ἐκτυπωθὲν ἀφομοίωμα πράττον, ἀναίσθητον δὲ καὶ ἄφωνον καὶ ἄπνουν· ὡς δὲ εἰς τὸ πρόσωπον αὐτοῦ δημιουργικῶς ἐνεφύσησεν ὁ Θεός, αὐτίκα τὴν κίνησιν εἴληφε· ἐξ ἑκόντι δὲ βαδίζει καὶ ἀναπνεῖ καὶ φθέγγεται, ἄρχει, λογίζεται, πράττει, διοικεῖ.

Τοῦ ἁγίου Ἀθανασίου ἐκ τοῦ περὶ ἁγίου πάσχα (3).

Ἐποίησεν οὕτως τὸν ἄνθρωπον ὁ Θεός· καὶ ὡς Θεὸς ἀγαθὸς τοσοῦτον καὶ τηλικοῦτον ἐποίησεν ἄνθρωπον· μὴ γὰρ ὅρα αὐτοῦ τὴν νῦν ἀβελτηρίαν, ἀλλὰ τὴν πρώτην φαντάζου κατάστασιν· καὶ γὰρ κατ' εἰκόνα αὐτὸν ἐποίησεν· καὶ ἵνα δείξῃ αὐτοῦ τὴν φύσιν τοῖς ἄστροις ἁμιλλωμένην, ἐμφαίνει (c) ὅτι γυμνὸν ἔθηκεν ἐν παραδείσῳ, στολῆς οὐ χρῄζοντα· οὐδέπω γὰρ ὕβρις (d) συνηλλύθει τῇ ὄψει, ἵνα σκέπης δέηται ὁ ἄνθρωπος· ἀλλ' ὁ χρηστὸς μαρτυρεῖ ὅτι ἐποίησε τὸν ἄνθρωπον καὶ ἔθηκεν αὐτὸν ἐν τῷ παραδείσῳ, καὶ ὅτι γυμνοὶ ἦσαν καὶ οὐκ ᾐσχύνοντο· ἀλλ' ὥσπερ ἥλιος καὶ σελήνη τῇ ἑαυτῶν γυμνώσει ἐγκαλλωπίζονται, οὕτω δῆτα καὶ οὗτοι ἐφαίδρυνον τῇ φυσικῇ εὐπρεπείᾳ ἐνωραΐζεσθαι· τοσαύτην οὖν εὐεργεσίαν εἰς τοῦτον εἰσενεγκάμενος ὁ Θεός, καὶ ἀβροδίαιτον αὐτὸν ἐν παραδείσῳ καταστησάμενος, τῶν δὲ παρ' ἑαυτοῦ χαρίτων πλουσίως αὐτῷ μεταδούς, καὶ τὴν αὐτοῦ αἴσθησιν καὶ τὸ δίκαιον ἐπεζήτει, ὑπακοῇ τιμηθῆς τὴν χάριν ἐδίκαζεν· καὶ ἐπειδὴ οἶδεν ὅτι ἀδύνατον αὐτῷ συμφυλαχθῆναι τὴν δωρεάν, μὴ καταφυγῇ καὶ τιμῇ τι παρὰ (e) τὸν δεδωκότα Θεόν, νόμον αὐτῷ φρουρὸν ὁρίζει τῆς φύσεως, ἵνα μνήμη καὶ θεραπεία τοῦ νομοθέτου οἷα ἀγαθοῖς τισι

(a) Cod. ἀλογίαις. (b) Cod. γεννηθέντα. (c) Cod. ἐμφαίνη. (d) Cod. ὕβρη. (e) Cod. καταφυγῇ — περὶ.

dem Tertullianus graviter fallitur dum animae corporalitatem multis verbis propugnat. Ego vero Eustathii dicta intacta esse sino; auctores enim, ut ait Hieronymus, exhibendi sunt sine interpretis patrocinio. De his veterum circa animam opinionibus legendus est omnino Tertullianus op. praed., nec non Augustinus, et Gregorius nyssenus de anima, Nemesius de nat. hom. cap. II. et III, denique mythographus tertius vaticanus a me editus tract. *de Platone*.

(1) Refutat sententiam hanc de animae incrementis Augustinus de anima lib. II. cap. XXI. et XXII.

(2) Notissimum est metaphysicorum magistrorum ad haec responsum. Quippe anima, nisi corpori esset alligata, nihil eiusmodi pateretur; sed quum Dei providentia ac voluntate corpori interim sit addicta, actiones illius ac facultates ab organorum corporeorum diversa conditione pendent; pro quorum varia ratione modo melius modo deterius muneribus suis intra corpus anima fungitur. Legesis Gregorium nyssenum orat. de anima T. I. p. 71. T. II. p. 97. sqq.

(3) S. Athanasii duae extant de paschate homiliae, quas utramque maurini editores T. III. p. 454. spuriam iudicaverunt. Id nunc iudicium confirmatur ab hoc genuino fragmento, quod ad neutram e praedictis homiliis pertinet.

φαρμάκοις φυλάττηται· καὶ ἀθανασίαν μὲν αὐτῷ φυλαττομένου τοῦ νόμου κατεπαγγέλλεται, θάνατον δὲ παραβαθέντος· ἀλλὰ τούτων οὕτως ἐχόντων, γέγονε τὰ ᾀδόμενα, καὶ φθόνῳ διαβόλου πεισθεὶς παραβῆναι τὸν νόμον, ὁ ἄνθρωπος φθαρτὸς γίνεται, καὶ ἐξωθεῖται τοῦ παραδείσου· καὶ λοιπὸν εἰς πλῆθος δοὺς, βίον ἐπονώδη ἔζη, ἀθεΐας τε καὶ ἀκολασίας δοχεῖον ἐγένετο· καὶ διὰ τοῦτο προφῆται ἐβόων περὶ τῆς πρώτης αὐτοῦ ἀξίας καὶ τῆς μετὰ ταῦτα ἀναξιότητος· ἄνθρωπος ἐν τιμῇ ὢν οὐ συνῆκε, παρασυνεβλήθη τοῖς κτήνεσι τοῖς ἀνοήτοις καὶ ὡμοιώθη αὐτοῖς.

Τοῦ μακαρίου Κυρίλλου Ἀλεξανδρείας ἐκ τοῦ κατὰ Διοδώρου (1).

Ἀλλ', ὦ σοφὲ, φαίην ἄν, ψυχὴ μὲν καὶ σῶμα πρὸς ἀνθρώπου γένεσιν· καὶ οὐκ ἂν ἀπανίσχοι θατέρου θάτερος.

Ἐλευθερίου Τυανῶν ἐκ τοῦ κατὰ Ἀπολιναρίου κε κεφαλαίου (2).

Ἄνθρωπος γὰρ ἐκ ψυχῆς ὢν νοερᾶς καὶ σώματος αἰσθητοῦ, μιᾶς ὑποστάσεως γνωρίζεται, διὰ τὸ μηδέτερον χωρὶς τοῦ ἑτέρου πραγμάτων ἔχειν ὑπόστασιν, μηδὲ σώζειν τὸν ὅρον τῆς φύσεως, κατὰ ταὐτὸν μὲν ἀρχὴν τοῦ εἶναι λαμβάνοντα, καὶ οὕτως εἰς τὸν βίον ἐρχόμενα· ἑνὸς δὲ ζώου φύσιν ἐργαζόμεθα.

Ἀντιόχου Πτολεμαΐδος ἐκ τοῦ εἰς τὸν Ἀδὰμ λόγου (3).

Τὰ μὲν ἄλλα τετράποδα ποιῶν ὁ Θεὸς, μετὰ τῶν σωμάτων καὶ τὰς ψυχὰς παρήγαγε· τὸν δὲ ἄνθρωπον πλάττων, πρῶτον κατασκευάζει τὸ τοῦ σώματος ὄργανον, καὶ τότε τὴν ψυχὴν δημιουργήσας ἐνέθηκεν, ἵνα καὶ ἐν τούτῳ δείξῃ τὴν ὑπεροχὴν τοῦ ἀνθρώπου· ἐπειδὴ τὰ μὲν ἄλλα ζῶα καὶ τὰ κτήνη λυόμενα θανάτῳ, συναφανίζει τῷ σώματι καὶ τὴν ψυχήν· ἐπεὶ γὰρ αὐτῶν λέγει τὴν γένεσιν, ὅπου πάλιν ἔμελλεν τὸ πᾶν ἀφανίζεσθαι· τὸν δὲ ἄνθρωπον πλάσας, τὸ μὲν σῶμα ἀπὸ τῆς γῆς λαμβάνει, τὴν δὲ ψυχὴν ἐμφυσᾷ. Καὶ μετ' ὀλίγα. Πλάττει τὸ σῶμα πρῶτον· καὶ πρῶτον ἄνθρωπος ἔλαβεν εἰκόνα νεκράν· καὶ τότε εἰκόνα ζῶσαν, καὶ ζῶντα χαρακτῆρα, καὶ ζῶσαν τὴν ἐνέργειαν τῆς ψυχῆς ἐδέξατο· πρῶτος ἐδείχθη νεκρὸς, εἶτα ζῶν· πρῶτον ἔπλασε σῶμα νεκρὸν, εἰς ὃ ἔμελλε καταλύειν ὁ ἄνθρωπος· εἶτα ὅτε ἀπετέλεσε τὸ νεκρὸν σῶμα, τότε ἀπέδωκε ζῶντα τὸν χαρακτῆρα· καὶ οὐ ποιεῖ τὴν ψυχὴν πρὸ τοῦ σώματος, ἵνα μὴ γένηται αὐτόπτης τῶν γινομένων· οὐ ποιεῖ τὴν ψυχὴν παρεῖναι τῇ δημιουργίᾳ, ἵνα μὴ καυχήσηται ὡς συνεργὸς τοῦ Θεοῦ.

Γενναδίου Κωνσταντινουπόλεως ἐκ τοῦ πρὸς Παρθένιον δευτέρου λόγου (4).

Οὐκ ἂν εὕροι τις τὴν φύσιν μᾶλλον ἢ τὸν

(1) Tribus omnino libris hoc opus (quod iamdiu periit) constitisse ait Liberatus brev. cap. X. Idem opus citatur a Leontio nostro etiam in libro de sectis act. IIII, nec non a Facundo defens. III. 3, et alibi (ut ab aliis observatum est) apud quem fragmenta aliquot latine recitantur; verum multo copiosiora item latine in concilio generali quinto ed. Coleti T. VIIII. p. 230. sqq. et 255. sqq; quo in tomo p. 236. utitur Cyrillus eadem dictione, *o sapiens ὦ σοφὲ*, alloquens adversarium, Diodorum scilicet tarsensem, vel potius Theodorum mopsuestenum; namque adversus utrumque eodem opere decertavit Cyrillus, ut ipse diserte ait apud concil. praedict. p. 266.

(2) Eleutherii aliud fragmentum citat Damascenus parall. p. 315. Nunc e Leontio cognoscimus fuisse hunc tianeum episcopum; quem tam Lequienus Damasceni editor nescieit, qui etiam ait novum esse hunc et inauditum in ecclesia scriptorem.

(3) De hoc Antiocho, qui saeculo quinto ineunte floruit, deque ipsius deperditis scriptis legatur Caveus. Hoc autem catenarum fragmentum ab iis paucissimis differt, quae apud nonnullos auctores superesse docet idem Caveus; uti egomet legens comperi, nempe apud Theodoret. dial. II. ed. in 8. T. IV. part. I. p. 162; concil. ephes. ed. Coleti T. IV. p. 691; caten. in Ioh. p. 444. Neque tamen dubito quin hic postremus catenae evangelicae locus ex eodem sermone de Adamo decerptus fuerit.

(4) Hunc ipsum Gennadii titulum vidit alius

Digitized by Google

ἐν τῷ κτιζομένῳ παρὰ τοῦ κτίσαντος· ἔπειτα δὲ ὁ μὲν Ἐλισάβετ ἢ εἴ τις σὺν γυνὴ σωλύεται καὶ τὴν ψυχὴν ἀποζωογονῶν σὺν τῷ σώματι· πρῶτον μὲν ὅτι δευτέρα τῆς σαρκὸς ἡ ψυχὴ τὴν ὕπαρξιν εἴληφεν καὶ οὐκ ἄλλοθεν· δεύτερον δὲ ὅτι τὴν ὑπόστασιν τῷ σώματι περιγράφεται, ὡς καὶ τοὺς τόπους συμμεταλλάττειν αὐτῷ· καὶ μήπω μὲν ἐκ μήτρας προελθόντων τῶν βρεφῶν, συγκατείργεσθαι τῷ σώματι καὶ αὐτάς· ἀποτεχθέντων δὲ, ὁμοίως (a) ἀπολελοιπέναι τὴν μήτραν τῷ σώματι.

Κλήμεντος ἐκ τοῦ η στρώματος (1).

Ὁ Θεὸς ἡμᾶς ἐποίησεν οὐ προόντας· ἔδει γὰρ καὶ εἰδέναι ἡμᾶς ὅπη ἦμεν εἰ προῆμεν, καὶ πῶς καὶ διὰ τί δεῦρο ἥκαμεν· εἰ δὲ οὐ προῆμεν, τῆς γενέσεως αἴτιος μόνος ὁ Θεός· ὡς οὖν οὐκ ὄντας ἐποίησεν, οὕτως καὶ γενομένους σώζει τῇ ἰδίᾳ χάριτι.

Τοῦ μακαρίου Ἀντιπάτρου Βοστρῶν ἐκ τοῦ κατὰ Ὠριγένους κεφ. ζ (2).

Ὁ ποιήσας τὸν ἄνθρωπον ἀπ' ἀρχῆς, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς· οὐ πρῶτον κατ' αὐτὸν νόας, καὶ ἐξ ἁμαρτιῶν ἀνθρώπους· ἀλλ' ἐξ ἀρχῆς ποιήσας ἀνθρώπους ἐποίησεν, ὡς ἡ τοῦ κυρίου φωνὴ διδάσκει λέγουσα, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς· συναμφότερον γὰρ ἐξ ἀρχῆς καταβληθὲν ὑπὸ τοῦ Θεοῦ, καὶ τὴν παρ' αὐτοῦ τῆς αὐξήσεως εὐλογίαν ἐδέξατο· κατὰ τὸ εἰρημένον, εὐλόγησεν αὐτοὺς ὁ Θεὸς λέγων, αὐξάνεσθε καὶ πληθύνεσθε· ὅπερ οὐ λόγον ψιλὸν ἀκούομεν, ἀλλ' ἔργον ὁρῶμεν ἀποτελεσθὲν καὶ ἐνεργούμενον ἕως συντελείας αἰῶνος τούτου· καὶ ἐξ ἑνὸς αἵματος γεγονὸς πᾶν ἔθνος ἀνθρώπων, κατοικοῦν ἐπὶ τὸ πρόσωπον τῆς γῆς, κατὰ τὴν ἀποστόλου φωνήν· οὐκ ἐξ ἁμαρτιῶν καὶ ἀποπτώσεως πληθυνθὲν, ὡς ἡ τούτου διδάσκει γραφὴ, ἀλλ' ἐκ τῆς τοῦ Θεοῦ εὐλογίας, ὡς ὁ προφήτης ἐδίδαξεν· εἰ γὰρ ἐκ παραβάσεως καὶ τῆς τοῦ καλοῦ ἀποψύξεως τὸ τῶν ἀνθρώπων πληθύνεται γένος, οὐκ ἀλλὰ κατάρα μᾶλλον ἂν δικαίως λεχθείη· καὶ οὐκ ἐξ ἑνὸς αἵματος ἀνθρώπων, ἀλλ' ἐκ πολλῶν καὶ ὑφ' ὅσων τὴν ἀπόρρευσιν συνέβη γενέσθαι συνίστησιν τὸ τῶν ἀνθρώπων γένος· οὐ γὰρ δὴ χώραν ἕξει ἢ ἑνὸς μόνου ἢ δύο πρὸ τῶν ἀποῤῥευσάντων καὶ καταδικασθέντων τοῖς σώμασιν, ἢ (b) μετὰ τοῦτο ὅτι καὶ ἡ πεῖρα φοβεῖν ἠδύνατο, τοσαύτας λέγειν ἀποῤῥεῦσαι μυριάδας, ὥστε κατοικεῖν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς· εἰ δὲ πολλῶν ἀποῤῥευσάντων ὑφ' ἕν, εἷς μόνος τέως εἰς σῶμα κατεδικάσθη, οὐδαμῶς ἡ παρ' αὐτῶν ἀπατωμένη τοῦ Θεοῦ δικαιοκρισία δύναται σώζεσθαι, εἰ πολλῶν ἀξίων τῆς τοιαύτης ὑφ' ἓν γεγονότων τιμωρίας, εἷς μόνος ἐν τῷ τέως κατεδικάσθη τῇ σαρκὶ ἐνδεθῆ-

(a) Cod. ὁμοίως ὡς. (b) Deest ἢ.

apud Leontium ineditum Sirmondus adn. ad Facundum defens. II. 4. Floruit autem Gennadius medio saeculo quinto.

(1) Octavum stromatum librum vel omnino desideramus, vel, si verus est titulus eius qui exstat, certe esse imperfectum, iamdiu critici docuerunt. Nunc libri octavi vaticanum hoc fragmentum habemus, addendum parallelis p. 643. 751. 753. Contradicit autem, ut arbitror, Clemens alex. iis qui metempsychosin tuebantur, quam fabulam non aliunde quam ex Aegypto hausisse Pythagoram, tradit Diodorus siculus I. 98, quicum conferendi sunt Herodotus II. 123, et Origenes contra Celsum I. 20. 32. Quanta concinnavero graeci poetae, philosophi, artificesque ab Aegyptiis mutuati fuerint, docent late Diodorus sic. I. 96. sqq. Herodotus II. 50. 83. Clemens alex. strom. I. 15. 16. VI. 2. 4. Eusebius praep. ev. I. 6. III. 4. X. 4. sqq.

(2) Cognoscebatur Antipater medio saeculo quinto. Is autem hoc opere refutavit Eusebii caesariensis apologiam pro Origene, ut cognoscimus e concilii secundi niceni actione quinta, observante Caveo, ubi mediocre fragmentum recitatur (ed. Coleti T. XIII. p. 178.) Ego vero mihi gratulor, qui apud Leontium particulam eius operis satis nobilem nactus sim; neque hoc loco tantummodo, verum etiam infra, nempe sub littera E, titulo XIII, contractiorem aliam; quae pars utraque a fragmento in nicaena synodo laudato differt. Multo his maiora fragmenta proferuntur in parallelis rupefucaldinis apud Lequinium; verum ea quoque a vaticanis diversa sunt.

Digitized by Google

ναι, τῆς ἄλλων ὑπερθεμένη τὴν τοιαύτην τιμωρίαν.

Εἰ δὲ ἄλλό τι νοῆσαι θελήσουσι τόν τε Ἀδὰμ καὶ τὴν Εὔαν, πρῶτον μὲν ἐναντιοῦνται τῷ ἐκκλησιαστικῷ κηρύγματι, μηδὲν ἄλλο μαρτυρούσης τῆς ἐκκλησίας περὶ αὐτῶν ἢ ὅτι πρῶτοι καὶ μόνοι γεγόνασιν ἄνθρωποι, καὶ ἐξ αὐτῶν πᾶν τὸ τῶν ἀνθρώπων συνέστηκε γένος· ὥσπερ οὖν καὶ αὐτοὶ (a) ὡμολόγησαν, καθὼς καὶ εἰς ἄλλως παρεθέμεθα αὐτοὺς λέγοντας, ὅτι διδάσκει τὸ εὐαγγελικὸν κήρυγμα ὅτι τῶν ἀπὸ κτίσεως καὶ κατασκευῆς κόσμου δικαίων εἰσὶ, Ἀδὰμ, Σὴθ, Ἐνὼχ, Ἀβραάμ· ἔπειτα δὲ καὶ ἑαυτοῖς ἐναντίοι εὑρίσκονται· τὸν γὰρ Ἀβραὰμ ἄνθρωπον (εἶναι) ἡγοῦνται, καὶ τὸ ἐξ αὐτοῦ ἔθνος κατὰ τὴν ἱστορίαν νοοῦσιν ὁμοίως ἐξ αὐτοῦ γεννηθέντας ἀνθρώπους· εἴ τε δ' ἂν οὖν περὶ τοῦ Ἀδὰμ ἀλληγορῆσαι θελήσουσιν, ὁ αὐτὸς κατὰ πάντα ἁρμόσει λόγος, περί τε τοῦ Σὴθ, τοῦ Ἐνὼχ, τοῦ Νῶε, τοῦ Ἀβραὰμ, συντόμως δὲ εἰπεῖν καὶ περὶ τῶν λοιπῶν προφητῶν καὶ ἀποστόλων ἡμῶν τε αὐτῶν, καὶ εὑρισκόμεθα πάντες ἄλλό τι καὶ οὐ κατ' ἀλήθειαν ὄντες· εἰ γὰρ μὴ ὁ Ἀδὰμ ἄνθρωπος ἐξ οὗ (b) καθὼς εἶπον, δῆλον ὅτι οὐδὲ οἱ καθεξῆς· τῆς γὰρ αὐτῆς ἀκολουθίας ὁ προφήτης λαβόμενος, μίαν καὶ τὴν αὐτὴν τοῖς πᾶσι τάξιν ἐπέθηκεν ἐξ αὐτοῦ τὴν ἀρχὴν λαβοῦσαν, ὡς παρ' αὐτοῦ συγγραφεῖσα ἱστορία δηλοῖ· ἤ τινι καὶ ὁ θεῖος εὐαγγελιστὴς κατακολουθῶν, τὸ τῆς ἱστορίας ἀληθὲς ἐβεβαίωσεν, ἀρξάμενος ἐν τῇ κατὰ τὸν δεσπότην Χριστὸν γενεαλογίᾳ ἀπὸ τοῦ Ἰωσὴφ, ὃς πατὴρ κατὰ σάρκα τοῦ δεσπότου Χριστοῦ ἐχρημάτισεν· ἔπειτα ἀνωτέρω χωρῶν καὶ τοὺς ἑκάστου γεννήτορας καταγράφων, ἦλθεν διὰ πάσης τῆς ἱστορίας καθεξῆς τῇ μωσαϊκῇ παραδόσει χρησάμενος· καὶ διὰ τοῦ Ἀβραὰμ καὶ τοῦ Ἐνὼχ ὁδεύσας, ἐπ' αὐτὸν ἔφθασε τὸν Ἀδὰμ, κἀκεῖθεν ἐπὶ τὸν πάντων δημιουργόν· τοῦ Ἐνὼς, τοῦ Σὴθ, τοῦ Ἀδὰμ, τοῦ θεοῦ· μηδὲν ἀλληγορίας λείψανον περὶ τὰς διαδοχὰς καταλείψας, ἀλλὰ μίαν καὶ τὴν αὐτὴν ἀποδείξας τάξιν ἀπὸ τοῦ Ἀδὰμ καὶ μέχρι τοῦ Ἰωσὴφ, δῆλον δὲ ὅτι ἡ αὐτὴ σώζεται ἀκολουθία καὶ μέχρις ἡμῶν.

Ποῦ οὖν χώραν ἕξει τὸ ἀπορρεύσαντας τοὺς νόας ποιεῖν εἰς τὴν τῶν σαρκῶν ἔνδυσιν, ἐν αἷς τὸ τῶν ὠδινῶν ὥς φασιν ἐμφωλεύει στῖφος; οὐ γὰρ δυνατὸν ἢ ἕνα μόνον τότε ἀπορρεύσαντα λέγειν τῆς τοιαύτης ἄξιον ὡς αὐτοὶ λέγουσι καταδίκης γενέσθαι, ἢ πολλῶν ἀπορρευσάντων ἕνα μόνον καταδικασθῆναι, καὶ εὐλογίαν τὴν αὔξησιν λαβεῖν παρ' αὐτοῦ τοῦ θεοῦ· πάντες γὰρ ἐγίνωσκον οἱ μὴ καταπεσόντες, οἱ καὶ εἰς διακονίαν ἀποστελλόμενοι διὰ τοὺς μέλλοντας κληρονομεῖν σωτηρίαν, τὴν γενομένην καταδίκην, καὶ ἀσφαλεστέρως ἑαυτοὺς ἐποίουν εἰς τὸ μὴ καὶ αὐτοὺς καταπεσεῖν· καὶ οὐχὶ μετὰ τὴν γνῶσιν τῆς τιμωρίας τοσαύτη ἐπίδοσις τῶν καταπεσόντων ἐγίνετο· εἰ γὰρ οὐκ ἐγίνωσκον, πρῶτον μὲν ζητήσεως ἄξιον, πῶς ἐκείνων μὴ γινωσκόντων, γινώσκουσιν οὗτοι; ἔπειτα μέντοι, πῶς εἰς διακονίαν ἀποστέλλονται, μὴ εἰδότες τίς ἡ κατὰ τοὺς ἀνθρώπους οἰκονομία; πῶς δὲ εἰκὸς πολλῶν ὁμοῦ πεπτωκότων, τοσαύτην γενέσθαι τὴν ἐπίδοσιν τῶν ἀνθρώπων, ὡς μὴ ἐκ πάντων, ἐξ ἑνὸς (c) δὲ αἵματος, πληρῶσαι πᾶν τὸ πρόσωπον τῆς γῆς, καὶ καταδίκην τὸ πρᾶγμα καλεῖν; καὶ ταῦτα ἐν ἐπαγγελίαις τοῦ θεοῦ καὶ δωρεαῖς τοῦ τῆς πολυγονίας καὶ πολυτεκνίας κειμένου παρὰ τῇ θείᾳ γραφῇ, ὡς δείξομεν σὺν θεῷ διὰ τῶν ἐν αὐτῇ σημαινομένων ἁγίων, ταύτην δωρεὰν καὶ φιλοτιμίαν τοῦ θεοῦ οὖσαν εἰδότων, καὶ εὐχῆς καὶ μακαρισμοῦ ἀξίαν κρινόντων τὴν τεκνογονίαν, κατάρας δὲ καὶ ὀνειδισμοῦ τὸ μὴ ἀξιωθῆναι τεκνογονίας.

Πρῶτον μὲν ὅτι Ἀδὰμ ἐγέννησε κατὰ τὴν ἰδέαν αὐτοῦ καὶ τὴν εἰκόνα αὐτοῦ· καὶ οὐκ εἶπεν ἀπόρροιαν κατὰ τὴν τοῦ Ἀδὰμ εἰκόνα, ἀλλ' ὅτι Ἀδὰμ ἐγέννησε· καὶ ἡ μήτηρ πάντων ἡμῶν Εὔα χαρᾶς καὶ εὐχαριστίας ῥήματα ἀπεφθέγξατο εἰποῦσα, ἐκτησάμην ἄνθρωπον διὰ τοῦ θεοῦ· ὁμοίως δὲ καὶ ἐπὶ τῇ γεννήσει τοῦ Σὴθ

(a) Cod. αὐτοῖς. (b) Cod. εἷς ὁ. (c) Cod. ξενος

Digitized by Google

φησίν, ἐξανέστησέ μοι ὁ Θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινε Κάϊν· οὐκ ἂν δὲ ὁ προφήτης κατήγγειλε ταῦτα εἰπών, εἴπερ καταδίκην καὶ ποινὴν ἐγίνωσκεν εἶναι τὸ γεννῆσαι τὸν ἄνθρωπον· οὔτε δὲ πάλιν ὁ Ἐνὼχ ὁ καὶ τοῦ θανάτου πεῖραν δι' ἄκραν ἀρετὴν ἔξω γενόμενος, ἤρχετο ἐπὶ τὸ τεκνῶσαι, εἴπερ ἐγίνωσκε καταδίκην καὶ οὐκ εὐλογίαν παρὰ Θεοῦ τὸ τῶν ἀνθρώπων ὑπάρχειν γένος· εἰ δὲ Ἐνὼχ οὐκ ἐγίνωσκε, καί τοι δι' ἄκραν μετατεθεὶς ἀρετήν τε καὶ γνῶσιν, πῶς ὑμεῖς ὑπὲρ ἐκεῖνον ἐγνώκατε; τί δὲ καὶ ὁ μέγας Ἀβραὰμ πρὸς τὸν Θεὸν ἀπωδύρατο φάσκων, δέσποτα τί μοι δώσεις; ἐγὼ δὲ ἀπολύομαι ἄτεκνος· καὶ μυρία ἕτερα ὅσα θεῖοι προφῆται μηνύουσιν, ὅτι δῶρον Θεοῦ καὶ οὐ καταδίκη τὸ πληθύνεσθαι τῶν ἀνθρώπων τὸ γένος, κατάρα δὲ τὸ ἐλαττοῦσθαι· καθὼς ἐπὶ τῇ τοῦ Ἀβραὰμ ἔχειν τῆς Σάρρας ὕβρει γενομένῃ παρὰ τοῦ Ἀβιμέλεχ δηλοῦται, τὸ κατ' ὀργὴν τοῦ Θεοῦ ἐπικλεισθῆναι πᾶσαν γονήν, ὥς φησιν, ὅτι συγκλείων συνέκλεισε κύριος πᾶσαν μήτραν ἐν τῷ οἴκῳ Ἀβιμέλεχ ἕνεκεν Σάρρας τῆς γυναικὸς Ἀβραάμ· καὶ ἄλλα πολλά. Ὅτι δὲ οὐδὲν τούτων τῆς ἱστορίας ἀναιρεθῆναι, καὶ ἄλλό τι νοηθῆναι παρὰ τὸ κείμενον δύναται, πρόδηλον ἅπασιν· εἰ δὲ μή γε οὔτε Μωϋσῆς ἀπόγονος τοῦ Ἀβραὰμ ἄνθρωπός τις γέγονεν, οὔτε λαὸς ἐξ Αἰγύπτου δι' αὐτοῦ ἐξελήλυθε.

Καὶ μεθ' ἕτερα. Ἐπανελθὼν μὲν δὲ ἐπὶ τὸ προκείμενον, θαῦμα γάρ πως οὐκ ἔστησαν τῆς τοιαύτης φορᾶς (a) καταπίπτοντες μέχρι τοῦ νῦν· ἀλλὰ τῶν ἐθνῶν εὐθηνούντων, εὐθηνεῖ καὶ τὰ τῆς τῶν νόων καταπτώσεως εἰς ἀνθρώπους· ἀσθενούντων δὲ, ἀσθενεῖ καὶ τὰ τῆς καταπτώσεως· τί γὰρ ἄρα καὶ νοῆσαι δυνατόν, ὅτι ἡ τῶν νόων ἀπόρρευσις πρὸς γάμους συνωθεῖ τοὺς ἀνθρώπους; ἢ ἡ τῶν ἀνθρώπων πρὸς γάμους καταδρομὴ τὴν ἐκείνων ἐργάζεται ἔκπτωσιν, ἵνα χώραν λάβῃ τὸ ἐκ τοῦ γάμου ἀποτέλεσμα; καὶ πότερον συνεισέρχονται τῇ ἀπορρύσει τοῦ σπέρματος οἱ καταπεσόντες νόες; ἢ ὕστερον εἰς τὴν γυναικείαν γαστέρα εἰσκρίνονται; καὶ εἰς γῆν ἄρα διάγουσιν παρατηροῦντες ποῖος γάμος γίνεται ἵνα εἰσέλθωσιν ἐν τῇ μήτρᾳ, ἢ ἀπ' οὐρανῶν πρὸς ὥραν χαλῶνται; ὅτι μὲν ἐν μήτρᾳ ψυχοῦνται, δῆλον γὰρ ἐκ τοῦ τίκτεσθαι, οὐδὲ ἧττον καὶ ἀπὸ τοῦ νομοθέτου λέγοντος ἄνθρωπον εἶναι τὸ ἐξεικονισμένον ἔμβρυον, καὶ θανάτῳ ἔνοχον εἶναι τὸν ἐκτρῶσαι τοῦτο παρασκευάσαντα· καὶ εἰ μὲν ἐπὶ γῆς διάγουσιν αἱ ψυχαὶ πρὸ τοῦ σωματωθῆναι ἐν τῇ γυναικείᾳ μήτρᾳ, ποῦ οὖσαι ἄρα, καὶ τί ποιοῦσαι, καὶ πῶς οὖσαι; καὶ πότερον ἀσώματοι ὅτι νόες ὑπάρχουσαι παραγίνονται εἰς τὴν γῆν, ἢ ἕτερον πρῶτον λαβοῦσαι σῶμα; καὶ εἰ μὲν ἀσώματοι, ὅτι νόες εἰσί, μήπω σωματωθεῖσαι· εἰ δὲ μήπω ἐσωματώθησαν, ὅτι νόες εἰσὶ γινώσκουσαι ὅτι ἀπ' οὐρανοῦ κατέπεσον, καὶ ὅτι εἰς σῶμα ἔχουσιν ἐνδυθῆναι, καὶ δύνανται δράξασθαι ἢ ἐπιθυμῆσαι εἰς τὸ τοιόνδε γένος σωματωθῆναι, ἢ τήνδε μητέρα ἐκλέξασθαι· ἐπεὶ οὐκ ἂν εἶπεν ἀσώματοι, εἰ μὴ ταῦτα γινώσκουσιν.

Εἰ δὲ ἐν σώματί τινι ὑπάρχουσι τῆς πρώτης ἀπορρεύσασαι καταστάσεως καὶ εἰς γῆν καταπεσοῦσαι, ἄρα μετὰ τοῦ πρώτου σώματος καὶ τοῦτο ἐπενδύονται; ἢ ἀποβαλοῦσαι ἐκεῖνο, εἰς τοῦτο ἔρχονται; καὶ εἰ μὲν μετὰ τοῦ πρώτου σώματος ἔλαβον καὶ τοῦτο, δύο νῦν σώματα ἔχουσι, εἰ δὲ μετὰ τοῦ σώματος ἐσωματώθησαν· καὶ οὕτως δὲ ἐγίνωσκον τί ποιήσονται, μέλλουσαι εἰσέρχεσθαι εἰς μήτραν· πρακτικὸν γὰρ φάσκουσιν εἶναι πᾶν σῶμα· πάντως ἐδεδοίκεισαν τὸ πρᾶγμα, καὶ ηὔχοντο εἰς καλὸν καὶ εὐδαιμονοῦν γένος ἐλθεῖν, καὶ ἀκινδύνως καὶ ἀθλίπτως τεχθῆναι· ὥσπερ τὰ μέλη (1) καὶ νῦν

(a) Infra scribitur φθορᾶς.

(1) Μέλος non tam membrum corporeum, quam animae aliquam facultatem, ac veluti partem, significat interdum apud ecclesiasticos scriptores, ut evidenter docet Suicerus voc. μέλος et voc. ψυχή. Quare sic est intelligendus apud nos p. 86. etiam Eustathius, qui animae membra commemorat.

ἐνδιδόμενα κατ' αὐτοὺς τῷ παχεῖ τούτῳ σώματι γινώσκουσιν ὅτι μέλλουσι τεθνήξεσθαι, καὶ εὐχὰς ἀναπέμπουσι τῷ θεῷ μετ' ὀδύνης καὶ ἐλέους γενέσθαι τὸν θάνατον· καὶ γὰρ εἰ ἐν τῷ παχεῖ σώματι ἐνδυθεῖσαι γινώσκουσι ταῦτα, πολὺ πλέον ἐγίνωσκον ὅτι ἔχουσι τοῦτο παθεῖν· εἰ δὲ οὐκ ἐγίνωσκον, οὐκ ἄρα ἡ σὰρξ αἰτία τῆς ἀγνοίας, ἀλλὰ τὸ καὶ πρὸ τοῦ εἰς αὐτὴν ἐλθεῖν ἀγνοοῦσαι· εἰ δὲ τὸ πρῶτον ἀποβαλοῦσαι σῶμα οὕτως ἦλθον, τοῦτο πρῶτον ζητῆσαι ἄξιον· ποίῳ καιρῷ ἀπέβαλον; πρὸ τῆς μήτρας ἢ ἐν τῇ μήτρᾳ; καὶ ἡ μετὰ φόνου τινὸς ἐκεῖνο ἀπέθεντο ἢ ἀπόνως; καὶ ἢ κατὰ θείαν ἀπόφασιν ἐκεῖνα χωρίζονται ὥσπερ καὶ τούτων; καὶ ἡ ἐπιθυμεῖ ἡ ψυχὴ γίνεσθαι ἄνθρωπος, ὥσπερ ἐπιθυμοῦσι καὶ τοῦ γάμου; εἰ (a) ἐξ ἀνάγκης γίνεται βιαζομένη, κάλλιον ἑαυτῆς τυγχάνει, καὶ οὐκ ἀξία τῆς καταδίκης· εἰ δὲ ἐπιθυμοῦσα, οὐ καταδίκη ἀλλὰ ἀπόλαυσις· οὐδὲν γὰρ ἕτερον ἀπόλαυσις, ἀλλ' ἢ τὸ καθ' ἡδονὴν ἑκάστῳ· πῶς δὲ καὶ ἡ τοσαύτη φθορὰ τῆς καταπτώσεως καιρὸν οὐκ ἔλαβεν, καὶ μάλιστα μετὰ τὴν τοῦ κυρίου ἐνανθρώπησιν, ἀλλ' ὁμοίως αἱ ἀπορρεύσεις γίνονται τῶν καταπιπτουσῶν μὴ ισταμένης φθορᾶς; καὶ ἐν τοῖς μὲν πολυγαμοῦσιν ἔθνεσι πλείους αἱ καταπίπτουσαι, ἐν δὲ τοῖς πειθομένοις πῶς τοῖς γάμοις προσομιλοῦσιν, ὀλιγώτεροι; ὡς εἶναι ἐν τῇ πολυγαμίᾳ καὶ ὀλιγογαμίᾳ τὴν ἐπίτασιν καὶ ἄνεσιν τῆς καταπτώσεως.

Καὶ ταῦτα μὲν εἰ ἐπὶ γῆς διάγουσιν αἱ ψυχαὶ πρὸ τοῦ ἐν μήτρᾳ σωματωθῆναι· εἰ δὲ ἐξ οὐρανοῦ χαλῶνται, ἐν ἑκάστῳ ἄρα τῶν γαμούντων ἢ μοιχευόντων, εἰ καὶ ἁπλῶς πορνευόντων, ἐστὶ τὸ νέας καταγαγεῖν, εἰ μὴ σπερματική τις αἰτία κωλύσειεν· ἀλλ' ἡμεῖς χαίρειν τῇ τοιαύτῃ φράσαντες δόξῃ, ταῖς δὲ θείαις γραφαῖς καὶ τῇ παραδόσει τοῦ κηρύγματος πειθαρχοῦντες νοήσωμεν, ὡς ἐμεγαλύνθη τὰ ἔργα σου κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας· θεωροῦντες γὰρ διὰ πάσης γενεᾶς διὰ τῆς μιᾶς ἐκείνης τοῦ θεοῦ ἀποφάσεως τῆς αὐξάνεσθε καὶ πληθύνεσθε τρέχουσαν τῆς διαδοχῆς τὴν φύσιν ἡμῶν εἰς ἐπίδοσιν, καὶ ὡς τοῦ θεοῦ ὁ νόμος ἐναπομείνας τῷ γένει ἀπαραποδίστως ἐνεργεῖται τῷ δρόμῳ, σκοποῦντες δὲ κἀκεῖνο ὅτι ἐκ μικρᾶς αἵματος σταγόνος ἐν τῷ τῆς φύσεως ἐργαστηρίῳ ἐμπεσούσης τοσαύτη μελῶν τε καὶ σχημάτων ποικιλία καὶ συνθέσεως ἁρμονία καὶ διαφορὰ ὡραιότητος, καὶ τάξις πρὸς ἀναλογίαν ἀρίστη ἐκτελεῖται, μετὰ πάσης ἐκπλήξεως κράξομεν, οὐκ ἐκρύβη τὸ ὀστοῦν μου ἀπὸ σοῦ ὃ ἐποίησας ἐν κρυφῇ· πιστεύοντες μᾶλλον δὲ εἰδότες καὶ τὴν τῶν σωμάτων σύστασιν ἐκ τῆς τῶν σωμάτων ῥεύσεως ἀποτελουμένην, καὶ τὴν τῶν ψυχῶν δημιουργίαν ἐκ τῆς πρώτης τοῦ θεοῦ ἀποφάσεως τῆς τοῦ αὐξάνεσθε νόμῳ φύσεως ψυχοῦσθαι τὴν σάρκα. Οὔτε γὰρ ἴσμεν ἄλλην φύσιν δεδημιουργημένην παρὰ τὴν πρώτην· κατέπαυσε γὰρ ὁ θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἤρξατο ποιῆσαι· οὔτε οὖν ἄλλην φύσιν παρὰ τὴν πρώτην δημιουργεῖ, ὥστε σὺν τῷ σπέρματι καταβάλλεσθαι λέγομεν, ἀλλὰ μορφουμένου καὶ τελειουμένου τοῦ σώματος τῇ ἐξ ἀρχῆς τοῦ θεοῦ ἀποφάσει, φυσικῇ ἀκολουθίᾳ ψυχοῦσθαι, ὡς οἶδεν ὁ ἀποφηνάμενος (1).

(a) Cod. ἢ. Immerito et in superioribus pro ἢ scribendum suspicabar εἰ.

(1) Cum his et superioribus Antipatri verbis conferatur Nyssenus de anima T. II. p. 103.

Digitized by Google

Τίτλος γ΄ περὶ αὐτεξουσίου.

Ὅτι τὸ αὐτεξούσιον δέδοται ἡμῖν παρὰ Θεοῦ, καὶ ἐν ἡμῖν σωθῆναι καὶ ἀπολέσθαι.

Ἰδοὺ ἡ βασιλεία τοῦ Θεοῦ ἐντὸς ὑμῶν ἐστίν. Σχόλιον. Ἐν τούτῳ τῷ λόγῳ τὸ αὐτεξούσιον ἡμῶν ὁ κύριος ἐσήμανεν, καὶ ὅτι ἐν ἡμῖν ἐστὶν ποθῆσαι καὶ σπουδάσαι κληρονομῆσαι τὴν ἡτοιμασμένην βασιλείαν τοῖς ἀγαπῶσιν αὐτόν· τοὺς γὰρ λέγοντας μὴ εἶναι βασιλείαν οὐρανῶν, μηδὲ περὶ αὐτῆς ταῦτα λελέχθαι, ὡς διεστρόφους τῶν γραφῶν ἀποστρεφόμεθα· διδάσκων γὰρ ἡμᾶς ὁ κύριος ὅ τι ἐστὶν βασιλεία οὐρανῶν, εἰς τὴν αἵρεσιν καὶ φυγὴν ἐντὸς ἡμῶν εἶναι, τουτέστιν ἐν τῷ αὐτεξουσίῳ τῆς προαιρέσεως ἡμῶν, ἐν ἑτέρῳ φησὶν, ἀπὸ τῶν ἡμερῶν Ἰωάννου ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν.

Οὐκ οἴδατε ὅτι ᾧ παριστάνετε ἑαυτοὺς δούλους εἰς ὑπακοὴν, δοῦλοί ἐστε ᾧ ὑπακούετε, ἤτοι ἁμαρτίας εἰς θάνατον, ἢ ὑπακοῆς εἰς δικαιοσύνην; Σχόλιον. Σημείωσαι ἀκριβῶς πῶς τὴν ἐκλογὴν τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ ἐν ἡμῖν εἶναι, ὁ ἀπόστολος ἡμᾶς ἐδίδαξεν.

Τοῦ ἁγίου Μεθοδίου ἐκ τοῦ περὶ ἀναστάσεως.

Αὐτεξούσιος ὢν καὶ αὐτοκράτωρ ὁ ἄνθρωπος καὶ αὐτοδέσποτον βούλησιν καὶ αὐτοπροαίρετον πρὸς τὴν αἵρεσιν, ὡς ἔφην, τοῦ καλοῦ λαβὼν, ἀκούσας ἀπὸ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν, οὐ φάγεσθε ἀπ᾽ αὐτοῦ, ᾗ δ᾽ ἂν ἡμέρᾳ φάγετε ἀπ᾽ αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε· ἐνδοὺς εἰς τὸ φαγεῖν ἀπ᾽ αὐτοῦ τῷ διαβόλῳ δελεασμένῃ σοφίᾳ ποικίλως πρὸς παρακοὴν πείθοντι, ἠθέτησεν τὴν ἐντολὴν τοῦ Θεοῦ· καὶ ἐγένετο αὐτῷ εἰς σκάνδαλον καὶ παγίδα καὶ σκῶλον· οὐ γὰρ ἐποίησεν κακὸν ὁ Θεὸς, οὐδέ ἐστιν τὸ σύνολον ὅλως ἐκ παντὸς τὸ παράπαν αἴτιος κακοῦ· ἀλλὰ πᾶν ὅπερ ἂν αὐτεξούσιον, οὕτως ὑπ᾽ αὐτοῦ γεγονὸς, ἢ πρὸς τὸ φυλάξαι καὶ τηρῆσαι νόμον, ὃν αὐτὸς δικαίως διεστείλατο μὴ τηρῆσαι, λέγεται κακόν· βαρυτάτη δὲ βλάβη τὸ παρακοῦσαι Θεοῦ τοὺς ὅρους τὸ κατὰ τὸ αὐτεξούσιον ὑπερβάντα δικαιοσύνης.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Ἔφημεν γὰρ οὐ τὸ ἀφανίσαι τὴν ῥίζαν τελέως τῆς πονηρίας, ἀλλὰ τὸ μὴ πρὸς ἔκστασιν αὐτὴν ἐᾶσαι φῦναι καὶ καρποφοράν· ἡ μὲν γὰρ καθ᾽ ὅλου καὶ παντελικὴ τῆς ῥίζης αὐτῆς ἀναίρεσίς τε καὶ ἀπώλεια ὑπὸ Θεοῦ κατὰ τὴν τοῦ σώματος, ὡς εἴρηται, διάλυσιν γίνεται· ἡ δὲ ἐκ μέρους πρὸς τὸ μὴ οἶσαι καρπὸν ἢ βλαστὸν, ὑφ᾽ ἡμῶν· καὶ διὰ τοῦτο τὸν ἐκβρίψαντα πρὸς αὔξησιν αὐτὴν μᾶλλον καὶ μέγεθος, ἀλλὰ μὴ στειρώσαντα, ὅσον τὸ ἐπ᾽ αὐτῷ, καὶ μὴ συμπτήσαντα, ἀνάγκη διδόναι δίκην, ἔτι δυνάμενος καὶ ἔχων πρὸς τοῦτο τὴν ἐξουσίαν, εἵλετο τὸ βλάπτον πρὸ τοῦ συμφέροντος μᾶλλον τιμῆσαι· ὥστε μηδεὶς αὐτοαιτὴς ὢν ἀκολάστῳ γλώσσῃ μεμφέσθω τὴν θείαν φύσιν, ὡς οὐκ ἐν δίκῃ διανέμουσαν ἑκάστῳ κακίας ἢ ἀρετῆς τὰ ἀμοιβαῖα.

Τοῦ αὐτοῦ ἐκ τοῦ περὶ αὐτεξουσίου λόγου.

Πρὸς μὲν τοῦ Θεοῦ τοὺς ἀνθρώπους κακοὺς γεγονέναι οὔ τί μοι δοκεῖ λέγειν· αὐτεξούσιον δὲ τὸν πρῶτον ἄνθρωπον γεγονέναι λέγω, τουτέστιν ἐλεύθερον· ἀφ᾽ οὗ καὶ οἱ διάδοχοι τοῦ γένους τὴν ὁμοίαν ἐλευθερίαν ἐκληρώσαντο· φημὶ τοιγαροῦν ἐλεύθερον γεγονέναι τὸν ἄνθρωπον, δουλεύοντα δὲ αὐτὸν οὐ βούλομαι· τοῦτο γὰρ αὐτῷ καὶ βέλτιστον πρὸς τοῦ Θεοῦ κεχαρίσθαι λέγω· ὅτι μὲν γὰρ τὰ ἄλλα ἀνάγκῃ δουλεύει τῷ θείῳ προστάγματι οὐδ᾽ οὐπότερον αὐτὸν δυνάμενον ἕτερόν τι παρ᾽ ὃ καὶ εἰς ὃ γέγονεν ἐμποιεῖν· διόπερ οὔτε ἐπαινοῦμεν ταῦτα οὕτω πειθόμενα τῷ δεσπότῃ· οὐδέ τις ὑπόκειται αὐτοῖς κρεῖττον ἐλπίς, ὅτι τὸ προσταχθὲν ἄκοντες ἐφύλαξαν· ἄνθρωπος δὲ τῷ ᾧ βούλο-

ται πείθεσθαι. προσείληφεν γὰρ ἐξουσίαν ἑαυτὸν δουλαγωγεῖν, οὐκ ἀνάγκῃ τῆς φύσεως κρατούμενος, οὐδὲ τῆς δυνάμεως ἀφαιρούμενος, ὅπερ αὐτῷ κρεῖττον ὂν ἕνεκα κεχαρίσθαι φημί, ἵνα τὶ πλεῖον ἂν ἔχει προσλάβῃ ὑπὲρ αὐτῷ παρὰ τοῦ κρείττονος ἐκ τῆς ὑπακοῆς προσγίνεται, καὶ ὡς ὀφειλὴν ἀπαιτῇ παρὰ τοῦ πεποιηκότος· οὐ γὰρ ἐπὶ βλάβῃ τὸν ἄνθρωπον γεγονέναι φημί, ἕνεκα δὲ τῶν κρειττόνων· εἰ γὰρ ὡς ἕν τι γέγονεν τῶν στοιχείων, ἢ τῶν ὁμοίως ἀνάγκῃ δουλευόντων θεῷ, οὐκέτι μισθὸν ἄξιον τῆς προαιρέσεως λαμβάνει· ἀλλ' ὥσπερ ὄργανον ἂν ἦν τοῦ δημιουργοῦ, τὴν ἐφ' οἷς οὐ καλῶς ἔπραξεν ἀλόγως μέμψιν ὑπομένων· τούτων γὰρ αἴτιος ἂν ὁ χρώμενος· ἀλλ' οὐδὲ τὸ κρεῖττον ἄνθρωπος ἠπίστατο, μὴ τὸν αἴτιον εἰδώς, ἀλλ' ἐκεῖνο μόνον εἰς ὃ πέφυκεν εἶναι· φημὶ τοιγαροῦν τὸν θεὸν οὕτω τὸν ἄνθρωπον τιμῆσαι προαιρούμενον, καὶ τῶν κρειττόνων ἐπιστάμενα γένεσθαι, τὴν ἐξουσίαν αὐτῷ τοῦ δύνασθαι ποιεῖν ἃ βούλεται δεδωκέναι· καὶ τὴν ἐξουσίαν αὐτοῦ εἰς κρεῖττον παραινεῖ, οὐκ ἀφαιρούμενον πάλιν τὸ αὐτεξούσιον, ἀλλὰ τὸ κρεῖττον μηνῦσαι θέλοντα· τὸ μὲν γὰρ δύνασθαι, πάρεστιν αὐτῷ, κἂν τὴν ἐντολὴν λαμβάνει· τὴν δὲ τοῦ δύνασθαι προαίρεσιν, εἰς τὸ κρεῖττον τρέπειν ὁ θεὸς παραινεῖ· ὥσπερ γὰρ πατὴρ παιδὶ παραινεῖ ἐξουσίαν ἔχοντι ἐκμανθάνειν τὰ μαθήματα, καὶ μᾶλλον ἔχεσθαι τῶν μαθημάτων, ὅτι κρεῖττον τοῦτο μηνύων, οὐ τὴν τοῦ δύνασθαι τοῦ παιδὸς ἐξουσίαν ἀφαιρεῖ, κἂν μὴ ἑκὼν μανθάνειν βούληται, οὕτω μοι καὶ τὸν θεὸν οὐ δοκεῖ προτρέποντα τὸν ἄνθρωπον πείθεσθαι τοῖς πράγμασιν ἀφαιρεῖν αὐτοῦ τὴν ἐξουσίαν τῆς προαιρέσεως τοῦ δύνασθαι καὶ μὴ ὑπακούειν τοῖς προστάγμασιν· καὶ γὰρ τὴν ἀρχὴν τοῦ οὕτως παραινεῖν, ὅτι μὴ ἀφεῖλεν τὴν ἐξουσίαν, μηνύει· προστάττει δὲ ἵνα τῶν κρειττόνων ἄνθρωπος ἀπολαύειν δυνηθῇ· τοῦτο γὰρ ἕπεται τῷ πεισθῆναι τῷ τοῦ θεοῦ προστάγματι· ὥστε οὐχ ἵνα τὴν ἐξουσίαν ἣν ἔδωκεν ἀφέληται, προστάττειν βούλεται, ἀλλ' ἵνα κρεῖττον δωρήσηται, ὡς ἀξίῳ μειζόνων τυχεῖν, ἀνθ' ὧν ὑπήκουσεν τῷ θεῷ καὶ τὴν τοῦ μὴ ὑπακούειν ἐξουσίαν ἔχων· αὐτεξούσιον δέ φημι τὸν ἄνθρωπον γεγονέναι, οὐχ ὡς προϋποκειμένου τινὸς ἤδη κακοῦ, οὗ τὴν ἐξουσίαν τοῦ ἑλέσθαι εἰ βούλοιτο ὁ ἄνθρωπος ἐλάμβανεν, ἀλλὰ τὴν τοῦ ὑπακούειν θεῷ καὶ μὴ ὑπακούειν αἰτίαν μόνην· τοῦτο γὰρ τὸ αὐτεξούσιον ἐβούλετο· καὶ γενόμενος ὁ ἄνθρωπος ἐντολὴν λαμβάνει παρὰ τοῦ θεοῦ, καὶ ἐντεῦθεν ἤδη κακὸν ἄρχεται, οὐ γὰρ πείθεται τῷ θείῳ προστάγματι· καὶ τοῦτο καὶ μόνη τὸ κακὸν ἡ παρακοή ἣ τις τοῦ εἶναι ἤρξατο· οὐδὲ ἀγένητον ταύτην τις εἰπεῖν ἔχει, τοῦ ποιήσαντος αὐτὴν ὄντος γενητοῦ· πάντως δὲ πόθεν τοῦτο τὸ παρακοῦσαι κτήσεις; ἀλλὰ κεῖται σαφῶς ἐν τῇ θείᾳ γραφῇ· ὅθεν οὐδὲ τοιοῦτον τὸν ἄνθρωπον πρὸς τοῦ θεοῦ γεγονέναι φημί. Κατὰ δὲ τὴν τινὸς διδασκαλίαν τοῦτο πεπονθέναι λέγω· οὐδὲ γὰρ τοιαύτην φύσιν εἰληφὼς ἄνθρωπος· εἰ γὰρ οὕτως εἶχεν, οὐκ ἂν αὐτῷ κατὰ διδασκαλίαν τοῦτο προσεγίνετο, τῆς φύσεως αὐτῆς οὕτως ἐχούσης· λέγει δέ τις θεία φωνὴ μεμαθηκέναι τὸν ἄνθρωπον τὰ πονηρά· διδάσκεσθαι οὖν φημὶ τὸ παρακούειν θεοῦ· τοῦτο γὰρ καὶ μόνον ἐστὶν τὸ κακόν, ὃ παρὰ τὴν τοῦ θεοῦ προαίρεσιν γίνεται· οὐ γὰρ ἂν καθ' ἑαυτὸ τὸ πονηρὸν ἄνθρωπος διδάσκεται· ὁ διδάσκων τοίνυν τὸ κακόν ἐστιν ὁ δράκων. Καὶ τὰ ἑξῆς.

Τοῦ ἁγίου Εἰρηναίου. Ἐκ τοῦ δ' ἐλέγχου καὶ ἀνατροπῆς τῆς ψευδωνύμου γνώσεως.

Εἰ φύσει οἱ μὲν φαῦλοι etc. usque ad ἀλλὰ μὴ βιαζομένου extat hic locus in maurina S. Irenaei editione p. 281-282. sumptus e Damasceno atque Sirmondo not. ad Ennod. ep. lib. II. 19. Reliqua pars graece inedita est, respondetque latinae interpretationi p. 282. v. 9. a fin. Καὶ γὰρ αὐτὸ τὸ εὐαγγέλιον, εἰ μὴ βούλοιτό τις ἕπεσθαι, ἔξον μὲν αὐτῷ ἐστιν, ἀσύμφορον δέ· ἡ γὰρ παρακοὴ τοῦ θεοῦ καὶ ἀποβολὴ τοῦ ἀγαθοῦ, ἔστιν μὲν ἐν τῷ ἀνθρώπῳ, βλάβην δὲ καὶ ζημίαν οὐ τὴν τυχοῦσαν φέρει· καὶ διὰ

Digitized by Google

τοῦτο ὁ Παῦλος φησὶν, πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει· καὶ τὸ ἐλεύθερον τοῦ ἀνθρώπου ἐξηγούμενος, διὸ πάντα ἔξεστιν, μὴ καταναγκάζοντος αὐτὸν τοῦ Θεοῦ· καὶ τὸ συμφέρον δηλώνων, ἵνα μὴ εἰς ἐπικάλυμμα κακίας καταχρησώμεθα τῇ ἐλευθερίᾳ, ἀσύμφορον γὰρ τοῦτό γε.

Post excerptum e S. Basilii sermone quod Deus causa malorum non sit.

Σχόλιον. Τὸ μὲν τὴν γένεσιν αὐτεξούσιον τοῦ ἀνθρώπου σημαίνει ὁ λόγος, οὐχὶ δὲ προϋπαρξιν ψυχῶν, ἀλλὰ τὸ κατ' ἀρετὴν ὑψηλὸν καὶ ἔνθεον.

Τοῦ Μακαρίου ἐκ τῆς εἰς τὸν ἅγιον Παῦλον ὁμιλίας.

Οὐ πάντα ἡμῖν ἐξ εὐθείας ὁμιλεῖ ὁ Θεός· ἐπειδὴ γὰρ ἑκόντας εἶναι βούλεται καλούς, ἀλλ' οὐκ ἀνάγκῃ καὶ βίᾳ, ἰδίαν ἑαυτῶν μεθόδους, οὐ διὰ τὸ αὐτοῦ ἀδύνατον, ἄπαγε, ἀλλὰ διὰ τὸ ἀσθενὲς τὸ ἡμέτερον· αὐτῷ γὰρ ἔξεστιν πάντας μόνον καὶ ποιῆσαι ὅπερ ἂν βούλεται· ἡμεῖς δὲ ἅπαξ ἑαυτῶν γενόμενοι κύριοι, οὐκ ἀνασχόμεθα πάντα ὑπακούειν αὐτῷ· ἐὰν οὖν ἄκοντας ἑλκύσῃ, ὅπερ ἴσμεν ἀφαιρεῖται, τὴν ἐξουσίας ἐλευθερίαν.

Τοῦ αὐτοῦ ἐκ τοῦ οὐκ ἐν ἀνθρώπῳ ἡ ὁδὸς αὐτοῦ.

Εἰδότες καὶ τὸ θέλειν καὶ τὸ τρέχειν ἐν ἡμῖν εἶναι καὶ διὰ τοῦ θέλειν καὶ τοῦ τρέχειν, τὸν Θεὸν ἐπισπασώμεθα πρὸς τὴν ἡμετέραν βοήθειαν· ἐπισπασάμενοι δὲ αὐτὸν, πρὸς τὸ τέλος ἥξομεν τῶν πραγμάτων· διαναστῶμεν οὖν ἀδελφοὶ, καὶ πᾶσαν σπουδὴν ἐνδειξώμεθα ἐν τῇ τῆς ψυχῆς ἡμῶν σωτηρίᾳ, ἵνα μικρὸν ἐνταῦθα πονέσαντες χρόνον, μετὰ τὸν ἀγήρω καὶ ἀθάνατον αἰῶνα τῶν ἀθανάτων ἀπολαύσωμεν ἀγαθῶν.

Τοῦ ἁγίου Κυρίλλου Ἀλεξανδρείας ἐκ τοῦ κατὰ Ἰουλιανοῦ ιδ' λόγου.

Ἔνεστιν ἀνθρώπῳ παντὶ τὸ εὐδοκιμεῖν δύνασθαι καὶ διαβιῶναι λαμπρῶς.

Τοῦ αὐτοῦ ἐκ τῶν αὐτῶν.

Αὐτοκέλευστός ἐστιν, καὶ ἑκοντὶ ἰὼν πρὸς τὴν ὁτιοῦν τῶν αὐτῷ δοκούντων ὁ ἄνθρωπος· δόξαν οὕτως εὖ ἔχειν τῷ πάντων δημιουργῷ, ἵνα καὶ τὸ ἀγαθουργεῖν ᾑρημένοις τὸ ἐπαινεῖσθαι δοῖεν· καὶ τοῖς τὴν ἑτέραν ἰοῦσιν τρίβον, τὸ κατασείεσθαι δικαίως πρὸς ἁπάντων ἀκολουθῶν.

Ἐκ τοῦ ε λόγου.

Ἰδίοις θελήμασιν διοικεῖται ὁ ἀνθρώπινος νοῦς, καὶ πρὸς πᾶν ὁτιοῦν τῶν πρακτέων ἐθελοντὶ ἴεται· δόξαν ἔχον ὀρθῶς καὶ τοῦτο τῷ πάντων ἀριστοτέχνῃ Θεῷ· ὥστε μὲν εἴ τις γένοιτο τῶν καθ' ἡμᾶς ἐν μεθέξει τοῦ ἁγίου πνεύματος ἐνοικισθέντος αὐτῷ διὰ τοῦ ἁγίου βαπτίσματος, οὐ παρῄται διὰ τοῦτο τὸ μετὰ γνώμην οἰκείαν, καὶ ὡς ἂν αὐτῷ δοκῇ, διαβιοῦν. ἐλευθέρας δὲ ὥσπερ ἡνίας πρός τε τὸ ἀγαθὸν διανένευκεν, καὶ τὸ ἐναντίον.

Ἐκ τοῦ ε βιβλίου τῶν αὐτῶν.

Ἕκαστος τῶν ἐπὶ γῆς τῶν ἑαυτοῦ θελημάτων διείληχεν τὰς ἡνίας, καὶ ἐθελοντὴς ἢ ἐπὶ τ' ἂν ἢ ἐπὶ τ' ἂν ἴεται, τουτέστιν ἢ ἐπὶ ἀρετὴν ἢ πρός γε τὰ χείρω.

Κλήμεντος ἐκ τοῦ εἰς τὸ πάσχα.

Ἀνάγκης εἶδος οἶμαι τῷ παραδόξῳ ἐκπλῆξαι καὶ βιάσασθαι Θεῷ τὸν ἄνθρωπον, ὃν ἐξ αὐτοῦ σώζεσθαι βούλεται, μόνας τὰς ἀφορμὰς παρὰ τῆς ἐντολῆς λαβόντα· ὁ τοίνυν δίκαιος ὁ θεὸς, οὐδὲ ἀψύχων δίκην ἀγαλμάτων πρὸς τῆς ἔξωθεν αἰτίας περιάγεσθαι θέμις τὴν αὐτοκίνητον ψυχήν.

Digitized by Google

Εὐσεβίου ἐκ τῆς ι τῆς α εἰσαγωγῆς (1).

Ἡ φύσις αὐτὴ τὸ τῶν ἀνθρώπων κατέσπειρεν γένος εἰς τά τε τῆς ἀρετῆς καὶ τὰ τῆς κακίας σπέρματα γινώσκειν, θατέρου τε τούτων συγχώρησιν μετέχειν τῷ λογισμῷ, αὐτοκράτορα καὶ κριτὴν ἡγεμόνα τε καὶ κύριον αὐτὸν ἑαυτοῦ καταστήσασα· ὡς εἶεν δὲ ὑπὸ τῆς φύσεως, τὰ τῆς ἀρετῆς καὶ τὰ τῆς κακίας προτερήματα ἔχων ἐν ἑαυτῷ, οὐκ ἂν δύναιτο, κἂν εἰς αὐτὸν τῆς κακίας βυθὸν καταπέσοι ποτὲ, μὴ οὐχὶ σημαίνειν τὴν ἀρετὴν καταπταῖσαν τὸ συνειδὸς εἰ ἀφέλοιτο τὸ χεῖρον καὶ τούτων ἀπόδειξις καὶ ἔλεγχος ἐναργὴς, τὸ μηδένα τολμῆσαι τῆς ἑαυτοῦ κακίας γενέσθαι κατήγορον, ἀλλ' ἐκ τῆς ἐναντίας, ὡς ἡ δύναμις, ἐπικρύπτειν καὶ σκέπειν ἅπερ δὴ ἂν παρὰ τὸ καθῆκον λαθραίως ἐπιχειρῇ· καὶ αὕτη δὲ ἡ ἑκάστου διάθεσις, μὴ ὁμοίως διακειμένου πρός τε τοὺς εὐεργετοῦντας καὶ πρὸς τοὺς βλάπτειν αὐτὸν ἐπιχειροῦντας· αὐτομαθὴς διδάσκαλος γίνεται ἑκάστῳ τῆς περὶ ἀγαθῶν καὶ κακῶν ἐπιστήμης ὁ τῆς φύσεως νόμος, ταῦτα τινὰς δρᾷν ἑτέροις ἀπαγορεύων, ἅπερ τις αὐτὸς παρ' ἑτέρου οὐκ ἂν ἕλοιτο παθεῖν.

Τοῦ μακαρίου Ἐλευθερίου Τυάνων ἐκ τοῦ περὶ αὐτεξουσίου.

Ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον ἐλεύθερον καὶ αὐτεξούσιον, ἵν' ὃ ἑαυτῷ ἐποίησεν δι' ἀμελείας καὶ παρακοῆς, τοῦτο αὐτῷ νῦν ὁ Θεὸς δωρῆται διὰ τῆς ἰδίας φιλανθρωπίας καὶ ἐλεημοσύνης, ὑπακούοντος αὐτοῦ τοῦ ἀνθρώπου· καθάπερ γὰρ παρακούσας ὁ ἄνθρωπος θάνατον αὐτῷ ἐπεσπάσατο, οὕτως ὑπακούων τῷ βουλήματι τοῦ Θεοῦ δύναται περιποιήσασθαι ἑαυτῷ τὴν αἰώνιον ζωήν· δέδωκεν γὰρ ἡμῖν ὁ Θεὸς ἐντολὰς ἁγίας, ἃς πᾶς ὁ πειθῶν δύναται σωθῆναι, καὶ ἀναστάσεως τυχὼν κληρονομῆσαι τὴν ἀφθαρσίαν.

Φίλωνος ἐκ τοῦ δ τῆς νόμων ἱερῶν ἀλληγορίας.

Ἰδοὺ δέδωκά φησι πρὸ προσώπου σου τὰ μαχόμενα, τὴν ζωὴν καὶ τὸν θάνατον, τὸ ἀγαθὸν καὶ τὸ κακόν, ἔκλεξαι τὴν ζωὴν ἵνα ζήσῃς· μακάριον χρῆμα προθέντος ἀμφότερα τοῦ δημιουργοῦ, τὸ ἄμεινον ἰσχύσαι λαβεῖν τὴν ψυχήν· μακαριώτερον δὲ τὸ μὴ αὐτὴν ἑλέσθαι, τὸν δὲ δημιουργὸν προσάγεσθαι καὶ βελτιῶσαι· οὐδὲ γὰρ κυρίως ἀνθρώπινος νοῦς αἱρεῖται δι' ἑαυτοῦ τὸ ἀγαθὸν, ἀλλὰ κατ' ἐπιφροσύνην Θεοῦ δωρουμένου τοῖς ἀξίοις τὰ κάλλιστα. δυεῖν γὰρ ὄντων κεφαλαίων παρὰ τῷ νομοθέτῃ, τοῦ μὲν ὅτι οὐχ' ὡς ἄνθρωπος ἐνισχεῖ τὰ πάντα ὁ Θεὸς, τοῦ δὲ ὅτι ὡς ἄνθρωπος παιδεύει καὶ σωφρονίζει, ὅτ' ἂν μὲν τὸ δεύτερον κατασκευάζῃ, τὸ ὡς ἄνθρωπος, καὶ τὸ ἐφ' ἡμῖν εἰσάγῃ, ὡς ἱκανὸς καὶ γνῶναί τι καὶ βουλεύσασθαι καὶ ἑλέσθαι καὶ φυγεῖν· ὅτ' ἂν δὲ τὸ πρῶτον καὶ ἄμεινον, ὅτι οὐχ' ὡς ἄνθρωπος τὰς πάντων δυνάμεις καὶ αἰτίας ἀνάπτει θεῷ (2), μηδὲν ὑπολειπόμενος ἔργον τῷ γενομένῳ, ἀλλὰ δείξας ἄπρακτον αὐτὸ καὶ πάσχον· δηλοῖ δὲ ὅτ' ἂν φῇ δι' ἑτέρων ὅτι ἔγνω ὁ Θεὸς τοὺς ὄντας αὐτοῦ, καὶ τοὺς ἁγίους αὐτοῦ προσηγάγετο· εἰ δὲ ἐκλογαί τε καὶ ἀποβολαὶ κυρίως ὑπὸ τοῦ ἑνὸς αἰτίου γίνονται, τί μοι παραινεῖς ὦ νομοθέτα τὴν ζωὴν καὶ τὸν θάνατον αἱρεῖσθαι, ὡς τῆς αἱρέσεως αὐτοκράτορι; ἀλλ' εἴποι ἄν, τῶν τοιούτων εἰσαγωγικώτερον ἄκουε· λέγεται γὰρ ταῦτα τοῖς μήπω τὰ μεγάλα μεμυημένοις μυστήρια, περί τε ἀρχῆς καὶ ἐξουσίας τοῦ ἀγεννήτου, καὶ περὶ ἄγαν οὐδενείας τοῦ γενητοῦ.

Τιτ. δ. περὶ τῆς ἀστάτου καὶ ἀβεβαίου τῆς ἀνθρωπίνων πραγμάτων καταστάσεως, καὶ τίνι ἔοικεν ὁ ἄνθρωπος καὶ ὁ βίος αὐτοῦ· καὶ ὅτι μάταια τὰ παρόντα καὶ σκιᾶς ἀδρανέστερα.

Ἡσυχίου πρεσβυτέρου Ἱεροσολύμων ἐκ τῶν εἰς τοὺς ψαλμούς.

(1) Legesis de hoc Eusebii opere Fabric. bibl. gr. T. VII. p. 314—315.

(2) Huc usque recitatur Philonis locus apud Fr. Turrianum pro epp. Pontif. lib. IV. 2. p. 361.

Σκιᾶς θᾶττον ἐπανθεῖ τἀνθρώπινα.

Φίλωνος ἐκ τοῦ ζ ϗ η τοῦ νόμων ἱερῶν ἀλληγορίας.

Κυρίως οὔτε ἐπὶ χρημάτων ἢ κτημάτων περιουσίᾳ, οὔτε ἐπὶ δόξης λαμπρότητι, οὐδὲ συνόλως ἐπί τινι τῶν ἐκτὸς ψυχῆς τε ὄντων ϗ ἀβεβαίων, ϗ ἐξ ἑαυτῶν τὰς φθορὰς δεχομένων, χαίρειν ἐστί· ϗ μὴν οὐδὲ ἐπὶ ῥώμῃ ϗ εὐτονίᾳ ϗ τοῖς ἄλλοις σώματος πλεονεκτήμασιν· ἃ ϗ τῶν φαυλοτάτων ἐστὶ κοινά, ϗ τοῖς ἔχουσι πολλάκις ὄλεθρον ἀπαραίτητον ἤνεγκεν διὰ τὸ ἀσύστατον ϗ ἀβέβαιον.

Τίτ. κ. περὶ ἀναρχίας.

Τοῦ μακαρίου Διονυσίου Ἀλεξανδρείας ἐκ τοῦ περὶ ἐλέγχου καὶ ἀπολογίας α.

Ἀναρχία μᾶλλον ϗ στάσις ἡ ἐξ ἰσοτιμίας ἀντιπαρεξαγομένη πολυαρχία. Extat apud Damascenum p. 359, sed sine operis titulo.

Τίτ. ι. περὶ ἁμαρτανόντων.

Τοῦ ἁγίου Βασιλείου ἐκ τοῦ εἰς τὸν Κάϊν.

Βαρυτάτη κόλασις τοῖς εὐφρονοῦσιν, ὁ ἀπὸ θεοῦ χωρισμός.

Διονυσίου Ἀλεξανδρείας ἐκ τοῦ πρὸς Ἀφροδίσιον.

Τὸ ἀπρονόητον καὶ ἀνεπίσκοπον ἐγκαταλειφθῆναι ὑπὸ τοῦ θεοῦ, πάντων ὀλεθριώτατον, ϗ ἡ ἐπὶ τοῖς μεγίστοις ἀδικήμασι μεγίστη τιμωρία· αὕτη τὸ εἰρημένον ϗ ὀρφανὸν γίνεσθαι θεοῦ ποιεῖ· ὁ γὰρ ξένος τοῦ βοηθοῦ ϗ σωτῆρος γενόμενος, ὑπὸ τοῖς ἐχθροῖς ϗ τοῖς λῃσταῖς εὐθύς ἐστιν.

Τίτ. ια. περὶ ἁμαρτανόντων, ϗ συχνῶς αἰτουμένων συγγνώμην.

Ἐκ τῆς τοῦ ἁγίου Πέτρου Ἀλεξανδρείας διδασκαλίας.

Τάλας ἐγὼ οὐδὲ ἐμνήσθην ὅτι ὁ θεὸς νοῦν ἐφορᾷ ϗ ψυχῆς ἀκούει φωνήν· συνέγνων εἰς ἁμαρτίαν πρὸς ἐμαυτὸν λέγων· ἐλεήμων ἐστὶν ὁ θεὸς ϗ ἀνέξεταί μου· καὶ μὴ πληγεὶς παραχρῆμα, οὐκ ἐπαυσάμην, ἀλλὰ μᾶλλον κατεφρόνησα συγγνώμης, καὶ ἐδαπάνησα θεοῦ μακροθυμίαν.

Διδύμου ἐκ τοῦ εἰς τὸν Ἡσαΐαν γ.

Τότε συγχώρησις γίνεται τῶν προεπταισμένων, ὅτ' ἂν ἔργα μετανοίας μετὰ ταῦτα τελεσθῇ· εἰ γάρ τις ἔστι πράττων τὰ ψεκτὰ καὶ κολαστέα, καὶ προσποιεῖται μετάνοιαν, οὐ τεύξεται συγχωρήσεως ἔτι πράττων ἀπαγορευόμενα.

Φίλωνος ἐκ τοῦ α τῶν ἐν ἐξόδῳ ζητημάτων.

Πολλὰ ἀσωμένοις ϗ ἀδαιμονοῦσιν ἔθος ἐστὶ ψευδολογεῖν, τῶν παθῶν οὐκ ἐπιτρεπόντων ἀληθεύειν, εἰ τὸ ψεῦδος οἰκεῖον ἐστί.

Τοῦ ἀββᾶ Κασιανοῦ ἐκ τοῦ περὶ τῶν η λογισμῶν (1).

Ἕκτος ἡμῖν ἐστὶν ἀγὼν κατὰ τοῦ πνεύματος τῆς ἀκηδίας συνεζευγμένου ϗ συνεργοῦντος τῷ πνεύματι τῆς λύπης· δεινὸς οὗτος ϗ βαρύτατος δαίμων ϗ τοῖς μοναχοῖς ἀεὶ πολεμῶν, ὅστις ὥραν ἕκτην ἐπιπίπτει τῷ μοναχῷ, ἀτονίαν ϗ φρίκην αὐτῷ ἐμποιῶν, ϗ μῖσος ἐργαζόμενος, ϗ πρὸς αὐτὸν τὸν τόπον, ϗ πρὸς τοὺς συνδιατρίβοντας ἀδελφούς, ϗ πρὸς πᾶσαν ἐργα-

(1) Locus totus ineditus; incidit enim in lacunam, quam videsis in opp. S. Athanas. ed. Maurin. T. III. p. 384.

σίαν, καὶ πρὸς αὐτὴν τῶν θείων γραφῶν τὴν ἀνάγνωσιν, ὑποβάλλων αὐτῷ καὶ λογισμοὺς μεταβάσεως· καὶ ὡς εἰ μὴ μεταστήσειεν ἑαυτὸν πρὸς ἑτέρους τόπους, μάταιος αὐτῷ ἅπας ὁ χρόνος καὶ ὁ πόνος γενήσεται· πρὸς τούτοις πᾶσι καὶ πεῖναν αὐτῷ ἐπιτίθησι περὶ ὥραν ἕκτην οἵαν αὐτῷ οὐκ ἂν συνέβη ἐκ τριημέρου νηστείας ἢ μακροτάτης ὁδοῦ ἢ βαρυτάτου κόπου· ἔπειτα λογισμοὺς αὐτῷ ἐμβάλλει ὡς οὐδενὶ ἄλλῳ τρόπῳ δυνήσεται τῆς νόσου ταύτης καὶ τοῦ βάρους ἀπαλλάττεσθαι, εἰ μὴ διὰ τοῦ ἐξέρχεσθαι συνεχῶς καὶ παραβάλλειν ἀδελφοῖς, χάριν ὠφελείας ἢ ἐπισκέψεως ἀσθενούντων· ὅτε ἂν δὲ μὴ δυνηθῇ ἐν τούτοις αὐτὸν ἀπατῆσαι, τὸ τηνικαῦτα βαρύτητι καταβαπτίσας αὐτόν, σφοδρότερος κατ' αὐτοῦ καὶ ἰσχυρότερος γίνεται· οὐκ ἄλλως ἀνατρεπόμενος, εἰ μὴ διὰ προσευχῆς καὶ ἀποχῆς ἀργολογίας, καὶ μελέτης τῶν θείων λογίων, καὶ τῆς ἐν τοῖς πειρασμοῖς ὑπομονῆς· ἐὰν γὰρ μὴ τούτοις τοῖς ὅπλοις ἠσφαλισμένον αὐτὸν εὕρῃ, κατατοξεύσας τοῖς ἑαυτοῦ βέλεσιν, ἄστατον αὐτὸν ἀποδείκνυσι καὶ ῥέμβον ἀποτελεῖ καὶ ῥᾴθυμον καὶ ἄεργον, καὶ μοναστήρια περιέρχεσθαι κατασκευάζει, καὶ οὐδενὸς ἄλλου φροντίζειν, εἰ μὴ ποῦ ἄριστα, ποῦ πότοι γίνονται· οὐδὲν γὰρ ἄλλο ἡ διάνοια τοῦ ἀκηδιαστοῦ φαντάζεται, ἢ τοὺς ἐκ τούτων μετεωρισμούς· καὶ λοιπὸν, ἐκ τούτου καὶ εἰς κοσμικὰ αὐτὸν πράγματα ἐνδεσμεῖ, καὶ κατ' ὀλίγον δελεάζει ταύταις ταῖς ἐπιβλαβέσιν ἀσχολίαις, ἕως ἂν αὐτὸν καὶ αὐτοῦ τοῦ μοναδικοῦ ἐπαγγέλματος τελείως ἐκβάλῃ.

Ταύτην τὴν νόσον βαρυτάτην οὖσαν ὁ θεῖος ἀπόστολος ἐπιστάμενος, καὶ βουλόμενος αὐτὴν ἐκ τῶν ἡμετέρων ψυχῶν ὥσπερ ἰατρὸς πρόρριζον ἀνασπᾶσαι, τὰς αἰτίας ἀφ' ὧν μάλιστα τίκτεται δεικνύει, δι' ὧν γράφων πρὸς Θεσσαλονικεῖς τάδε φησίν. « Παραγγέλλομεν ὑμῖν ἀδελφοὶ ἐν ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος· καὶ μὴ κατὰ τὴν παράδοσιν ἣν παρέλαβον ἐξ ὑμῶν· αὐτοὶ γὰρ οἴδατε πῶς δεῖ μιμεῖσθαι ἡμᾶς, ὅτι οὐκ ἠτακτήσαμεν ἐν ὑμῖν, οὐδὲ δωρεὰν ἄρτον ἐφάγομεν παρά τινος, ἀλλ' ἐν κόπῳ καὶ μόχθῳ ἐργαζόμενοι νυκτὸς καὶ ἡμέρας, πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα ὑμῶν· οὐχ ὅτι οὐκ ἔχομεν ἐξουσίαν, ἀλλ' ἵνα ἑαυτοὺς τύπον δῶμεν ὑμῖν εἰς τὸ μιμεῖσθαι ἡμᾶς· καὶ γὰρ ὅτε ἦμεν πρὸς ὑμᾶς, τοῦτο παρηγγέλλομεν ὑμῖν, ὅτι εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω· ἀκούομεν γάρ τινας περιπατοῦντας ἐν ὑμῖν ἀτάκτως, μηδὲν ἐργαζομένους, ἀλλὰ περιεργαζομένους· τοῖς δὲ τοιούτοις παραγγέλλομεν καὶ παρακαλοῦμεν ἐν κυρίῳ Ἰησοῦ Χριστῷ, ἵνα μετὰ ἡσυχίας ἐργαζόμενοι τὸν ἑαυτῶν ἄρτον ἐσθίωσιν ». Ἀκούσωμεν πῶς σοφῶς ἡμῖν ὑποδείκνυσι τὰς αἰτίας τῆς ἀκηδίας ὁ ἀπόστολος; ἀτάκτους γὰρ καλεῖ τοὺς μὴ ἐργαζομένους, ἐν ἑνὶ τούτῳ ῥήματι πολλὴν κακίαν ἐμφαίνων· ὁ γὰρ ἄτακτος καὶ ἀνευλαβὴς τυγχάνει, καὶ προπετὴς περὶ λόγον, καὶ εἰς λοιδορίαν πρόχειρος, καὶ εἰς ἡσυχίαν ἀνεπιτήδειος, καὶ τῆς ἀκηδίας δοῦλος· παραγγέλλει οὖν στέλλεσθαι ἀπ' αὐτοῦ, τουτέστιν ἀφορίζεσθαι ἀπὸ λοιμικῆς νόσου· εἶτά φησιν· καὶ μὴ κατὰ τὴν παράδοσιν ἣν παρέλαβον παρ' ἡμῶν· διὰ τῆς λέξεως ταύτης ἐμφαίνων ὑπερηφάνους αὐτοὺς εἶναι καταφρονητάς, καὶ τῶν ἀποστολικῶν παραδόσεων καταλυτάς.

Καὶ πάλιν φησὶ δωρεὰν ἄρτον οὐκ ἐφάγομεν παρά τινος, ἀλλ' ἐν κόπῳ καὶ μόχθῳ, νυκτὸς καὶ ἡμέρας ἐργαζόμενοι πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα. Ὁ διδάσκαλος τῶν ἐθνῶν, ὁ κῆρυξ τοῦ εὐαγγελίου, ὁ μετάρσιος ἕως τρίτου οὐρανοῦ, ὁ λέγων τὸν κύριον προστεταχέναι τοῖς τὸ εὐαγγέλιον καταγγέλλουσιν ἐκ τοῦ εὐαγγελίου ζῆν, ἐν κόπῳ καὶ μόχθῳ νυκτὸς καὶ ἡμέρας εἰργάζετο, πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα· τί τοίνυν ἡμεῖς ποιήσωμεν ἀκηδιῶντες ἀπὸ ἔργου, καὶ τὴν σωματικὴν ἀνάπαυσιν διώκοντες; οἷς οὔτε κήρυγμα εὐαγγελίου ἐνεχειρίσθη, οὔτε τῶν ἐκκλησιῶν ἡ μέριμνα, ἀλλὰ τῆς ἰδίας ψυχῆς μόνον ἡ φροντίς· Εἶτα σαφέστερον δεικνύων τὴν τικτομένην βλάβην ἐκ τῆς ἀργίας, ἐπιφέρει· μηδὲν ἐργαζομένους ἀλλὰ περιεργαζομένους· ἀπὸ γὰρ ἀργίας

Digitized by Google

περιεργία, καὶ ἀπὸ περιεργίας ἀταξία, καὶ ἀπὸ ἀταξίας πᾶσα κακία· κατασκευάζων δὲ πάλιν τὴν θεραπείαν αὐτῆς, ἐπιφέρει· τοῖς δὲ τοιούτοις παραγγέλλομεν, ἐν ἡσυχίᾳ ἐργαζομένους τὸν ἑαυτῶν ἄρτον ἐσθίειν· καὶ ἐπιπληκτικώτερον λέγει· εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω.

Τούτοις τοῖς ἀποστολικοῖς διατάγμασιν οἱ κατὰ τὴν Αἴγυπτον ἅγιοι πατέρες παιδευόμενοι, οὐδένα καιρὸν ἀργοὺς εἶναι τοὺς μοναχοὺς ἐπιτρέπουσιν, καὶ μάλιστα τοὺς νεωτέρους· εἰδότες ὡς διὰ τῆς ὑπομονῆς τοῦ ἔργου, καὶ ἀκηδίαν ἀπελαύνουσι, καὶ τὴν ἑαυτῶν τροφὴν προσπορίζουσι, καὶ τοῖς δεομένοις βοηθοῦσιν· οὐ μόνον γὰρ τῆς ἑαυτῶν χρείας ἕνεκεν ἐργάζονται, ἀλλὰ καὶ ξένοις καὶ πτωχοῖς καὶ τοῖς ἐν φυλακαῖς ἐκ τοῦ ἰδίου ἔργου αὐτῶν ἐπιχορηγοῦσι, πιστεύοντες τὴν τοιαύτην εὐποιίαν, θυσίαν ἁγίαν εὐπρόσδεκτον θεῷ γίνεσθαι· καὶ τοῦτο δὲ λέγουσιν οἱ πατέρες, ὅτι ὁ ἐργαζόμενος ἑνὶ δαίμονι πολλάκις πολεμεῖται καὶ ὑπ' αὐτοῦ θλίβεται, ὁ δὲ ἄεργος ὑπὸ μυρίων πνευμάτων αἰχμαλωτίζεται. Καλὸν δὲ πρὸς τούτοις καὶ λόγου ἐπιμνησθῆναι τοῦ ἀββᾶ Μωϋσέως τοῦ δοκιμωτάτου ἐν τοῖς πατράσιν, ὃν πρὸς ἐμὲ ἀπεφθέγξατο· καθεσθέντος γάρ μου ὀλίγον χρόνον ἐν τῇ ἐρήμῳ, ὀχλήθην ὑπὸ ἀκηδίας· καὶ παρέβαλον αὐτῷ, καὶ εἶπον ὅτι χθὲς δεινῶς ὀχληθεὶς ὑπὸ τῆς ἀκηδίας, καὶ ἀσθενήσας σφόδρα, οὐ πρότερον ἀπηλλάγην αὐτῆς, εἰ μὴ ἀπῆλθον καὶ παρέβαλον τῷ ἀββᾶ Παύλῳ· ἀπεκρίνατο δέ μοι πρὸς ταῦτα ὁ ἀββᾶς Μωϋσῆς, καὶ εἶπε, θάρσει· οὐ σεαυτὸν ἀπὸ ταύτης ἠλευθέρωσας, ἀλλὰ μᾶλλον ἔκδοτον καὶ δοῦλον ἑαυτὸν ταύτῃ παραδέδωκας· γίνωσκε τοίνυν ὅτι βαρυτέρας σε ὡς λιποτάκτην καταπολεμήσει, εἰ μὴ τοῦ λοιποῦ δι' ὑπομονῆς καὶ προσευχῆς καὶ τοῦ ἔργου τῶν χειρῶν ταύτην καταπαλαῖσαι σπουδάσεις.

Τιτ. περὶ τῶν ἀδυνάτων.

Κλήμεντος ἐκ τοῦ εἰς τὸ πάσχα.

Τὰ ἐναντία ἅμα τῷ αὐτῷ, κατὰ τὸ αὐτὸ, πρὸς τὸ αὐτὸ, συμβῆναι ἀδύνατον.

Ἐκ τοῦ ε στρώματος.

Οὐχ οἷόν τε ἐπὶ μιᾶς ψυχῆς δύο ἐναντίας κατὰ τὸ αὐτὸ γίνεσθαι κινήσεις.

Τοῦ μακαρίου Διονυσίου Ἀλεξανδρείας ἐκ τῆς πρὸς Ἀφροδίσιον ἐπιστολῆς.

Πᾶσιν ἀνθρώποις ἐναντίως διακειμένοις, καὶ τοῖς μὲν κακοῖς, τοῖς δὲ ἀγαθοῖς οὖσιν, τὰ αὐτὰ ὁμοίως ἀδύνατον εἶναι φίλα.

Φίλωνος ἐκ τοῦ δ τῶν νόμων ἱερῶν ἀλληγορίας.

Ἀμήχανον συνυπάρχειν τὴν πρὸς τὸν κόσμον ἀγάπην τῇ πρὸς θεὸν ἀγάπῃ, ὡς ἀμήχανον συνυπάρχειν ἀλλήλοις φῶς καὶ σκότος.

Ad titulum περὶ ἀνασκολοπισθέντος, cet. σχόλιον. Τοὺς ἀπὸ ψήφου δικαστικῆς ἀνασκολοπισθέντας δεῖ ταφῇ παραδοθῆναι.

Τιτ. περὶ τοῦ βίου καὶ τοῦ κόσμου τούτου.

Τοῦ μακαρίου Διονυσίου Ἀλεξανδρείας ἐκ τοῦ περὶ φύσεως α. (1)

Ἐργαστήριον ἀνθρώποις καὶ θέατρον διδασκαλεῖον καὶ γυμνάσιον ὁ κόσμος ἀνίσχει, ἵν' αὐτὸν καὶ τὰ ἐν αὐτῷ πολυπραγμονήσαντες, τὸ μέγιστον ἐπὶ τὴν αὐτῶν γνῶσιν ἑλκώμεθα.

Τοῦ μακαρίου Διονυσίου Ἀλεξανδρείας ἐκ τῆς περὶ γυμνασίου ἐπιστολῆς.

Ὥσπερ ἐν νόσοις ἐκ διαστημάτων γινομέναις, οὐκ ἂν διὰ τὰς ἀνέσεις ὑγιαίνειν τις λέγοιτο, ἀλλὰ διὰ τὰς ἐπιστάσεις νοσεῖν, οὕτως οὐκ εὐδαίμων ὁ βίος ἐπεὶ ἔστι τῶν ὀδυνῶν ἀποπαύεται, ἐπίμοχθος δὲ πᾶς πᾶσιν, ἐπεὶ πολλάκις τοῖς ὀδυνηροῖς ἐξοικειοῦται.

Τοῦ μακαρίου Κυρίλλου ἐκ τοῦ ια λόγου ἐκ τῶν κατὰ Ἰουλιανοῦ.

Τὸν τοῦδε τοῦ βίου καὶ τὴν ἐν αὐτῷ τῶν πραγμάτων πικρὰν ἀνάχυσιν καὶ ἀναφυρμὸν κατασημαίνων ἀστείως ὁ μελῳδὸς, αὕτη ἡ θάλασσα, ἔφη, ἡ μεγάλη καὶ εὐρύχωρος.

Φίλωνος ἐκ τοῦ γ τῶν ἐν γενέσει ζητημάτων περὶ τοῦ βίου καὶ τοῦ κόσμου τούτου.

Πᾶσα ἡ ὑπὸ τὴν σελήνην φύσις μεστὴ πολέμων καὶ κακῶν ἐμφυλίων ἐστὶ καὶ ξένων.

(1) Peramplum huius deperditi operis tractum recitat Eusebius praep. ev. lib. XIV. 23—27.

Τιτ. περὶ ἀβιάστου.

Τοῦ μακαρίου Διονυσίου ἐκ τοῦ περὶ ἐπαγγελιῶν β.

Τὸν πρὸς ἀνάγκην ἐπιβληθέντα ζυγὸν ἀποσείονται ῥᾳδίως οἱ ἀνειμένοι· βαρὺ γὰρ πᾶν τὸ ἀπροαίρετον, καὶ ὅπερ δαμασθέντες ὑπέστησαν βαστάσαντες.

Τιτ. περὶ τοῦ γνῶθι σαυτόν.

Κλήμεντος ἐκ τοῦ εἰς τὸ πάσχα.

Ὁ ἄρα γινώσκων ἑαυτὸν, τόπος ἐστὶ τοῦ θεοῦ καὶ θρόνος.

Μάρκου μοναχοῦ.

Πάντων χαλεπώτατον ἑαυτὸν γινώσκειν καὶ θεραπεύειν, διὰ τὸ προσπεφυκέναι ἀνθρώποις τὸ φίλαυτον, καὶ κλέπτειν τὴν τοῦ ἀληθοῦς κρίσιν.

Τιτ. περὶ γεωργίας.

Κυρίλλου Ἀλεξανδρείας ἐκ τοῦ ις τῶν κατὰ Ἰουλιανοῦ.

Τοῖς ἄριστα γεωπονεῖν ἠθισμένοις, ἕποιτο ἂν εἰκότως τὸ ἐπαινεῖσθαι δεῖν.

Τιτ. περὶ γνωσιμαχούντων.

Φίλωνος ἐκ τοῦ ἐν γενέσει ζητημάτων.

Μελέτη τροφὸς ἐστὶν ἐπιστήμης.

Θεοτίμου Σκυθίας ἐκ τοῦ εἰς τὴν διδαχὴν τοῦ σωτῆρος.

Ἀρετὴ ἀμελέτητος ἐν τοῖς ἔργοις, ἢ τάχος ὑπὸ τῶν περιστάσεων ἀφανίζεται.

Διδύμου ἐκ τῶν περὶ ἀσωμάτων κεφαλαίων.

Ἐκ μελέτης πολλῆς καὶ ἀσκήσεως ἡ βία καὶ ἡ ἀγχίνοια τῶν παθῶν ἀσθενεῖ.

Τιτ. περὶ διδασκάλων.

Ἀθηνοδώρου ἐκ τοῦ περὶ ἑβραϊσμοῦ.

Φασὶν οἱ τῶν λόγων παιδευταὶ οὐχ οὕτως χαλεπὸν εἶναι διδάσκειν τινὰ τῶν ἐπιστημῶν τὴν μηδὲν γινώσκουσαν ψυχὴν ἐναντίον πρὸς τὴν προκειμένην μάθησιν, ὡς τὴν ἤδη προκατηχημένην τοῖς ἐναντίοις δόγμασιν· τὴν μὲν γὰρ ἐοικέναι δέλτοις ἀγράφοις ἑτοίμως δεχομέναις τὰ εἰς αὐτὰς ἐγγραφόμενα· τὴν δὲ ταῖς προγεγραμμέναις ἤδη, ἐφ' ὧν τὸ ἔργον διπλάσιον ἐξαλεῖψαι τε τὰ προκείμενα, καὶ ἐνδυθῆναι τὰ δεύτερα.

Διονυσίου Ἀλεξανδρείας ἐκ τῆς πρὸς Ἀφροδίσιον ἐπιστολῆς.

Οὐχ ἱκανὴ προτροπὴ τὸ κελεύειν ἐξ ὑπερδεξίου καθάπερ θεατὴν ἀνδρίζει λέγοντα· ἀλλὰ τὸ συναποδύντα καὶ συγκομιζόμενον ἑαυτὸν ἀπομιμεῖσθαι κελεύειν.

Φίλωνος ἐκ τοῦ α καὶ β τῆς νόμων ἱερῶν ἀλληγορίας.

Παιδείας σύμβολον ἡ ῥάβδος· ἄνευ γὰρ τοῦ δυσωπηθῆναι καὶ περὶ ἐνίων ἐπιπληχθῆναι, νουθεσίαν ἐνδέξασθαι καὶ σωφρονισμὸν, ἀμήχανον. — Εὐήθεις ὅσοι τῶν διδασκάλων μὴ πρὸς τὴν τῶν γνωρίμων δύναμιν, ἀλλὰ πρὸς τὴν ἑαυτῶν ὑπερβάλλουσαν ἕξιν ἐπιχειροῦσι ποιεῖσθαι τὰς ὑφηγήσεις· οὐκ εἰδότες ὡς διδασκαλίας, ἐπιδείξεως μακρῷ διενήνοχεν· ὁ μὲν γὰρ ἐπιδεικνύμενος τῇ τῆς παρούσης ἕξεως εὐφορίᾳ καταχρώμενος ἀνεμποδίστως τὰ ἐν μακρῷ χρόνῳ πονηθέντα οἴκοι καθάπερ γραφέων ἔργα πλαστῶν εἰς τοὐμφανὲς προφέρει, τὸν παρὰ τῶν πολλῶν θηρώμενος ἔπαινον· οὐδὲ διδάσκειν ἐπιχειρῶν, εἶτά τις ἰατρὸς ἀγαθὸς οὐ πρὸς τὸ τῆς τέχνης μέγεθος, ἀλλὰ πρὸς τὴν τοῦ θεραπευομένου δύναμιν ἀφορῶν, οὐχ' ὅσα ἐκ τῆς τέχνης πεπόρισεν, ἀμύθητα ταῦτά γε, ἀλλ' ὅσων τῷ κάμνοντι δεῖ στοχαζόμενος τοῦ μέτρου προσφέρων δίδωσιν.

Φίλωνος ἐκ τοῦ γ τῶν ἐν γενέσει ζητημάτων.

Οὐχ' ὡς δύναται διδάσκειν διδάσκαλος, οὕτως καὶ μανθάνειν ὁ γνώριμος· ἐπειδὴ ὁ μὲν τέλειος, ὁ δὲ ἀτελής ἐστιν· ὅθεν προσήκει στοχάζεσθαι τῆς τοῦ παιδευομένου δυνάμεως. — Ἀκοῦσαι δεῖ πρῶτον, εἶτα ἐργάσασθαι· μανθάνομεν γὰρ οὐ τοῦ μαθεῖν χάριν, ἀλλὰ τοῦ πρᾶξαι.

Φίλωνος ἐκ τοῦ περὶ τῶν ἀλόγων ζώων.

Διδάσκουσι μὲν, οἱ τὰς ἰδίας τέχνας μυοῦντες ἑτέρους, ἑρμηνεύουσι δὲ οἱ ἀλλοτρίαν ἀκοὴν εὐστοχίᾳ μνήμης ἀπαγγέλλοντες.

Ἐκ τοῦ αὐτοῦ.

Ἐπίστησον ὁ διδάσκων, ἐξέτασον ἀκριβῶς ἀκοὴν τοῦ μανθάνοντος· εὐηθὴς γὰρ ὁ καθεύδοντι διαλεγόμενος, καὶ μάταιος ὁ λίθον νουθετῶν· καὶ σὺ ἔνοχος ἁμαρτίας ἔσῃ ὁ μὴ ἐπισκεψάμενος ὅπως καὶ πηνίκα καὶ πότε δεῖ λόγον προΐεσθαι.

Φίλωνος ἐκ τῶν ἐν ἐξόδῳ ζητημάτων.

Ἐὰν τοῦ ἄρτι πρῶτον εἰσαγομένου καὶ μανθάνοντος σπουδάσῃ πᾶσαν τὴν ἀμαθίαν ἐκτεμὼν ἀθρόαν ἐπιστήμην εἰσοικίσαι, τοὐναντίον ἢ διενοήθη πράξει· οὔτε γὰρ τὴν ἀφαιρεσιν νέαν καιρῷ γενομένην, οὔτε τὴν ἄφθονον ῥύμην καὶ φορὰν τῆς διδασκαλίας, ἀλλὰ καθ' ἑκάτερον τότε ἐκτεμνόμενον καὶ προστιθέμενον ἀδυνατήσει καὶ παραλγήσας ἀπεράσει· τὸ δὲ ἡσύχως καὶ μετρίως ἀφαιρεῖν μὲν κατ' ὀλίγον τῆς ἀπαιδευσίας, προστιθέναι τῆς παιδείας τὸ ἀνάλογον, ὠφελείας γένοιτ' ἂν ὁμολογουμένως αἴτιον· ὁ δ' ἀγαθὸς ἰατρὸς οὐ μιᾷ ἡμέρᾳ τῷ νοσοῦντι πάντα τὰ ὑγιεινὰ προσφέρειν ἂν ἐθελήσειεν, εἰδὼς βλάβην ἐργαζόμενος μᾶλλον ὑπὲρ ὑγίειαν, ἀλλὰ διαμετρησάμενος τοὺς καιροὺς ἐπιδιανέμει τὰ σωτήρια, καὶ ἄλλοτε ἄλλα προστιθεὶς, πρᾴως ὑγίειαν ἐμποιεῖ.

Τιτ. περὶ διαβολῆς.

Τοῦ μακαρίου Κυρίλλου Ἀλεξανδρείας ἐκ τοῦ ια τοῦ κατὰ Ἰουλιανοῦ.

Ἔστιν πῶς ἀεὶ τὸ διαβάλλειν εὐεπίλατον, καὶ τὸ ἀκρατὲς εἰς λόγους ἔνεστι πολλοῖς· δεῖ δὲ οἶμαι ταῖς κατηρρέσεσιν αἷς ἂν ποιοῖτό τις καθ' ὁτουοῦν τὰς δείξεις ἀκολουθεῖν· εἰ δὲ ἀσθενεῖ πρὸς τοῦτο ὁ κατηγορεῖν ᾑρημένος, τὴν τοῦ συκοφαντεῖν δόξαν ἀποίσεται.

Φίλωνος ἐκ τοῦ η καὶ θ τῶν νόμων ἱερῶν ἀλληγορίας.

Πέφυκεν ὁ ἄφρων ἐπὶ μηδενὸς ἑστάναι παγίως καὶ ἐρείδεσθαι δόγματος· ἄλλοτε γοῦν ἀλλοῖα δοξάζει, καὶ περὶ τῶν αὐτῶν ἔσθ' ὅτε μηδενὸς περὶ αὐτὰ συμβεβηκότος καινότερον, τἀναντία. Καὶ ἔστιν αὐτῷ πᾶσα ἡ ζωὴ κρεμαμένη βάσιν ἀκράδαντον οὐκ ἔχουσα, ἀλλὰ πρὸς τῶν ἀντισπώντων καὶ ἀντιμεθελκόντων ἀεὶ φορουμένη πραγμάτων.

Τιτ. περὶ διψύχων.

Φίλωνος ἐκ τοῦ α τῶν ἐν ἐξόδῳ ζητημάτων.

Τὸ τῶν φαύλων ἄκριτον καὶ ἀνίδρυτον ἐν γνώμαις διασυνίστησιν μαχομένας μὲν λόγους ἀλλήλοις, μαχομένας δὲ πράξεις καὶ μηδέποτε συμφωνούσας ἑαυταῖς.

Τίτ. περὶ διαγνώσεως καλοῦ καὶ κακοῦ.

Εὐσεβίου ἐκ τοῦ α τῆς α εἰσαγωγῆς.

Ἔλεγχος ἀνδρὸς ἤθους ἡ μετὰ τοιῶνδε συνουσία· ὅτε γὰρ φαῦλος ἐξ ἀνάγκης τοῖς ὁμοίοις συνέστη· ὅτε αὖ πάλιν σώφρων καὶ σοφὸς τοῖς τὰ αὐτὰ αὐτῷ μετιοῦσιν.

Εὐσεβίου ἐκ τοῦ ι τῆς α εἰσαγωγῆς ὡς ἀπὸ Πλάτωνος.

Ἐνδέχεται μὲν, ὦ παιδίον, λέγειν μὲν εὖ, φαῦλον δὲ ὑπάρχειν· πράσσοντα δὲ εὖ, φαῦλον εἶναι ἀδύνατον.

Τίτ. περὶ ὀφθαλμοῦ.

Εὐσεβίου ἐκ τοῦ δ τῆς α εἰσαγωγῆς.

Ὃν τρόπον ἡ τῶν ὀφθαλμῶν φύσις ἔχει μὲν ἐν ἑαυτῇ τὴν ὁρατικὴν δύναμιν, οὐχ' ἱκανὴ δὲ καθ' ἑαυτὴν πέφυκεν πρὸς τὴν τῶν ὁρατικῶν κατάληψιν, μὴ οὐχὶ ἑτέρου τινὸς ἔξωθεν φωτίζοντος καὶ συνυπουργοῦντος τῇ τῶν ὀφθαλμῶν χρήσει, καὶ τοῦ συμβαλλομένου φωτὸς πρὸς τὴν τῶν αἰσθητῶν θέαν, οὕτως καὶ ἡ νοερὰ καὶ λογικὴ φύσις ἔχει πρὸς ἱερὸν τοῦ θεοῦ λόγον.

Φίλωνος ἐκ τοῦ ς τῶν ἐν γενέσει ζητημάτων.

Τὰ αὐτὰ καθήκοντα πολλάκις ἐνεργοῦσιν ὅ τε ἀστεῖος καὶ ὁ φαῦλος, ἀλλ' οὐκ ἀπὸ τῆς αὐτῆς διανοίας ἀμφότεροι· ὁ μὲν γὰρ κρίνων ὅτι καλὸν, ὁ δὲ μοχθηρὸς μνώμενός τι τῶν εἰς πλεονεξίαν.

Τιτ. περὶ διαθήκης καὶ κληρονομίας.

Κυρίλλου ἐκ τῶν εἰς τὴν γένεσιν.

Οἶδεν καὶ μάλα σαφῶς ἡ φύσις ὅτι μὴ δὲ

Digitized by Google

υἱὸς ὅλως ὀνομάζοιτο ἂν εἰκότως ἢ ἐκ κιβδήλων τε καὶ νόθων ἀναφὺς συμφυρμάτων· ὅτι δὲ ἀφ' ὧν ἐγένετο τέκνον ἐκ θεραπαίνης τινὸς, ψυχρόν τε καὶ ἴουλον τὸ χρῆμά σου πάντως καὶ οὐκ ἐν ἐλευθέραις καταγράφοιτο θυμαδίαις ἢ κληρονομίαις.

Φίλωνος ἐκ τοῦ α΄ τῶν ἐν Ἐξόδῳ ζητημάτων.

Τὰ βουλήματα τῶν ἀγαθῶν δεῖ βεβαιοῦσθαι τελευτησάντων οὐδὲν ἧττον ἢ ζώντων.

Τιτ. περὶ δείπνου.

Ἐκ τῆς βίβλου τῶν ἁγίων γερόντων.

Τράπεζα μὴ ἔχουσα μνήμην Θεοῦ, φάτνης ἀλόγων οὐδὲν διενήνοχεν.

Τιτ. περὶ διαβόλου.

Τοῦ ἁγίου Ἀντιπάτρου ἐκ τοῦ κατὰ Ὠριγένους.

Ὁ γάρ τοι διάβολος τῆς αὐτῆς ἀθανάτου τῶν ἀγγέλων ὑπάρχων δόξης, μὴ τηρήσας τὴν ἑαυτοῦ ἀξίαν καὶ τάξιν, τῆς ἰδίας ἀποβληθεὶς, καὶ τῆς τοῦ Θεοῦ δόξης ἀποπεσὼν, ἔμεινε μὲν ὅπερ ἦν τὴν φύσιν ἀθάνατος, καὶ τὴν δύναμιν ὡσαύτως, καὶ οὐδὲν ἧττον ὅπερ ἐξ ἀρχῆς ἐν τῇ φύσει εἴληφε παρὰ τοῦ Θεοῦ· κωλυόμενος δὲ νῦν ὑπὸ Θεοῦ τῆς ῥοπῆς χρήσασθαι ταύτης, καὶ τὴν καθ' ἡμῶν πληρῶσαι, ἣν ἐκ τοῦ φθόνου ἐκτήσατο κατὰ τοῦ γένους ὀργὴν, προνοουμένων καὶ φυλαττομένων ἡμῶν ὑπὸ τοῦ Θεοῦ ἐκ τῆς ἐκείνου πονηρίας, ἕως ἂν ἄξιοι τῆς ἐκείνου κηδεμονίας ὑπάρχωμεν. Εἰ δὲ καταρᾳθυμήσαντες ἀνάξιοι εὑρεθῶμεν τῆς αὐτοῦ βοηθείας, τὸ τηνικαῦτα τὴν αὐτοῦ πονηρίαν καὶ δύναμιν καθ' ἡμῶν ἐπιδείκνυται, ὅτ' ἂν παντελῶς ἐρήμους ἐξ ἔργων ἀγαθῶν γεγονότας ἑαυτοὺς ἀλλοτρίους τῆς τοῦ Θεοῦ προνοίας καταστήσωμεν· ἕως δ' ἂν ἄξιοι ὦμεν σκεπεύεσθαι τῇ παρ' αὐτοῦ ἀντιλήψει, οὐδαμῶς χωρεῖν καθ' ἡμῶν συγχωρεῖται· καὶ μαρτυροῦσιν οἱ ἐν Γαδίροις χοῖροι ὡς οὐδὲ κατ' αὐτῶν συγχωρηθέντες χώραν ἀδικίας ἐκέκτηντο, ἥνπερ ἔλαβον τότε, διὰ πολλὰς καὶ διαφόρους οἰκονομίας, ἃς οὐ καιρὸς καταλέγειν ἐπὶ τοῦ παρόντος.

Τιτ. περὶ ἔργων καὶ πράξεων.

Κυρίλλου ἐκ τοῦ ιϛ΄ λόγου τῶν κατὰ Ἰουλιανοῦ.

Ὅτι δὲ καὶ ἀναλόγως τοῖς ἑκάστου κατορθώμασιν ἡ τῆς ἀμοιβῆς ἀντέκτισις, καὶ ἰσοπαλῶς τοῖς ἱδρῶσιν αἱ ἀμοιβαὶ τοῖς ἀνδραγαθεῖν ᾑρημένοις ἐκπορισθήσονται παρὰ Θεοῦ· πληροφορεῖ γὰρ καὶ αὐτὸς ὁ Σωτὴρ, τὴν τῶν ταλάντων διανομὴν οὐκ ἐν ἴσῳ μέτρῳ γενέσθαι λέγων, καθιστὰς δὲ τῶν εὐδοκιμηκότων, τὸν μὲν ἐπὶ δέκα πόλεων, τὸν δὲ ἐπὶ πέντε· ταλαντεύσεται γὰρ ὥσπερ ὁ ἑκάστου βίος καὶ ἰσοστατήσει που πάντως τῆς ἡμῶν ἐπιεικείας ἡ ἀντέκτισις.

Τιτ. περὶ εὐπραγίας ἢ δυσπραγίας.

Φίλωνος ἐκ τοῦ α΄ τῶν ἐν Γενέσει ζητημάτων.

Εἰώθασιν οἱ ἄνθρωποι ἐκ πλουσίων γενόμενοι πένητες ἐξαίφνης, ἢ ἐξ ἐνδόξων καὶ μεγάλων ἄδοξοι καὶ ταπεινοὶ, ἢ ἐξ ἀρχόντων ἰδιῶται, ἢ ἐξ ἐλευθέρων δοῦλοι, ταῖς τύχαις συμμεταβάλλειν τὰ φρονήματα, φάσκοντες οὐ προνοεῖσθαι τῶν ἀνθρωπίνων πραγμάτων τὸ θεῖον· οὐ γὰρ ἂν χρήσασθαι μεγάλαις καὶ ἀπροσδοκήτοις μεταβολαῖς καὶ κακοπραγίαις· ἀγνοοῦντες πρῶτον μὲν ὅτι τούτων οὐδέν ἐστι κακὸν, οὐδὲ γὰρ τἀναντία ἀγαθὰ, ὅτι μὴν τὸ δοκεῖν οὐκ ἀλήθεια· δεύτερον δὲ ὅτι πολλάκις ταῦτα συμβαίνει διὰ νουθεσίαν, ἕνεκα τῶν ἀδιαφόρων ἐξυβριζόντων· οὐ γὰρ πάντες φέρειν τὰ ἀγαθὰ δύνανται· τρίτον δὲ, ὡς ἔφην, πρὸς ἀπόπειραν ἠθῶν· ἀκριβεστάτη γὰρ βάσανος, οἱ πρὸς ἑκάτερα καιροί.

Τιτ. περὶ εὐθηνίας.

Φίλωνος ἐκ τοῦ δ΄ τῶν ἐν Γενέσει ζητημάτων.

Οἱ ἐν ταῖς ἀφθόνοις χορηγίαις πλούτου καὶ δόξης καὶ τῶν ὁμοιοτρόπων ὑπάρχοντες, καὶ ἐν ὑγείᾳ καὶ εὐαισθησίᾳ σώματος καὶ εὐεξίᾳ ζωῆς, καὶ τὰς διὰ πασῶν τῶν αἰσθήσεων ἡδονὰς κρατούμενοι, νομίζοντες τῆς ἄκρας εὐδαιμονίας ἐφίχθαι, μεταβολὴν οὐ προσδοκῶσιν· ἀλλὰ καὶ τοὺς λέγοντας ὅτι πάντα περὶ τὸ σῶμα καὶ ἐκτὸς ἐπικήρως ἔχει, γέλωτα καὶ χλεύην τίθενται.

Τιτ. περὶ ἐγκωμίων.

Φίλωνος ἐκ τοῦ ἐν ἐξόδῳ ζητημάτων,

Δόξα, ὡς ὁ παλαιὸς λόγος, ψευδής ἐστι ὑπόληψις καὶ δόκησις ἀβέβαιος.

Τιτ. περὶ ἐχθρῶν.

Διονυσίου Ἀλεξανδρείας ἐκ τῆς περὶ γάμων β ἐπιστολῆς.

Τὰς συμφορὰς ἐλεεῖν, οὐ μισεῖν, προσῆκεν.

Φίλωνος ἐκ τοῦ γ τῶν ἐν γενέσει ζητημάτων.

Χαίρειν ἐπὶ ταῖς ἑτέρων ἀτυχίαις, εἰ καὶ δίκαιόν ποτε, ἀλλ' οὐκ ἀνθρώπινον.

Τιτ. περὶ ἐπιβουλῆς.

Τοῦ μακαρίου Κυρίλλου ἐκ τοῦ ιδ τῶν κατὰ Ἰουλιανοῦ.

Σκοτεινοὶ πῶς καὶ οὐχ ἅπασιν ἐναργεῖς οἱ δρυμοὶ εἰς σωτηρίαν.

Τιτ. περὶ ἐμπόρων.

Φίλωνος ἐκ τοῦ ζ καὶ ιη

τῆς νόμων ἱερῶν ἀλληγορίας.

Καθάπερ τὰ ἐκ προνοίας ἀμείνω τῶν ἀκουσίων τὰ κατορθώματα, τὸν αὐτὸν τρόπον ἐν τοῖς ἁμαρτήμασι κουφότερα τῶν ἑκουσίων τὰ ἀκούσια.

Τιτ. περὶ ἐργολάβων.

Φίλωνος ἐκ τοῦ δ τῶν ἐν γενέσει ζητημάτων.

Ὡς τὸ ἑκουσίως ἁμαρτάνειν ἄδικον, οὕτω καὶ τὸ ἀκουσίως καὶ κατὰ ἄγνοιαν εὐθὺς δίκαιον· ἀλλὰ ταχύ πῃ μεθόριον ἀμφοῖν δικαίου καὶ ἀδίκου, τὸ ὑπό τινων καλούμενον ἀδιάφορον· ἁμάρτημα γὰρ οὐδὲν ἔργον δικαιοσύνης.

Τιτ. περὶ εὐδαιμονίας.

Φίλωνος ἐκ τοῦ ἐν γενέσει ζητημάτων.

Τρεπτοὶ πολύτροπον διαστρέφοντες βίον, καὶ συμφοραῖς καθημέραν δουλούμενοι, ἥκιστα τῆς εὐδαιμονίας ἐφίχθαι τινὰ πρὸ τέλους ὑπολαμβάνομεν.

Τιτ. περὶ ἡμέρας ἀγαθῆς.

Φίλωνος ἐκ τοῦ τελευταίου τοῦ ἐν ἐξόδῳ ζητημάτων.

Ἐν νυκτὶ βελτ· τὸ γὰρ βουλευτήριον τῆς ψυχῆς ἐν νυκτὶ ἠρεμεῖ τῶν ὄχλων τῶν αἰσθήσεων καὶ τῶν αἰσθητῶν ἀπόλυσις.

Τιτ. περὶ θανάτου.

Τοῦ ἁγίου Μεθοδίου ἐκ τοῦ περὶ ἀναστάσεως.

Ὁ δὲ θάνατος πρὸς ἐπιστροφὴν εὑρέθη, καθάπερ καὶ τοῖς ἀρτιμαθέσι γραμμάτων παιδίοις πρὸς ἐπανόρθωσιν αἱ πληγαί· οὐδὲν γὰρ ἄλλο θάνατος ἢ διάκρισις καὶ διαχωρισμὸς ψυχῆς ἀπὸ τοῦ σώματος· τί οὖν παραίτιος ὁ θεὸς θανάτου λέξεται; μὴ γένοιτο· ἐπεὶ μὴ δὲ οἱ διδάσκαλοι προκαθηγημένας τῆς ἀλγεινότητος ταῖς πληγαῖς τοὺς παῖδας αἴτιοι· καλὸν ὁ θάνατος, εἰ καθάπερ φησὶν πρὸς ἐπιστροφὴν δίκαιον πληγῶν εὑρεθῇ, οὐχ ὁ τῆς ἁμαρτίας, ὦ σοφώτατοι, ἀλλ' ὁ τῆς διαζεύξεως τῆς σαρκὸς καὶ τοῦ χωρισμοῦ. — Καὶ τὰ ἑξῆς εἰς τὸν περὶ αὐτεξουσίου.

Τιτ. περὶ θλιβομένων καὶ φροντιζόντων.

Τοῦ μακαρίου Διονυσίου

ἐκ τῆς πρὸς Ἀφροδίσιον ἐπιστολῆς.

Οὐ σχολεῖ τῇ κατοδύνῳ ψυχῇ τὸ τοῦ κολάζοντος ἀναλογίζεσθαι φρόνημα· οὐδὲ δύναται κλυδωνιζομένη καὶ συγκεχυμένη τὴν ἀτάραχον καὶ γαληνιῶσαν τοῦ κρείττονος ἐνορᾷν διάνοιαν.

Τιτ. περὶ ἰσότητος.

Τοῦ μακαρίου Κυρίλλου ἐκ τοῦ ιβ τῶν κατὰ Ἰουλιανοῦ.

Οὐχ ἁπλῶς ὁ ἀγωνοθέτης τοῖς ἐθέλουσι τῶν ἀθλητῶν τὰς ἐξαιρέτους χαρίζεται τιμάς, ἀναλόγως δὲ μᾶλλον ταῖς τῶν ἀθλούντων εὐδοκιμήσεσι διανέμει τὰ γέρα.

Ἐκ τοῦ αὐτοῦ.

Τὸ νέμειν ἴσα τοῖς ἀνίσοις, τῆς μεγίστης ἐστὶν ἀδικίας.

Τοῦ ἁγίου Μεθοδίου ἐκ τοῦ περὶ ἀναστάσεως.

Τῷ ἑκάστῳ προσώπῳ τὰ ἀκόλουθα περὶ τοῦ παντὸς τηρεῖν ἀναγκαῖον.

Digitized by Google

Φίλωνος ἐκ τῆς περὶ τοῦ ἱεροῦ.

Μεταδοτέον οὐ πᾶσι πάντων, ἀλλὰ τῶν ἐφαρμοζόντων τοῖς ληψομένοις· εἰ δὲ μὴ, τὸ κάλλιστον καὶ λυσιτελέστατον τῆς ἐν τῷ βίῳ τάξις ἀναιρεθήσεται ὑπὸ τῆς βλαβερωτάτης παρευημερηθεῖσα συγχύσεως.

Ἐκ τοῦ αὐτοῦ.

Τὰ ὅμοια τοῖς ἀναξίοις ἀπονέμειν, ἄνισον· τὸ δὲ ἄνισον πηγὴ κακῶν.

Τιτ. περὶ ἱματίων.

Τοῦ μακαρίου Κυρίλλου ἐκ τοῦ ια λόγου τῶν κατὰ Ἰουλιανοῦ.

Τὸ εὐειματεῖν μειρακιῶδες ἐστὶ μόνον, καὶ ἐν μόνῃ δοκήσει τὸ ἡδὺ ἔχει, καὶ τοὺς ὀφθαλμοὺς δελεάζει.

Τιτ. περὶ καρδίας.

Φίλωνος ἐκ τοῦ τελευταίου τῶν ἐν Ἐξόδῳ ζητημάτων.

Τὴν καρδίαν ἀντὶ τοῦ ἡγεμονικοῦ παρείληφεν ἡ γραφή.

Τιτ. περὶ κρειττόνων.

Φίλωνος ἐκ τοῦ πρώτου τῶν ἐν τῇ Γενέσει ζητημάτων.

Τὸ ὑποτάττεσθαι τοῖς κρείττοσιν ὠφελιμώτατον.

Τιτ. περὶ κινδύνου.

Post locum biblicum de Achis Davidem dimittente. Σχολ. Σημείωσαι ὅτι καὶ βασιλεῖς πολλὰ παρὰ γνώμην ποιεῖν ἀναγκάζονται διὰ τὸν κίνδυνον.

Τιτ. περὶ καιροῦ.

Τοῦ μακαρίου Κυρίλλου ἐκ τοῦ ιβ τῶν κατὰ Ἰουλιανοῦ.

Ἄριστον καὶ σοφὸν εἶναί μοι δοκεῖ τὸ καιρῷ τοῦ προσήκοντος μὴ ἀφαμαρτάνειν πράγματι.

Τιτ. περὶ κολάκων.

Ad locum Hieremiae XXXVIII. 22. ἄνδρες εἰρηνικοί. Σχολ. Εἰρηνικοὺς ἄνδρας τοὺς ψευδοπροφήτας καλεῖ, τοὺς κολακείαις ἐξαπατήσαντας τὸν λαόν.

Κυρίλλου ἐκ τοῦ ς λόγου τῶν κατὰ Ἰουλιανοῦ.

Ὁ τοῖς ἀνθρώποις ἀρέσκων, τοὺς παρ' αὐτῶν ἐπαίνους ἔχοιεν ἂν εἰκότως εἰς ἀντιμισθίας δύναμιν· λήψεταί γε μὴν τῶν παρὰ Θεοῦ τὸ σύμπαν οὐδέν.

Θεοτίμου Σκυθίας ἐκ τοῦ κατὰ εἰδώλων.

Στώμυλον μὲν στόμα καὶ φράσις εὐεπὴς, τέρψιν παρέχει καὶ ἔπαινον πρὸς κενοδοξίαν ἀθλίοις ἀνθρώποις ἔχουσι τὸν νοῦν κατεφθαρμένον.

Φίλωνος ἐκ τοῦ δ τῶν ἐν Γενέσει ζητημάτων.

Συγκρύπτεται διὰ φιλίαν νόθη πράγματος καὶ ἀδοκίμου τὸ γνήσιον καὶ δοκιμώτατον.

Τιτ. περὶ λύπης.

Τοῦ ἀββᾶ Κασιανοῦ ἐκ τοῦ περὶ τῶν ὀκτὼ λογισμῶν. Locus exitat in maurina S. Athanasii editione tom. III. p. 383—384. Nempe a verbis πέμπτος ἡμῖν ἀγών. Est tamen lacuna in praedicta editione p. 384, quia folium unum codicis editoribus defuit. Nunc noster Leontius sic continuat orationem. — Ὅθεν καὶ πρόθυμον καὶ ὑπήκοον πρὸς πᾶσαν ἀγαθὴν ἐργασίαν παρασκευάζει τὸν ἄνθρωπον, εὐπρόσιτον, ταπεινὸν | πρᾶον, ἀνεξίκακον, πρὸς πάντα πόνον ἀγαθὸν καὶ συντριβὴν ὑπομονητικόν, οἷα δὴ κατὰ Θεὸν τυγχάνουσα· ὡς ἐκ τούτου λοιπὸν τοὺς καρποὺς τοῦ ἁγίου πνεύματος γνωρίζεσθαι ἐν τῷ ἀνθρώπῳ, τουτέστι χαρὰν, εἰρήνην, μακροθυμίαν, ἀγαθότητα, πίστιν, ἐγκράτειαν· ἐκ γὰρ τῆς ἐναντίας λύπης τοὺς καρποὺς ἐπιγινώσκομεν τοῦ πονηροῦ πνεύματος, οἵτινές εἰσιν ἀκηδία, ἀνυπομονησία, θυμὸς, μῖσος, ἀντιλογία, ἀπελπισμὸς, εὐχῆς ὀκνηρία· ἥν τινα λύπην οὕτως ὀφείλομεν ἐκκλίνειν ὡς τὴν πορνείαν καὶ φιλαργυρίαν καὶ τὸν θυμὸν, καὶ τὰ λοιπὰ τῶν παθῶν· αὕτη δὲ θεραπεύεται διά τε προσευχῆς, καὶ τῆς εἰς Θεὸν ἐλπίδος, καὶ μελέτης τῶν θείων λογίων, καὶ τῆς μετὰ ἀνθρώπων εὐλαβῶν διαγωγῆς.

Digitized by Google

Τιτ. περὶ λαλιᾶς.

Φίλωνος ἐκ τοῦ ἐν τῷ Λευιτικῷ ζητημάτων.

Μείζονα καὶ σπουδαιοτέραν τὴν ἐπιμέλειαν ποιοῦ εἰς τοὺς δι' ἀρετὴν ἢ θεοσέβειαν πτωχεύσαντας ἢ πενομένους· ἀλλ' ὡς εἰς τοὺς ἐκ νόσων ἢ συμπτωμάτων ἀποροῦντας, παρὰ τοὺς ἐκ κακοπραγίας ἢ ἀσωτίας πτωχεύσαντας.

Τιτ. περὶ μεθυστῶν.

Φίλωνος ἐκ τοῦ α τοῦ ἐν Γενέσει ζητημάτων.

Διττὸν τὸ μεθύειν ἐν μέθῃ· τὸ ληρεῖν παρ' οἶνον, ὅπερ ἐστὶ φαύλου ἴδιον ἁμάρτημα· ἕτερον δὲ, τὸ οἰνοῦσθαι, ὅπερ εἰς σοφὸν πίπτει.

Τιτ. περὶ τοῦ νήφειν.

Τοῦ ἁγίου Μεθοδίου ἐκ τοῦ περὶ αὐτεξουσίου.

Δεῖ γενναίως ὥσπερ στρατιώτας ἀρίστους ἀντιπαρατάττεσθαι τοῖς ἐχθροῖς· ἐκεῖνοι γὰρ ἐπειδ' ἂν ὑπὸ τῶν ἐχθρῶν αἴσθωνται πολιορκούμενοι, τάξεως οὐδὲν φροντίσαντες καὶ τῶν ἄλλων αὐτῶν ἀκοντισμάτων, ὑπὲρ τοῦ σῶσαι τὴν πόλιν, προθύμως ἐπ' αὐτοὺς ἴενται, μηδὲν ἐλλείποντες σπουδῆς ἕως ἂν τὸ στῖφος αὐτῶν εἰς φυγὴν ἀνατρέψαντες, ἀπώσωνται τῶν ὅρων ἔξω· ὁρᾷς γὰρ ὡς οἱ λογισμοὶ διὰ τὴν ἐνοικοῦσαν ἁμαρτίαν ἐν ἡμῖν ἔξωθεν ἐπισυνίστανται, καθάπερ ἢ κύνες λυσσῶντες ἢ ἄγριοι καὶ θρασεῖς λῃσταί, καθ' ἡμῶν ἀεὶ παροξυνόμενοι ὑπὸ τοῦ τυράννου καὶ ἄρχοντος τῆς ἀδικίας, δοκιμάζοντος ἡμᾶς εἰ ἀνθίστασθαι αὐτοῖς ἀρκοῦμεν καὶ ἀντιπαρατάσσεσθαι· ἄγε οὖν μή ποτε ἐκπεσοῦσα ἡ ψυχὴ ἁρπασθῇ πρὸς αὐτόν, καὶ οὐχ ἕξομεν ὑπὲρ σοῦ δοῦναι λύτρα· τί γὰρ ἀντικατάλλαγμα δώσει, φησίν, ἄνθρωπος τῆς ψυχῆς αὐτοῦ; καλὸν μὲν οὖν ἦν αὐτοὺς ἀντιπαρατάσσοντας ἡμῖν καὶ μαχομένους ἐπέχεσθαι· ἐπειδὴ δὲ τοῦτο ἀδύνατον, καὶ ὃ θέλομεν, οὐ δυνάμεθα· θέλομεν δὲ μὴ ἔχειν τοὺς ἐξέλκοντας εἰς πάθη· ἦν γὰρ ἂν ἱδρῶτι σωθῆναι καὶ ὃ θέλομεν, τοῦτο οὐ γίνεται, ἀλλ' ὃ μὴ θέλομεν· δεῖ γὰρ ἡμᾶς δοκιμάζεσθαι, ὡς ἔφην, μὴ ἐνδιδῶμεν τῷ πονηρῷ· ἀλλὰ ἀναλαβόντες τὴν πανοπλίαν τοῦ θεοῦ ὑπερασπίζουσαν καὶ προαγωνιζομένην ἡμῶν, ἐνδυσώμεθα τὸν θώρακα τῆς δικαιοσύνης· καὶ ὑποδησώμεθα τοὺς πόδας ἐν ἑτοιμασίᾳ τοῦ εὐαγγελίου· ἐν πᾶσι τε ἀναλαβόντες τὸν θυρεὸν τῆς πίστεως, ἐν ᾧ δυνησόμεθα πάντα τὰ βέλη τοῦ πονηροῦ τὰ πεπυρωμένα σβέσαι· καὶ τὴν περικεφαλαίαν τοῦ σωτηρίου, καὶ τὴν μάχαιραν τοῦ πνεύματος ὅ ἐστι ῥῆμα θεοῦ, εἰς τὸ δύνασθαι στῆναι πρὸς τὴν μεθοδείαν τοῦ διαβόλου, λογισμούς τε καθαιροῦν καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ θεοῦ.

Τιτ. περὶ ὀρφανῶν καὶ χηρῶν.

Φίλωνος ἐκ τοῦ τελευταίου τῶν ἐν Ἐξόδῳ ζητημάτων.

Οὐ δυναμένη δὲ τῶν ἄλλων, οὔτε ἄρρενα οὔτε θήλειαν, ἀφίησιν ἀδικεῖν ὁ νόμος· ἐξαιρέτου δὲ προνοίας μεταδίδωσι χήραις καὶ ὀρφανοῖς, ἐπειδὴ τοὺς ἀναγκαίους βοηθοὺς καὶ κηδεμόνας ἀφαιροῦνται, χῆραι μὲν ἄνδρας, ὀρφανοὶ δὲ γονεῖς.

Τιτ. περὶ ὅρκου, post Hieremiae locum de Sedecia σχόλ. Οὗτος ἀπειθήσας τῷ προφήτῃ καὶ τὸν ὑπ' αὐτοῦ προπετῶς δοθέντα ὅρκον φυλάξαι σπουδάσας, αἰχμάλωτος γίνεται.

Rursus ad Matthaei de Herode locum. Σχολ. Ἄμεινον ἦν τῷ Ἡρώδῃ τὸν ὑπ' αὐτοῦ δοθέντα ὅρκον παραβῆναι, ἢ τὸν προφήτην καὶ ἅγιον καρατομῆσαι.

Denique ad locum Iohannis de domino Iesu, et Petro, cum huic lavandi essent pedes. Σχόλ. Ἐπίσκεψαι ἐν τῷ περὶ ὀργῆς παραλλήλῳ ἀνάγνωσμα τοῦ μακαρίου Κυρίλλου θαυμαστόν.

Τιτ. περὶ οἰήσεως.

Τοῦ μακαρίου Κυρίλλου ἐκ τοῦ ια λόγου τοῦ κατὰ Ἰουλιανοῦ.

Ἀληθὲς εἰπεῖν ὡς ὁ κατοιόμενος καὶ καταφρονητὴς ἀνὴρ ἀλαζὼν, οὐδὲν μὴ περαίνει κατὰ τὴν τοῦ πρεσβύτου φωνήν· οἴησις γὰρ προκοπῆς ἐγκοπὴ κατὰ τὸν κοινὸν καὶ ἐν στόματι τῶν πολλῶν ὄντα λόγον.

Ἐκ τοῦ αὐτοῦ.

Οἴησις προκοπῆς ἐγκοπή· τὸν μὲν γὰρ ὁμολογοῦντα τὴν ἄγνοιαν, ῥᾷον ἄν τις ἐπιστή-

σιν τοῖς οὔπω διαγνωσμένοις· τῷ γε μὴν ἐν δοκήσει τοῦ εἰδέναι καὶ ἄσοφόν τι καὶ ἀμαθὲς πάντη τι καὶ πάντως ἀποτελεῖ τὸ εἰδέναι δοκεῖν· οὐ γάρ τοι προσίεται τοὺς τῶν διδασκόντων λόγους.

Ἐκ τοῦ ια κατὰ Ἰουλιανοῦ.

Εἰσί τινες, πλεῖστοι δὲ οὗτοι κατὰ τὸν βίον, οἳ τὸ σφίσιν αὐτοῖς εὖ ἔχειν ὑπειλημμένον ἀβασανίστως κρατύνουσιν· οἴονται δὲ ὅτι πάντα τι καὶ πάντως σοφὰ λαλοῦσι καὶ ἀναμφίβλητα· πλὴν μέχρι τοσούτου τὴν τοῦ δοκεῖν εἶναι σοφοὶ καὶ ἀγχίνοι κλέπτουσι δόξαν, ἄχρις ἂν αὐτοῖς ὁ πρὸς τῶν ἑτερογνωμονούντων ὑπαντήσῃ λόγος, γοργοτέροις ἐλέγχοις ἀντανιστάμενος.

Φίλωνος ἐκ τοῦ α τῶν νόμων ἱερῶν ἀλληγορίας.

Οἴησις ἀκάθαρτον φύσει.

Τιτ. περὶ ἐπιδισμοῦ.

Εὐαγρίου.

Ψέγειν τὸν ἀνεπίληπτον, εἰς θεὸν ἁμαρτία.

Τοῦ ἁγίου Εἰρηναίου ἐκ τῶν διατάξεων.

Εὖ μὲν λέγοντες ἀεὶ τοὺς ἀξίους, κακῶς δὲ οὐδέποτε τοὺς ἀναξίους, τευξόμεθα καὶ ἡμεῖς τῆς τοῦ θεοῦ δόξης καὶ βασιλείας.

Τιτ. περὶ πταιόντων.

Σχολ. Σημείωσαι ὅτι ἐκ τοῦ μὴ ἀντιλέγειν ἡμᾶς τοῖς πονηροῖς ἡμῶν λογισμοῖς, πταίσμασι περιπίπτομεν.

Τιτ. περὶ πλήθους καὶ δήμου πόλεως.

Ἀθηνοδώρου ἐκ τοῦ περὶ ἑβραϊσμοῦ.

Φύσει πᾶν ἐστι πλῆθος ἀνθρώπων δύσαρχόν τι καὶ δυσήνιον· καὶ μάλιστα τὸ μηδέπω τοῖς ἔθεσι τοῖς καλοῖς προτυπωθὲν, ἢ νόμοις ὀρθοῖς εἰς ἀρίστην πολιτείαν ἐμβιβασθέν.

Εὐαγρίου. Τοῖς ὄχλοις πειρώμενος ἀρέσκειν, τοῖς ὄχλοις ἔσο ὅμοιος.

Τιτ. περὶ προαιρέσεως.

Σχολ. Σημείωσαι πῶς τὴν ἀγαθὴν προαίρεσιν ἀποδέχεται ὁ θεός. — Πρόσεχε ἀκριβῶς ὅτι καὶ ἐπ' ἀγαθῷ καὶ κακῷ τὰ τῆς διαθέσεως ἐξετάζεται κινήματα παρὰ τῷ θεῷ.

Φίλωνος ἐκ τοῦ β τῶν ἐν γενέσει ζητημάτων.

Τοὺς ἄρξαντας εἴ τι τῶν ἀγαθῶν εἴ τι καὶ πονηρῶν βουλευμάτων, καὶ μάλιστα ὅτ' ἂν ἐφαρμόσῃ τοῖς βουλεύμασι τὰ ἔργα, ἴσως αἰτιατέον τοῖς καὶ τελειώσασιν αὐτά· τὸ μὲν γὰρ μὴ φθάσαι πρὸς τὸ πέρας ἐλθεῖν, ἕτερα καὶ πολλὰ αἴτια· ἡ δὲ γνώμη καὶ σπουδὴ, τῶν προελομένων ἔφθασε δυνάμει καὶ πρὸς τὸ πέρας.

Τιτ. περὶ παιδοποιίας.

Φίλωνος ἐκ τοῦ ς τῶν ἐν γενέσει ζητημάτων.

Ἀγονίαν καὶ στείρωσιν ἐν κατάραις τάττων Μωϋσῆς, οὔ φησιν ἔσεσθαι παρὰ τοῖς τὰ δίκαια καὶ νόμιμα δρῶσιν· ἆθλον γὰρ τοῖς τὸ ἱερὸν γράμμα τοῦ νόμου φυλάττουσι παρέχει τὸν ἀρχαιότερον νόμον τῆς ἀθανάτου φύσεως, ὃς ἐπὶ σπορᾷ καὶ γενέσει τέκνων ἐτέθη πρὸς τὴν τοῦ γένους διαμονήν.

Τιτ. περὶ πρωτοτόκων.

Φίλωνος ἐκ τοῦ δ τῶν ἐν ἐξόδῳ ζητημάτων.

Τὸ μὲν πρωτότοκον πρὸς τὸ μητρῷον γένος, τίκτει γὰρ γυνή· τὸ δὲ πρωτογενὲς πρὸς τὸ πατρῷον, γεννᾷ γὰρ ἄῤῥην· τὸ δὲ διανοῖγον πᾶσαν μήτραν, ἵνα μὴ γεννωμένης πρωτοτόκου θυγατρὸς, εἶθ' ὕστερον ἐπιγεννωμένου υἱοῦ, τὸν υἱὸν ἐν πρωτοτόκοις καταριθμήσει τις, ὡς τῆς ἄῤῥενος ἄρχοντα γενέσεως· ὁ γὰρ νόμος φησὶν, οὐ διέγνωσε τὴν μήτραν ὁ τοιοῦτος τὴν εὐθὺς ἐκ παρθενίας.

Τιτ. περὶ πολέμου.

Φίλωνος ἐκ τοῦ α τῶν ἐν ἐξόδῳ ζητημάτων.

Οὐχ' ἧττον ἡ κατὰ τῶν πολεμίων νίκης ἡ ὄψις τῆς ἐκείνων διαφθορᾶς ἡδονὴν ἐργάζεται.

Τιτ. περὶ συμμέτρου.

Τοῦ ἁγίου Κυρίλλου Ἀλεξανδρείας ἐκ τοῦ ιι λόγου κατὰ Ἰουλιανοῦ.

Εἰ τῷ μηδὲν ἄγαν ἐστὶ τὸ εὖ ἔχειν, ἐν δὲ τῷ περιττῷ τὰς διαβολάς.

Κλήμεντος ἐκ τοῦ α στρώματος.

Ὡς ζῶα λογικὰ σφᾶς αὐτοὺς ἁρμοστέον εὐκράτως, τὸ αὐστηρὸν τῆς σπουδῆς, τὸ ὑπέρτονον

Digitized by Google

ἀνιέντας καὶ διαχέοντας ἐμμελῶς, καὶ οὐκ ἐκλύοντας ἐκμελῶς (1).

Φίλωνος ἐκ τοῦ ἐν Γενέσει ζητημάτων.

Ἄξιον ἀποδέχεσθαι τὸ μηδενὸς ὀρέγεσθαι τῶν ὑπὲρ δύναμιν· πᾶν γὰρ τὸ συμμετρίαν ἔχον, ἐπαινετόν· ἀναγκαῖον οὖν τῷ μὲν εὐφυεῖ πλείους εἶναι τὰς διδασκαλίας, ἐλάττους δὲ τῷ ἀφυεῖ, ἔχοντος ἐν ταῖς ἀνάγκαις ἀρίστην ἰσότητα· καὶ τοῦτο γε ἴσως τὸ βιωφελέστατον ἴσον.

Φίλωνος ἐκ τοῦ α΄ τῶν ἐν Ἐξόδῳ ζητημάτων.

Ὑπερβολαὶ καὶ ἐλλείψεις ἀνισότητα ἐγέννησαν· ἀνισότης δέ, ἵνα αὐτοῖς μυθικωτέροις χρήσωμαι τοῖς ὀνόμασιν, μήτηρ ἀδικίας ἐστίν, ὡς ἔμπαλιν ἰσότης δικαιοσύνης· ὑπερβολῆς δὲ καὶ ἐλλείψεως μέσον τὸ αὐταρκές· ἐν ᾧ τὸ ἱερὸν γράμμα περιέχεται τὸ μηδὲν ἄγαν.

Φίλωνος ἐκ τῶν ἐν Ἐξόδῳ ζητημάτων.

Τὰ μέτρα πλεονάζοντα τοὺς ὅρους ὑπερβαίνει, ὡς γίνεσθαι τὴν μὲν ἄμετρον φρόνησιν, πανουργίαν· τὴν δὲ σωφροσύνην, φειδωλίαν· τὴν δὲ ἀνδρίαν, θρασύτητα.

Τιτ. περὶ παιδείας κοσμικῆς.

Τοῦ μακαρίου Κυρίλλου Ἀλεξανδρείας ἐκ τοῦ θ΄ λόγου τοῦ κατὰ Ἰουλιανοῦ.

Πολὺ λίαν παρὰ τοῖς ἔξω αἴρεται τὸ τῆς εὐστομίας χρῆμα καὶ τὸ λαμπρὸν τῆς λέξεως· ὄνησις δὲ ὅμως τῶν ἀπ᾽ αὐτῶν οὐδέν· τὸν γὰρ φύσει Θεὸν καὶ δημιουργὸν οὐκ ἔγνωσαν, ἀναριθμήτους δὲ θεοὺς τὸν βίον κομίζουσι.

Φίλωνος ἐκ τοῦ α΄ τῶν ἐν Ἐξόδῳ ζητημάτων.

Ἡ εὐφυΐα πλεονάζουσα τῇ ῥύμῃ τῆς φορᾶς πρὸς πολλὰ δὴ τῶν ἀλυσιτελῶν εἴωθε χωρεῖν· ἐν δὲ ταῖς διδασκαλίαις οὐκ ἐλάττω τὰ οὐκ ἀναγκαῖα τῶν ἀναγκαίων ἐστί· διὸ προσήκει τὸν ἔφορον καὶ ψυχῆς ὑφηγητήν, ὥσπερ γεωργὸν ἀγαθόν, τὰ παραβλαστάνοντα περικόπτειν.

Τιτ. περὶ συνηθείας.

Εἰρηναίου. Οὐκ εὐχερὲς ὑπὸ πλάνης κατεχομένην πεῖσαι ψυχήν.

Τιτ. περὶ τοῦ συμπεριφέρεσθαι.

Τοῦ ἁγίου Εὐσταθίου Ἀντιοχείας ἐκ τοῦ περὶ ἐμβραΐνμου.

Κατὰ τινὰ νομοθετικὴν ἐπίνοιαν καὶ μεταχείρισιν εἰς πειθὼ τῶν προσταττομένων ὑπ᾽ αὐτῶν, καὶ τοῦ πολιτικοῦ συμφέροντος, ἐν ἑκάστῳ ψεύδει χρῶνται, ἐν φαρμάκων εἴδει, οἱ νομοθέται δόλον.

Φίλωνος ἐκ τοῦ ἐν Γενέσει ζητημάτων.

Οὐ πάντα ἀληθῆ λεκτέον ἅπασιν· ἰδοὺ καὶ νῦν ὁ ἀστεῖος ὅλον οἰκονομεῖ τὸ πρᾶγμα μεταθέσει καὶ ἀπαλλαγῇ τῶν ὀνομάτων· τὸ δὲ πάντα ἀληθεύειν, ἀφιλοσόφου καὶ ἰδιώτου παράγγελμα· εἰ μὲν γὰρ ὁ τῶν ἀνθρώπων βίος εὐώδει μηδὲν παραδεχόμενος ψεῦδος, εἰκὸς ἂν ἦν παντὶ πρὸς πάντας ἀληθεύειν· ἐπειδὴ δὲ ὑφέρπεται ὡς ἐν ἑκατέρῳ δυναστεύει, καὶ τὸ ψεῦδος παραπέτασμα τῆς ἀληθείας ἐστί, τέχνης δεῖ τῷ σοφῷ πολυτρόπου, καθ᾽ ἣν ὠφελήσει μιμούμενος τοὺς ὑποκριτάς, οἱ ἄλλα λέγοντες, ἕτερα δρῶσιν, ὅπως διασώζωσιν οὓς δύνανται.

Ἐκ τοῦ ϛ΄ τῶν ἐν Γενέσει ζητημάτων.

Ὥσπερ τὰς ἄλλας ἀρετὰς ὁ ἀστεῖος, οὕτως καὶ τὴν ἀνδρίαν καθαρῶς ἐπιτηδευτικῶς ἐὰν μὴ ταύτην ἐπισκιάζῃ χάριν, καιρῶν οἰκονομίᾳ χρῆται, μένων μὲν ἐν ὁμοίῳ καὶ τῇ ἐξ ἀρχῆς προθέσει οὐκ ἀναχωρῶν, ἀλλὰ διὰ τῶν ἀβουλήτων συντυχίας ἐναλλάττων ὥσπερ ἐν θεάτρῳ μορφὴν ἑτέραν ὑπὲρ ὠφελείας τῶν ὁρώντων· ἰατρὸς γὰρ τῶν κατὰ τὸν βίον πραγμάτων ὁ ἀστεῖος, ὃς ἕνεκα τῶν καιρῶν φρονίμως ἐνεργεῖ τὰ ἀφροσύνης, καὶ σωφρόνως τὰς ἀκολασίας, καὶ τὰς δειλίας ἀνδρείως, καὶ δικαίως τὰς ἀδικίας· καὶ γὰρ ἐρεῖ ποτε τὰ ψευδῆ οὐ ψευδόμενος, καὶ ὑβρίσει μὴ ὢν ὑβριστής· λεγέτω καὶ ὁ στρατηγὸς ἢ τὰ πολεμοποιοῦντα εἰρήνην πραγματευόμενος, ἢ τὰ εἰρήνης πολεμεῖν διανοούμενος· ὑποδυέσθω καὶ βασιλεὺς ἰδιώτου σχῆμα, εἰ μὴ δύναιτο ἑτέρως τὸ συμφέρον τῇ τε ἀρχῇ καὶ τοῖς ὑπηκόοις λαβεῖν· καὶ ὁ δεσπότης δούλου, ἕνεκα τοῦ μηδὲν ἀγνοῆσαι τῶν κατὰ τὴν οἰκίαν δρωμένων.

(1) Locus hic videtur incidere in Clementis lib. I. lacunam.

Digitized by Google

Φίλωνος ἐκ τοῦ δ τοῦ νόμων ἱερῶν ἀλληγορίας.

Προσήκει τὸν πολιτικὸν μὴ ἁπλῶς ὁμιλεῖν, ἀλλ' ἔχειν διττὸν λόγον, τὸν μὲν ἀληθείας καὶ τοῦ συμφέροντος, τὸν δὲ δόξης καὶ τοῦ ἰδίου· ἀνάγκη γὰρ τῷ πολιτικῷ μὴ ὅσα φρονεῖ συμφέροντα ἡγεῖσθαι, καὶ λέγειν ἑκάστοτε, ἀλλ' ἔνια ἀποκρύπτεσθαι, διὰ τὸ πολλάκις τὸν ἀκροατὴν ἀλλοτρίως διακείμενον εἶναι πρὸς τὸ ἀκολάστευτον, καὶ εὐθὺς τοῦ ἀληθοῦς ἀφηνιάζειν, ὡς μηδὲν ἔτι τῶν εἰς ἐπανόρθωσιν προϊέσθαι· ἐπεὶ δέ γε τοῖς σοφοῖς ἐοικέναι τῶν ἰατρῶν, οἳ καίειν τε καὶ τέμνειν ἢ κινεῖν μέλλοντες, ἢ τι τῶν οὐχ' ἡδέων μὲν λυσιτελῶν δὲ τοῖς κάμνουσι ποιεῖν, οὐ προλέγουσι τὰς θεραπείας, ἀλλ' ἔστιν ὅτε καὶ πυνθανομένων ἀρνοῦνται· οὔτ' ἐξαίφνης οὐδὲν ἐλπισάντων τοιούτων, ἀλλὰ καὶ τἀναντία προσδοκησάντων, τὴν θεραπείαν μάλα εὐτόνως ὑποφέρουσι, τὸ ψεῦσθαι μετὰ τοῦ συμφέροντος, κρεῖττον ἀληθείας ἀλυσιτελοῦς ὑπολαμβάνοντες.

Τιτ. περὶ σαρκικῶν ἀνθρώπων.

Φίλωνος ἐκ τοῦ ζ καὶ η τῶν νόμων ἱερῶν ἀλληγορίας.

Ἐν ᾗ γὰρ ψυχῇ τὸ ἐκτὸς αἰσθητὸν ὡς μέγιστον ἀγαθὸν τετίμηται, ἐν ταύτῃ λόγος ἀστεῖος οὐχ' εὑρίσκεται· εἰ δὲ ἐκπεριπατεῖ ὁ βίος, τὸ ἐκτὸς αἰσθητὸν ἀγαθὸν οὐχ' ὑπείληπται.

Τιτ. περὶ συγγενῶν.

Φίλωνος ἐκ τῶν ἐν Γενέσει ζητημάτων.

Φίλων καὶ συγγενῶν ἔργον ἐπιλαφρίζειν τὰ πταίσματα.

Τιτ. περὶ συμπαθείας.

Φίλωνος ἐκ τοῦ δ τῶν ἐν Γενέσει ζητημάτων.

Ὁ εὐλαβέστερος τρόπος οὐχ' οὕτως ἐπὶ τοῖς ἰδίοις ἀγαθοῖς γέγηθεν, ὡς ἐπὶ τοῖς τῶν φίλων κακοῖς ἀνιᾶται ἢ φοβεῖται· ἀνιᾶται μὲν ὅτ' ἂν ἀνάξιος ὢν ἀτυχῇ, φοβεῖται δὲ ὅτ' ἂν ἐπιτηδείως κακοπαθῇ.

Σχολ. Ἀνάγνωθι ἐν τοῖς παραλλήλοις τὸν περὶ ἐλεημοσύνης παράλληλον, καὶ τὸν περὶ τοῦ πλησίον, καὶ εὑρήσεις ἐκεῖ ὅτι καλὸν ἐστιν ἡ εὐσπλαγχνία καὶ ἡ συμπάθεια· δῆλον δὲ καὶ ἐνταῦθα ἐν τῷ τ στοιχείῳ τὸν περὶ νοσούντων τίτλον.

Τιτ. περὶ τυράννων.

Φίλωνος ἐκ τοῦ γ τῶν νόμων ἱερῶν ἀλληγορίας.

Βασιλεὺς ἐχθρὸν τυράννῳ, ὅτι ὁ μὲν νόμου, ὁ δὲ ἀνομίας ἐστὶν εἰσηγητής.

Τιτ. περὶ τεχνιτῶν.

Διονυσίου ἐκ τοῦ περὶ φύσεως α.

Τοῖς ἀμαθέσι ἧς τινος οὖν τέχνης καὶ διατιλεστέροις διὰ τὸ τῆς πείρας ἀηθὲς καὶ τὸ τῶν ἔργων ἀτριβὲς, κάματος ἐγγίνεται ταῖς ἐπιχειρήσεσιν· οἱ δὲ προκόπτοντες, καὶ μᾶλλον ἔτι οἱ τέλειοι ῥᾳδίως ἃ μέτιασιν κατορθοῦντες γάννυνται.

Φίλωνος ἐκ τοῦ ζ καὶ η τῶν νόμων ἱερῶν ἀλληγορίας.

Πάνυ εὐηθεῖς οἱ πρὸς τὸ πέρας ἧς τινος οὖν ἐπιστήμης ἀφικέσθαι διανοηθέντες· τὸ γὰρ ἐγγὺς εἶναι δόξαν, μακρὰν ἄγαν τοῦ τέλους ἀφέστηκεν· ἐπεὶ τέλειος τῶν γεγονότων οὐδεὶς πρὸς οὐδὲν μάθημα, ἀλλὰ τοσοῦτον ἐνδεῖ, ὅσον νομισθεὶς νήπιος παῖς ἄρτι τὸ μανθάνειν ἀρχόμενος, πρὸς πολιὸν ἤδη τὴν ἡλικίαν ἅμα καὶ τέχνης ὑφηγητήν.

Φίλωνος ἐκ τῶν ἐν Γενέσει ζητημάτων.

Ἀμήχανον ὑπὸ φύσεως ἀνθρωπίνης εὑρεθῆναι τῆς οἱασοῦν ἐπιστήμης τὸ τέλος· οὐδὲν γὰρ ἄνθρωπος ἄκρως οἶδεν, ἀλλ' οἴεται μόνον εἰδέναι· τὸ δὲ τέλος τῆς γνώσεως ἀνάκειται μόνῳ θεῷ.

Τιτ. περὶ τάξεως καὶ καταστάσεως.

Τοῦ μακαρίου Κυρίλλου ἐκ τοῦ ϛ τοῦ κατὰ Ἰουλιανοῦ. Est locus idem qui p. 103. col. 2. Sed tamen post οὐδὲν heic sequitur εὐανδρίας γὰρ, τῆς ἐπὶ γῆς, φημὶ τὸ ἀγαθὸν οὐκ αὐτὸν ἐπόπτην ἐποίησε μᾶλλον, ἀλλὰ τῶν ὁρώντων τοὺς ὀφθαλμούς.

Τοῦ μακαρίου Διονυσίου Ἀλεξανδρείας ἐκ τῆς πρὸς Ἀφροδίσιον ἐπιστολῆς.

Τὸ μὲν ἐκ τῶν ὄντων αἰσχρὸν ὑγιεῖ κρίσει

πρὸς τὰ ἀληθῆ καὶ σεμνὰ χωρεῖν ὄκνος· τὸ δὲ τοῖς οὐκ ὀρθῶς ὑπειληφόσι βουλόμενον ἀρέσκειν ὑπὸ τῶν κρειττόνων ἐκκλίνειν πρὸς τὰ φαῦλα δι' ἔπαινον.

Φίλωνος ἐκ τοῦ α τῶν ἐν Ἐξόδῳ ζητημάτων.

Ὁ σοφιστικὸς, γνώμας ἂν ἑτέρας, λόγοις εὖ συνέδησε χρῆται· διέξεισι μὲν γὰρ ἀκουστοὺς τοὺς ἀρετῆς ἑκάστης ἐπαίνους, οἷα λόγῳ πολὺς ἐπὶ θήρᾳ τῶν ἀκουόντων· ὁ δὲ βίος ἐστὶν αὐτῶν πάντων ἀνάπλεως ἁμαρτημάτων· καί μοι δοκεῖ τῶν ἐπὶ σκηναῖς ὑποκριτῶν διαφέρειν οὐδὲν, οἳ πολλάκις ἠμελημένοι καὶ ἄφρονες ἄνθρωποι διεφθαρμένοι τινὲς δὲ καὶ θεραπεύοντες, εἰς ἥρωας ἀσκοῦνται· μικρὸν δὲ ὕστερον ἀποθέμενοι τὴν σκευὴν, τὰ τῆς ἰδίας ἀδοξίας ἀναφαίνουσι σημεῖα.

Τιτ. περὶ ὑβριστοῦ.

Κυρίλλου ἐκ τοῦ ιβ τῶν κατὰ Ἰουλιανοῦ.

Τὸ μὲν κακῶς ἀγορεύειν οὐκ ἂν ἐπαινέσαι τις, εὔδηλον οἶμαι παντί· δημῶδες ὅμως τοῦτο καὶ ἀγοραῖον.

Ἐκ τοῦ ιζ τοῦ αὐτοῦ.

Πᾶν αἰσχρὸν καὶ ἀκαλλὲς, καὶ τοῖς εὖ βιοῦν ᾑρημένοις ἀνάρμοστον τὸ ὑβρίζειν ἐστὶ, καὶ οὐκ ἄν τις εἴη τοιοῦτος τῶν ἐν ἐφέσει σεμνότητος καὶ ἐπιεικείας.

Τιτ. περὶ ὕπνου.

Κλήμεντος ἐκ τοῦ α στρώματος.

Ὅσα περὶ ὕπνου λέγουσι, τὰ αὐτὰ χρὴ καὶ περὶ θανάτου ἐξακούειν· ἑκάτερος γὰρ δηλοῖ τὴν ἀποστασίαν τῆς ψυχῆς, ὁ μὲν μᾶλλον, ὁ δὲ ἧττον (1).

Τιτ. περὶ φθόνου.

Τοῦ μακαρίου Κυρίλλου ἐκ τοῦ ιη λόγου τοῦ κατὰ Ἰουλιανοῦ.

Τοῖς οὐκ ἔχουσι βίον τὸν ἐπαινετὸν καὶ τεθαυμασμένον, φορτικὸν ὡς ἔοικε τὸ εὐδοκιμεῖν ἑτέρους εὐζωΐᾳ καὶ ἀρετῇ· ἔγκλημα γὰρ τῆς ἑαυτῶν φαυλότητος ποιοῦνται χρήματα, καὶ ταῖς ἑτέρων εὐκλείαις ἐπαχθεσμένοι, τὴν τῆς βασκανίας ἀδίνουσι φλόγα· καί τοι μᾶλλον ἐχρῆν ζηλοῦντας ἑλέσθαι τὸ ἄμεινον, καὶ πάντας ἰόντας καλὴν ἁμιλλᾶσθαι φιλεῖν τοῖς ὧδε λαμπροῖς, οὐ φιλοψογίας παρέστασθαι πρόφασιν, ἃ κατορθοῦν οὐ δὲ δύνανται.

Φίλωνος ἐκ τοῦ ς τῶν ἐν Γενέσει ζητημάτων.

Οἱ βασκανίᾳ καὶ φθόνῳ ῥηγνύμενοι τῆς περὶ ἑτέρους εὐπραγίας ὀλιγοροῦσι καὶ τῆς αὐτῶν ἐξ ἐκείνων ὠφελείας, ἄμεινον ἡγούμενοι βλάπτεσθαι μᾶλλον, ἢ ὑφ' ὧν οὐκ ἐθέλουσιν εὐεργετεῖσθαι· ζημίαν γὰρ ὑπολαμβάνουσι τὰς ὑπὸ τῶν βελτίστων προτεινομένας χάριτας.

Τιτ. περὶ φιλαυτίας.

Τοῦ μακαρίου Διονυσίου ἐκ τοῦ περὶ φύσεως.

Ἐπεὶ καὶ σύμβουλος ἀγαθὸς ὤφθη ξένοις ὁ πολλάκις ἐν οἰκείᾳ βουλῇ σφαλῶν, τυφλώττει μέν τις ἐπὶ πολὺ περὶ τὰ αὐτοῦ προσήκοντα διὰ φιλαυτίαν· ἀπροσπαθῶς δὲ καὶ σχολαζούσῃ τῇ διανοίᾳ τοῖς ἐκτὸς προσιὼν, ῥᾷον αὐτὸν εὐσύνοπτον ἔχει καὶ καταφανῆ τὴν διάθεσιν· εἶτα ἐκείνοις συγκροτηθεὶς καὶ διασεισθεὶς ἐν τρεχοντέροις τε νοεῖν γενόμενος καὶ ἑαυτοῦ ποτε συνεθίσεται, εἴ γε καὶ τῆς ἐν τοῖς περικειμένοις ἀληθείας ὀξυδερκὴς ἐπιγνώμων γένοιτο.

Τοῦ αὐτοῦ ἐκ τοῦ περὶ ἐπαγγελιῶν β.

Συμβαίνει πολλάκις καὶ τῶν σοφῶν τινας παρορᾶν τινα, τῆς ἰδίας διανοίας κρίσει μᾶλλον δὲ εἴσω φιλαυτίας ῥέποντας.

Τοῦ αὐτοῦ ἐκ τοῦ κα κεφαλαίου.

Ἀλλὰ πέπυσται ὡς ἁπάντων χαλεπώτατον αὐτὸν γινώσκειν καὶ θεραπεύειν διὰ τὸ προσπεφυκέναι ἀνθρώποις τὸ φίλαυτον, καὶ κλέπτειν τὴν τῆς ἀληθοῦς κρίσιν ἑκάστου τῇ περὶ ἑαυτοῦ προσπαθείᾳ.

Φίλωνος ἐκ τοῦ β τῶν ἐν Γενέσει ζητημάτων.

Οἱ ἑαυτῶν μόνων ἕνεκα πάντα πράττοντες, φιλαυτίᾳ τὸ μέγιστον κακὸν ἐπιτηδεύουσιν, ὃ ποιεῖ τὸ ἄμικτον, τὸ ἀκοινώνητον, τὸ ἄφιλον, τὸ ἄδικον, τὸ ἀσεβές· τὸν γὰρ

(1) Hic quoque locus videtur pertinere ad lacunam libri I.

Digitized by Google

ἄνθρωπον ἡ φύσις κατεσκεύασεν οὐχ' ὡς τὰ μονωτικὰ θηρία, ἀλλ' ὡς τὰ ἀγελαῖα ϗ σύννομα κοινωνικώτατον, ἵνα μὴ ἑαυτῷ μόνῳ ζῇ, ἀλλὰ ϗ πατρὶ ϗ ἀδελφοῖς ϗ γυναικὶ ϗ τέκνοις ϗ τοῖς ἄλλοις συγγενέσι, ϗ πατρίδι ϗ ὁμοφύλοις ϗ πᾶσιν ἀνθρώποις, ϗ πολὺ πρότερον τῷ πατρὶ ϗ ποιητῇ.

Εὐαγρίου.

Ὦ λύπη τῆς φιλαυτίας τῆς πάντα μισούσης.

Τιτ. περὶ φονέων.

Φίλωνος ἐκ τῶν ἐν τῷ νόμῳ ζητημάτων.

Ὡς δεινὸν παρὰ τὸ δέον παθεῖν, ϗ ἀρπάζειν τι παραδοθέν.

Τιτ. περὶ ὀφθαλμοῦ (1).

Φίλωνος ἐκ τοῦ α τοῦ ἐν ἐξόδῳ ζητημάτων.

Ὅρασις παρὰ τὰς ἄλλας αἰσθήσεις ϗ ταύτῃ διαφέρει, ὅτι αἱ μὲν ἄλλαι τοῖς αἰσθητοῖς ἐγκαταμίγνυνται, οἷον ἡ γεῦσις ἀνακιρνᾶται τοῖς χυμοῖς, ϗ ἡ ὄσφρησις τοῖς ἐπαναδιδομένοις ἀτμοῖς, ϗ αἱ ἀκοαὶ ταῖς φωναῖς ἐνδυομέναις εἰς τὰ ὦτα· ἐπὶ δὲ τῆς ὁράσεως τὸ παραπλήσιον οὐ γίνεται· οὔτε γὰρ αὐτὴ διὰ τοῦ βάθους τῶν σωμάτων χωρεῖ, ψαύει δὲ τῶν ἐπιφανειῶν μόνων κατὰ τὴν προσβολὴν, οὔτε τὰ σώματα εἰς τὴν ὄψιν εἰσδύεται.

ΤΕΛΟΣ.

(1) Fragmentum hoc ceteris huius tituli addendum est p. 100. col. 2. Quod autem ibidem est Philonis, incipiens τὰ αὐτὰ παθήματα, pertinet ad praecedentem titulum περὶ ἀγρυπνίας etc.

Digitized by Google

ΤΟΥ ΠΑΝΣΟΦΟΥ ΜΟΝΑΧΟΥ

ΚΥΡ ΛΕΟΝΤΙΟΥ ΙΕΡΟΣΟΛΥΜΙΤΟΥ

ΑΠΟΡΙΑΙ

ΠΡΟΣ ΤΟΥΣ ΜΙΑΝ ΦΥΣΙΝ ΛΕΓΟΝΤΑΣ ΣΥΝΘΕΤΟΝ

ΤΟΝ ΚΥΡΙΟΝ ΗΜΩΝ ΙΗΣΟΥΝ ΧΡΙΣΤΟΝ

ΚΑΙ ΜΑΡΤΥΡΙΑΙ ΤΩΝ ΑΓΙΩΝ ΚΑΙ ΑΝΑΛΥΣΙΣ ΤΟΥ ΔΟΓΜΑΤΟΣ ΑΥΤΩΝ.

SAPIENTISSIMI MONACHI

DOMINI LEONTII HIEROSOLYMITANI

QUAESTIONES

ADVERSUS EOS QUI UNAM DICUNT NATURAM COMPOSITAM

DOMINI NOSTRI IESU CHRISTI

ITEM SANCTORUM TESTIMONIA ET SENTENTIAE IPSORUM EXPLICATIO.

α. Ἀλλὰ ταῖς αὐτῶν ἀπαντήσαντες ἀπορίαις ὀλίγα τινὰ νῦν ἐκ πλειόνων καὶ ἡμεῖς αὐτοῖς ἀντιπροβλήσωμεν· εἴπωμέν τι πρὸς αὐτούς, ὅτι εἰ ὁμοούσιος ἡμῖν τε καὶ τῷ πατρὶ ὁ Χριστὸς κατὰ τὴν μίαν αὐτοῦ οὐσίαν ἣν φατὲ γνωρίζεται, καὶ ἡμεῖς δηλαδὴ ὁμοούσιοι τῷ πατρί· τὰ γὰρ τῷ αὐτῷ κατὰ τὸ αὐτὸ ὅμοια, καὶ ἀλλήλοις ὅμοια.

β. Φύσιν ἐκ φύσεων γενέσθαι λέγοντες, εἰ μὲν ὁμώνυμον ταῖς πρώταις αὐτὴν φατέ, δῆλον ὡς οὔτε Θεὸν, οὔτε ἄνθρωπον αὐτὸν ἐροῦσιν· εἰ δὲ συνώνυμον, θατέρᾳ ἔσται πάντως· οὐ γὰρ ἀλλήλαις συνώνυμοι ἑκατέρα· ἢ οὖν Θεὸς, ἢ ἄνθρωπος ἔσται μόνον καὶ αὐτή· εἰ γὰρ ἀλλήλαις αἱ δύο μὴ συνώνυμοι, οὐδὲ τὸ τῇ μιᾷ συνώνυμον, καὶ τῇ ἑτέρᾳ συνώνυμον ἔσται· ὥσπερ γὰρ τὸ ἴσον ἄνισον, καὶ τῷ ἑτέρῳ τῶν ἴσων ἄνισον· οὕτω καὶ τὸ ἀνίσου ἴσον, ὁμοίως καὶ πρὸς τὸ ἕτερον ἄνισον.

γ. Εἰ ἀεὶ σώζοιτο ἡ ἕνωσις ὑπάρχουσα οὐσία, εἰ τ' οὖν ἐν οὐσίᾳ ἀεὶ, τίνα ἑνοῖ; οὐ γὰρ ὡς ἡ τοῦ χρόνου φύσις μετὰ τὸ γενέσθαι εὐθὺς φθειρομένη, οὕτως καὶ ἡ τῆς ἑνώσεως ἡ φύσις· τῶν γὰρ πρός τι οὖσα, ἅμα τῇ φύσει καὶ τῷ χρόνῳ, τοῖς ἡνωμένοις ἐστὶν ἐφ' ὅσον λέγοιντο ἡνωμένα· ἐν τούτῳ οὖν ἡνωμένοις ἐστὶν ἀεὶ, καθ' ὃν καὶ ἡνωμένα λέγεται, ἀπὸ τοῦδε τῆς σχέσεως παρωνύμως· γενομένης δὲ ἤδη, ὡς οὗτοί φασι, μιᾶς ἀληθῶς φύσεως, ἐκ τῶν δύο φύσεων τῶν ἑνωθεισῶν, χώραν οὐκ ἔξει λοιπὸν ἡ ἕνωσις ἑνοῦται μὴ ἡνωμένης δυάδος, ἣν ἑνώσει αὕτη ἡ ἕνωσις τοὐλάχιστον ἐν δύο θεωρουμένη πάντως τοῖς ἡνωμένοις· τὸ γὰρ ἓν, ᾗ οὐδὲ ἓν, ἕνωσιν λοιπὸν οὐκ ἐπιδέχεται· γενόμενον γὰρ ἓν, ἑνώσεως λοιπὸν οὐ δεῖται· ἢ οὖν ψευδῶς ἐν τῷ πάντῃ καθ' ὃ ἔστι τὰ δύο εἴρηται αὐτοῖς· ἢ οὐκ ἀληθῶς ἑνοῦσθαι τὰ δύο καθ' ὃ ἤδη γεγόνασιν ἕν, λεχθήσεται· ὥστε καλῶς

φαμὲν εἰ δύο φύσεών ἐστιν ἡ ἕνωσις, μίαν δὲ μᾶλλον τὴν ὑπόστασιν· οὐδὲ γὰρ τὴν φύσιν· δύο γὰρ κατὰ φύσιν τὰ ἑνούμενα, ὡς ἑνούμενα· ἓν δὲ τὴν ὑπόστασιν, ὡς ἡνωμένα.

δ. Πᾶν ἐξ ἀνομοιομερῶν συντεθὲν ὅλον, ἑτερώνυμον ἔχει πρός τι ἑαυτοῦ εἶδος ἑκάτερον εἶδος φυσικὸν τῶν ἑαυτοῦ μερῶν· οὔτε γὰρ ἁπλῶς σῶμα, οὔτε μόνως ψυχὴ ὁ ἄνθρωπος λέγεται, φυσικοῦ εἴδους λόγῳ· οὔτε σῶμα καὶ ψυχή· τὸ γὰρ θνητὸν, ἐν οὐδετέρῳ τούτων εἴδει, ἐν δὲ τῷ ἀνθρώπῳ σαφῶς· εἰ οὖν οὔτε Θεὸς, οὔτε ἄνθρωπος, οὔτε Θεὸς καὶ ἄνθρωπος ἅμα, ἀλλ' ἕτερόν τι εἶδος φυσικὸν ὁ Χριστός· καὶ τί τοῦτο, λεγέτωσαν· εἰ ὁμοειδὲς ἀμφοῖν ταῖς συντεθεῖσι κατὰ πάντα τὸ τοῦ συνθέτου εἶδος, πῶς οὐχὶ καὶ ἰσάριθμον ἔσται αὐταῖς κατὰ τὸν φυσικὸν λόγον;

ε. Εἰ μία φύσις, εἴτ' οὖν οὐσία, μετὰ τὴν ἕνωσιν ὁ Χριστὸς, μία καὶ ἡ ταύτης ἀρχὴ τοῦ εἶναι· δύο γὰρ ἀρχὰς τῆς αὐτῆς οὐσίας καὶ φύσεως, ἤγουν ἀφ' οὗ πέφυκε καὶ ὑπάρχει, εἶναι ἀδύνατον· αὐτὸ γὰρ τοῦτο τὴν ὕπαρξιν ἡ οὐσία δηλοῦσα, ὅτε γέγονε, τότε καὶ ὑπάρχει· ἡ οὖν ἀρχὴ τοῦ εἶναι ταύτης τῆς συνθέτου φύσεως, πότε τε καὶ πῶς; εἰ μὲν γὰρ πρὸ τῆς ἑνώσεως, οὐ μετὰ τὴν ἕνωσιν μία λέγοιτο, δηλαδή· ἦν γὰρ καὶ πρὸ τῆς ἑνώσεως μία, οὔτε δὲ ἑνώσεως χρεία ἦν εἰς τὸ μίαν εἶναι αὐτήν· εἰ δὲ ἀπὸ τῆς προσφάτου ἑνώσεως ἡ ταύτης ἀρχὴ, πῶς ἀΐδιον ἔτι καὶ προαιώνιον καὶ θείαν ὁμολογήσομεν τὴν ἐπὶ τῶν Αὐγούστου χρόνων προελθοῦσαν εἰς τὸ εἶναι φύσιν;

ς. Πᾶσα ἕνωσις εἰς φύσιν τινὰ καινοτέραν ἀπαρτιζομένη τὰ καὶ ἡνωμένα, δείκνυσιν αὐτὴν ἔχουσαν τινὰ ἃ οὐδεμία τῶν ἑνωθεισῶν φύσεων καθ' ἑαυτὴν κέκτηται· καὶ γὰρ οὔτε ψυχῆς φύσις, οὔτε σώματος καθ' ἑαυτὴν πώποτε πεινῇ ἢ διψῇ ἢ ῥιγῇ ἢ καυσοῦται ἢ ἱδροῖ ἢ ἀποθνήσκει ἢ γελᾷ ἢ κλαίει ἢ ἁπλῶς αἰσθάνεται αἰσθητῶς αἰσθητοῦ, ὥσπερ οὐδὲ ὁ αὐλὸς ἰδίᾳ, οὐδὲ ὁ αὐλητὴς καθ' ἑαυτὸν λαλεῖ· τί οὖν ὁ κύριος, ὁ μήτε Θεὸς μήτε ἄνθρωπος, ἰδίᾳ ἔχειν ἐπεδείξατο; οἰκὸς οὖν φασὶ ὡς τὴν ἐφ' ὕδατος σωματικὸν περίπατον καὶ τὰ τοιάδε· ἀλλὰ τόδε κατανοητέον οὐ φύσεως ὂν ἰδίωμα συνθέτου· καὶ εἷς γὰρ μὴ κατ' οὐσίαν εἰς φύσιν ἢ εἰς ὑπόστασιν σύγκειται τῶν ἁγίων ὁ Θεὸς πολλάκις ἐποχεῖσθαι τῶν ὑδάτων πεποίηκε σώματι μεταβατικῶς ἐν αὐτοῖς περιερχομένους· εἰ οὖν οὐδέν ἐστι φυσικὸν ἰδίωμα Χριστοῦ ἰδικῶς, οὐδὲ φύσις αὐτοῦ μία τίς μόνον ἰδική· οὔτε γὰρ κατὰ σύγχυσιν, ὡς τὰ οἰνόμελα· οὔτε κατὰ μετουσίωσιν, ὡς τὸ ὕδωρ τῶν αἰγυπτίων αἷμα γεγονός· οὔτε κατὰ ἀλλοίωσιν, ὡς ὁ χαλκὸς εἰς ἰὸν ἀμείβεται· οὔτε κατὰ φυσικῆς ἑνώσεως ἀνάγκην, ὡς ψυχὴ εἰς σῶμα ἀνθρώπου γέγονεν· ὅτι μὲν τράγου τὸ μηκαστικὸν ἔχοντος, ἀνθρώπου δὲ ἰδίως τὸ κροτολαστικὸν, εἴτις ὁ αὐτὸς κροταλιστὴς καὶ μηκάζοι ἀνήρ, μεμηνὼς τῶν ἑτεροφυῶν, οὐ σύνθετον δείκνυσι τὴν φύσιν αὐτοῦ δηλαδή, ἀλλὰ δύο φύσεων ἰδικὰς ἐνεργείας ἐκ τῆς αὐτῆς μιᾶς φύσεως αὐτοῦ· οὕτως γοῦν καὶ τὸ μεταβατικῶς κινεῖσθαι, ἀνθρωπίνης φύσεως ἦν· τὸ δὲ μὴ καταδύεσθαι τὴν βαρυτέραν τοῦ σώματος φύσιν ὑποχεομένου τῇ τοῦ ὕδατος κουφοτέρᾳ φύσει, ἀλλὰ ἐπιβαίνεσθαι τὴν στερροτέραν τῇ μανοτέρᾳ, τοῦτο θείας ἦν φύσεως, ποιούσης ἰδιοποιήτως πάσας, ποιοῦσα καὶ μεταποιοῦσα, καὶ συνιστῶσα καὶ μετατιθεῖσα, καὶ ἀπομοιοῦσα τὰς φύσεις δύναται, πλὴν ἐκ τοῦ αὐτοῦ προσώπου· σαφῶς οὖν ἐν τοῖς τοιοῖσδε θεία καὶ ἀνθρωπίνη φύσις συνεργοῦσαι ὁρῶνται· οὐ μὴν ἑτέρα φύσις συντεθεῖσα, ἐκ τῶνδε ἡμῖν καθορᾶται.

ζ. Εἰ μηδὲν πλέον ἢ ἔλαττον ταῖς δύο φύσεσιν ἡ σύνθεσις ἡ ἀσύγχυτος πλὴν τῆς πρὸς ἀλλήλας ἑνώσεως δείκνυσιν, ἕνωσις δὲ οὔτε φύσις ἐστὶν, οὔτε μὴν ἀλλοίωσις, ἢ λεῖψις, ἢ πρόσθεσις φύσεως, πῶς ἄνευ προσθέσεως, ἢ λείψεως, ἢ ἀλλοιώσεως φύσεως, τὸ κατ' ἀριθμὸν ποσὸν τῶν ἑνωμένων φύσεων, πλέον ἢ ἔλαττον φανήσεται, ἵνα ἢ τρεῖς ἢ μίαν τὰς οὐσίας δύο οὔσας, μεταποιήσῃ; εἰ δὲ ἄρα καὶ πλεῖόν τι ἑνώσεως ἀσυγχύτου ταῖς φύσεσιν ἐπεισάγειν τολμῶσι ποιητικὸν ἀπαραστατικὸν ἁπλῶς φύσεως, λεγέτωσαν ἡμῖν παῤῥησίᾳ, τί τοῦτο δὴ διανοοῦνται.

Digitized by Google

η. Εἰ ἐκ δύο φύσεων ἡνωμένων ἀσυγχύτως μίαν ποιεῖν θέλετε, ἐκ δύο φύσεων ἡνωμένων κατὰ σύγχυσιν τί ἕτερον γίνεται; ἢ οὖν δύο εἶναι φύσεις ἐκ τοῦ ἀσυγχύτου λόγου ἐπὶ Χριστοῦ ἐροῦσιν, ἢ τίς ἡ διαφορὰ τοῦ ἀσυγχύτου πρὸς τὴν σύγχυσιν ἐν τῇ τῶν φύσεων ἑνώσει λέγειν εἰσπραχθήσονται· εἰ καὶ λέγουσιν ὅτι οὐ συγχέομεν, τί γὰρ πλεῖον ἐρεῖ ὁ λέγων σύγχυσιν; εἰπάτωσαν γὰρ καὶ τοῖς νεστοριανοῖς, δύο ὑποστάσεις λέγουσι καὶ πράξεων ἀνάδειξιν, ὅτι οὐ διαιροῦμεν, τοῦτο φαμὲν ὅτι τί γὰρ ἄλλο παραστήσει τὸν διῃρημένον; οὐ γὰρ ἐστιν ἑτέρως τὰ πάντη ἀδιακρίτως συγκείμενα, πλὴν τοῦ λέγειν μιᾶς ὑποστάσεως φύσεως εἶναι· οὔτε τὰ πάντη διακεκριμένα, ἢ τὸ λέγειν δύο φύσεις καὶ ὑποστάσεις εἶναι.

θ. Εἰ μία φύσις τοῦ δεσπότου ἡμῶν Χριστοῦ μετὰ τὴν ἕνωσιν, εἴπωμεν πρὸς αὐτούς· ἆρά γε φατὲ ὦ οὗτοι κρειττωθῆναί πως ταύτην πᾶσαν μετὰ τὴν ἁγίαν αὐτοῦ ἀνάστασιν, ἢ οὐχί; ἢ πᾶσαν μὲν οὐχί, ἓν δέ τι λέγεται ἐν αὐτῇ τῇ ἀναστάσει τοῦ δεσπότου κρειττούμενον, καὶ ἕτερον μὴ κρειττούμενον; εἰ μὲν οὖν εἶναί τι τέλειον καὶ φυσικὸν τὸ κρειττούμενον κατὰ φύσιν, καὶ ἕτερον τέλειον φυσικὸν κρειττοῦν κατὰ φύσιν ἐν τῇ ἁγίᾳ αὐτοῦ ἀναστάσει φατέ, αὐτόθεν ἡμῖν ἰδοὺ τὰς δύο φύσεις συνομολογεῖτε· καὶ εὐχαριστία τῷ κοινῷ πατρὶ ἐπὶ τῇ τῶν ἀδελφῶν ὑγιᾷ ἀπολήψει.

ι. Οἱ ἐπινοίᾳ μόνον ὁρᾶν φάσκοντες τὸ δυττὸν τῶν φύσεων ἐπὶ Χριστοῦ μετὰ τὴν ἕνωσιν, λεγέτωσαν ἡμῖν τὴν φυσικὴν διαφορὰν τοῦ ἀοράτου καὶ ὁρατοῦ ἐν Χριστῷ, ἐπινοίᾳ ἴσασιν ἀλλ' ἑτέρως; εἰ μὲν οὖν τῇ αὐτῇ ἐπινοίᾳ καὶ τὴν διαφορὰν ἴσασι τὴν φυσικὴν ἐν τῷ αὐτῷ, ὥσπερ ταύτην ὁμολογοῦσι, κἀκείνην ἀναγκασθήσονται· ἢ εἰ πλάσμα ἐστὶν ἐκείνη, καὶ ταύτην οὕτως ἔχειν λέξονται. εἰ δὲ τὴν διαφορὰν οὐκ ἐπινοίᾳ ἀλλ' αἰσθήσει ὁρᾶν αὐτῇ εἴποιεν, τὸ ἀόρατον αἰσθητῶς ὁρᾶν διαβεβαιούμενοι, θαυμασθήσονται· εἰ δὲ ἐπινοίᾳ μὲν ἄμφω ὁρῶσιν, ἀλλὰ τὴν μὲν διαφορὰν τῇ τῶν ὄντων κριτικῇ καὶ τῇ ὑπὲρ αἴσθησιν καταληπτικῇ, τὴν δὲ δυάδα τῇ τῶν μὴ ὄντων ἀναπλαστικῇ, πρῶτα μὲν τί μὴ καὶ δέκα καὶ εἴκοσι καὶ τριάκοντα φύσεις ἀναπλάττομεν Χριστῷ, ἀλλὰ δύο μόνον; τίς δὲ καὶ ὀνομοθέτησεν ἡμῖν πλάσματα δογματίζειν ἐπὶ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ, καὶ φαντασίαις μόναις ἀπαιωρεῖσθαι τὴν πίστιν; εἰδωλολατρεῖν δὲ οὐκ ἔξωθέν πως ἀλλ' ἐν αὐτῇ ἡμῶν τῇ ψυχῇ, τὰ μὴ ὄντα ἀναπλαστοῦντας, εἶτα καὶ μυθολογοῦντας αὐτὰ τοῖς λοιποῖς; ταῦτα γὰρ δεδιότα πᾶν τὸ τῆς εὐσεβείας μυστήριον, καὶ τοὺς διδασκάλους πάντας ἅμα μιᾷ προλήψει τῇ τοῦ ψεύδους ἀβεβαιότητι διασύραντα καταστρέφει. Ἔτι δὲ λεγέτωσαν ἡμῖν οὕτω· εἰ ἄρα γε κατὰ ταύτην αὐτὴν τὴν ἐπίνοιαν, καθ' ἣν δύο φασὶ τὰς φύσεις, ἔξεστι τινὶ πατέρων ἢ ἀποστόλων εἰπεῖν δέκα τὰς φύσεις Χριστοῦ, ἢ πεντήκοντα, ἢ οὐδενὶ ἀληθῶς; εἰ μὲν γὰρ ἐξὸν ἀληθῶς εἰπεῖν, τί μὴ ἔφασαν τἀληθές; καί τοι τούτου ζητουμένου πάλαι, πόσαι ἂν εἶεν Χριστοῦ αἱ φύσεις; εἰ δὲ μὴ ἔστιν ὑπὲρ τὰς δύο ἀληθῶς ἐπινοῆσαι τὰς φύσεις Χριστοῦ, δῆλον ὡς τοῦ πράγματος τὴν ἀλήθειαν τοῦδε τοῦ ἀριθμοῦ ἔχοντος· εἰ δὲ πράγματι καὶ ἀληθείᾳ ἐπινοοῦνται, τί οὖν ἀναπλαστικῶς νενόηνται καὶ φαντάζονται ψευδῶς; τοῦτο γὰρ διαιρετέον ἁπλῶς τὰς ἐπινοίας, ὅτι ἡ μὲν ἀληθὴς ὑπὸ τῶν ὄντων γίνεται ἡμῖν, ἡ δὲ ψευδὴς τὰ μὴ ὄντα γεννᾷ ἐν ἡμῖν· εἰσὶν οὖν ἀληθῶς δύο τῇ ἐπινοίᾳ αἱ φύσεις Χριστοῦ· καὶ γὰρ καὶ ἡνωμέναι τῇ ἐπινοίᾳ ἡμῶν εἰσὶ θεωρηταὶ μόνον· τὸ γὰρ φύσει ἀόρατον, οὐδ' ὅτε ἥνωται τινὶ ὁρατόν, εἰ μὴ τῇ ἐπινοίᾳ· ἀλλ' ἐπεὶ ἅμα νοεῖν πλείονα, καὶ περὶ πλειόνων νοήματα ὁ νοῦς ἡμῶν οὐ δύναται, ἀναγκαίως καὶ τὴν ἕνωσιν ὑποδιαστέλλοντες τῶν ἡνωμένων, ἐν τῷ κρίνειν ἕνωσιν καὶ ἡνωμένα, ὁρῶμεν τὴν διάφορον ἑκάστου λόγον· καὶ τῶν ἡνωμένων ἕκαστον κατ' ἰδίαν σκοποῦντες, ποῖα καὶ πόσα ἔχει ἴδια γνωρίζομεν· εἰ γὰρ μὴ οὕτως γνῶμεν, οὐδὲ τὴν ἕνωσιν νοοῦμεν· αὕτη γὰρ διὰ τῆς ἀντιδόσεως τῶν ἰδίων καθορᾶται· ἅμα δὲ πάντα τὰ ἡνωμένα, καὶ τὰ ἴδια αὐτῶν, καὶ τὰ τῆς ἑνώσεως ἴδια νοεῖν, οὐκ ἔστιν οὐδενὶ μιᾷ καὶ ἁπλῇ

φαντασίᾳ· ἀναγκαίως οὖν τὰς μὲν διαστολὰς τῶν ἡνωμένων κατὰ φαντασίαν ἀναπλάττομεν τῇ ἐπινοίᾳ· ἀλλὰ καὶ τόδε, οὐ δεῖ τὸ ψεύδεσθαι τῇ ἐπινοίᾳ ἐν ἑαυτοῖς τὴν διάκρισιν τῶν συγκειμένων, οὐ γὰρ οὗτος ἦν σκοπὸς, ἀλλὰ δεῖ τὸ τῆς φύσεως ὑμῶν ψευδὲς, ὡς εἰπεῖν, πᾶς γὰρ ἄνθρωπος ψεύστης, οὐ δυναμένων ὑφ' ἓν τὰ πολλὰ νοεῖν ἡνωμένα, εἰ μὴ δεῖ τοῦδε τοῦ τρόπου ἐφιστῶμεν τῇ τῶν ἡνωμένων ἀληθείᾳ, πόσα τε καὶ ὁποῖα ἰδικῶς ἐστιν ἕκαστον· τούτου δὲ μὴ γνωσθέντος, οὐδ' ὅτι ὄντως πλείονα ἥνωταί τινα καταληφθήσεται· ἀγνοεῖται ἄρα καὶ ἡ ἕνωσις οὐκ οὖσα, καὶ ἐπινοίᾳ ψευδεῖ διάστασις τῶν ἡνωμένων, ἵνα ἐπινοίᾳ ἀληθεῖ γνωσθῇ ἡ ἕνωσις αὐτῶν, λαμβάνεται· ἓν γὰρ μόνον ὁρῶσά τι ἡ αἴσθησις, οὔτε εἰ φύσει οὔτε εἰ ἑνώσει ἐστὶν ἓν, δύναται διακρίνειν.

ια. Ἡ μία φύσις, ἥν φατε ἀδελφοὶ, μετὰ τὴν ἕνωσιν, ἢ ταυτὴ ἔσται τῷ ἀριθμῷ μία τῶν πρὸ τῆς ἑνώσεως φύσεων, ἐξ ὧν λέγετε εἶναι αὐτὴν δύο φύσεων, ἢ οὐχί· εἰ μὲν οὖν οὐ ταυτὴ, οὐχ ὁ αὐτὸς Θεὸς ὁ πρὸ σαρκὸς, καὶ ἐν σαρκὶ, ἤγουν ὁ μετὰ τὴν ἕνωσιν καὶ πρὸ τῆς ἑνώσεως, εἷς τῷ ἀριθμῷ, ἀλλ' ἕτερος ἐν τῷ λόγῳ, καὶ ἕτερος ἐν Χριστῷ· εἰ δὲ ταυτὴ τῷ ἀριθμῷ τῇ τοῦ λόγου φύσει ἐστὶν, ἄσαρκος ἄρα καὶ μετὰ τὴν ἕνωσιν ὁ λόγος, ἢ σύνθετος σαρκὶ καὶ πρὸ τῆς ἑνώσεως.

ιβ. Πᾶν τὸ ὂν, κτιστὸν ἢ ἄκτιστόν ἐστι· τὸ γὰρ τούτων μέσον, οὐδὲ οἱ τοὺς τραγελάφους ἀναπλάττοντες, καθώς φησιν ὁ πατὴρ, δώσουσιν· εἰ οὖν μία φύσις ἐστὶ Χριστοῦ, εἴπερ ἄκτιστός ἐστι, τίς ἡ ἐκ τῆς ἁγίας παρθένου; εἰ δὲ κτιστή ἐστι, τίς ἡ ὁμοούσιος τῷ ἀκτίστῳ πατρί; ὁμοίως δὲ καὶ εἰ ἀγένητος, καὶ εἰ ἄχρονος αὕτη ἐστὶ, τίς ἡ γενομένη ἐκ γυναικός; καὶ τοῦτο ὅτε ἦλθε τὸ πλήρωμα τοῦ χρόνου ἐν ὑστέροις καιροῖς· εἰ δὲ γενητὴ καὶ ὑπὸ χρόνον, τίς δι' ἧς πάντα γέγονε, καὶ δι' ἧς τοὺς αἰῶνας ὁ πατὴρ ἐποίησε; καὶ πῶς μήτε ἀρχὴν ζωῆς, μήτε τέλος ἡμερῶν ἔχων ὁ Χριστὸς, κατά τε τόδε ἀφομοιούμενος τῷ Μελχισεδὲκ; τὸ γὰρ ἁπλῶς ἓν κατὰ τὸ αὐτὸ ἐν ταυτῷ τῶν ἐναντίων τοὺς λόγους οὐκ ἐπιδέξεται, ὡς πολλάκις εἴρηται.

ιγ. Ὁ μεσίτης Θεοῦ καὶ ἀνθρώπων ἆρά γε μέσος αὐτοῖς εἶναι δοκεῖ ὑμῖν καὶ κατὰ τὸν φυσικὸν λόγον, ἢ μόνον κατὰ γνωμικὴν σχέσιν, καὶ συμβιβαστικὸν σκοπόν; εἰ μὲν οὖν κατὰ γνώμην μόνον, κατὰ φύσιν ἓν θάτερον τῶν δύο, ἢ ἕτερον τί ἐστι παρὰ τὰ δύο· εἰ δὲ οὖν, ἀνάγκη καὶ κατὰ φύσιν εἶναι αὐτὸν μέσον· τὸ δὲ μέσον, ἀνάγκη ἢ οὐδέτερον τῶν μεσαζομένων μετέχειν ἀπὸ μέρους ἑκατέρῳ, ἢ ὅλων τῶν ἑκατέρων λόγων ὃ βούλεσθε, ἡμῖν ἀποκρίνασθε.

ιδ. Ὁ ἀπόστολος μετὰ τὴν ἕνωσιν δηλαδὴ τὴν ἐν Χριστῷ λαβοῦσάν τε καὶ ληφθεῖσαν μορφὴν οἶδεν, ἤγουν φύσιν· αὗται δὲ ὅτι οὔτε μία οὔτε ὁμοίως ἔχουσι, παντὶ δῆλον.

ιε. Εἰ δεῖ τὸ τοῦ ἀνθρώπου εἰρημένον τινὶ τῶν πατέρων παράδειγμα τὰς δύο φύσεις οὐχ οἷόν τε σώζεσθαι ἐν Χριστῷ, λεγέτωσαν ἡμῖν, οἱ ἀποκτείνοντες τὸ σῶμα, φύσιν ἀποκτείνουσιν, ἢ οὐχί; καὶ οἱ τὴν ψυχὴν μὴ δυνάμενοι ἀποκτεῖναι, φύσεως οὐ κατισχύουσιν ἑτέρας παρὰ τὸ σῶμα, ἢ οὐ δῆτα; εἰ οὖν ἄνθρωποι ὄντως ἦσαν οἷς ἐνετέταλτο ὑπὸ τοῦ κυρίου μὴ φοβεῖσθαι ἀπὸ τῶν τοιῶνδε, δῆλον ὡς ἐν ἑνὶ αὐτοῖς τῶν δύο φύσεων ταῦτα εἴρηται, ἤγουν τῆς τε ἀποκτεινομένης καὶ τῆς μὴ ἀποκτεινομένης.

ις. Εἰ ἥνωται φύσις τὸ οὐσίᾳ καὶ θεότητος ἡ τοῦ λόγου, καὶ φύσει οὐσίᾳ καὶ ἀνθρωπότητος ἡ τῆς σαρκὸς, πῶς οὐ δύο φύσεις ἄτρεπτοι ἐν τῷ Χριστῷ;

ιζ. Ἔτι ἡ διαφορὰ, τινῶν διαφορά· τῶν γὰρ ἔν τινι καὶ οὐ τῶν καθ' αὑτὰ νοουμένων ὁ ταύτης λόγος· διαφορὰν οὖν εἰ λέγοντες, καὶ διαφέροντα εἶναι ἐν Χριστῷ δώσετε· ποῖα δὲ ταῦτα, δύο τοὐλάχιστον φήσετε· τίνα δὲ ταῦτα ἐστὶν ἐρωτώμενοι, θεότητα καὶ ἀνθρωπότητα ὀνομάσετε, ὡς οἶμαι· τί δὲ τάδε τῶν ἐν τοῖς οὖσιν ἐστὶ ἀποκριθέντες, εἴπερ μὴ ἓν ποιὰ, ἢ ποσὰ, ἢ σχέσεις, ἢ τί τοιόνδε, οὐσίας ὁμολογήσετε πάντως· δύο ἄρα οὐσίας λέγειν ὑμᾶς ἐκ τῆς διαφορᾶς ἐπὶ Χριστοῦ σαφῶς συνάγεται.

ιη. Ἐρωτῶμεν δὲ ὑμᾶς ὅτε ἀδελφοὶ λέγετε κατά τι διακρίνεσθαι τοῦ ἰδίου πατρὸς τὸν

νῦν καὶ λόγον, ἢ οὐχί; ἴσμεν νῦν ὅτι λέγετε, καὶ ὅτι ταὐτὸ ἐστὶ τὴν ὑπόστασιν ὁμολογεῖτε· μὴ γὰρ εἴη ὑμῖν μὴ δὲ ταῦτα βλασφημεῖν, μὴ δὲ τῆς λειπομένης πρὸς τελείαν σύστασιν ἀμοιρεῖν· πάλιν οὖν πυθοίμεθα ὑμῶν καὶ τόδε· τῆς ἰδίας σαρκὸς λέγοιτ' ἂν κατά τι διακρίνεσθαι τὸν λόγον, ἢ οὐχί; εἰ μὲν οὖν κατὰ μηδὲν, ἐγγυτέραν ταύτην τῷ λόγῳ καὶ ἡνωμένην μᾶλλον τοῦ πατρὸς παρεστήσατε, εἴπερ τοῦ πατρὸς καθ' ὑπόστασιν· τῆς δὲ σαρκὸς τῆς ἐν αὐτῷ οὐδὲ κατὰ φύσιν οὐδὲ καθ' ὑπόστασιν διακέκριται ὁ λόγος· εἰ δὲ κατά τι, καὶ ταύτην τοῦ λόγου διακρίνετε διαφορᾶς λόγῳ καὶ οὐ διαιρέσεως, τί τοῦτο ἀποκρίνασθε· εἰ μὲν οὖν τῷ αὐτῷ καθ' ὃ καὶ τοῦ πατρὸς διωρίζετο, ὑποστάσει δὲ αὐτῇ, πρῶτον μὲν δύο τὰς ὑποστάσεις Χριστοῦ δεδώκατε· εἶτα δὲ καὶ ἴσην τῷ πατρὶ κατὰ πάντα τὴν σάρκα παρεστήσατε, εἴ γε τοῖς αὐτοῖς καὶ μόνοις ἔκ τε τοῦ πατρὸς καὶ τῆς οἰκείας σαρκὸς διακρίνεται ὁ λόγος· εἰ δὲ καθ' ἕτερόν τι, ἢ φύσιν ἀνάγκη τοῦτο εἶναι, ἢ τι παρὰ τὴν φύσιν καὶ ὑπόστασιν ἐν τῷ Χριστῷ ἔχοιτε εἰδέναι, σημάνατε ἡμῖν· εἰ δὲ οὐδὲν, πάντως κατὰ φύσεως λόγον δίδοτε τὸν διορισμὸν τοῦ λόγου καὶ τῆς σαρκὸς εἶναι Χριστοῦ· τῶν δὲ διοριζομένων καὶ ἀριθμός ἐστιν, ἐπείπερ τῶνδε δύο ὅροι εἰσίν· ὧν δὲ δύο οἱ ὅροι, δῆλον ὅτι καὶ δύο τὰ ὁριστά· εἰ δὲ τῶν φύσεων οἱ ὅροι εἰσὶ τὰ ὁριστά, δῆλον ὅτι αἱ φύσεις ἀποδειχθήσονται· οὐκοῦν ἀριθμηταὶ σαφῶς αἱ φύσεις Χριστοῦ· καλῶς οὖν ἡμῖν εἴρηται, ὥσπερ μὲν ὑποστάσεων ἐν μιᾷ φύσει ἐστὶ τῆς ἁγίας καὶ ὑπερουσίου τριάδος, ἕνωσις δὲ τῶν φύσεων ἐν μιᾷ ὑποστάσει ἐστὶ τῆς ἁγίας καὶ ἀφράστου σαρκώσεως τοῦ λόγου· τοῦτο γὰρ ἴσως καὶ ὁ λέγων πατὴρ, ἔμπαλιν ἔχειν τὸν λόγον τοῦ κατὰ Χριστὸν μυστηρίου, ἢ ἐπὶ τῆς ἁγίας τριάδος.

ιθ. Ἐρωτῶμεν ἔτι καὶ τόδε· ταύτης τῆς καθ' ὑμᾶς φύσεως Χριστοῦ τοῦ υἱοῦ τοῦ θεοῦ τοῦ ζῶντος, κατὰ τὴν τοῦ Πέτρου ἀσφαλῆ ὁμολογίαν, τὸν θεῖον λόγον τί φατε εἶναι μέρος, ἢ ὅλον; εἰ μὲν γὰρ μέρος, καὶ μέρους φύσεως πατέρα λέγετε τὸν πατέρα· μερικοῦ δὲ ὄντος τοῦ λόγου κατὰ τὴν φυσικὴν υἱότητα, καὶ τοῦ πατρὸς ἔσται κατὰ τὴν φυσικὴν πατρότητα μερικὴ ἡ πατρότης· ἑκατέρα οὖν τῶν δύο θείων ὑποστάσεων τοῦ τε πατρὸς καὶ τοῦ υἱοῦ, ἀνὰ ἥμισυ λείψει τοῦ κατὰ φύσιν λόγου, καὶ οὐκ ἔσται τελεία φύσις ἔν τινι τῶν προσώπων θεωρουμένη τῆς ἁγίας τριάδος· εἶτα δὲ καὶ τῷδε ἐπισκεπτέον τῷ ἀτόπῳ, ὅτι ἔσται οὑτωσὶ λέγειν· ὅτι εἰ μετὰ σαρκὸς τελεία γέγονεν ἡ φύσις τοῦ λόγου, ἐκ τῆς σαρκώσεως τοῦ υἱοῦ πρὸς τὸν ἑαυτοῦ λόγον ὅ τε υἱὸς καὶ ὁ πατὴρ προκόψαν, ἵνα καὶ αὐτὸς τελείου υἱοῦ τέλειος πατὴρ εἴη· εἰ δὲ ταῦτα εὐλαβηθέντες, τὸ ὅλον εἶναι τῆς μιᾶς φύσεως τοῦ Χριστοῦ τὸν ἐν αὐτῷ θεῖον λόγον φατὲ, πρῶτον μὲν ἢ τὸ ὅλον δεδώκατε τοῦ Χριστοῦ καὶ πρὸ Χριστοῦ εἶναι, ἐπείπερ ἦν λόγος καὶ πρὸ τῆς ἑνώσεως αὐτοῦ τῆς πρὸς σάρκα, ἢ τὸν λόγον οὐ λέγετε ὑπάρξαι πρὸ τῆς σαρκὸς Χριστοῦ· ἔσται οὖν οὕτως· πρῶτον εἰκεῖον τὸ ὅλον, εἴπερ Χριστὸς οὐκ ἔστι τὸ ὅλον ὁ θεῖος λόγος, ὁ πρὸ αἰώνων προϋπῆρχε τῆς σαρκὸς ἑαυτοῦ ἢ ἐστι μέρος Χριστοῦ· εἶτα δὲ πάλιν· πῶς ἕξει καὶ μέρος ἑαυτῆς τόνδε τὸν λόγον ἡ μία φύσις, ὃν ἔχει ἤδη ὡς ὅλον, οὐκ ἔστιν ἰδεῖν· οὐ γὰρ τὸ αὐτὸ τοῦ αὐτοῦ μέρος τε καὶ ὅλον ἔσται πώποτε· ἔτι μέντοι καὶ ἡ σὰρξ κατὰ ταύτην ὑμῶν τὴν ἀπόκρισιν ἐκβληθήσεται πάντη Χριστοῦ, τῆς μιᾶς ταύτης ὑμῶν φύσεως ὑπὸ τοῦ λόγου μόνου συμπληρουμένης ἤδη ἢ προσθήσεται καὶ αὐτὴ, καὶ οὐκ ἔσται ὑμῖν κατὰ σκοπὸν ὅτι τὸ συναγόμενον· πᾶν γὰρ τὸ μετὰ τὴν οἰκείαν φυσικὴν ὁλότητα τινὶ ἐπιθεωρούμενον, περισσόν τι πάντως ἐπεισάξει, εἴπερ ὄντως τούτῳ ἡνωμένον ἐστὶ, καὶ οὐ μόνον κατὰ λόγον κτίσεως ἴσως ὑπάρχον αὐτῷ ἔξωθεν ἐπινοηθήσεται· οὐκοῦν εἰ ἄτοπα τάδε ἐστὶν, οὐ δυνατὸν μίαν εἰπεῖν τὴν Χριστοῦ φύσιν, ὡς μέρος ἢ ὡς ὅλον θεωροῦντας τὸν λόγον ἢ τὴν σάρκα ἐν αὐτῇ· ἢ οὖν ἑτέρα τίς ἐστιν ἡ λεγομένη ὑμῖν μία φύσις, παρὰ τὸν λόγον πάντη καὶ τὴν σάρκα, καὶ οὔτε θεὸς οὐδὲ ἄνθρωπός ἐστιν, ἢ οὐ μία πάντως ἀλλὰ δύο ὑπάρχουσιν.

κ. Ἔτι φαμέν. Τὰ συνελθόντα, ὁ λόγος ἐστὶ καὶ ἡ σὰρξ, ὑφ' ὧν γινομένην τὴν ἐκ δύο

ἕνωσιν Χριστοῦ φατὲ, ἢ ἕτερόν τι παρὰ τάδε; ἀλλὰ ταῦτα εἶναι πάντως ἐρεῖτε· μεμένηκε δὲ καὶ λόγος ὁ λόγος, καὶ σὰρξ ἡ σὰρξ μετὰ τὴν ἕνωσιν, οἰκείως ἑνωμένη τῷ λόγῳ, καὶ ἰδία τοῦ ἰδιοποιουμένου αὐτήν· πῶς οὖν οὐ δύο καὶ νῦν, ὡς λόγος καὶ σὰρξ, καὶ ὡς ἴδιον καὶ ἰδιοποιούμενον, ἔσονται;

κα. Κύριλλος ὁ πατήρ φησιν ἐν τῷ πρώτῳ τῶν σχολίων, ὅτι τὸ Χριστὸς ὄνομα οὔτε ὅρου δύναμιν ἔχει, οὔτε μέν τινος οὐσίαν, ὅ τί ποτέ ἐστι, σημαίνει, καθάπερ καὶ τὸ ἄνθρωπος ἢ ἵππος ἢ βοῦς, πράγματος δὲ μᾶλλον ἐνεργουμένου περί τινα ποιεῖται δήλωσιν· εἰ οὖν οὔτε ὁριστικὸν, οὔτε σημαντικὸν οὐσίας τοῦτό ἐστι τὸ ὄνομα, δῆλον ὅτι φυσικῶς οὕτω δὲ προσαγορευτέον τινὶ τὴν καθ' ὑμᾶς μίαν Χριστοῦ φύσιν· ἀλλ' οὐδὲ Θεόν, μέρος γὰρ αὐτῆς ὁ Θεὸς, οὔτε ἄνθρωπον· καὶ τοῦτο γὰρ ὁμοίως ἔχει· τί οὖν τῆς ὁλότητος αὐτῆς ὄνομά ἐστιν, εἴπατε· ὥσπερ τῆς ἀνθρωπότητος ἕτερόν τι παρὰ ψυχὴν καὶ σῶμα καταφάσκομεν· τὸ γὰρ Χριστὸς χρίσιν, φησὶ, σημαίνει περί τινα χριόμενον· ὅτι δὲ οὔτε χρίσις ἄνευ οὐσιωμένου χρίσματος, οὔτε χριόμενος ἀνούσιός τις ἐστὶν, οὔτε ὅτι τὸ χρίσμα καὶ τὸ χριόμενον μία ἐστὶν οὐσία, φανερόν· εἰδότες οὖν καὶ τῶν πραγμάτων καὶ τῶν ὀνομάτων τῶν φυσικῶν διττῶς εὐποροῦντες, δύο φαμὲν τὰς φύσεις Χριστοῦ ἡμεῖς.

κβ. Ἔτι δὲ φαμὲν πρὸς ὑμᾶς ἐπὶ τὸ προκείμενον ὑμῖν ἄνω θεῖσιν, γένος λόγων οὐκ ἐπιδέχεται ὁποσοῦν· τί γὰρ τοῦδε πρώτου αἰτίου ὄντος, ἀνώτερον ἔσται γένος; τὸ ἓν διττῶς μόνον ἐπὶ Χριστοῦ κατὰ τὰς κυριωτέρας λέγεται φωνάς· εἴ γε καὶ κατὰ ταύτας συγχωρητέον τινὶ λέγειν αὐτὸ ἐνθάδε· καὶ δύο δὲ διττῶς εἶναι τάδε τινὰ λέγονται· τὸ οὖν ἓν ὂν ἢ τῷ εἴδει, ἢ τῷ ἀριθμῷ ἐστὶν ἓν· καὶ τὰ ὄντα δύο, ἢ τῷ εἴδει, ἢ τῷ ἀριθμῷ ἐστὶ δύο· τὰ μὲν οὖν ἓν τῷ εἴδει ὄντα, πάντως ἔχει πρὸς ἄλληλα τὴν φυσικὴν ὁμοιότητα· τὰ δὲ δύο ὄντα τῷ εἴδει, πάντως ἔχει τὴν φυσικὴν ἀνομοιότητα· τὰ δὲ τῷ ἀριθμῷ ἓν ὄντα, οὐ κωλύεται ἐν ἑαυτοῖς ἔχειν φυσικὴν ἀνομοιότητα, οἱ καὶ ἀλλήλων χωρὶς μὴ ὑφεστήκασι· καὶ ἐν ἰδίᾳ περιγραφῇ θεωρούμενον ἑκάτερον ἀριθμοῦνται κατὰ τὸν τοῦ ἀριθμοῦ διωρισμένον λόγον· οὕτως γὰρ νοοῦντες καὶ ἀριθμοῦντες, ἕνα μὲν πάντα τὸν κοινὸν ἄνθρωπον καὶ ἵππον καὶ ἄγγελον ἀπαραλλάκτως ἔχοντα τῷ εἴδει τῆς αὐτοῦ φύσεως ἐν πᾶσι τοῖς ὑπ' αὐτὸν ἀτόμοις φαμέν· κεχωρισμένως δὲ πολλὰ τοῦδε τὰ ἄτομα τῷ ἀριθμῷ γινώσκομεν· ἀνὰ μέρος γὰρ ἕκαστον αὐτῶν ἀριθμεῖσθαι δυνάμενον ἴσμεν· καὶ πάλιν ἐν τῷ ἀριθμῷ τόν τε κόσμον ὅλον, καὶ τόν τινα ἄνθρωπον λέγομεν φύσεσι μυρίαις, ἢ φυσικοῖς εἴδεσιν, οὐχ ἕνα αὐτὸν ἀριθμοῦντες· ἐπὶ οὖν τοῦ δεσπότου ἡμῶν εἰ μὲν τὴν μονάδα διὰ τὴν τοῦ προσώπου ἑνότητα, καὶ τὴν τῶν ἐν αὐτῷ ἀχωρίστων ἐξαρίθμησιν, ὡς ἑνὸς ὄντος τῷ ἀριθμῷ φατὲ, καλῶς λέγετε, καὶ ἡμᾶς δέον σὺν ὑμῖν τοῦτο ἀποδέχεσθαι, ὡμολογημένου τοῦ κατ' αὐτὸ τὸ ἓν πρόσωπον φυσικοῦ διαφόρου· εἰ δὲ κατὰ τὸν τοῦ φυσικοῦ εἴδους ἐπαριθμεῖσθαι τὰ ἐν Χριστῷ βουλόμεθα, ἐπεὶ ὡμολόγηται τὰ ἐν τῷ εἴδει ὄντα, κατ' εἶδος ὅμοια δεῖν εἶναι, ἀναγκαίως ἀνόμοια εὑρεθέντες, οὐκέτι τολμήσομεν τῷ τοῦ εἴδους καταλόγῳ ἓν ταῦτα λέγειν, ἀλλὰ δύο· οὐκοῦν ἀκολούθως δύο μὲν ταῖς φύσεσιν, ἓν δὲ τῷ ἀριθμῷ τὸν Χριστὸν γινώσκομεν.

κγ. Ἔτι ἐρωτητέον αὐτοὺς, ἐκ δύο φύσεων λέγοντας τὴν μίαν φύσιν, ἥν φασι Χριστοῦ, ἆρά γε καὶ ἐκ δύο ὑποστάσεων, εἴτ' οὖν προσώπων, τὴν μίαν αὐτοῦ ὑπόστασιν λέγουσιν ἢ οὐχί; ποῦ οὖν καὶ πῶς ὑφίστατο θατέρα τῶν φύσεων αὐτοῦ πρὸ τῆς ἑνώσεως, λεγέτωσαν· τίνος τε οὖσα τότε; οὐ γὰρ Χριστοῦ ἦν μήπω χρισθεῖσα θεότητι ἡ ἀνθρωπίνη φύσις· εἰ δὲ καὶ ἐκ δύο ὑποστάσεων φασὶ τὴν ἕνωσιν, ποῦ ἦν ποτε ἡ τελεία ὑπόστασις ἀνθρωπίνη προϋπάρξασα Χριστοῦ; εἴτε ἐν τῇ μήτρᾳ τῆς ἁγίας παρθένου ἐγκαθειρχθεῖσα· κατ' ἐκεῖνο γὰρ τὸ ἅγιον χωρίον ἡ ἕνωσις τῶν Χριστοῦ φύσεων ἀπ' ἀρχῆς ἐγένετο· εἰ μὴ ἄρα κατὰ Νεστόριον τὴν ἕνωσιν τῆς θεότητος μετὰ τὸν τόκον τῆς ἀνθρωπότητος οἴονται γενέσθαι πρὸς αὐτὴν σχετικῶς.

κδ. Ἔτι ἀνακριτέον αὐτοὺς ἐκ δύο φύ-

Digitized by Google

σιων πράγματι ὑφεστηκυιῶν φασὶ τὸν Χριστὸν, ἢ θατέρας αὐτῶν, ἤγουν τῆς ἀνθρωπίνης κατ' ἐπίνοιαν προαναπλαττομένης αὐτοῖς πρὸ τῆς ἑνώσεως· εἰ μὲν γὰρ ἀμφοῖν ὄντως προουσῶν, τίς ἦν, ϗ ποῦ πάλιν ζητήσωμεν, ἡ ψιλὴ ἀνθρωπίνη φύσις πρὸ Χριστοῦ, εἶτα γεγονυῖα ἐν Χριστῷ κατὰ τὴν ἁγίαν μήτραν συντεθεῖσα· εἰ δὲ θατέραν τῶν φύσεων ἐξ ὧν φασὶ τὸν Χριστὸν ἐπινοίᾳ προαναπλάττουσι, πρῶτον μὲν ἡ οὐδαμόθεν λαβόντες ἀφορμὴν ἀληθοῦς ἐπινοίας ψευδὲς ἀνάπλασμα ταύτην παριστῶσιν ἢ λαβόντες, ἐκ τῆς μετὰ τὴν ἕνωσιν θεωρίας Χριστοῦ τὴν διάγνωσιν, ὡς δύο φύσεων ϗ τοιῶνδε, ταύτας ϗ προεπινοοῦσιν αὐτοῦ. πῶς οὖν οὐ δύο ἴσασι μετὰ τὴν ἕνωσιν οἱ ϗ τὴν προΰπαρξιν αὐτῶν τὴν πρὸ τῆς ἑνώσεως ἐκ τῆς μετὰ τὴν ἕνωσιν διαγνώσεως αὐτῶν ἐπινοήσαντες· ὅτι ἂν εἰ μὲν ἐπινοίᾳ θατέραν, ϗ ἀληθείᾳ τὴν ἑτέραν τῶν φύσεων ἐξ ὧν ὁ κύριος φασὶν, ἀνάγκη ϗ αὐτὸν Χριστὸν τὸ μέν τι μέρος αὐτοῦ ἀληθείᾳ ὑπάρχον ἔχειν, τὸ δὲ ἐπινοίᾳ δοκοῦν μόνον· ὡς εἶναι ϗ τῆς μετὰ τοῦδε μιᾶς φύσεως αὐτοῦ ἀνύπαρκτον ἥμισυ, ϗ εἰς ἥμισυ φύσεως μόνον κατακτῆσαι αὐτῶν τὴν ἐπὶ Χριστοῦ φυσιολογίαν, ϗ μὴ δὲ εἰς μίαν φύσιν τελείαν ὡς λέγουσιν.

κε. Ἔτι ἐπεὶ τῶν φύσεων δηλαδὴ τὴν σύνοδον ἴστε, ϗ σὺν ἡμῖν τὸ ἀσύγχυτον ὁμολογεῖτε τῶν συνελθόντων, πόθεν τοῦτο θεωρεῖτε, ἀποκρίνασθε ἡμῖν· εἰ γὰρ ὅτι ἀναλλοιωτὰ τὰ θεῖα ϗ τὰ ἀνθρώπινα ἐν τῷ αὐτῷ θεωρεῖτε προσώπῳ, σώζον ἑκάστου τὸν φυσικὸν λόγον διὰ τῆς τῶν ἰδιωμάτων ἀντιδόσεως ἐν τῷ ἑνὶ συγκρίματι γινώσκετε, δῆλον ἔσται ὅτι ἐκ τινος τελείου τε τοῦδε τὰς ἐνεργείας ϗ τὰ πάθη κατὰ τελείου ϗ οὐ καθ' οὐδενὸς λογίζεσθε· ἐπείπερ ἀναγκαῖον ϗ τὰς αἰτίας οὕτως ἔχειν ϗ φυλάττεσθαι διαφόρους ϗ τελείας, ὥσπερ τὰ ἴδια τούτων ἰδιώματα ϗ προβλήματα· ἐπεὶ οὖν διάφορα τέ εἰσι ϗ διττὰ, θεῖά τε ὄντα ϗ ἀνθρώπινα, διάφορα ἔσται ϗ δύο ϗ τάδε· ταῦτα δὲ τὰ αἴτια τῶν ἰδίων εἴπερ φύσεις εἶναι ὁμολογεῖτε, ἐκ δύο ἄρα τῶν φύσεων προϊέναι τὰς ἰδιότητας ϗ ὑμεῖς ὁμολογεῖτε.

κς. Ἔτι εἰ τὴν φυσικὴν διαφορὰν ὁμολογοῦσιν ἐν Χριστῷ, ἄρα γε τινῶν ὄντων ἤδη εἶναι αὐτὴν διαφορὰν, ἢ τινῶν μὴ ὄντων λέγουσιν εἶναι τὴν διαφορὰν ἐν Χριστῷ, ἐπεὶ οὖν πάντως, ὄντων ἐροῦσιν, ἢ δύο τούτων δηλαδὴ ἢ πλειόνων λεγέτωσαν οὖν ὁπόσων τινῶν βούλονται εἶναι αὐτὴν, ϗ μὴ εὐλαβείσθωσαν.

κζ. Ἔτι εἰ τὸ λέγειν δύο, χωρίζειν ἐστὶ, πῶς δύο λέγοντες τὰς ἰδιότητας ϗ αὐτοὶ τὴν ἕνωσιν οὐ μερίζουσιν; Ἀλλ' ἴσως εἴποιεν, ὅτι τοῦτο χωρίζειν τὴν φύσιν οὐ πέφυκεν· ἰδοὺ γὰρ ϗ ἐν τοῖς καθ' ἕκαστα, ϗ ἐν αὐτῇ τῇ ἁγίᾳ τριάδι, πλείους μὲν τὰς ἰδιότητας, μίαν δὲ τὴν φύσιν ὁρῶμεν· ταῦτα δὲ οὐχ οὕτως φρονοῦντες οἱ πλείους αὐτῶν φασὶν, εἰ ϗ πρὸς τὸ παρὸν τάδε ἡμῖν προβάλλονται, ὡς ἐν ἑτέροις ἐδείχθη. Πλὴν εἴπωμεν πρὸς αὐτούς· ἐπεὶ οὖν μετὰ ταύτας λέγετε τὸ δύο ὑμεῖς, αἳ πεφύκασιν, οὐ τὴν φύσιν χωρίζειν, ἀλλὰ τὰς ὑποστάσεις τῶν προσώπων τῆς μιᾶς φύσεως· ταῖς γὰρ ἰδιότησιν αὗται χωρίζονται, καθ' ὑμᾶς τε ϗ καθ' ἡμᾶς, λέγοντες ἄρα κατὰ ταύτας μόνον ἤγουν τὰς ἰδιότητας ἐπὶ Χριστὸν τὴν δυάδα, τὰς ὑποστάσεις τῶν προσώπων δύο ἴστε τοῦ Χριστοῦ, εἰ ϗ μίαν τὴν φύσιν αὐτοῦ ὁμολογεῖτε· ὅπερ μὴ εἶεν ὑμᾶς ἀδελφοὶ καταδέχεσθαι· εἰ δὲ εἴποιτε μήτε τὴν φύσιν μήτε τὴν ὑπόστασιν τὰς ἰδιότητας χωρίζειν, οὔτε Παῦλος ἄρα Πέτρου, οὔτε τοῦ πατρὸς ὁ υἱὸς κατά τι διακρίνονται, τῇ μὲν φύσει ὄντες ταυτοὶ, ταῖς δὲ ἰδιότησιν ἀδιάκριτοι ϗ ἀδιάγνωστοι.

κη. Εἰ διαφορὰν λέγουσι, ϗ δυάδα πάντως εἰπεῖν τῶν διαφερόντων, ἀναγκασθήσονται δηλούτι· τῶν τε γὰρ ἑτεροφυῶν πραγμάτων ἡ ἀπαρίθμησις, τῶν τε συμβεβηκότων τῶν ἐξαλλασσόντων κατά τι, ἢ τό γε ἔσχατον, γυμνῶν τῶν τοῦ ἀριθμοῦ μορίων ἢ ψιλῶν τινῶν ἐπινοημάτων εἰ γένοιτο μέτρησις ἐκ τῆς διαφορᾶς τῆς κατὰ λόγον, ἢ τάξιν, ἢ χρόνον, ἢ τόπον, ἢ σχέσιν, ϗ αὕτη προβήσεται συ-

φῶς· ἢ οὖν μήτε διαφορὰν, ἢ καὶ τὸν ἀριθμὸν λεγέτωσαν τῶν διαφερουσῶν φύσεων.

κθ. Εἰ ἐκ δύο λέγοντες φύσεων τὸν Χριστὸν ὡς ἐκ τῆς κοινῆς θεότητος καὶ ἀνθρωπότητος, δύο τάσδε καὶ μετὰ τὴν ἕνωσιν οὐ γινώσκουσιν, ἆρα γε οὐδὲ ἴσασι μετὰ τὴν οἰκονομίαν τῆς σαρκώσεως τοῦ λόγου τὰς κοινὰς δύο φύσεις ἀνθρωπότητος καὶ θεότητος, οὐδὲ διωρισμένως αὐτὰς ἀριθμοῦσιν, οὐδὲ εἶναι ὅλως δύο ἔτι λοιπὸν φασί· τάσδε γὰρ συνῃρῆσθαι τῆς δυάδος φασὶν οἷς προσηγάγοντο ἡ ἕνωσις· εἶναι δὲ ταῦτα, τὰς κοινὰς φύσεις ὁμολογοῦσιν.

λ. Εἰ διὰ τὸ ταῖς φύσεσιν ἑνοῦσθαι μίαν οἴδασι φύσιν τὰ συνελθόντα, καὶ διὰ τὸ φύσεσι διαφέρειν, δύο ταῦτα γινωσκέτωσαν· διά τε γὰρ ἕνωσιν ἓν πρόσωπον, καὶ διὰ τὴν διαφορὰν αἱ δύο φύσεις· οὐ γὰρ ὅπερ αὐτῷ ἐστι διὰ τὴν ἕνωσιν, τοῦτο καὶ διὰ τὴν διαφορὰν ὑπολήψονται, ἀλλ' ἐν θατέρῳ τῷ λόγῳ τὸ ἕτερον· ἐπεὶ οὖν καὶ οὐσιώδης μὲν τοῖς συνελθοῦσιν ἡ διαφορὰ, ἐπίκτητος δὲ ταῖς οὐσίαις ἡ ἕνωσις, καλῶς τὰς μὲν οὐσίας τῷ ἰδίῳ αὐτῶν λόγῳ διακρίναντες, δύο φαμὲν, ἔχουσι τῇ διαφορᾷ· τὸ δὲ πρόσωπον, αὐταῖς ἐν τῇ ἑνώσει δοξάζομεν.

λα. Ἔτι παντὸς συνθέτου τελείου οὔτε περιττεύειν οὔτε ἐλλείπειν δεῖ τὸν λόγον, ἀλλ' ἄρτιον εἶναι· δυὰς δὲ πρώτη σύνθεσις, καὶ πρῶτος ἄρτιος ἀριθμός· πῶς οὖν ἀπρόσφορον ἔσται ἐπὶ τῶν συντεθεισῶν φύσεων καὶ τὸ ἓν τέλειον πληρουσῶν δυάδα λέγειν, μονάδα δὲ ὑποστάσεως; οὐ γὰρ συντίθενται δύο ἀλλήλαις καὶ ὑποστάσεις ὡς αἱ φύσεις.

λβ. Ἔτι πᾶσα μονὰς εἰ πάντη ἐν ταυτῷ λόγῳ λέγεται κατά τινος καθ' ἓν, καὶ δυὰς πρὸ τῆς ἐν αὐτῷ κατὰ τὸ αὐτὸ λεγομένης δυάδος ἐστιν οὐδέν· εἰ δὲ μετὰ τὴν δυάδα λέγοιτο, ἢ οὐκ ἐν ταυτῷ λέγεται λόγῳ ἢ οὐ μονάς ἐστιν· οὐ γὰρ ἔχει φύσιν ἢ τάξιν ἔν τινι τῷ αὐτῷ ποτὲ μονὰς μετὰ τὴν δυάδα θεωρεῖσθαι· πῶς οὖν εἰ τὴν αὐτὴν εἶναι φασὶ ταῖς ἐξ ὧν ἐστι φύσεσι τὴν μίαν φύσιν, δυὰς πρῶτον γέγονε φύσεων καὶ τότε μονὰς φύσεως; μὴ ὑπαρξάσης γὰρ μονάδος κατά τι, οὐ δυνατὸν τὴν κατὰ τοῦτο αὐτὸ δυάδα φανῆναι· εἴπερ ἐκ μονάδος ἡ δυὰς, καὶ οὐκ ἐκ δυάδος ἡ μονάς· αἱ δεῖ οὖν εἰ προέφθασαν φύσεις δύο εἶναι, οὐδέποτε μία τε, καὶ αἱ αὐταὶ γενήσονται, ἀλλ' ἢ κατ' ἄλλο, ὃ πρὸ αὐτῶν ἔσται ἡ μία.

λγ. Ἔτι μὴν εἰ καὶ διὰ τὴν ἕνωσιν, οὐκέτι δύο τὰς δύο εἰδέναι φασὶ, τὸν γὰρ χωρισμὸν αἴτιον τῆς δυάδος εἶναι λέγουσι, πευστέον αὐτῶν, ἆρά γε ἐπὶ τῷ θανάτῳ τοῦ κυρίου ἴσασι χωρισμόν τινα τινῶν φύσεων, ἢ οὐχί; εἰ μὲν οὖν οὐχὶ, φαντασία τε ὁ θάνατος, καὶ ψευδὴς ἡ περὶ αὐτοῦ δόξα ἐν τῷ κυρίῳ· θάνατος γὰρ χωρισμός ἐστι ψυχῆς ἀπὸ σώματος ἀναντιρρήτως· εἰ δὲ ὄντως χωρισμὸς γέγονε φυσικὸς, πάντως καὶ κατὰ τούσδε δύο φύσεις τὰ κεχωρισμένα τῶν Χριστοῦ· ἆρα οὖν εἰ ὁμολογοῦσι τὸν θάνατον τοῦ κυρίου, καὶ δύο φύσεις αὐτοῦ τινὰς εἶναί ποτε δώσουσι· τοῦτο δὲ ἢ τῆς μιᾶς ἐν φασὶ κατακερματισθείσης, ἢ ἑτέρας ἐπιγεννηθείσης Χριστῷ φύσεως· συλλογιστέον δὲ αὐτοὺς ἔτι ἐκ τούτων, καὶ ὅτι ἐπείπερ ἐκ δύο φύσεων τὴν γέννησιν ὁμολογοῦσι Χριστοῦ, ἐκ θεότητός τε καὶ ἀνθρωπότητος ταύτην οὔσων· εἰς δύο δὲ φύσεις διαιρεῖσθαι κατὰ τὸν θάνατον δόντες οὐκ εἰς τοιάσδε, ἀλλ' εἰς ἄψυχον σῶμα, καὶ εἰς ἔνθεον ψυχὴν λέξουσι καὶ αὐτοὶ, ἀνάγκη πάντως ἑτέρας εἰδέναι τάσδε τὰς ἐπὶ τῷ χωρισμῷ φανείσας τῶν πρὸ τῆς ἑνώσεως αὐτοῖς λεγομένων· ἀλλὰ καὶ τὴν μίαν φύσιν κατὰ τούσδε τὴν ἐκ τῶν φύσεων τῆς τε θεότητος καὶ ἀνθρωπότητος οὖσαν, ἑτέραν εἶναι παρὰ τὴν ἐξ ἐνθέου ψυχῆς καὶ ἀψύχου σώματος μίαν φύσιν μετὰ τὴν ἀνάστασιν τοῦ κυρίου νοουμένην κατ' αὐτούς· ὧν γὰρ διάφορα τὰ ἁπλᾶ μέρη, διάφορα ἔσται καὶ τὰ σύνθετα· ἔσονται οὖν αἱ δύο φύσεις ἑνωμέναι Χριστοῦ μὴ ὁμολογοῦντες σαφῶς, δύο μὲν τὰς πρὸ τῆς κατὰ τὴν σάρκωσιν τοῦ λόγου, μίαν δὲ τὴν ἐπὶ τῇ ἑνώσει αὐτῶν· καὶ ἑτέρας δύο τὰς ἐπὶ τῷ χωρισμῷ τοῦ θανάτου, καὶ μίαν

ἄλλην τὴν ὄντι τῇ ἀναστάσει τοῦ κυρίου καινοτέραν λέγοντες, καὶ ὀξέ τι καὶ διαφόρους· καὶ ποῦ μὲν ἡνωμένας, ποῦ δὲ χωριζομένας φύσεις· καὶ πάντα σπαραγμὸν Χριστῷ ἐπινοήσαντες, οἱ τῇ ἑνώσει αὐτοῦ συνηγορεῖν προσποιούμενοι.

λδ'. Πευστέον δὲ αὐτῶν ὅτι καὶ τόδε· εἰ τὸν πατέρα κατ' οὐσίας λόγον διακεκρίσθαι λέγουσι πάσης τῆς ἀνθρωπότητος, εἶτα εἰ καὶ τὸν μίαν φύσιν λεγόμενον αὐτοῖς εἶναι Χριστὸν, κοινωνοῦν τι γινώσκουσι τῷ πατρὶ, καὶ ἡνωμένον κατ' οὐσίας λόγον καθ' ὥσπερ ἡμῶν ὡς ὅρασαν ἤδη διακέκριται ὁ πατήρ· οἱ γὰρ φάσκοιεν ἡνῶσθαι αὐτὸν τῷ πατρὶ κατὰ φύσιν, ἡμῶν δηλονότι καὶ αὐτὸς διακέκριται, ἤγουν τῆς ἀνθρωπότητος· οὐκοῦν καὶ τῆς ἰδίας σαρκὸς, εἰ ἀληθὴς αὕτη σὰρξ, καὶ μία τῆς ἀνθρωπότητός ἐστιν· ἄρα οὖν ἄσαρκος ὁ Χριστὸς, διακεκριμένος τῆς σαρκὸς αὐτοῦ· καὶ λέλυται αὐτοῖς ἡ ἕνωσις, καὶ πάντη ἡμῶν ἀκοινώνητον τὸ θεῖον ἐν Χριστῷ· εἰ δὲ τῇ σαρκὶ μὲν ἥνωται ὁ λόγος κατὰ τὴν φύσιν, οὐ κοινωνεῖ δὲ τῷ πατρὶ τῇ κατὰ φύσιν ἑνώσει, διαιρεῖται τὴν φύσιν ἐκ τοῦ πατρὸς, καὶ ἔσται οὐ Θεὸς· ἢ ὁ πατὴρ οὐ Θεὸς, εἰ Χριστός ἐστιν ὁ εἷς Θεος· πλείους γὰρ διαιρουμένους, οὐ δοξαστέον Θεούς· κατὰ θάτερον δὲ τῶν βλασφημιῶν, τὸ τῆς γεέννης ἂν εἴη κολαστήριον τοῖς αἱρουμένοις τάδε λέγειν ἐπάξιον.

λε'. Εἰ μὲν καθ' ὃ Χριστός ἐστι κατὰ τοῦτό τις φύσις ἐστὶ, τοῦτο γὰρ καὶ οἱ πατέρες ἀπεφήναντο, ἢ κατ' οὐδὲν, ἢ καθ' ὃ Θεὸς μόνον, ἢ καθ' ὃ ἄνθρωπος μόνον, ἢ καθ' ὃ τε Θεὸς φύσις ἐστὶ, καὶ καθ' ὃ ἄνθρωπος πάλιν φύσις ἐστὶ, ὁ αὐτὸς μὲν εἷς Χριστὸς, ἀλλ' οὐχ ἡ αὐτὴ φύσις ἐν θεότητι καὶ ἀνθρωπότητι νοούμενος· εἰ δὲ εἴποιεν καθ' ὃ υἱὸς φύσις ἐστὶν, εἷς οὖν υἱὸς καὶ μία φύσις, ἄρα οὖν μὴ ταυτὸν πατὴρ υἱῷ ἀριθμῷ ἢ λόγῳ, οὐδὲ ταυτὸν τῇ φύσει ὁ πατὴρ τῷ υἱῷ, οὔτε ἀριθμῷ οὔτε λόγῳ φυσικῷ, ὡς Ἄρειος βούλεται· εἰ δὲ πάλιν εἴποιεν, καθ' ὃ πρόσωπον καὶ φύσις ἐστὶ, τὰ αὐτὰ πάλιν ὑπαντήσεται αὐτοῖς· ἄρα γὰρ ἐπεὶ ἕτερον πρόσωπον τοῦ πατρὸς καὶ τοῦ ἁγίου πνεύματος, καὶ ἑτέρα φύσις· ἀλλ' ἔστι καὶ διάφερον πρόσωπον Πέτρῳ πρὸς Παῦλον, καὶ διάφορος ἡ φύσις, ἃ ἐστι προφανῶς ἄτοπα.

λς'. Εἰ μία σύνθετος φύσις τοῦ Χριστοῦ, μία δὲ ἁπλῆ φύσις τοῦ πατρὸς, πῶς τῷ πατρὶ ὁ υἱὸς ὁμοούσιος; οὐ γὰρ ταυτὸν τῷ ἁπλῷ τὸ σύνθετον· ἢ οὖν οὐ μίαν τοῦ Χριστοῦ, ἢ οὐχ ὁμοούσιον τῷ πατρὶ τὴν φύσιν δοξάζουσι· εἰ δὲ ἐκ μέρους αὐτὴν ὁμοούσιον λέγουσι τῷ πατρὶ, ἴστωσαν ὅτι ὡς προείρηται, οὐκ ἐκ μέρους τὶς φύσις ἤγουν οὐσία λέγεται τινὶ ὁμοούσιος· οὕτως γὰρ ἂν καὶ ὁ ἄνθρωπος τῷ τε λίθῳ καὶ κυνὶ καὶ ἀγγέλῳ ὁμοούσιος λέγοιτο.

λζ'. Ἡ μία φύσις τοῦ Θεοῦ λόγου σεσαρκωμένη διαφέρει τῆς μιᾶς τοῦ Θεοῦ πατρὸς φύσεως τῆς μὴ σεσαρκωμένης, ἢ οὐχί; ἀποκρινέσθωσαν· εἰ μὲν οὖν φασὶ διαφέρειν, οὐχ ὁμοούσιος ἀληθῶς ἔσται τῷ πατρὶ υἱὸς διαφέρων αὐτοῦ κατὰ φύσιν· οὐκ ἐκ μέρους γάρ ἐστιν εἰπεῖν αὐτῶν τὸ ὁμοούσιον· πάντα γὰρ τὰ κυρίως ὁμοούσια, ἐκ τοῦ ὅλου αὐτῶν ὁρῶμεν ἀλλήλοις ὁμοούσια· εἰ δὲ μὴ διαφέρειν ἐροῦσιν, ἄρα καὶ ἡ τοῦ Θεοῦ πατρὸς μία φύσις σεσαρκωμένη, ὁμοίως δὲ καὶ ἡ τοῦ ἁγίου πνεύματος.

λη'. Ἔτι ἐπεὶ ἡ τε ἐξ ὑποστάσεων σύνθετος ὑπόστασις, στρατοῦ τυχὸν ἢ οἴκου, ἥ τε ἐκ φύσεων σύνθετος φύσις, τό τε ἐκ σωμάτων σύνθετον σῶμα, καὶ πᾶν ἁπλῶς τὸ ἔκ τινων συγκείμενον, εἰ καὶ ὁμοίως αὐτοῖς λέγοιτο ὑπόστασις, ἢ φύσις, ἢ σῶμα, ἀλλ' ἢ χεῖρον ἢ κρεῖττον τῶν ἑαυτοῦ μερῶν ὁρᾶται καὶ λέγεται· εἰ καὶ ὁ λόγος φύσις καὶ ὁ Χριστὸς φύσις συγκρίνεσθαι πρὸς τὸν λόγον δυναμένη ἐστὶν, ἤγουν ὡς ὅλον πρὸς τὸ ἴδιον μέρος, τί ἄρα φασὶ χεῖρον ἢ κρεῖττον ἐστι τοῦ λόγου ὁ Χριστός;

λθ'. Ὁ ἀπόστολος φησὶ κατὰ τὴν ἐνέργειαν τοῦ κράτους τῆς ἰσχύος τοῦ Θεοῦ, ἣν ἐνήργησεν ἐν τῷ Χριστῷ ἐγείρας αὐτὸν ἐκ νεκρῶν, αὕτη γὰρ ἡ ἐνεργοῦσα ἰσχὺς, φύσις ἦν, ἢ οὐχί; εἰ δὲ ἀμφω μία ἦν φύσις αὐτὴ ἡ ἐνεργοῦσα καὶ τὸ ἐνεργούμενον τὴν ἀνάστασιν, τίς ἡ ἐνεργημένη καὶ τίς ἡ ἐνεργοῦσα καὶ ἐγείρασα αὐτὴν φύσις; ἢ γὰρ ἑαυτὸν λοιπὸν ἀναστήσας Χριστὸς μία ὢν φύσις δειχθήσεται· εἴπερ οὖν εὐσεβῶς τὴν ἀνάστασιν αὐ-

τοῦ δοξάζομεν, ἐξ ἑτέρας αὐτοῦ φύσεως τὴν ἑτέραν ἑαυτοῦ φύσιν ἀνιστῶν αὐτὸν Χριστὸν ὁμολογήσομεν· ὥσπερ ἐν ὕπνοις καὶ ψυχὴ σῶμα ἐγείρει, τὸ γὰρ πολλάκις αὐτὸ διανίστησι πολλάκις δι' ἐνθυμήσεως· οὕτω καὶ γέγραπται, ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα, ἐξηγέρθην, ὅτι κύριος δηλονότι ὁ ἐν ἐμοὶ φησὶν ἀντελάβετό μου· καὶ τό, σκύμνος λέοντος ἐκ βλαστοῦ Ἰούδα ἐκοιμήθη τίς ἐξεγερεῖ αὐτόν; οὐχ ἕτερος, φησίν, ἀλλ' αὐτὸς ἑαυτόν· ἐξουσίαν γὰρ εἶχε καὶ παραθεῖναι καὶ ἀπολήψασθαι τὴν ψυχὴν ἑαυτοῦ.

μ. Ἵνα δὲ μὴ λεξιδρίοις ὑποδύναντες ἑαυτοὺς συσκιάζωμεν κατ' αὐτούς, γυμνῶς ἐρωτήσωμεν αὐτούς, εἰ τὴν μίαν φύσιν ταύτην τὴν ἐκ δύο φύσεων, ἄναρχον γινώσκουσιν ἢ ἀρξαμένην κατὰ χρόνον; εἰ μὲν γὰρ ἄναρχον, πῶς ἐν τόπῳ καὶ ὑστερογενῆ αὐτὴν καὶ σύνθετον; εἰ δὲ ἤρξατο καὶ αἰτίαν ἔσχε καὶ σύγκειται, πῶς θεός; ἀλλ' ὑμεῖς, φασί, τὴν αὐτὴν ἄναρχον καὶ ἀρξαμένην, ὡς οἱ πατέρες λέγομεν· ἀλλ' οὐ τὴν αὐτὴν ἐν ταυτῷ κατὰ τὸ αὐτό, εἰ καὶ τοῦ αὐτοῦ οἱ πατέρες φασίν, ὦ οὗτοι· οὐδὲ γὰρ δυνατὸν ἐν ταυτῷ κατὰ τὸ αὐτὸ τῶν ἐναντίων εἶναί τι δεκτικὸν λόγων· ἀλλ' εἰ καὶ λέγεται ὁρατὸς ὁ αὐτὸς εἷς ὢν Χριστός, οὐ κατὰ τὸ αὐτὸ ὡς οὐδὲ τό, θανατωθεὶς μὲν σαρκί, ζωοποιηθεὶς δὲ πνεύματι· καὶ τό, εἰ γὰρ καὶ ἀπέθανεν ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως· καὶ τὰ τοιάδε· οὐκ ἐν ταυτῷ γάρ ποτε, οὐδὲ τὸ ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος σὰρξ ἐγένετο, νοητέον· τῷ μὲν γὰρ λόγῳ μὴ δὲ καθ' οἱανοῦν ἀρχὴν γεγονέναι μαρτυρῶν ἀνάρχως εἶναι, τὴν σάρκα γενέσθαι φησί· ἀλλ' ἀπειθῶς ἔχοντες, δοκοῦσι πιστῶς ἀπιστεῖν τῷ λόγῳ διὰ τῆς ἀλογίας· οὐδὲ γὰρ φασὶν ὅπως ταῦτα γενήσεται αὐτῷ, κἂν ἡμῖν ἀδύνατα δοκῇ· ἀλλ' οὐδὲν τοιοῦτον ἄλογον ἢ ἀσύστατον ἔφη περὶ ἑαυτοῦ πώποτε ὁ λόγος ὦ ἀδελφοί· τί οὖν δεῖ ὑμᾶς συκοφαντεῖν τὸν Χριστόν, ἵνα τὸ ἴδιον συστήσωμεν κατὰ σκοπὸν ἔχειν ὑμῖν ἀγνόημα;

μα. Ἔτι ἡ φύσις ἡ θεία πάντη ἁπλῆ· ἡ οὖν φύσις ἣν φατὲ μίαν εἶναι τοῦ Χριστοῦ, σύνθετός ἐστιν, ἢ ἁπλῆ; εἰ μὲν οὖν ἁπλῆ, πῶς σύνθετος ὁ Χριστός; εἰ δὲ σύνθετος ἡ φύσις αὐτοῦ, πῶς θεία; οὐκοῦν ἀληθῶς μία μὲν σύνθετος ταῖς φύσεσιν ἡ ὑπόστασις, δύο δὲ αἱ φύσεις τοῦ δεσπότου ἡμῶν Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ.

μβ. Εἰ μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένου καὶ οὐ σεσαρκωμένην εἴποιτε, πῶς οὐ φανερῶς τὴν πατρικὴν διδασκαλίαν παραχαράξετε; εἰ δὲ σεσαρκωμένην ὁμολογεῖτε καὶ οὐ σεσαρκωμένου τοῦ λόγου μίαν φατέ, διὰ τόδε αὐτὸ δύο φύσεις ἔσται ὁ ἐκ λόγου καὶ σαρκὸς Χριστός· διότι γὰρ μία φύσις τοῦ θεοῦ λόγου ἐντελὴς ἤδη προωμολόγηται καὶ ἄνευ σαρκός, οὐδὲν δείξει καινότερον ἡ ἕνωσις εἰς φύσιν, ἐὰν μία μεμένηκεν· πευσόμεθα γὰρ ὑμῶν· ἆρά γε φύσει σαρκὸς τὴν φύσιν τοῦ λόγου σεσαρκωμένην ὁμολογεῖτε, ἢ οὐχί; εἰ μὲν οὖν οὐχί, ἢ λόγῳ μόνον, ἢ φαντασίᾳ, ἢ τροπῇ τοῦ λόγου, τὴν σάρκωσιν εἰδέναι ὑμᾶς ἀπελείπετο· εἰ δὲ φύσει σαρκὸς τὴν φύσιν σεσαρκῶσθαι τοῦ λόγου φατέ, ἄλλην τὴν σαρκώσασαν, καὶ ἄλλην τὴν σαρκωμένην ἐν τῷ ἑνὶ συνθέτῳ προσώπῳ Χριστοῦ γινώσκοντες, πῶς ἀριθμεῖν ἄνευ δυάδος ταύτας δυνήσεσθε;

μγ. Ἡ μία φύσις τοῦ θεοῦ λόγου σεσαρκωμένη, ἢ ταυτόν ἐστι τῇ μιᾷ, καὶ περιττῶς πρόσκειται τὸ σεσαρκωμένη, ὡς παράστασιν ποσοῦ οὐ συντεῖνον ὅλως, περὶ οὗ νῦν ἡ ζήτησις· ἢ ταῖς δύο φύσεσι ταυτὸν συνάγει, καὶ μάτην ἡμῖν ἀντιφέρεται· ἢ οὔτε μία πάντη ἐστίν, οὔτε δύο, καὶ ἀνάγκη μίαν σὺν ἐπιμερισμῷ λέγειν αὐτοὺς ἔσχατα νυστάζοντας.

μδ. Ἐκρειττώθη τι τῶν τοῦ κυρίου φυσικῶν κρείττωσιν λαβὸν μετὰ τὴν ἁγίαν αὐτοῦ ἀνάστασιν, καθ' ἃ Κύριλλός τε ὁ πατήρ φησὶ πρὸς Ἀκάκιον, καὶ οἱ λοιποὶ πατέρες, ἢ ὁμοίως ἔχουσα πάντα αὐτοῦ ἡ φύσις, ἣν φασὶ μίαν, μεμένηκεν; εἰ μὲν οὖν οὐκ ἐκρειττώθη, ἢ καὶ νῦν παθητή, ἢ οὐδὲ πρὸ τῆς ἀναστάσεως ἦν παθητή· ψευδεῖς τε οἱ λέγοντες τὴν κρείττωσιν τῆς ἀνθρωπότητος αὐτοῦ πάντες οἱ διδάσκαλοι· εἰ δὲ ἐκρειττώθη τελεία τὶς φύσις ἐν αὐτῷ, ἢ ὅλη ἡ μία αὕτη ἐστὶν ἣν φασί, καὶ ἔσται καὶ

ἡ θεότης αὐτοῦ εἰς προσοπὴν ἀπαθείας ἀχθῇ· ἢ μέρος αὐτοῦ τὸ προσόψαν τελεία φύσις ἐστὶ, καὶ τὸ προσοπὴν οὐκ ἐπιδεξάμενον, ἢ μίαν εἶναι τελείαν φύσιν, ἢ μέριον λέγειν ἀναγκασθήσονται· καὶ ἢ βλασφημεῖν ἢ εὐσεβεῖν ἀκούοντες συγκλεισθήσονται.

με. Εἰ ὁμοίως τῷ ἀνθρώπῳ μίαν τὴν φύσιν ἐστὶ τοῦ δεσπότου φασὶν, ὁμοίως τῷ ἀνθρώπῳ καὶ τὸ ἐκ δύο φύσεων ἐστὶ τοῦ αὐτοῦ εἶναι λέγουσιν· ἀλλ' ὁ ἄνθρωπος οὐκ ἐκ προϋπαρχούσης ψυχῆς τε καὶ σώματος δέδοται· ἐπινοίᾳ γὰρ μόνῃ τοῦ οἰκείου προστιθέντος τὰ ἴδια μέρη, τὸ ἐκ δύο ἐστὶ τοῦδε φαμέν· ἐστὶ δὲ τοῦ κυρίου, οὐκ ἐπινοίᾳ προϋπῆρχεν τὸν λόγον τῆς ἰδίας συνθέσεως φαμὲν ὁμοίως τῷ ἀνθρώπῳ· εἰ δὲ οὐχ ὁμοίως τὸ ἐκ δύο ἐστὶ τοῦ κυρίου καὶ ἀνθρώπου ψιλοῦ, οὐδὲ τῇ μιᾷ τοῦ ἀνθρώπου φύσει ὁμοίως ἑνοῦμεν τὸν κύριον· τὰ γὰρ ἐξ ἀνομοίων συγκείμενα, ἀνόμοια γραμμικαῖς ἀνάγκαις· οὐκ ἄρα οἰκεῖον αὐτοῖς πάντη τὸ παράδειγμα, εἰ καὶ ὄντως μία ἐλέγετο, καὶ μόνως ἀεὶ μία ἐδείκνυτο ἡ τοῦ ἀνθρώπου φύσις.

μς. Εἰ ἡ φύσει παθητὴ σὰρξ τοῦ λόγου οὐκ ὤφθη ἀπαθὴς διὰ τὴν πρὸς αὐτὸν ἕνωσιν, πόσῳ γε μᾶλλον ὁ φύσει ἀπαθὴς λόγος, αὐτὸς οὐ γέγονε παθητὸς διὰ τὴν πρὸς τὸ παθητὸν ἕνωσιν; τί οὖν πυνθάνεσθε ἡμῶν ὡς ἀμφιβαλλομένου ὄντος ποίᾳ φύσει προσείλετο, εἰ μὴ θεοπάθειαν φυσικὴν καὶ οὐ τὴν κατ' οἰκείωσιν λέγετε;

μζ. Εἰ ἔστιν ὁ λόγος φύσει ἀπαθὴς, κατὰ δὲ τὸ εἰωθὸς λέγεσθαι αὐτοῖς ἔπαθεν αὐτὸς ὡς οἶδεν, οἶδεν ἑαυτὸν οὐκ ἀπαθῆ πάντη, εἰ μὴ ἀγνοεῖ ἑαυτὸν παθητὸν ὄντα.

μη. Εἰ ὥσπερ τὴν ψυχὴν καὶ τὸ σῶμα μέρη ὅλου τοῦ ἀνθρώπου ὡς φυσικοῦ εἴδους φαμὲν, οὕτω καὶ τὸν λόγον καὶ τὴν σάρκα μέρη Χριστοῦ οὐχ ὡς συνθέτου τινὸς μόνου, ἀλλ' ὡς φυσικοῦ εἴδους λέγομεν, εἰπὲ τί τὸ ὅλον τοῦτο εἶδος;

μθ. Τῷ ἑνὶ πάθει τῆς μιᾶς σαρκὸς, πῶς τὸ μέρος τοῦ ἀνθρώπου πάσχει, τὸ δὲ συμπάσχει τῇ αὐτοῦ σαρκὶ καὶ οὐχ ἑαυτῷ; καὶ ὁ συμπάσχων γὰρ ἐν ἑαυτῷ πάσχει· πῶς καὶ οὐκ ἐν τῷ πάσχοντι; εἰ καὶ δι' ἑαυτοῦ ὥσπερ καὶ ὁ πάσχων ἐν ἑαυτῷ πάσχει, καὶ οὐκ ἐν τῷ συμπάσχοντι.

ν. Τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δύο αἱ φύσεις, εἷς δὲ ὁ θάνατος· οὗτος οὖν εἰ μὲν κατὰ φύσιν ἄμφω μόνον ἐστὶ, τῆς θνητῆς αὐτοῦ φύσεως μόνης· εἰ δὲ καὶ παρὰ φύσιν, καὶ τῆς ἀθανάτου· πῶς οὖν εἴποιτε κατὰ φύσιν ἢ παρὰ φύσιν παθεῖν τὸν λόγον εὐδοκεῖν;

να. Εἰ πάντως ἰσαρίθμους εἶναι δέον ταῖς φύσεσιν, ὥς φασιν, ἐπεὶ μίαν φαμὲν τῆς ἁγίας τριάδος τὴν φύσιν, μίαν λεγέτωσαν καὶ τὴν ὑπόστασιν· ἢ ἐπεὶ τρεῖς φαμὲν τὰς ὑποστάσεις, τρεῖς λεγέτωσαν καὶ τὰς φύσεις· πολλῷ γὰρ μᾶλλον οὐκ ἔστιν ὑπόστασις ἀνούσιος, ἤπερ οὐσία ἀνυπόστατος.

νβ. Εἰ ἡ ἕνωσις καὶ τὰ ἡνωμένα τῶν πρός τι ἔστι πᾶσιν ὡμολογημένως, πῶς μετὰ τὴν ἕνωσιν οὐκ εἶναι δύο τάδε ἃ καὶ ἡνωμένα εἶναι ὀνομάζουσιν ἀληθῶς, οἴονται οὗτοι; τῆς γὰρ ἑνώσεως μὴ παυθείσης, ἀνάγκη καὶ τὰ ἡνωμένα συνεισάγεσθαι· ὅτι μὲν εἰ μὴ πρὸ τῆς ἑνώσεως δύο ἦν τάδε αὐτὰ τὰ κατὰ Χριστὸν ἡνωμένα κυρίως· οὐ γὰρ δὴ ὡς Νεστόριος βούλεται, καὶ προϋπῆρξε τὸ ἀνθρώπινον τοῦ κυρίου, εἶτα ἡνοῦται· μήτε μετὰ τὴν ἕνωσιν ὁρᾶσθαι δύο· οὐ γὰρ ἐστὶ λῆξις τῆσδε τῆς ἀπεράντου ἑνώσεως ἢ οὐδέποτε, ἢ ἐν τῇ ἑνώσει ἐστὶ δύο τὰ ἡνωμένα ἐν Χριστῷ ἀσυγχύτως.

νγ. Ἐκ δύο φύσεων ἢ κοινῶν ἢ ἰδικῶν φασὶ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν· εἰ μὲν οὖν κοινῶν, καὶ πᾶσα ἡ ἁγία τριὰς ἐσαρκώθη καὶ ἐσταυρώθη, καὶ πᾶσα ἡ ἀνθρωπότης ἐν αὐτῷ· εἰ δὲ ἐξ ἰδικῶν, ἢ δυνάμει, ἢ ἐνεργείᾳ εἶναι προεπινοουμένων αὐτοῖς πρὸ Χριστοῦ· εἰ μὲν οὖν δυνάμει μόνον, ἢ μετὰ τὴν ἕνωσιν εὐθὺς γέγοναν ἄμφω καὶ ἐνεργείᾳ δύο φύσεις· ἢ οὔπω μὲν, ἔσονται δέ ποτε, ἢ οὐδέποτε γένωνται ἐνεργείᾳ, καὶ ποιῶν τ' ἂν οὕτως ἀεὶ τὸ ἀτελὲς καὶ μάτην ἔχουσι τοῦτο δυνάμει εἰς ὃ οὔποτε ἥξουσιν ἐνεργείᾳ· εἰ δὲ ἐνεργείᾳ οὔσας καὶ πρὸ τῆς κατὰ τὴν οἰκονομίαν ἑνώσεως ἔσονται τάσδε ἰδικὰς

τε καὶ ἐνιστάσας καὶ ὑφιστάσας τὰς δύο, ἐν τοῖς πρὸς Νεστόριον διαφωνοῦσι, λεγέτωσαν.

νδ. Εἰ τὸ ὅλον τοῦ συνθέτου Χριστοῦ Θεὸν καὶ ἄνθρωπον ὁμολογεῖς, ἰδοὺ τὴν ὁλότητα τῇ τῶν ἀποτελεστικῶν αὐτῆς μερῶν ἐπωνυμίᾳ προσαγορεύεις· πῶς οὖν τὴν δυάδα τῶν φύσεων ἡνωμένην οὐ λέγεις εἶναι Χριστὸν, αἳ εἰσι Θεὸς καὶ ἄνθρωπος, καὶ μέρη τῆς ὅλης ὑποστάσεως Χριστοῦ;

νε. Εἰ μὴ δύο φύσεις Θεοῦ καὶ ἀνθρώπου ἀλλὰ μία, τίς ἰδίως Χριστοῦ ἐστι φύσις; ἆρά γε ὄντως καθ' ὑμᾶς χριστοτόκος ἡ ἁγία παρθένος καὶ οὐ θεοτόκος λέγοιτο, φύσιν ἑτέραν παρὰ τὴν ἁπλῶς θείαν καὶ ἀνθρωπίνην τεκοῦσα.

νϛ. Ἔτι ἐρωτητέον αὐτοὺς λέγοντας τὴν διαφορὰν, καὶ μὴ ἀριθμοῦντας τὰ διαφέροντα· ὡς διακεκριμένα τῷ λόγῳ φαμὲν, καὶ οὐχ ὡς διῃρημένα ταῖς ὑποστάσεσιν· ἆρα φασὶ τὸν διορισμὸν πρὸ τῆς διαφορᾶς εἶναι φύσει, ἢ σὺν τῇ διαφορᾷ; εἰ μὲν οὖν πρὸ τῆς διαφορᾶς εἴποιεν, ἔσται καὶ ἐν τοῖς πάντη ἀδιαφόροις ὁ διορισμὸς, ὡς διαιρεῖν καὶ στιγμὴν, καὶ μονάδα, καὶ νοῦν, καὶ αὐτὴν τὴν ἀδιάφορον θείαν φύσιν· καὶ ἡ μία οὖν αὐτοῖς φύσις, καθ' ὃ μία, διώρισται· καθ' ὃ δὲ διώρισται, καὶ ἀριθμῷ ὑπέπεσεν· οὐ μόνον τὸν Χριστοῦ ἀριθμὸν, ἀλλὰ καὶ τῶν ἐν αὐτῷ νοῦ ἰδίᾳ καὶ τῆς ἐν αὐτῷ θεότητος διδόασιν ἀριθμόν· εἰ δὲ σὺν τῇ διαφορᾷ, ἢ μετὰ τὴν διαφορὰν, τὸν διορισμὸν ἀναγκαίως ὁρῶσι τῶν διαφερόντων, πῶς διαφορὰν λέγοντες, τὸν κατὰ τὸν λόγον τῶν διαφερόντων διορισμὸν οὔ φασι; καὶ ὁμολογημένως καὶ τῆς καθ' ὑπόστασιν αὐτῶν ἑνώσεως φυλαττομένης, τὰ διαφέροντα τῷ λόγῳ καὶ διαφόροις ὁριστικοῖς λόγοις οἷόν τισιν ὅροις διοριζόμενα ἀπαριθμοῦσιν;

νζ. Ὁ ἀριθμὸς ἢ προϋπάρχει ἢ συνυπάρχει ἢ μεθυπάρχει τῆς διαφορᾶς πάντως· τὴν οὖν διαφορὰν τῶν ἡνωμένων φύσεων τοῦ κυρίου οἱ ὁμολογοῦντες, τὸν ἀριθμὸν τὸν κατ' αὐτὴν, ἤγουν τὰ διαφέροντα πράγματα, εἰ μὲν πρὸ αὐτῆς ἴσασι, λεγέτωσαν, ποῦ ἰδόντες αὐτὰ ἢ πότε διάφορα ἠρίθμησαν, ἵνα ἐκ δύο μὲν διαφόρων μία δὲ φύσις ᾖ αὐτοῖς νῦν ἡ ἀδιάφορος, ὅτε διέστατο ἔχοντα τὸ ἥμισυ, ὅτε δὲ ἡνώθη τάδε, λαβοῦσα τὸ διάφορον· εἰ δὲ σὺν τῇ διαφορᾷ, ἢ μετὰ ταύτην ὁ ἀριθμός ἐστιν, ἀναγκαίως διαφορὰν δόντες, ἢ σὺν αὐτῇ, ἢ ἐπ' αὐτῇ, καὶ τὸν ἀριθμὸν τῶν διαφερόντων εἰσπραχθήσονται.

νη. Εἰ μίαν ἐκ δύο, οὐχὶ δὲ καὶ δύο φύσεις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ εἶναι φασὶ, λεγέτωσαν τῆς θείας ὑπὲρ τὸν τοῦ κοινοῦ καὶ ἰδικοῦ λόγον οὔσης φύσεως ὁμολογημένως, τὴν ἑτέραν τῶν δύο ἐξ ὧν ὁ σωτὴρ, ἤγουν τὴν ἀνθρωπίνην, ὁποίαν φασί; κοινὴν, ἢ ἰδικήν; εἰ μὲν οὖν ἰδικήν τινα ἰδιάζουσάν τε χωρὶς τῶν λοιπῶν αὐτὴν ταύτην εἴποιεν, δῆλον ὡς Νεστοριανῶς ἀποκλίνουσιν· εἰ δὲ κοινὴν τήνδε λέγουσιν, ἢ τὴν ἐπινοίᾳ, ἢ τὴν πράγματι, ὅλην δὲ τοῦ εἴδους οὐσίαν φασίν· εἰ μὲν οὖν τὴν ἐπινοίᾳ λέγουσι μίαν εἶναι τῶν ἐξ ὧν ὁ σωτὴρ σύνθετός ἐστι κατὰ μίαν φύσιν ὑφιστὰς, σαφὲς ὡς τὸ ἥμισυ τοῦ κατ' αὐτὸν φυσικοῦ λόγου, ἐπινοίᾳ ἔσται ἔχων καὶ οὐ πράγματι, ἤγουν τὸ ἀνθρώπινον μέρος τῆς συνθέσεως αὐτοῦ· εἰ δὲ κατὰ τοῦτο καὶ ἐκ τῆς παρθένου σαρκοῦται, καὶ ἀνθρώποις ὠράθη, καὶ ἐσταυρώθη, καὶ τὰ λοιπὰ, πάντως καὶ ταῦτα ἐπινοίᾳ καὶ οὐ πράγματι ἀληθῶς γεγόνασιν· εἰ δὲ πράγματι μὲν, κοινὴν δὲ τὴν κατ' αὐτὸν φύσιν τῆς ἀνθρωπότητος φασὶν, ἐπεὶ ἐν τῇ κοινῇ τῷ πράγματι εἶναι λεγομένῃ, Ἰούδας τε καὶ Πιλάτος ἐστὶν, ἄρα καὶ οὗτοι οὐδὲν ἧττον τοῦ δεσπότου ἐσταυρώθησαν, καὶ ἐκ νεκρῶν ἀνέστησαν· αὐτός τε οὐδὲν ἧττον προὐδίδοτό τε καὶ ἐσταύρωσεν αὐτούς τε καὶ ἑαυτόν· οὕτω δὲ καὶ συγγεννηθῆναι αὐτῷ Ἄννας τε καὶ Καϊάφας ἐκ τῆς ἁγίας παρθένου νοοῖτο ἄν· ἀλλὰ μὴν καὶ ὁ προπάτωρ αὐτῆς Δαβὶδ, καὶ αὐτὴ ἡ ἄχραντος μία τις οὖσα τῆς κοινῆς φύσεως, ὑφ' ἑαυτῆς γεννηθῆναι σὺν τῷ Θεῷ λόγῳ τὴν κοινὴν φύσιν τῆς ἀνθρωπότητος γεννώσης λογισθείη· ὧν τί ἀτοπώτερον ἐξεύροι τις, ἢ βλασφημότερον; Εἰ δὲ λέγοιεν· ὑμεῖς οὖν ἐκ δύο φύσεσι τὸν δεσπότην δοξάζοντες, ὁποίαν τούτων φατέ; ἀφθόνως αὐτοῖς ἐροῦμεν, ὡς ἐκ δύο μὲν τῆς τε θείας καὶ τῆς κοινῆς ἀνθρωπίνης ἄμφω προϋπαρχουσῶν τῆς ἑνώσεως Χριστοῦ φαμὲν· ἐν δύο δὲ, τῆς τε ὑπὲρ τὸν κοινὸν λόγον καὶ ἰδικὸν οὐ-

σεως κοινῆς Θεότητος καὶ τῆς ἰδικῆς μόνου αὐτοῦ ἀνθρωπότητος· τὴν μὲν γὰρ ἐκ δύο φύσεων φωνὴν συνεστῶσαν δυνατὸν, καὶ ἐκ τοῦ κατ' ἀφαίρεσιν λαμβανομένης φύσεως ἐκ τοῦ κοινοῦ τοῦ ἀνθρώπου πρὸς τῇ ἐνυπάρκτῳ Θεότητι ἐπινοίᾳ οὖσαν· ἐπινοίᾳ γὰρ καὶ θεωροῦμεν πρὸ Χριστοῦ τὰ Χριστοῦ· τὰ δὲ ἐν αὐτῷ ὑφεστώτως ὄντα ὁμολογοῦμεν, οὐκ ἔστι πρὸ αὐτοῦ, ἀλλ' ἐν αὐτῷ· ὥστε τὴν ὑφεστῶσαν αὐτοῦ ἀνθρωπότητα, οἱ δύο φύσεις εἰδότες ἡνωμένας ἐν Χριστῷ φασὶ μᾶλλον, ὅπερ οἱ ἐκ δύο φύσεων λέγοντες αὐτόν.

νθ. Ἔτι ἡ μία φύσις τοῦ Θεοῦ λόγου ἡ νῦν σεσαρκωμένη, ἦν ποτὲ σεσαρκωμένη, ἢ οὐχί; εἰ δὲ τοῦτο ἀναμφίβολον καὶ αὐτοῖς, ἀκουστέον παρ' αὐτῶν, εἰ Θεοῦ τε λόγου ἦν, καὶ φύσις ἦν, καὶ μία ἦν, καὶ πρὸ τοῦ σαρκωθῆναι, σαρκωθεῖσα, τί ἐπεκτήσατο, ἢ τί ἀπεβάλετο; εἰ μὲν οὐδὲν ἀπεβάλετο, οὐ γὰρ κατὰ τροπὴν εἴρηται καὶ μετουσίωσιν τὸ σεσαρκωμένη, ὥσπερ φαμὲν ἐπὶ τοῦ κρυστάλλου μία φύσις ὕδατος λελιθωμένη, δῆλον ὡς ἐπεκτήσατο σάρκα ἤγουν ἀνθρωπότητα· αὕτη δὲ τί ἐστι, ποιότης ἢ φύσις τίς; εἰ δὲ πάντως φύσις αὕτη ἡ κτηθεῖσα φύσις πρὸς τῇ κτησαμένῃ αὐτὴν μετὰ τοῦ Θεοῦ λόγου φύσει, πόσαι ἂν εἶεν εἰπάτωσαν ἡμῖν εὐγνωμόνως.

ξ. Ἔτι ἐκ δύο φύσεων τὴν μίαν φύσιν τοῦ Θεοῦ λόγου τὴν σεσαρκωμένην ἴσασιν, ἢ Χριστοῦ μόνου; εἰ μὲν Χριστοῦ μόνου, κακούργως περὶ Χριστοῦ ἀνακρινόμενοι παρ' ἡμῶν, οὐ διὰ τοῦ αὐτοῦ ὀνόματος, ἀλλὰ διὰ τοῦ Θεοῦ λόγου τὴν περὶ τῶν φύσεων ἀπολογίαν ποιοῦνται· εἰ δὲ καὶ τοῦ λόγου τὴν μίαν φύσιν ἐκ δύο λέγειν τολμῶσιν, ἔσται καὶ αὐτὴ δηλαδὴ ἐκ Θεότητός τε καὶ ἀνθρωπότητος καθ' αὐτὴν νοουμένη· καὶ σαρκωμένη δὲ πάλιν, ἑτέραν φύσιν σαρκὸς ἐπικτησαμένη· τριπλῆ δὲ ἀντὶ διπλῆς ἐκ δύο σαρκῶν καὶ μιᾶς Θεότητος συγκεκροτημένη.

ξα. Ἔτι ἐπεὶ ἐκ δύο φύσεων ἕν τι ἡνῶσθαι φασὶ, πευστέον αὐτῶν τὸ ἓν τοῦτο τίνι λόγῳ ἓν φασίν; ἢ γὰρ τῷ ὀνόματι, ἢ τῷ γένει, ἢ τῷ εἴδει, ἢ τῷ ἀριθμῷ, ἓν εἶναί τι λέγουσι· παρὰ γὰρ τάδε, ἑτέρως ἕν τι λέγειν οὐκ ἔστιν· εἰ οὖν τῷ ὀνόματι ἕν τι γέγονε, μόνον ὁμωνυμίᾳ ἡνώθησαν τὰ δύο, ἑτεροφυῆ δὲ καὶ ἀσύνθετα ἀλλήλοις ἔτι ἐστὶν, ἄνθρωπός τε μόνον, ἢ Θεὸς μόνον, ἢ ἕτερόν τι ὃ μήτε Θεοῦ μήτε ἀνθρώπου ἐστὶν ὄνομα, ἑκατέρῳ ἐνκληθήσεται· εἰ δὲ τῷ γένει ἐστὶν ἓν τὸ ἡνωμένον ὑφ' ὃ τελεῖ Θεὸς καὶ ἄνθρωπος, ὁμογενῆ ἄρα τάδε· τί δὲ ἄρα τὸ κοινόν τι αὐτοῖς καθολικώτερόν τι Θεοῦ γένος ζητητέον, πῶς τε διὰ προσφάτου ἑνώσεως τόδε ἀρχαιότατον γένος αὐτοῖς ἐπενοήθη; εἰ δὲ τῷ εἴδει ἓν αὐτὸ φασὶ, δύο πάντως ἢ καὶ πλείονα ἔσται τὰ ὑπ' αὐτὸ ἄτομα, ἤγουν ὑποστάσεις, καὶ ἐν δύο προσώποις νοεῖται ἢ ἐν πλείοσι Χριστός· ἓν δὲ εἶδος Θεότητός τε καὶ ἀνθρωπότητος ὅπως λογιστέον, ἀδιανόητον· εἰ δὲ τούτων οὐδὲν εὔλογον, ἐξ ἀνάγκης ἓν τῷ ἀριθμῷ τὸ ἐκ δύο φύσεων ἡνωμένον ὑπολείπεται· τὸ δὲ ἀριθμῷ ἓν λεγόμενον, τὸ τῇ ὑποστάσει ἓν φαμὲν, καὶ οὐ τὸ τῇ φύσει ἕν· διότι ὥσπερ ἀριθμὸς ἕκαστος συνθέσει ἀριθμῶν ἢ μονάδων τὸ ἕν τι εἶναι ἔχει, οὕτως καὶ αἱ ὑποστάσεις συνθέσει φύσεων καὶ ἰδιωμάτων συμπαραλήψει ὑφίστανται, ἢ τοὐλάχιστον συμπλοκῇ φύσεως μιᾶς καὶ ἰδιώματος· τὸ γὰρ φύσει ἓν εἶναι, ἀσυνθέτου πάντη μονάδος ἴδιόν ἐστιν.

ξβ. Εἰ διὰ τὸ μὴ εἰρηκέναι τοὺς πατέρας δύο φύσεις αὐτολεξεὶ ἐπὶ Χριστοῦ, ὑποστέλλεσθαί φασι τὴν καινοφωνίαν, ἢ δειξάτωσαν τινὰ μίαν φύσιν ἁπλῶς λέγοντα, ἢ καὶ αὐτοὶ τὴν τοιάνδε φωνὴν μὴ προσποιείσθωσαν, ὅπου γε ἡμεῖς καὶ φύσεις, ἀλλὰ καὶ δύο, λέγοντας ἀκούομεν τοὺς ἐκκρίτους τῶν διδασκάλων.

ξγ. Ἡ τοῦ θεοῦ λόγου φύσις μία ὡς σεσαρκωμένη ἐστὶν, ἢ καὶ ὡς ἀσάρκου; εἰ μὲν ὡς σεσαρκωμένου, πρὸ τῆς σαρκώσεως οὐ μία ἦν, ἀλλ' ἥμισυ μιᾶς, ἢ τί τοιόνδε μόριον· ὅτι μὴν οὐδὲ ὁ πατὴρ ἢ τὸ ἅγιον πνεῦμα μιᾶς ἔσται φύσεως τελείας· εἰ δὲ καὶ πρὸ τῆς σαρκώσεως μία ἦν, ἢ οὐδὲν προσέθηκε φυσικὸν ἡ σὰρξ τῇ ὑποστάσει τοῦ λόγου, καὶ ψευδὴς ἡ καθ' ὑπόστασιν ἕνωσις φύσεων δοξαζομένη, ἢ προστεθεῖσα μίαν φύσιν ἢ μόριον φύσεως ἐπισυνῆψε τῇ προτέρᾳ φύσει μιᾷ τοῦ λόγου.

Digitized by Google

ΜΑΡΤΥΡΙΑΙ ΤΩΝ ΑΓΙΩΝ.

Ἀλλὰ τί ἡμᾶς, φασὶ, πανταχόθεν περιτρέχοντες, εἰς τὴν ὑμετέραν δόξαν συνελαύνετε; ἡμεῖς γὰρ ἣν αὐτολεξεὶ διδασκαλίαν πατρικὴν ἴσμεν περὶ Χριστοῦ, ἤτουν μίαν φύσιν τοῦ Θεοῦ λόγου σεσαρκωμένην κατὰ τὸν ἅγιον Ἀθανάσιον καὶ Κύριλλον, ὑμεῖς δὲ ἣν φατὲ ξυνοφωνίαν οὐδαμοῦ τοῖς πατράσι ῥητῶς κειμένην εὑρίσκομεν, ἤγουν δύο φύσεις εἰ καὶ ἀδιαιρέτως Χριστοῦ.

Καί τοι γε, ὦ οὗτοι, ὁ ὑμέτερος καθηγητὴς Σεβῆρος βοᾷ, ὡς πλεῖστοι τῶν ἁγίων πατέρων ἀδιαβλήτως ἐχρήσαντο τῇ τῶν δύο φύσεων φωνῇ· πῶς οὖν τἀναντία ὑμεῖς λέγετε; ἀλλ' ὄντως κατὰ τὸ εἰρημένον τῇ σοφίᾳ, προφασίζεται ἀνὴρ θέλων χωρίζεσθαι φίλων. Ἐπεὶ ὅτι οὐδὲν ἰσχυρὸν ὁ λόγου ἄξιον ἢ ἀκριβὲς ἔχει ὑμῖν ἡ ἀφορμὴ τῆς πρὸς ἡμᾶς διανέξεως αὐτῷ, ἑτοίμως καὶ πολυτρόπως σὺν Θεῷ παραστήσομεν· πρῶτα μὲν γὰρ εἰ τὴν ἐν δυάδι φύσεων ἀδιαιρέτῳ ὁμολογίαν ἐπὶ τῆς κυρίᾳ σέβοντες, περὶ τὴν ἑτέραν διαφωνοῦμεν ὑμῖν ἐξαγγελίαν τοῦ δόγματος, ἤγουν τὴν λέγουσαν μίαν φύσιν τοῦ Θεοῦ λόγου σεσαρκωμένην, καὶ μὴ μᾶλλον ὑμῖν καὶ τήνδε ἀσμενιζόμεθα, ὅπως ἂν καλῶς διαστέλλεσθε παρ' ἡμῶν· εἰ δὲ καὶ ταύτην ὡς τὴν αὐτὴν δὲ πάντη οὖσαν τῇ ἑτέρᾳ συναποδεχόμεθα, πῶς ἀφέντες τὸ ἀκατάκριτον αὐτὸ τοῦτο, εἰ ἀληθῶς ταυτόν ἐστι τῇ δυνάμει τὸ λέγειν μίαν φύσιν τοῦ Θεοῦ λόγου σεσαρκωμένην, καὶ δυάδα φύσεων Χριστοῦ καθ' ὑπόστασιν μίαν ἡνωμένην, τῷ μὴ ἐπὶ τῶν αὐτῶν λέξεων εὑρεῖν τοῖς πατράσι κειμένην τήνδε τὴν ἔννοιαν, παραιτεῖσθε φατὲ τὴν τοιαύτην ὁμολογίαν; εἴπερ γὰρ μὴ ἔστι καὶ ἐκ παραλλήλου τι τὸ αὐτὸ λέγειν ἐν τῷ, ἀκουσάτω ταῦτα πάντα τὰ ἔθνη, ἐνωτίσασθε πάντες οἱ κατοικοῦντες τὴν οἰκουμένην, λεγέτωσαν ἡμῖν τί τὸ ἀκούειν παρὰ τὸ ἐνωτίζεσθαι, καὶ ποῖα τὰ ἔθνη, ποῖα δὲ οἱ κατοικοῦντες τὴν οἰκουμένην; εἰ δὲ καὶ τοῦ αὐτοῦ ὄντος σημαινομένου, τῷ μὴ αὐτολεξεὶ παρὰ τῶν πατέρων εἰρῆσθαι τὴν ἐπὶ τῆς δυάδος ὁμολογίαν παραιτοῦνται, εἴπερ ὄντως σκῶλον ἀξιόλογον, καὶ σκάνδαλα αὐτοῖς ἐστι τὸ λέγειν εὐσεβῆ ἔννοιαν, χωρὶς τῆς ἐπὶ λέξεως αὐτῆς τινῶν προηγησαμένων πατέρων εὐσεβῶν συμφωνίας, πρῶτον μὲν οὐδεὶς περσῶν ἢ ῥωμαίων ἢ φράγγων ἢ ἰνδῶν οὔτε προφήτην οὐδὲ τὸν κύριον αὐτὸν ἀποδέξονται τὰ εὐσεβῆ δόγματα διαλεγόμενον, ἐπεὶ οὐ γνωσταὶ αὐτοῖς προϋπάρχουσιν αἱ λέξεις αἱ παρ' αὐτῶν ἰδιαζόντως λεγόμεναι, ἐὰν μὴ δι' ἑτέρων αὐτοῖς ἑρμηνευθῶσι λέξεων ἀλλοίαν τι φωνῶν καὶ ποικίλων περιφράσεων· ἄλλως δὲ οὐδὲ ἑβραῖοι πεισθήσονται, ὅτι ὄντως εἰκὼν τοῦ Θεοῦ καὶ χαρακτὴρ καὶ ἀπαύγασμα ὁ λόγος αὐτοῦ ἐστιν, ἐπεὶ μὴ ἔστι τοῦτο αὐτολεξεί που ἐν τῇ παλαιᾷ· οὔτε σαμαρεῖται περὶ κρίσεώς τι καταδέξονται μελλούσης, ἐπεὶ οὐκ ἐλέχθη ῥητῶς τὰ περὶ αὐτῆς Μωϋσῇ πω· ἀλλ' οὐδὲ Ἄρειοι καὶ Εὐνόμειοι καὶ οἱ λοιποὶ τὴν τῆς ὁμοουσίου ἢ συναϊδίου φωνὴν ἐπὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος ἀνέξονται, ἐπεὶ μήτε τῇ ἁγίᾳ γραφῇ πω εἴρηται αὐτολεξεὶ τάδε, μὴ δὲ τοῖς πρὸ αὐτῶν χριστιανικοῖς συγγράμμασι.

Ἀλλ' οὐδὲ αὐτὴν τὴν ὑπὸ τοῦ πατρὸς ἡμῶν Ἀθανασίου φωνὴν ἐπὶ τοῦ κυρίου λέγουσαν μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην καταδεξόμεθα· οὐ γάρ ἐστι καὶ τοῖς πρὸ αὐτοῦ τυχὸν εἰρημένη, εἰ καὶ τῆς ἐννοίας αὐτῆς ἦν ἡ δύναμις πάλαι ὡμολογημένη· ὁ λόγος γὰρ σὰρξ ἐγένετο, ἠκούσαμεν ἐκ τοῦ θεολόγου· τὸ μέν τοι μίαν φύσιν τοῦ Θεοῦ λόγου σεσαρκωμένην εἶναι, οὐκ ἠκούσαμεν σὺν αὐτοῦ, ἀλλ' ἐνοήσαμεν ἐξ αὐτοῦ τοῦδε τοῦ, ὁ λόγος σὰρξ ἐγένετο· ἁπλῶς δὲ εἰ μὴ ταῖς ἐννοίαις ταῖς εὐσεβέσι μᾶλλον πειθόμεθα ὁπωσοῦν ἐξαγγελλομέναις, ἀλλὰ ταῖς λέξεσιν ἑπόμεθα, πᾶσα διδασκαλία πρώτως λεγομένη, κἂν ὀρθῶς πάντα ἔχοι, καινοφωνίᾳ κριθήσεται, καὶ σκανδαλίσει τοὺς ἀκροατάς· ἐπεὶ

καινοτέρας γὰρ συνθέσεως λέξεων πάντως εἴρηται τὰ πρόσφατα διδάγματα, ὅπη γε πολλάκις καὶ αὐτὰς τῆς ἁγίας γραφῆς τὰς ῥητῶς ἐγκειμένας χρήσεις, διὰ περιουσίας γινώσκομεν ἀληθεῖς εἶναι καὶ κατὰ ἀλληγορίας ὅθ᾽ ὅτε ἐπεί τοι γε ὡς ψευδεῖς θεωροῦμεν· τὸ γὰρ εἰσάξω ὑμᾶς εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι, περὶ τῆς ἀπὸ Ἰορδάνου μέχρις Εὐφράτου χώρας εἰρημένων, ψευδὲς ἂν εἴη, εἰ μὴ διὰ πειραίας γνῶμεν ὅτι πολύφυτος καὶ βοτανώδης ἡ γῆ· οὗ δὲ πολλαὶ βοσκαί, πολλὰ κτήνη καὶ θρέμματα καὶ ποίμνια· οὗ δὲ ζῷα τάδε, καὶ γάλακτος ἀφθονία· ὁμοίως τε ὅπου πολλαὶ βοτάναι, πλεῖσται εἰσὶν αἱ ἀνθολόγοι μέλισσαι· οὗ δὲ πλείους αὗται, καὶ τὸ ἐκ τῶνδε μέλι πολύ· καὶ ὅτε οὖν λέγει, ἐὰν ὁ ὀφθαλμός σου σκανδαλίζῃ σε, ἔκβαλε αὐτὸν ἀπὸ σοῦ, τῷ ῥητῷ ἢ τῇ διανοίᾳ προσεκτέον πρώτως, εἴπερ τὸ γράμμα ἀποκτείνει, τὸ δὲ πνεῦμα ζωοποιεῖ, ὦ οὗτοι ἀποκρίνασθε ἡμῖν.

Ἀλλ᾽ ἴσως πρὸς τάδε εἴποιτε· τί οὖν ὅλως τὴν εὐσεβῆ σημασίαν ἐχούσης τῆς πρώτης φωνῆς, δευτέραν ὑμεῖς καινουργεῖτε, εἰ μή τι σκαιωρεῖτε κατὰ τῆς ἐννοίας; ἔξον γὰρ εἰπεῖν καὶ πρὸς ὑμᾶς εὐκαίρως ὅτι ὧν ἡ χρῆσις ἡ αὐτή, τούτων ἡ πολυτέλεια περιττή· ἀλλὰ ῥητέον ὡς τὰ αὐτὰ καὶ τοῖς τὴν ἑτέραν φωνὴν ἀρχῆθεν προβαλλομένοις, καὶ πᾶσαν τοιάνδε εὐσεβῆ ὁμολογίαν ἀπορηθήσεται· τί γὰρ ἂν ᾗ ταυτὸν ἐστὶ τῷ, ὁ λόγος σὰρξ ἐγένετο, τὸ λέγειν μίαν φύσιν τοῦ Θεοῦ λόγου σεσαρκωμένην, αὕτη ὑμῖν ἐπεισηνέχθη; τί δὲ εἰ ταυτόν ἐστι τῷ, ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν, προσεπράχθη καὶ τὸ ὁμοούσιον τοῦ πατρὸς πρὸς τὸν υἱόν; εἰ δὲ οὕτως διά τινας δύο φύσεις λέγοντας Χριστοῦ, ἰδίως ἐχούσας ἑκατέραν οὐ μόνον κατὰ λόγον φυσικόν, ἀλλὰ καὶ κατὰ τὴν ὕπαρξιν αὐτὴν τῆς ὑποστάσεως, ἤγουν τόν τε λόγον καὶ τὴν σάρκα τοῦ κυρίου, καὶ οὐκ αὐτὸν τὸν λόγον σεσαρκῶσθαι δογματίζοντας ἐν μιᾷ τῇ καθ᾽ ὑπόστασιν ἑνώσει, ἀναγκαίως ἐδέησε λέγειν μίαν φύσιν τοῦ Θεοῦ λόγου σεσαρκωμένην, ἵνα καὶ σημαίνηται τὸ διττὸν τῶν φύσεων διὰ τοῦ ὡς πρός τι λέγεσθαι τὴν σεσαρκωμένην φύσιν, πρὸς γὰρ τὴν σαρκώσασαν εἴρηται καὶ δῆλόν ἐστιν, ὡς οὐκ ἐν μονάδι τὰ πρός τι ἐστί, χώρα τε τοῖς δυσσεβοῦσι μὴ δοθῇ διὰ τοῦ λήμματος τῆς τῶν δύο φύσεων φωνῆς διχάζειν αὐτῶν τὴν μίαν ὑπόστασιν, ἐν τοῖς ἀπεριέκτοις ὁμωνυμούσης τῆς φύσεως καὶ πολλάκις ἀντὶ οὐσίας καὶ ἀντὶ προσωπικῆς δὲ ὑποστάσεως λεγομένης, δέον ἄρα καὶ διὰ τὸ καινοτέρως πάλιν καὶ ἀντιθέτως ἀσεβήσαντάς τινας μίαν φύσιν κατὰ τροπὴν ἢ σύγχυσιν γενομένην τοῦ λόγου τὴν ἐνανθρώπησιν δογματίζειν, καινουργῆσαι καὶ ἡμᾶς τοιάνδε φωνήν, ἥτις τόν τε πρὸς τοὺς εἰρημένους αἱρετικοὺς ἐναντίως ἔχοντα σκοπόν, ὥσπερ οὖν καὶ ἡ μία φύσις τοῦ Θεοῦ λόγου σεσαρκωμένη φυλάττει, καὶ ἀπὸ τῶν ὑστέρων ἀναφυέντων κακοδόξων διαστέλλεται, ὅπερ οὐκ εἶχεν ἡ πρώτη φράσις, καὶ δύο φύσεις τοῦ ἑνὸς Χριστοῦ ἡνωμένας κατὰ τὴν μίαν αὐτοῦ ὑπόστασιν διαλέγοιεν· ὃ γὰρ ἡ πρώτη φωνὴ διὰ τοῦ εἰσάγειν σεσαρκωμένον τέ καὶ σαρκοῦν ἔλεγε, τοῦτο αὕτη μόνον διὰ τῆς δυάδος λέγει· ὃ δὲ ἐν τῷ ἐκείνη διὰ τῆς μονάδος παραστῆσαι βούλεται, τοῦτο αὕτη διὰ τῆς τοῦ ἑνὸς Χριστοῦ καθ᾽ ὑπόστασιν ἑνώσεως ὁμολογεῖ· ἐκείνη μὲν γὰρ παρεστάνει τὴν ἕνωσιν καὶ τὴν ὁλότητα τῶν ἑνωμένων, ἤγουν Χριστόν, ἁρμοσθεῖσα τῇ τῆς μονάδος καὶ συμπλοκῆς ἐννοίᾳ ὡς ἐχούσῃ δεῖξιν τοῦ τε διπλοῦ τῶν συμπλακέντων καὶ ἑνικοῦ τοῦ συμπλέγματος, ἅτε δὲ ἐν τῷ μὲν δύο τὰ συγκείμενα φησί· οὔτε δὲ ἰδίως ὀνομάζειν τὰ μέρη τοῦδε τῆς ὁλότητος σύνοιδεν ἐν τῷ τῆς ἑνώσεως λόγῳ, οὔτε σιγῆσαι τὴν μίαν ὑπόστασιν πείθεται, οὔτε παρατρέχειν τὴν ἕνωσιν συγχωρεῖ, οὔτε μὴ γνωρίζειν ἅπασι βούλεται, τίνος προσώπου γινώσκειν οὖσαν τοῦδε τῆς φυσικῆς δυάδος τὴν ἕνωσιν, καὶ τὴν ὑποστατικὴν μονάδα, ἣν κατ᾽ ἀμφοῖν θεῖσα τὸ ὄνομα.

Ἆρα οὖν ἐπεὶ καὶ Ἄρειος μίαν φύσιν τοῦ Θεοῦ καὶ λόγου σεσαρκωμένην φησί, βουλόμενος δεῖξαι ὡς οὐ πάντη τῆς τοῦ πατρὸς φυσικῆς ἀτρυφίας ἐστὶ καὶ ὁ υἱός· καὶ Ἀπολινάριος τὴν αὐτὴν λέγει ἀπαραλλάκτως φωνήν, ἀντὶ νοῦ ψυχικοῦ βουλόμενος εἶναι ἐν τῷ κυριακῷ ἀνθρώπῳ

Digitized by Google

τὸν λόγον, ἔχων τῇ ψυχωθείσῃ σαρκὶ αὐτοῦ, ἀλόγου φύσεώς τινος ἑτεροφυοῦς ἡμῖν παριστάνων ἐστὶ τὴν ἐκ τῆς οἰκονομίας ἐνεργείαν. Εὐτυχὴς δὲ τὸ αὐτὸ ἀπαραλλάκτῳ φωνῇ ἀλλ' οὐχὶ ἐννοίᾳ φησίν· ὡς γὰρ τοῦ λόγου αὐτοῦ εἰς σάρκα μετουσιωθέντος, καὶ οὐδὲν ἔχοντος ἡμῖν ὁμοούσιον τοῦ κυρίου λέγει τὸ μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην, καθὼς Γρηγόριος ὁ θεολόγος ἐν τῷ πρὸς Κληδόνιον φησὶ περὶ τούτων αὐτῶν· ὅτι τὰς μὲν συνήθεις λέξεις ὁμολογοῦσι περὶ ἃς τὸν νοῦν κακουργοῦσι· καὶ μετὰ βραχία πάλιν, ἐπειδὴ αἱ αὐταὶ λέξεις καλῶς μὲν ἑρμηνευθεῖσαι τὸ εὐσεβὲς ἔχουσι, κακῶς δὲ νοούμεναι, τὸ δυσσεβὲς ἔχουσιν.

Οἱ ἀπὸ Νεστορίου δὲ καὶ ὧν ὕπο Νεστόριος, δύο φύσεις Χριστοῦ ἑνωμένας ἀδιαιρέτως λέγοντες, καθ' ἃ μαρτυρεῖ ἐν τῇ πρὸς Σούκενσον δευτέρᾳ ἐπιστολῇ Κύριλλος ὁ διδάσκαλος· λέγουσι δὲ τὸ ἀδιαίρετον καὶ τὴν ἕνωσιν καὶ οὗτοι ὕπουλος, οὐ καθ' ὑπόστασιν γάρ, οὐ κατὰ τὴν τῶν φύσεων αὐτῶν συμπλοκήν, ἀλλὰ τῇ ἰσοτιμίᾳ, τῇ ταυτοβουλίᾳ, τῇ αὐθεντίᾳ, ἑνῶσθαι ἀδιαιρέτως μὲν σχετικῶς δὲ ὁμολογοῦντες τὸν λόγον τῇ σαρκί· εἰ καὶ τὰς φύσεις αὐτὰς ἐστὶ τῶν προσώπων τὰς ἑνωμένας κατὰ γνώμην φασίν. Ἀναγκαῖον δέδεικται ἐστί, ὡς οἶμαι, μὴ ταῖς φωναῖς ἁπλῶς προσέχειν, ἀλλὰ τοῖς νοήμασι· καὶ εἴτις μὲν καινοτέρᾳ φωνῇ ἐστί, τῇ ἄνωθεν δὲ καὶ ἐξ ἀρχῆς ὁμολογημένῃ ὀρθοδοξίᾳ συμφωνεῖ κατὰ τὸ σημαινόμενον, ταύτην ποιητέον καὶ ὡς οἰκείαν ἀσπαστέον· εἴτις δὲ τετριμμένη τὸ τῇ ἁγίᾳ γραφῇ πάσῃ καὶ τοῖς πατράσιν ὅλως ἔστι φωνή, κατά τινα δὲ δυσσεβῆ καινοτομίαν νοήματος ὑπό τινος προφέρεται εἰς διαφορὰν ὀρθῆς ἐννοίας, ταύτην ἀποδοκιμάζειν καὶ βδελύττεσθαι ὡς καλοὺς τραπεζίτας δέον ἡμᾶς, μὴ τῷ ἐπιπολαίῳ χαρακτῆρι τῶν νομισμάτων καὶ τοῖς χαράγμασι προσέχοντας μόνον, ἀλλὰ καὶ αὐτὸ τὸ ἀργύριον ἐντέχνως παρανοοῦντας καὶ κατεξετάζοντας εἰ ὄντως δόκιμόν ἐστι· τὰ γὰρ λόγια κυρίου, ἀργύριον πεπυρωμένον δοκίμιον εἴρηται· ὅσοι γάρ τε κατὰ πρώτην ἀκοὴν τῆς λέξεων κρίνουσι τὴν δύναμιν, ἐπεὶ καὶ τὰ γράμματα δεξιῶν εἰσιν ἀπογραφαί, μανθανέτωσαν ὅτι οὕτως πολλάκις τὸ γράμμα ἀποκτέννει, τὸ δὲ πνεῦμα ζωοποιεῖ, εἶπέ που.

Τί δὴ ἄρα μοι δεῖσει λόγων μακρῶν περὶ τούτου; πᾶσι γὰρ γνωστὸν ὡς μανιχαῖοι χριστιανοὶ καὶ σαμαρεῖται καὶ ἑβραῖοι καὶ ἀρειανοὶ καὶ σαβελλιανοὶ καὶ οὐαλεντινιανοὶ καὶ μαρκιωνισταὶ καὶ νεστοριανοὶ καὶ ἀπολιναρισταὶ καὶ πᾶσα ἁπλῶς ὁμολογημένη κακοδοξία, ἔκ τε τῆς ἁγίας γραφῆς παλαιᾶς τε καὶ νέας, καὶ τῶν προλαβόντων πατέρων τινὰς χρήσεις παρασπαστῶσι πρὸς μαρτυρίαν τοῦ οἰκείου φρονήματος, ὡς τὰ αὐτὰ βουλομένας αὐτοῖς· ἆρα οὖν οὐχὶ τὴν ἔννοιαν εἰ ὀρθῶς αὐτοῖς ἔχοι κρίνομεν, καὶ οὐ τὰς φωνὰς ἁπλῶς; Ἀλλὰ παράγοντος Σαβελλίου τό, ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν, καὶ ἀναιροῦντος τὴν τριαδικὴν ὑπόστασιν· καὶ Εὐνομίου προβαλλομένου τό, ὁ ἀποστείλας με πατήρ, μείζων μου ἐστί, καὶ ἀνατρέποντος τὴν μονάδα καὶ τὴν ἰσοφυΐαν τῆς θεότητος, οὑτωσὶ ἀνεξετάστως συμπεριφερόμεθα μὲν τοῖς ἀσεβέσι, μᾶλλον δὲ καὶ ἀντιπεριφερόμεθα παντὶ ἀνέμῳ τῆς διδασκαλίας πρὸς τὴν μυρίαν τῆς πλάνης κλυδωνιζόμενοι, οὕτω τὸ ἑαυτῇ ἀσύμφωνον ὅσον ἀπὸ τῶν φωνῶν τὴν ἁγίαν γραφὴν λογισόμεθα, καὶ τὸ κήρυγμα τοῦ εὐαγγελίου εἶναί τε καὶ οὐκ ἐστὶ καταδεξόμεθα; οὐχ οὕτως οἱ εὐσεβεῖς οὐχ οὕτως, ἀλλ' ὄντως δοκιμάζοντες τὰ διαφέροντα οἱ διὰ τῶν γεγυμνασμένων αἰσθητηρίων τὰς συγκρίσεις τῶν καλῶν τε καὶ κακῶν ποιούμενοι, πάντα δοκιμάζοντες, τὸ καλὸν κατέχομεν.

Οὐκοῦν φιλαλήθως πάντας τοὺς κατά τινα σκοπὸν τῶν αἱρετικῶν λέγοντας τὸ μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην ἀποσκορακιστέον· ἀλλὰ καὶ ὅσοι κατά τινα ἔννοιαν δυσσεβῆ φασὶ δυάδα φύσεων τοῦ Χριστοῦ ἑνωμένων ἀδιαιρέτως, καταπτυστέον· ἀποδεκτέον δὲ πάλιν πάντας τούς τε μίαν φύσιν λέγοντας τοῦ θεοῦ λόγου σεσαρκωμένην, ὡς ἑτέρᾳ φύσει ἄγαν τῇ τῆς σαρκὸς ἑνωμένην τὴν φύσιν τοῦ λόγου καθ' ὑπόστασιν, καὶ πάντας δὲ τοὺς ὁμολογοῦντας δυάδα φύσεων Χριστοῦ ἑνωμένων ἀδιαιρέτως εὖ κατά τε

Digitized by Google

τῶν περὶ τὴν οὐσίαν θεωρουμένων, ἀλλὰ κατὰ τὴν ὑπόστασιν αὐτὴν τῶν φύσεων, τουτέστιν εἰς ἑνὸς προσώπου δεῖξιν τῶν ἀμφοῖν, ὡς τὴν αὐτὴν οὖσαν ἑκατέρων ὁμολογίαν πεποιημένος.

Ὅτι γὰρ καὶ Κύριλλος ὁ πατὴρ τὴν αὐτὴν οἶδεν ἔννοιαν τῆς τε μιᾶς φύσεως τοῦ Θεοῦ λόγου σεσαρκωμένης, κατὰ τὴν αὐτοῦ ἔννοιαν λεγομένης καὶ τῶν ὀρθῶς νοούντων δύο φύσεις Χριστοῦ καθ' ὑπόστασιν μίαν ἡνωμένας, κατὰ τὴν Λέοντός τε τοῦ σοφωτάτου καὶ τῶν ἁγίων πατέρων τῶν ἐν τῇ συνόδῳ Χαλκηδόνος ὁμολογίαν, ἀκουστέον αὐτοῦ ἐν τῇ πρὸς Εὐλόγιον πρεσβύτερον ἐπιστολῇ τάδε λέγοντος. « Κἀκεῖνο δὲ μὴ ἀγνοείτωσαν· ὅταν γὰρ ἕνωσις ὀνομάζηται, οὐχ ἑνὸς πράγματος σημαίνεται σύνοδος, ἀλλ' ἢ δύο ἢ καὶ πλειόνων καὶ διαφόρων ἀλλήλοις κατὰ τὴν φύσιν. Εἰ τοίνυν λέγομεν τὴν ἕνωσιν, ὁμολογοῦμεν ὅτι σαρκὸς ἐψυχωμένης νοερῶς καὶ λόγου· καὶ οἱ δύο δὲ λέγοντες φύσεις, οὕτως νοοῦσι· πλὴν τῆς ἑνώσεως ὁμολογουμένης, οὐκέτι διΐστανται ἀλλήλων τὰ ἑνωθέντα, ἀλλ' εἷς λοιπὸν υἱός, μία φύσις αὐτοῦ ὡς σαρκωθέντος τοῦ λόγου· ταῦτα ὡμολόγησαν οἱ τῆς ἀνατολῆς ».

Ἔτι μὴν καὶ ἐν τῇ δευτέρᾳ πρὸς Σούκενσον ἐπιστολῇ οὕτως φησὶ, ἀποσκευαζόμενος τοὺς κατ' ἔννοιαν μειώσεως ἢ φύρσεως τῶν συνελθόντων διαβάλλοντας αὐτὸν λέγειν τὴν μίαν φύσιν. « Εἰ μὲν γὰρ εἰπόντες φύσιν τοῦ λόγου σεσιγήκαμεν, οὐκ ἐπενέγκαντες τὸ σεσαρκωμένην, ἀλλ' οἷον ἔξωθεν τιθέντες τὴν οἰκονομίαν, ἦν αὐτοῖς τάχα που καὶ οὐκ ἀπίθανος ὁ λόγος, προσποιουμένοις ἐρωτᾶν ποῦ τὸ τέλειον ἐν ἀνθρωπότητι; πῶς ὑφέστηκεν ἡ καθ' ἡμᾶς οὐσία; ἐπειδὴ δὲ καὶ ἐν ἀνθρωπότητι τελειότης, καὶ τῆς καθ' ἡμᾶς οὐσίας ἡ δήλωσις εἰσκεκόμισται διὰ τοῦ λέγειν σεσαρκωμένην, παυσάσθωσαν καὶ τὰ ἑξῆς ». Τί οὖν πρὸς τῇ μιᾷ φύσει τοῦ λόγου καὶ ἀνθρωπίνην τελείαν οὐσίαν εἰσκομίζων διὰ τοῦ σεσαρκωμένην, οὐ δύο τῶν λεγόντων τὰς φύσεις, ἀκούων μίαν φύσιν τοῦ Θεοῦ λόγου σεσαρκωμένην; φησὶ γὰρ καὶ μετὰ βραχέα· « τί γάρ ἐστιν ἀνθρωπότητος φύσις, πλὴν ὅτι σὰρξ ἐψυχωμένη νοερῶς; »

Τοῦ πατρὸς οὖν σαφῶς ἡμῖν μαρτυροῦντος τὴν πρὸς αὐτὸν καὶ τὴν ἀλήθειαν συμφωνίαν, τῶν νοημάτων ἄρα μὴ εὐσεβῶς ἔχειν δεδειγμένων ταῖς φωναῖς ἡμεῖς οὐ προσκείμεθα· οὐδ' αὖ πάλιν εὐσεβῶς ἐχόντων τὰς φωνὰς ἀποστρεφόμεθα· οὔτε γὰρ ἕνωσις ἡ μονὰς ἁπλῶς ὁποσοῦν συμφραζομένη τινὶ τὰς φύσεις αὐτῶν ἀναιρεῖ, εἰ μὴ εἰς φύσεως αὐτῆς μονάδα ἤκειν νοοῦντα ἴδοι τις κατὰ σύγχυσιν ἑνώσεως· ἑτέρα γὰρ ἕνωσις τοῦτο οὐ ποιεῖ· οὐδὲ ἡ δυὰς πάντως κατηγορηθεῖσα τινὸς, καὶ εἰς πρόσωπα διαιρεῖ τοῦτο, εἰ μὴ εἰς προσωπικὴν δίπλωσιν εἰληφθεῖσα· τίς γὰρ ἂν εἴποι διότι ἕνωσίς τις λέγεται καὶ μονὰς ἡ τοῦ ὅλου ῥωμαϊκοῦ τυχὸν στρατοῦ, καὶ ἐπὶ πάντων τῶν ἐν ταύτῃ περιλαμβανομένων κεῖται ὄνομα τῶν ἀνθρώπων καὶ ἡμιόνων καὶ καμήλων τῶν ἐν αὐτῷ, διὰ τόδε καὶ μία φύσις ἐστὶν ὁ πᾶς στρατός; ἀλλ' αὕτη, φησὶν, οὐκ ἔστι καθ' ὑπόστασιν φύσεων ἕνωσις.

Σκεπτέον οὖν, ὃ ἔφην, ὡς οὐκ ἔστιν ἕνωσιν ἁπλῶς ποιεῖν μίαν φύσιν· ἀλλ' οὐδὲ ἡ καθ' ὑπόστασιν ἕνωσις εἰ μόνον λεγομένη, μονάδα ποιήσει φύσεως, ἀλλ' ἢ μόνης ὑποστάσεως· οὔτε γὰρ κύβλος ἢ σπόγγος ὕδατι ἐμβαφεὶς καὶ ἀναπλησάμενος ὅλῳ ἑαυτῷ ὅλον τόδε, εἰς φύσιν ἥκει μίαν σὺν τῷ ὕδατι, ἀλλ' εἰς ὑπόστασιν μίαν· ὥσπερ οὖν καὶ σίδηρος καὶ πῦρ εἰς μύδρου ὑπόστασιν· καὶ λίθοι γὰρ καὶ ξύλα εἰς οἴκου μετ' ὑπόστασιν ἑτέραν ἧκαν, φύσεις δὲ τὰς αὐτὰς, ἀλλ' ἡνωμένας ἀλλήλαις, τὰς συνελθούσας εἰς τὴν τοῦδε σύστασιν, καὶ τὴν ὑφ' ἓν στάσιν, ἥτινι ὑπόστασιν τοῦ οἴκου ἔχουσιν· εἰ μέντοι καὶ εἰς φύσιν μίαν, ὥσπερ οὖν καὶ ὑπόστασιν, γένοιτο ἕνωσις, οἷον γίνεται ἐπὶ τῆς κλαύρας χίας, καὶ τοῦ μαλθακτοῦ κηροῦ εἰς μαστιχώματος σύστασιν ἑνωμένων ὄντων, καὶ φύσιν μίαν ἀνάγκη λέγειν ἐπὶ τῇ ἑνώσει· σκεπτέον δὲ ὡς οὔτε ἡ μαστίχη οὔτε ὁ κηρὸς ἐν ταῖς οἰκείαις φυσικαῖς ἰδιότησι τότε καὶ συστάσεσι καὶ χροιαῖς καὶ λοιπαῖς ποιότησι πάντη μένουσι λοιπὸν κατὰ τήνδε τὴν ἕνωσιν, οὔτε ἔστι θατέρῳ τῶν ἰδίων μερῶν ἐμποδ-

Digitized by Google

τος ἐν τῷ μαστιχήματι σωζομένη πρὸς τὰ ὁμοιομερῆ· οὔτε γὰρ χίας, οὐδὲ κηροῦ τί ὅμοιον πάντη ἔχει τὸ σύνθετον μαστίχημα· οὐδὲ ὁ ἤλεκτρος πάντη χρυσοῦ εἶδος καὶ ἀργύρου σώζει.

Καὶ εἰ οὕτως λέγειν ἐπὶ Χριστοῦ εὔλογον τὴν ἕνωσιν, ὑμῖν ἐγκαταλειπτέον φρονεῖν, ὡς μήτε ὄντως Θεὸν μήτε ἄνθρωπον εἶναι· εἰ δὲ αὐτὸν μὲν οὐ φατὲ τόδε, τινὰ δὲ τῶν ἐκκρίτων πατέρων ταύτην τὴν εἰς φύσιν ἕνωσιν δείξοντε λέγοντα, παυσόμεθα τῆς πρὸς ὑμᾶς ἀμφισβητήσεως· εἰ δὲ τόδε τὸ τῆς εἰς φύσιν ἑνώσεως δόγμα διαξαινόμενον καὶ διασαφούμενον κατὰ τὴν ἔννοιαν, οἷόν τί ἐστι, μήτε ὑμῖν ῥητέον, μήτε τινὶ τῶν θεοφόρων λεκτόν, πῶς ὅσιον οὕτως ἐπὶ τὴν ἕνωσιν ἁπλῶς ἢ καὶ τὴν ὑπόστασιν, τὴν μίαν φύσιν ὑμᾶς προφασίζεσθαι; μὴ ὀρρωδοῦντας εὐσεβῶς ὥσπερ τὴν διαίρεσιν τῶν συνελθόντων, οὕτως καὶ τὴν τροπὴν αὐτῶν καὶ σύγχυσιν, ἐπὶ τῆς ἀπεριστέπτου φωνῆς ὑποχάφειν;

Καὶ γὰρ ἐκεῖνο μὴ ἀγνοείτω ὑμᾶς, ὡς τοῖς περὶ φυσικὰ γεγυμνασμένοις ὤφθη πολλάκις καὶ διακεκριμένων τῶν ὑποστάσεων γινομένη τις φυσικὴ ἕνωσις· τῷ γὰρ ὄξει ὑποκειμένῳ ἐξ ἀλόγου διαστήματος ὑποκείμενος χαλκός, αὐτὸς μὲν ὀξύνεταί τε τὴν γεῦσιν ἰούμενος, καὶ ἐπτίζεταί πως τὴν σύστασιν ἐκδιαινόμενος καὶ ἀναχεόμενος· τὸ δὲ ὄξος συστρέφεταί τε εἰς παχύτητα γλοιούμενον τὴν σύστασιν, πικραίνεταί τε τὴν γεῦσιν, καὶ ἐρυθαίνει πως τὸ χρῶμα· καὶ ἁπλῶς ἀντικείρνανται τὰς φυσικὰς ποιότητας, καὶ διεστῶτά τε καὶ διωρισμένα τὰς ὑποστάσεις· οὐκ ἄρα ἦν ἡ εἰς φύσιν ἕνωσις τοῦ ἀδιαιρέτου τῶν ἑνωθέντων σύστασις, ἀλλὰ μόνον τὸ κατ' οὐσίαν ἀλλοιώσεως αὐτῶν εἰς δεῖξιν λαμβάνεται, καὶ νοεῖται σαφῶς· τοῦτο γὰρ ἰδίως ἕνωται τῷδε.

Ἀλλ' οὕτως μὲν τάδε, ἵνα ἐκ περιουσίας ὑμᾶς δείξωμεν, ὡς οὐδὲ τήνδε τὴν ἄλογον ἀφορμὴν τῆς ταυτολογίας ἔχετε εἰς τὴν δείνυξιν τὴν πρὸς ἡμᾶς, μόνον δὲ διά τινα προσπάθειαν καὶ ἀλόγιστον συνήθειαν καὶ ἀβασάνιστον πρόληψιν περὶ τῆς ἀρχαίας τῆς ἀληθοῦς εὐσεβείας ἀποδεδρακότα, καὶ αἱρεσιαρχήσαντες ὑμεῖς ἀφορίζεσθε ἡμῶν, ἢ τὴν βίβλον ἢ τοὺς χαρτίας χορηγοῦντες ὑμεῖς μὴ ἀποκάμητε· καὶ οὐκ ἐκλείψομεν ὑμῖν ἐπὶ βίβλου παντὸς πατρικὰς χρήσεις κατεπάδοντες, ἵνα τῆς πρὸς ἡμᾶς ἀγχιστεύεσθαι ὑποθωπεύσαντες, καταπαύσωμεν.

Εἰ δὲ καὶ τοῦτο ὑμῖν φορτικόν, ἐστὶν ἐκ προχείρου ἐρεῖν καὶ εἰς σύμμετρον ἔλεγχον ἀποχρῶντας ἔχει, τέως παραθήσομεν ὑμῖν, οὐ μόνον τῶν ἐκκρίτων ἡμῶν πατέρων μαρτυρίαις δυσωποῦντες εἰδέναι φύσεις ἐπὶ τοῦ κυρίου σωζομένας μετὰ τὴν ἕνωσιν, ἀλλὰ καὶ τῶν ὑμετέρων καθηγεμόνων ὁμολογίας περὶ τούτου προσάγοντες· εἰ δὲ ὡς ἔθος ὑμῖν πολλάκις, γελωτοποιεῖτε καὶ πρὸς ταῦτα ἐφευρίσκοντες λέγειν, ὡς ἀληθῶς φύσεις μὲν εἴρηνται ἀλλ' οὐ δύο μετὰ τὴν ἕνωσιν ἐπὶ τοῦ κυρίου, ὑμῖν ἐγκαταλείψομεν τὸ λοιπὸν διδάσκειν ἡμᾶς ὅπως δέον τάσδε νοεῖν, εἴπερ ἄρα τὴν φύσιν ταυτὸν ἔστι τῇ καὶ τὰς φύσεις, κατά γε τὸ ποσὸν νοούμενα· οὐδὲ γὰρ το[illegible] ἀμαθίας κατάγνωσιν φέρετε, μὴ διακρίνοντες τὸ ἑνικὸν ἀπὸ τοῦ πληθυντικοῦ, ἐξ ἀνάγκης ἢ πλείους ἢ δύο τό γε ἐλάχιστον δώσετε τὰς τάσδε τῷ ποσῷ τὰς ἑνούσας Χριστῷ, καὶ οὔσας Χριστόν, καὶ ἐν αἷς ἐστι Χριστός· ἐκ δύο γὰρ καὶ μόνων ἀτρέπτων καὶ ἀμειώτων ἡ ἕνωσις Χριστοῦ ὡμολόγηται καὶ ὑμῖν καὶ ἡμῖν· πλὴν καὶ δύο ῥητῶς λέγοντας δείξομεν οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ τὴν ἀντιλεγομένην ὑμῖν μίαν φύσιν, ἣν φασὶν εἶδε, προδήλως ἀποδοκιμάζοντας, ἵνα μηδὲν ὑμῖν εἰς παντελοῦς ἀνατροπῆς χρείαν ὑπολείπηται πρὸς αὐτούς· πρῶτον μὲν οὖν τοὺς οἱονεὶ ὑποχαρακτικοὺς ὁρισμοὺς Χριστοῦ ὑπὸ τῶν πατέρων εἰρημένους ἀκουστέον· φασὶ γὰρ οὕτως.

ΤΙ ΕΣΤΙ ΧΡΙΣΤΟΣ Ο ΠΡΟΣΚΥΝΗΤΟΣ ΗΜΙΝ.

Ἀθανασίου.

« Θεὸς καὶ ἄνθρωπος ὁ αὐτός, εἷς ὢν καθ' » ὕπαρξιν, ἀνελλιπῶς τὰ ἑκάτερα ». Τί δὲ ἐστι τάδε τὰ ἑκάτερα, καὶ τί Θεὸς καὶ ἄνθρωπος, εἴπατε αἱ φύσεις ἢ οὐχί;

Βασιλείου, τί ἐστι Χριστός.

« Θεότης ἐμψύχῳ σαρκὶ κεχρημένη ».

Γρηγορίου, τί ἐστι Χριστός.

« Καινὴ μίξις, Θεὸς καὶ ἄνθρωπος, ἓν ἐξ ἀμφοῖν, καὶ δι' ἑνὸς ἀμφότερα ».

Τοῦ αὐτοῦ.

« Κρᾶσις θεοῦ καὶ σαρκὸς, διὰ μέσης ψυχῆς νοερᾶς, μεσιτευούσης θεότητι καὶ σαρκὸς παχύτητι. — Ὁ υἱὸς θεοῦ ὢν, καὶ υἱὸς ἀνθρώπου γενόμενος, ἄμφω εἷς υἱὸς καὶ Θεὸς, τοῦ κρείττονος ἐκνικήσαντος ». Ἔστιν ἄρα τὸ νικηθὲν καὶ τὸ νικῆσαν. « — Ἀνθρωπότης χρισθεῖσα θεότητι, καὶ γενομένη ὅπερ τὸ χρῖσαν, καὶ οἷον εἰπεῖν ὁμόθεος ».

Κυρίλλου, τί ἐστι Χριστός.

« Εἷς ὁ Θεὸς καὶ ἄνθρωπος, ὁ αὐτὸς τοῦτο κἀκεῖνο ὑπάρχων τε καὶ νοούμενος. — Ὁ τοῦ Θεοῦ λόγος καὶ υἱὸς ἐνανθρωπήσας καὶ σεσαρκωμένος. — Θεὸς ἐν προσλήψει σαρκὸς νοερῶς ἐψυχωμένης, [illegible] γέγονε καὶ ἄνθρωπος. — Μία φύσις τοῦ Θεοῦ λόγου σεσαρκωμένη ».

Ἆρα οὖν τί γε καὶ ἑαυτοῖς ἀλλήλοις συμφωνοῦσι τοῖς ῥήμασιν οἱ ῥήσαντες τάδε, πῶς οὐχὶ ἀμφότερα τὰ συνελθόντα ἐν Χριστῷ οἴδασι σώζεσθαι, καὶ μίαν φύσιν τοῦ Θεοῦ λόγου σεσαρκωμένην ὅτε λέγουσιν; εἰ δὲ τὸ ἀμφότερα, τὰ δύο πράγματα σημαίνει κυρίως, καὶ οὔτε τρία, οὔτε ἕν, τὰ δὲ πράγματα τάδε οὐ συμβεβηκότα τινὰ, ἢ φαντασίαι ψιλαὶ, ἀλλ' οὐσίαι τινές εἰσι, τί ἄλλο συνάγεται διὰ τῶνδε τῶν φωνῶν νοεῖν, ἢ ὅτι δύο φύσεις τοῦ Χριστοῦ ἡνωμέναι εἰσὶ κατὰ μίαν τὴν ὑπόστασιν αὐτοῦ; Ἀλλ' ἐπιδράμωμεν καὶ ταῖς σαφῶς τὰς φύσεις Χριστοῦ μνημονευούσαις μαρτυρίαις πατρικαῖς, καὶ μάλιστα ὧν μὴ ὁπωσοῦν τολμῶσι ποιεῖσθαι παραγραφὴν οἱ ἀντιλέγοντες.

Γρηγορίου τοῦ Θεολόγου.

« Φύσεις μὲν γὰρ δύο, θεὸς καὶ ἄνθρωπος, ἐπεὶ καὶ ψυχὴ καὶ σῶμα· υἱοὶ δὲ οὐ δύο, οὐδὲ ἄνθρωποι ».

Γρηγορίου.

« Ἄμφω δὲ οὖν ἐν ταυτῷ, εἷς θεὸς τὸ ὁμοῦ καὶ ἄνθρωπος, ὁ Ἐμμανουήλ ».

ΠΟΙΑΝ ΦΑΣΙ ΤΗΝ ΕΠΙ ΧΡΙΣΤΟΥ ΕΝΩΣΙΝ ΟΙ ΠΑΤΕΡΕΣ.

Γρηγορίου τοῦ Θεολόγου.

« Εἴ τις ὡς ἐν προφήτῃ λέγει κατὰ χάριν ἐνηργηκέναι, ἀλλὰ μὴ κατ' οὐσίαν συνῆφθαί τε καὶ συμπεπλάσθαι, εἴη κενὸς τῆς κρείττονος ἐνεργείας ».

Κυρίλλου ἐκ τῆς ἑρμηνείας τῶν ἰδίων κεφαλαίων.

« Ἀναγκαίως ἡμεῖς τοῖς Νεστορίου μαχόμενοι λόγοις, τὴν καθ' ὑπόστασιν ἕνωσιν γενέσθαι φαμέν ».

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Σούκενσον.

« Οὐκοῦν καὶ εἰ λέγοιτο ἀνθρωπότητος καὶ θεότητος φύσις ἐπὶ τοῦ Ἐμμανουὴλ, ἀλλ' ἡ ἀνθρωπότης ἰδία γέγονε τοῦ λόγου· καὶ εἷς υἱὸς νοεῖται σὺν αὐτῇ ». Ἆρα οὖν φύσεις τὸ ἰδιοποιησάμενον καὶ τὸ ἰδιοποιηθὲν εἰς τὴν τοῦ οἰκειωσαμένου ὑπόστασιν, ἢ οὔ;

Τοῦ αὐτοῦ.

« Ἡμέτερον γὰρ τὸ λέγειν ἤτοι ὀνομάζειν δύο φύσεις μέχρι τοῦ γινώσκειν τὴν διαφορὰν τοῦ λόγου καὶ τῆς σαρκός ». Δῆλον οὖν ὡς ὁ μὴ λέγων δύο φύσεις, ἤρνηται τὴν διαφορὰν καὶ οὐ γινώσκει αὐτὴν ἐν Χριστῷ.

Τοῦ αὐτοῦ ἐκ τῶν γλαφυρῶν.

« Δύο μὲν γάρ φησι ὀρνίθια κελεύει ληφθῆναι ζῶντα καὶ καθαρὰ, ἵνα νοήσῃς διὰ πετεινῶν τὸν οὐράνιον ἄνθρωπον, ἄνθρωπόν τε ὁμοῦ καὶ Θεὸν, εἰς δύο φύσεις ὅσον ἧκεν εἰς τὸν ἑκάστῃ πρέποντα λόγον διαιρούμενον· λόγος γὰρ ἦν ὁ ἐκ Θεοῦ πατρὸς ἀναλάμψας, ἐν σαρκὶ τῆς γυναικός ».

Γρηγορίου τοῦ Θεολόγου.

« Θεὸς δὲ λέγοιτο ἄν, οὐ τοῦ λόγου, τοῦ ὁρωμένου δέ· πῶς γὰρ ἂν εἴη τοῦ κυρίως Θεοῦ Θεός; ὥσπερ καὶ πατὴρ, οὐ τοῦ ὁρωμένου, τοῦ λόγου δέ· ἡνίκα γὰρ αἱ φύσεις διΐστανται ταῖς ἐπινοίαις, συνδιαιρεῖται καὶ τὰ ὀνόματα ». Ἐπισκεπτέον ὅτι οὐ τῇ ἐπινοίᾳ εἶναι τὰς φύσεις, ἀλλὰ διΐστασθαι ταῖς ἐπινοίαις τὰς φύσεις φησί.

Digitized by Google

Τοῦ αὐτοῦ.

« Κιρναμένων ὥσπερ τῶν φύσεων, οὕτω δὴ » καὶ τῶν κλήσεων, καὶ περιχωρουσῶν εἰς ἀλλήλας » τῷ λόγῳ τῆς συμφυΐας ».

Βασιλείου ἐκ τοῦ πρώτου πρὸς Εὐνόμιον.

« Οὐ δύο λέγομεν Θεὸν ἰδίᾳ καὶ ἄνθρω- » πον· εἷς γὰρ ἦν· ἀλλὰ κατ' ἐπίνοιαν τὴν » ἑκάστου φύσιν λογιζόμενοι· οὐδὲ γὰρ ὁ Πέ- » τρος δύο ὄντων εἰπών, Χριστοῦ οὖν πα- » θόντος ὑπὲρ ἡμῶν σαρκί ». Ὁ αὐτὸς δὲ μέγας Βασίλειος φησὶ πρὸς Εὐνόμιον τὴν τινὰ μὲν ἐπίνοιαν, τὴν ἀληθῆ νοητὴν θεωρίαν, καὶ τὴν ἑτέραν τὴν κατὰ ἀνάπλασμα ψεύδους, οἷα τῶν μυθοποιῶν καὶ ζωγράφων· εἰ μὲν οὖν πρὸς τὸ θεὸν καὶ ἄνθρωπον, τὴν ἀληθῆ· εἰ δὲ πρὸς τὸ ἰδίᾳ τὴν ἐπίνοιαν ἀκούομεν, τὴν ἀναπλαστικὴν λεκτέον· μόνον γὰρ δεῖ τὸ διαρθροῦσαι ἑαυτοῖς τὸ διάφορον τῶν ἡνωμένων, ταῖς φαντασίαις ἰδίᾳ ἕκαστον ἀφορίζομεν, ἵνα εἰδῶμεν, τί μὲν ἰδίως τοῦδε, τί δὲ τοῦ ἑτέρου.

Τοῦ αὐτοῦ.

Ἐκ τούτου δεῖ συνορᾷν, ὅπως ἐν τῷ ἑνὶ καὶ τῷ αὐτῷ ἑκατέρας φύσεως ἀποδειχθῇ ἡ ἀλήθεια.

Γρηγορίου τοῦ Θεολόγου.

« Ἀπεστάλη μὲν, ἀλλ' ὡς ἄνθρωπος· » διπλοῦς γὰρ ἦν ».

Κυρίλλου ἐκ τοῦ πρὸς Θεοδόσιον τὸν βασιλέα.

« Τὰς γὰρ εὐαγγελικὰς περὶ τοῦ κυρίου » φωνὰς ἴσμεν τοὺς θεολόγους ἄνδρας τὰς μὲν » κοινοποιοῦντας ὡς ἐφ' ἑνὸς προσώπου, τὰς » δὲ διαιροῦντας ὡς ἐπὶ δύο φύσεων· καὶ τὰς » μὲν θεοπρεπεῖς, κατὰ τὴν θεότητα αὐτοῦ· » τὰς δὲ ἀνθρωποπρεπεῖς, κατὰ τὴν ἀνθρω- » πότητα αὐτοῦ διδόντας ».

Τοῦ Θεολόγου ἐκ τοῦ περὶ υἱοῦ δευτέρου λόγου.

« Τὸ γὰρ συναμφότερον, ἕν, ἀλλ' οὐ τῇ » φύσει, τῇ δὲ συνόδῳ ».

Κυρίλλου.

« Μετὰ μέντοι τὴν ἕνωσιν, οὐ διαιροῦμεν » τὰς φύσεις ἀπ' ἀλλήλων, οὐδὲ εἰς δύο υἱοὺς » τέμνομεν τὸν ἕνα καὶ ἀμέριστον ». Δῆλον ἄρα, ὡς εἰ καὶ ἀδιαίρετος, ἀλλ' οὖν φύσεις οἶδε τὰς μετὰ τὴν ἕνωσιν, καὶ οὐ φύσιν μίαν.

Γρηγορίου Νύσσης κατὰ Εὐνομίου.

« Οὔτε ζωοποιεῖ τὸν Λάζαρον ἡ ἀνθρω- » πίνη φύσις, οὔτε δακρύει τὸν κείμενον ἡ ἀ- » παθὴς ἐξουσία ». Καὶ πάλιν. « Τὸν μεσίτην » θεοῦ καὶ ἀνθρώπων, καθὼς καὶ ὠνόμασεν ὁ θεῖος » ἀπόστολος, οὐδὲν οὕτως ὡς τὸ τοῦ υἱοῦ δεικ- » νυσιν ὄνομα, ἑκατέρᾳ φύσει τῇ θείᾳ καὶ ἀνθρω- » πίνῃ κατὰ τὸ ἴσον ἐφαρμοζόμενον ».

Τοῦ Χρυσοστόμου ἐκ τοῦ κατὰ ἀπολιναριστῶν.

« Οὕτω κἀνταῦθα τῆς θείας ἐνιδρυσάσης » τῷ σώματι φύσεως, ἓν εἶδον, ἓν πρόσωπον, » τὸ συναμφότερον ἀπετέλεσε, γνωριζομένων » μέντοι ἀσυγχύτῳ καὶ ἀδιαιρέτῳ λόγῳ, οὐκ » ἐν μιᾷ μόνῃ φύσει, ἀλλ' ἐν δυσὶ τελείαις· » ἐπὶ γὰρ μιᾶς, πῶς τὸ ἀσύγχυτον; πῶς τὸ » ἀδιαίρετον; πῶς ἡ ἕνωσις λεχθείη ποτέ; ἡ » γὰρ μία ἑαυτῇ ἑνωθῇ, ἢ συγχυθῇ, ἢ ἐξ » ἑαυτῆς διαιρεθῇ, οὐ δύναται ». Καὶ μετὰ βραχέα. « Πάλιν ἐπ' ἄλλο μεταπηδῶντες φασὶ, » μετὰ τὴν ἕνωσιν μὴ χρῆναι λέγειν δύο φύσεις· » πρόσεχε τῇ σημασίᾳ τοῦ ῥητοῦ· ἕνωσιν εἶπας· » ἕνωσιν δὲ μιᾶς οὐκ ἂν εὕροις γενομένην ». Καὶ μετὰ βραχέα. « Εἰώθασι δὲ καὶ ταῦτα προτεί- » νειν· ἄρα οὐ τὸ σῶμα καὶ τὸ αἷμα τοῦ θεοῦ » λαμβάνομεν πιστῶς καὶ ὑγιῶς; καὶ λεκτέον· » οὐχ ὅτι σῶμα καὶ αἷμα, τὸ θεῖον πρὸ τῆς » ἐνανθρωπήσεως ἐκέκτητο φύσει, ἀλλ' ἐπει- » δὴ τὰ τῆς σαρκὸς ἰδιοποιεῖται, ἔχειν λέγε- » ται ταῦτα· ὢ τοῦ ἀτοπήματος· ὢ τῆς ἀσεβοῦς » διανοίας· κινδυνεύει γὰρ παρ' αὐτοῖς τῆς » θεότητος τὸ ἀξίωμα, καὶ πάλιν τὸ κυριακὸν » σῶμα ὡς ἀληθινὸν σῶμα ὁμολογεῖν οὐκ ἀν- » έχονται· δι' ἐπινοίας γὰρ λέξιν τετράφ- » θαι τοῦτο εἰς θεότητα φαντάζονται, μίαν » ἐντεῦθεν κατασκευάζοντες φύσιν· καὶ αὐτὴν » τίνος τὴν μὴ εὑρίσκοντες λέγειν ». Καὶ μετ' ὀλίγα. « Φύγωμεν τοὺς διαιροῦντας· εἰ γὰρ καὶ » διττὴ ἡ φύσις, ἀλλ' οὖν ἀδιαίρετος καὶ ἀ- » διάσπαστος ἡ ἕνωσις, ἐν ἑνὶ τῆς υἱότητος ὁ- » μολογουμένη προσώπῳ, καὶ μιᾷ ὑποστάσει· » φύγωμεν τοὺς μίαν φύσιν μετὰ τὴν ἕνωσιν » τερατευομένους· τῇ γὰρ τῆς μιᾶς ἐπινοίᾳ, τῷ

» ἀπαθεῖ Θεῷ πάθος προσάπτειν ἐπείγονται.

Κυρίλλου ἐκ τῶν κατὰ Νεστορίου
ἐν τῷ δευτέρῳ λόγῳ.

« Ὁμολόγηκεν ἕνα μὴ διαιρῶν τὰς φύσεις, μετὰ τὸ εἰδέναι ὅτι σαρκὸς μὲν ἕτερος λόγος, θεότητος δὲ ἡ αὐτῇ καὶ μόνη πρέπων ». Ἰδοὺ οὖν σαφῶς, οὐκ ἀναιρῶν τὴν δυάδα, ἀλλὰ μὴ διαιρῶν παραινεῖ τάνδε τὴν μετὰ τὰς φύσεις, γινώσκειν τε πρὸς τῷ ποσῷ καὶ τὴν διαφορὰν τοῦ λόγου θατέρας πρὸς ἑτέραν βούλεται, φύσεις τε εἰπὼν καὶ ἑτέρους λόγους.

Τοῦ αὐτοῦ ἐκ τῆς ἑρμηνείας τῆς πρὸς Ἑβραίους
δευτέρου τόμου.

« Συνέβησαν δὲ ἀλλήλαις ἀπορρήτως τό τε ὑπὲρ νοῦν θεότης καὶ ἀνθρωπότης· καὶ διάφοροι μὲν αἱ φύσεις ὁμολογουμένως, πλὴν εἷς τε καὶ μόνος ἐξ ἀμφοῖν υἱός ». Ὅτι τε οὖν διάφοροι, καὶ ὅτι καὶ φύσεις εἰσὶ, οἶδεν· εἰ οὖν μὴ φύσεις μετὰ τὴν σύμβασιν λέγει, οὔτε διαφόρους θεότητα καὶ ἀνθρωπότητα.

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ τόμου ϛ.

« Εἰ γὰρ καὶ νοοῦνται διάφοροι, καὶ ἀλλήλαις ἄνισοι τῶν εἰς ἑνότητα συνδεδραμηκότων αἱ φύσεις, σαρκὸς δὴ λέγω καὶ Θεοῦ, ἀλλ' οὖν εἷς τε καὶ μόνος ὁ ἐξ ἀμφοῖν υἱὸς ἀληθῶς ». Δῆλον ἄρα ὅτι ὅτε εἷς ἐξ ἀμφοῖν, τότε καὶ νοοῦνται καὶ φύσεις, καὶ ἀλλήλαις ἄνισοι ἐπὶ Χριστοῦ μετὰ τὴν ἕνωσιν.

Τοῦ αὐτοῦ ἐκ τῶν ια κεφαλαίων τῶν σχολίων.

« Ὅτι δὲ ἀσύγχυτοι μεμενήκασιν αἱ φύσεις, εἴτ' οὖν ὑποστάσεις ». Ἰδοὺ οὖν ὅτι οἶδε τὰς φύσεις μενούσας μετὰ τὴν ἕνωσιν ἐν Χριστῷ, διωνύμως ὁμολογεῖ εἰπὼν, εἴτ' οὖν ὑποστάσεις· λέγεται γὰρ καὶ ὑπόστασις παρὰ τὸ ὑφεστηκέναι ἡ φύσις· εἰ δὲ ὥσπερ εἰώθασι γελωτοποιῶς ἀποκρίνασθε, οὐκοῦν καὶ πρόσωπα δύο μένουσιν, εἴπερ καὶ ὑποστάσεις, πρῶτον μὲν σαφῶς ἑαυτοὺς ἀπεκάλυψαν ἰδίῳ πάθει δουλεύοντες, καὶ τοὺς πατέρας βάλλειν καὶ πατραλοῖαι γίνεσθε μὴ ὑφορώμενοι, μόνον δὲ τῆς πλάνης ἑαυτῶν προεστηκότες· τοῦ γὰρ πατρὸς τάδε λέγοντος, εἰ οὕτως νοοῦτε καὶ νῦν πρόσωπον τὴν ὑπόστασιν, ἀνάγκη τοὺς τοῖς εἰρημένοις προσέχοντας, καὶ μηδὲν προσεπινοοῦντας ἢ ὑφαιροῦντας νόημα· οὐ γὰρ θέμις τῷ ὀρθῶς κρίνοντι, τὸν πολεμιώτατον τῇ δυσσεβείᾳ Νεστορίου, συνομολογοῦντα αὐτῷ νῦν τὰ αὐτὰ καθορᾷν, μαχόμενον δὲ αὐτῷ μυριάκις κράζοντα ἐν τῇ πρὸς Ἑβραίους ἐξηγήσει καὶ ἐν ἑτέροις, οὐ δύο εἶναι προσώπων ἕνωσιν· ἔθη γὰρ περὶ τῆς ματαιόφρονος τὴν τῶν προσώπων ἕνωσιν οὐκ οἶδα πόθεν ἐξευρηκότος· τὰ δὲ ἑνωθέντα ταῦτα φησὶ καὶ μεῖναι ἀσύγχυτα νῦν· εἰ οὖν ὡς πρόσωπα λέγει τὰς ὑποστάσεις ἀσυγχύτους, γέγονεν ὑπόσπονδος τῇ ἀσεβείᾳ ὁ πολέμιος· ἀλλ' οἱ τῶν ἰδίων ἀμνήμονες, πῶς νῦν οὐκ ἀποφαίνονται, ὅτι ἐπὶ τῆς τῆς οἰκονομίας λόγου, φύσιν τε καὶ ὑπόστασιν ταυτὸν οἶδεν ὅ τε διδάσκαλος Κύριλλος καὶ ἡμεῖς; Ἐκ τε οὖν τούτων, τὸ ἐκεῖ ψευδές· καὶ ἐκ τῶν ἐκεῖ, ἡ ἐνθάδε εὑρεσιλογία αὐτῶν κατάδηλος.

Ἰωάννου τοῦ χρυσοστόμου ἐκ τῆς πρὸς Καισάριον
ἐπιστολῆς.

« Γνωριζόμενον μετὰ τῷ ἀσυγχύτῳ καὶ ἀδιαιρέτῳ λόγῳ, οὐκ ἐν μιᾷ φύσει, ἀλλ' ἐν δυσὶ τελείαις ». Καὶ μετ' ὀλίγα. « Ποίας οὖν ἡμᾶς ἐξηρεύξατο μίαν ἐπὶ τοῦ Χριστοῦ λέγειν φύσιν »; Καὶ μετὰ βραχέα. « Εἰ γὰρ καὶ διττὴ ἡ φύσις, ἀλλ' οὖν ἀδιαίρετος καὶ ἀδιάσπαστος ἡ ἕνωσις, ἐν ἑνὶ τῆς υἱότητος ὁμολογουμένη προσώπῳ.

Τοῦ ἁγίου Ἰουστίνου μάρτυρος ἐκ τοῦ τρίτου βιβλίου
τοῦ περὶ τῆς ἁγίας τριάδος, κεφαλαίου ιζ.

« Ὅταν οὖν ἀκούσῃς τοῦ ἑνὸς υἱοῦ τὰς ἐναντίας φωνὰς, καταλλήλως μέριζε ταῖς φύσεσι τὰ λεγόμενα ». Καὶ μετὰ βραχύ. « Ἑκάστης ἃ πέφυκε δεχομένης φύσεως ». Καὶ μετ' ὀλίγα. « Ὥσπερ εἷς μέν ἐστιν ἄνθρωπος, ἔχει δὲ δύο φύσεις διαφόρους, καὶ κατ' ἄλλο μὲν λογίζεται, κατ' ἄλλο δὲ τὸ λογισθὲν ἐνεργεῖ ». Εἶτα ἐπάγει. « Οὕτως ὁ υἱὸς εἷς ὢν καὶ δύο φύσεις, κατ' ἄλλην μὲν τὰς θεοσημείας ἐργάζεται, κατ' ἄλλην δὲ τὰ ταπεινὰ παρεδέξατο ». Καὶ μεθ' ἕτερα. « Εἷς ἥλιος, φύσεις δὲ δύο, ἡ μὲν φωτὸς, ἡ δὲ σώματος ἡλιακοῦ· οὕτως

Digitized by Google

» κἀνταῦθα εἷς μὲν υἱὸς καὶ κύριος καὶ Χριστὸς » καὶ μονογενὴς, φύσεις δὲ δύο, ἡ μὲν ὑπὲρ » ἡμᾶς, ἡ δὲ ἡμετέρα ».

Τοῦ ἁγίου Ἀμβροσίου ἐπισκόπου Μεδιολάνων
ἐκ τῆς ἑρμηνείας τοῦ ἁγίου συμβόλου.

« Τοὺς δὲ λέγοντας (μετὰ τὰ ἐν μέσῳ τινὰ) » τὰς φύσεις τοῦ Χριστοῦ κατὰ ἀνάκρασιν συγ- » χυθείσας μίαν γεγενῆσθαι φύσιν, καὶ μὴ ὁμολο- » γοῦντας τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, » δύο τὰς φύσεις ἀσυγχύτους, ἓν δὲ πρόσω- » πον, καθ' ὃ καὶ εἷς κύριος, τούτους ἀνα- » θεματίζει ἡ καθολικὴ καὶ ἀποστολικὴ ἐκ- » κλησία ». Ἀναγκαζόμεθα δὲ περιτέμνειν τὰς χρήσεις διὰ τὸ μὴ εἰς πλῆθος καὶ ὄγκον ἄγειν τὸ σύγγραμμα.

Τοῦ αὐτοῦ ἐκ τοῦ περὶ τῆς θείας ἐνανθρωπήσεως.

« Ἀνεφύησάν τινες τὴν σάρκα τοῦ κυρίου καὶ » τὴν θεότητα μιᾶς τῆς φύσεως λέγοντες· ποῖον » ᾅδης τὴν τοιαύτην βλασφημίαν ἐξήμεσεν »;

Ἰουλίου ἐπισκόπου Ῥώμης,
ὃν καὶ Κύριλλος παρήγαγε χρῆσιν
ἐν τῇ κατ' αὐτὴν συνόδῳ.

« Ὁ δὲ καὶ ἴδια γινώσκων, καὶ τὴν ἕνω- » σιν φυλάττων, οὔτε τὰς φύσεις ψεύσεται, » οὔτε τὴν ἕνωσιν ἀγνοήσει ».

Γρηγορίου Νύσσης πρὸς Φιλίππιον μονάζοντα
περὶ τῆς τῶν ἀρειανῶν ἀντιθέσεως, ὡς ἡ ἀρ-
χὴ, ἡ κακία γέννημά ἐστι ψυχῆς.

« Κἂν γὰρ ἀρρήτῳ καὶ ἀφράστῳ ἑνώσει τὰ » συναμφότερα ἕν, ἀλλ' οὐ τῇ φύσει, διὰ τὸ » ἀσύγχυτον φημί· ἕτερον γὰρ τὸ θεῖον παρὰ τὸ » σῶμα, ἀναλλοίωτον γάρ· ὁ τοίνυν Χριστὸς δύο » ὑπάρχων φύσεις, καὶ ἐν αὐταῖς ἀληθῶς γνω- » ριζόμενος, μοναδικὸν πρόσωπον, ἀσύγχυ- » τον ὅμως ».

Τοῦ αὐτοῦ ἐκ τοῦ πρὸς αὐτούς.

« Εἰ γὰρ καὶ ἐν δύο φύσεσι νοεῖται καὶ ἔσ- » τιν ὁ Χριστὸς, ἀλλ' ἕνα ἴσμεν υἱόν.

Ἰωάννου τοῦ χρυσοστόμου
ἐκ τοῦ εἰς τὸν Λάζαρον.

« Ὁ κασσίτερος, μολίβδου καὶ ἀργύρου με- » τέχει, ἀργύρου τὴν ὄψιν, μολίβδου τὴν φύ- » σιν· τὸν αὐτὸν τρόπον καὶ ὁ Χριστὸς θεότη- » τος καὶ ἀνθρωπότητος τελείως τὰς φύσεις ἐν » ἑαυτῷ ἀποτάζει· ὥσπερ οὖν ἐν ἑαυτῷ ἔχει » τὰς φύσεις, οὕτω καὶ αὐτὸς ἐν αὐταῖς ἐστιν, » οὐχ ὑπάρχων ἕτερος παρ' αὐτάς ».

Ἐφραὶμ τοῦ σύρου ἐκ τοῦ εἰς τὸν μαργαρίτην.

« Ἐπίβλεψον τῷ μαργαρίτῃ, καὶ βλέπεις » τὰς δύο φύσεις συνέχοντα· φαιδρότατός ἐστι » διὰ τὴν θεότητα, λευκὸς διὰ τὴν πρόληψιν ».

Ἰσιδώρου τοῦ πηλουσιώτου πρὸς τὸν πάπαν
Κύριλλον τὸν Ἀλεξανδρείας.

« Ὅτι δὲ ὁ ἀληθινὸς καὶ ἐπὶ πάντων θεὸς ἄνθρω- » πος γέγονεν, οὔτε ὃ ἦν τραπείς, καὶ ὃ οὐκ ἦν » προσλαβὼν, ἐν δύο φύσεσιν εἷς ὑπάρχων υἱὸς » ἄτρεπτος καὶ ἀναλλοίωτος, πρόσφατος καὶ ἀΐ- » διος, οὐδ' ἂν αὐτὸς ἀρνηθείης, πλείστας » ἔχων τοῦ ἁγίου πατρὸς ἡμῶν τοῦ μεγάλου Ἀθα- » νασίου περὶ τούτων συναινέσεις ».

Παύλου ἐπισκόπου Ἐμέσης ἐκ τοῦ ῥηθέντος ἐν
τῇ ἀλεξανδρέων ἐκκλησίᾳ λόγου ὑπ' αὐτοῦ
παρουσίᾳ Κυρίλλου πατριάρχου· ὃν ἐθαύμασε καὶ
ἀπεδέξατο καὶ ἐνεκωμίασεν εὐθὺς ἐπειπὼν καὶ
αὐτὸς λόγον, ἐν ᾧ φησὶ, ἐπλήσαμεν ἡμῖν.

« Ὅρα καὶ τὸν Ἰωάννην δύο φύσεις κη- » ρύττοντα καὶ ἕνα υἱόν· ἕτερον σκηνὴ, καὶ ἕτε- » ρον σκηνοῦν· ἕτερον ναὸς, ἕτερον ὁ ἐνοικῶν » θεός· πρόσεχε τῷ λεγομένῳ· οὐκ εἶπεν ἕτε- » ρος καὶ ἕτερος ὡς ἐπὶ δύο προσώπων ἢ Χρισ- » τῶν ἢ δύο υἱῶν, ἀλλ' ἕτερον καὶ ἕτερον ὡς » ἐπὶ δύο φύσεων.

Κυρίλλου ἐκ τῆς ἐπιστολῆς τῆς πρὸς Ἰωάννην Ἀν-
τιοχείας καὶ τὴν ὑπ' αὐτοῦ ἁγίαν σύνοδον,
ἐν ᾗ φησὶν ἀποδέξασθαι αὐτοῦ τὰ γράμμα-
τα ὀρθῶς ἔχοντα τάδε.

« Τὰς δὲ εὐαγγελικὰς καὶ ἀποστολικὰς » περὶ τοῦ κυρίου φωνὰς ἴσμεν τοὺς θεηγόρους » ἄνδρας τὰς μὲν κοινοποιοῦντας ὡς ἐφ' ἑνὸς » προσώπου, τὰς δὲ διαιροῦντας ὡς ἐπὶ δύο » φύσεων ». Ἰδοὺ γοῦν οὗτος καὶ διαίρεσιν τῶν κατὰ τὰς φύσεις σημαινομένων ὁμολογῶν, οὐ τὴν ἕνωσιν διαλύειν ἐνεβλήθη. Περὶ δὲ αὐτοῦ καὶ τῆς συνόδου αὐτοῦ τάδε γράφει πρὸς Οὐαλεριανὸν ἐπίσκοπον Ἰκονίου. « Οἱ γάρ τοι κατὰ » τὴν ἑῴαν ἅπαντες θεοσεβέστατοι ἐπίσκοποι

» ἅμα τῷ θεοσεβεστάτῳ ἐπισκόπῳ τῆς Ἀντιο-
» χέων Ἰωάννῃ, ϗ δι' ἐγγράφου καὶ σαφοῦς
» ὁμολογίας φανερὸν ἅπασι κατέστησαν, ὅτι
» τὰς μὲν βεβήλους Νεστορίου κακοφωνίας κα-
» τακρίνουσί τε ϗ ἀναθεματίζουσι μεθ' ἡμῶν,
» καὶ οὐδενὸς αὐτὰς ἀξιοῦσιν πώποτε λόγου,
» ἀλλὰ τοῖς ἀποστολικοῖς ἕπονται δόγμασι,
» ϗ τὴν τῶν πατέρων ὁμολογίαν κατ' οὐδένα
» λυποῦσι τρόπον ». Εἶτα εἰπὼν ἃ φασὶν,
ἐπάγει. « Ἂν τοίνυν ψευδόμενοί τινες λέγω-
» σιν ἕτερά τινα παρ' αὐτὰ φρονεῖν αὐτοὺς,
» μὴ πιστευέσθωσαν, ἀλλ' ὡς ἀπατεῶνες ϗ
» ψεῦσται κατὰ τὸν αὐτῶν πατέρα διάβολον
» ἀποτιμείσθωσαν, ἵνα μὴ θορυβῶσι τοὺς
» ἐθέλοντας ὀρθοποδεῖν ». Ταῦτα Κυρίλλου
μαρτυροῦντος ἡμῖν, τί ὥσπερ ἀπ' αὐτοῦ πο-
λεμεῖν τῇ τῶν δύο φύσεων Χριστοῦ ὁμολογίᾳ
προσποιοῦνται οἱ συκοφάνται;

Κυρίλλου παραγωγὴ χρήσεως Ἀμβροσίου.

« Φυλάξωμεν τὴν διαφορὰν τῆς θεότητος ϗ
» τῆς σαρκός· ἐν ἑκατέρᾳ λαλεῖ ὁ τοῦ θεοῦ υἱός·
» ἑκατέρα γὰρ φύσις ἐν αὐτῷ ἐστι ».

Κυρίλλου ἐκ τῆς περὶ ἐνανθρωπήσεως
ἐπιστολῆς.

« Οὐ διαιρετέον οὖν ἄρα τὸν ἕνα κύριον
» ϗ υἱὸν ϗ Χριστὸν εἰς ἄνθρωπον ἰδικῶς ϗ
» εἰς θεὸν ἰδικῶς, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν
» Χριστὸν ϗ υἱὸν εἶναι φαμὲν, τὴν τῶν φύσεων
» εἰδότες διαφορὰν, καὶ ἀσυγχύτους ἀλλήλαις
» τηροῦντες αὐτάς ».

Τοῦ αὐτοῦ.

« Νοεῖται δὲ πάντως ἕτερον ἐν ἑτέρῳ τυτ-
» όστον ἡ θεία φύσις ἐν ἀνθρωπότητι ».

Τοῦ αὐτοῦ ἐκ τῆς ἑρμηνείας
τῆς πρὸς Ἑβραίους ἐπιστολῆς.

« Νοοῦμεν δὲ μᾶλλον ϗ ὑπαρχούσης ἑκα-
» τέρας ἐν τῷ τῆς ἰδίας φύσεως ὅρῳ πεπράχθαι
» τὴν ἕνωσιν. Καὶ πάλιν. « Οὐκ ἀνάχυσίν τινα
» τὴν εἰς ἄλληλα τῶν φύσεων πεπράχθαι φα-
» μὲν, μενούσης δὲ μᾶλλον ἑκατέρας τοῦτο
» ὅπερ ἐστὶν, ἡνῶσθαι σαρκὶ νοοῦμεν τὸν λόγον ».

Τοῦ αὐτοῦ ἐκ τῆς τρίτου τόμου πρὸς Νεστόριον.

« Οὐκοῦν ὅσον μὲν ἧκεν εἰς ἕνωσιν ϗ τὰς
» μόνον τὸ ὁρᾶν τοῖς τῆς ψυχῆς ὄμμασι τίνα
» τρόπον ἐνανθρώπησεν ὁ μονογενής, δύο τὰς
» φύσεις εἶναι φαμὲν, ἕνα Χριστὸν ϗ υἱὸν ϗ κύ-
» ριον τὸν τοῦ θεοῦ λόγον ἐνανθρωπήσαντα τε-
» σαρκωμένον· ἀλλ' εἰ σαρκοβλέπται ὄντες ϗ
» μόνον οἱ μὴ τοῖς σαρκὸς ὄμμασι θεωρεῖναί
» τι, οὐκ ὄντως εἶναι τόδε οἴονται· ἄρα οὖν οὐ-
» δὲ ἄγγελος, οὐδὲ θεὸς ἔσται, οὐδέ τι τῶν
» νοητῶν ἁπλῶς ».

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Ἰοῦστον * ἐπίσκοπον * Ita cod.
Ῥώμης ἐπιστολῆς.

« Ἐγὼ γὰρ οὔτε ἐλέγχομαι πεφρονηκὼς
» ἕτερόν τι πώποτε παρὰ τὸ δοκοῦν τῇ ἀλη-
» θείᾳ, οὔτε παθητὴν εἴρηκα ποτὲ τὴν θείαν
» τοῦ λόγου φύσιν ». Καὶ μετὰ βραχύ. « Οἶδα
» δὲ ϗ ἀπαθῆ τὴν τοῦ θεοῦ φύσιν ϗ ἄτρεπ-
» τον ϗ ἀναλλοίωτον κἂν τῇ τῆς ἀνθρωπότη-
» τος φύσει, ϗ ἕνα ἐν ἀμφοῖν ϗ ἐξ ἀμφοῖν
» τὸν Χριστόν ».

Ἀθανασίου ἐν τῇ ἐξηγήσει τοῦ ἀμὴν ἀμὴν λέγω
ὑμῖν, πρὶν Ἀβραὰμ γενέσθαι ἐγώ εἰμι.

« Ἀναισχυντία σαφῶς τὸ μὴ διχῶς νοεῖν
» τὸν Χριστὸν θεϊκῶς τε καὶ ἀνθρωπίνως ».
Ἐν δὲ τῷ κατὰ ἀρειανῶν τρίτῳ λόγῳ φησί.
« Πάντα τὰ κατὰ τὸν καιρὸν τῆς ἐνανθρωπήσεως
» τῷ σωτῆρι Χριστῷ πεπραγμένα, ἤγουν λε-
» λεγμένα, πράγματά τε ϗ ῥήματα, τὸ μο-
» νοειδὲς οὐκ ἔχει, διάφορα δὲ ἐστι ».

Τοῦ ἁγίου Κυρίλλου ἐκ τοῦ πρὸς Ἀλεξανδρεῖς
προσφωνητικοῦ λόγου.

« Ἡ δὲ ἄρρητος ἕνωσις παρὰ τῶν ὀρθῶς
» φρονούντων ὁμολογουμένη, ἀμφοτέρας σώζει
» ἀσυγχύτους τὰς φύσεις, ϗ ἕνα ἀποτελεῖ ϗ
» ἐξ ἀμφοῖν τὸν ὀφθέντα Χριστὸν, θεόν τε
» ὁμοῦ ϗ ἄνθρωπον γενόμενον τὸν αὐτὸν, καὶ
» οὐ δύο Χριστοὺς, ἕνα δὲ μόνον ἑνωθέντα ϗ
» οὐ κεκραμμένον· εἰ γὰρ κέκρανται αἱ δύο
» φύσεις εἰς μίξιν μίαν ἑτεροούσιοι τυγχάνου-
» σαι, οὐδὲ ἑκατέρα σώζεται, ἀλλ' ἀμφό-
» τεραι συγχυθεῖσαι ἠφανίσθησαν, ϗ οὔτε χω-
» ρισμὸν ἀπ' ἀλλήλων ἢ διαίρεσιν ἐπιδέχονται
» κεκραμμέναι· διῃρέθησαν δὲ τῷ καιρῷ τοῦ
» θανάτου ϗ ἐχωρίσθησαν ϗ ψυχὴ ἀπὸ σώ-

Digitized by Google

» ματος εἰς ᾅδου μετὰ τῆς θεότητος κατελθοῦ» σα, καὶ σῶμα ἀπὸ ψυχῆς ἐν μνήματι καινῷ ἀποτεθὲν μετὰ τῆς ἀψευδοῦς τοῦ Χριστοῦ » φωνῆς τῆς λεγούσης, λύσατε τὸν ναὸν τοῦτον καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν· καὶ » λύεται μὲν ὁ ναὸς ἐν τῷ καιρῷ τῆς τριημέρου ταφῆς λυομένου αὐτοῦ, καὶ πάλιν ἀνίστησιν αὐτὸν, καὶ ἡνώθη αὐτῷ ἀῤῥήτῳ καὶ ἀφράστῳ λόγῳ, οὐ κεκραμμένος ἐν αὐτῷ ὁ » ἀποσεσαρκωμένος, ἀλλ' ἀποσώζων ἐν ἑαυτῷ » τῶν φύσεων τὴν ἑτεροουσίαν ἀσυγχύτως τὰς ἰδιότητας· οὐ γὰρ δήπου ἐκράθησαν αἱ φύσεις ». Εἶτα ἐπάγεται μαρτυρίαν τοῦ ἐν ἁγίοις Ἀθανασίου αὐτὸς τήνδε. « Δύο φύσεων τῶν ἑτεροουσίων ἐν ἑνὶ Χριστῷ καὶ υἱῷ τοῦ Θεοῦ σωζομένων, καὶ μήτε συγχεομένων μήτε ἀπολλυμένων ἢ διαιρεθεισῶν.

Τοῦ αὐτοῦ ἐκ τῆς βίβλου τῶν σχολίων.

« Καὶ οἱ μὲν μίαν φύσιν πρὸς ἀναίρεσιν » τῆς προσληφθείσης ἐξ ἡμῶν ὑπὸ τοῦ Θεοῦ λόγου τελείας ἀνθρωπότητος ἐπὶ συντριβῇ τῶν » ὅλων ἐξεδιδάσκουσιν· οἱ δὲ δύο ὑποστάσεις, » ἤγουν φύσεις κατὰ διαίρεσιν καὶ χωρισμὸν ἐκπαιδεύουσιν, ἀλλ' οὐ καθ' ἕνωσιν τὴν κατ' » οὐσίαν ὡς τοῖς ἁγίοις δοκεῖ πατράσιν· ὡς » ἑκατέρους αὐτοὺς τῆς ἀληθείας διαμαρτάνειν ». Τί τούτων σαφέστερον; μόνον γὰρ τὸ κατὰ διαίρεσιν καὶ χωρισμὸν τὸν ἀπ' ἀλλήλων εἰδέναι τὰς δύο φύσεις τούτους ἐμέμψατο· ὡς καὶ ὑπόστασιν ἰδίᾳ ἑκάστῃ συνεισάγεσθαι, καὶ μὴ τῇ κατ' οὐσίαν ἑνώσει ἓν πρόσωπον τὰς δύο ὑποστάσεις· τὴν μέν τοι μίαν φύσιν καὶ παντοίως ἀποστρέφει.

Κυρίλλου ἐκ τοῦ περὶ πίστεως λόγου.

« Ἀλλὰ γὰρ ναὸν ἑαυτῷ ἔμψυχον καὶ τέλειον κατεσκεύασεν ἐν τῇ ἁγίᾳ παρθενικῇ μήτρᾳ· καὶ ἐνδυσάμενος αὐτὸν καὶ ἑνωθεὶς αὐτῷ » ἀῤῥήτῳ λόγῳ, σωζομένων δὲ ἀμφοτέρων τῶν φύσεων καὶ ἀκεκραμμένων, προῆλθε φαινόμενος μὲν » ἄνθρωπος, νοούμενος δὲ θεὸς Ἰησοῦς Χριστός ».

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Σούκενσον ἐπιστολῆς.

« Δύο τὰς φύσεις εἶναι φαμὲν, ἕνα δὲ » Χριστὸν καὶ υἱὸν τὸν τοῦ Θεοῦ λόγον ἐνανθρωπήσαντα καὶ σεσαρκωμένον ».

Τοῦ αὐτοῦ.

« Οὐχ ὡς τῆς τῶν φύσεων διαφορᾶς ἀναιρεθείσης διὰ τὴν ἕνωσιν ».

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Σούκενσον δευτέρας ἐπιστολῆς, δηλοῦντος ὡς οὐ τῷ λέγειν σεσαρκῶσθαι τὸν υἱὸν, καὶ φύρειν τὰς φύσεις βούλεται.

« Εἰ γὰρ καὶ λέγοιτο πρὸς ἡμῶν ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ σεσαρκωμένος καὶ ἐνανθρωπήσας, οὐ πέφυρται διὰ τοῦτο κατὰ τὸ ἐκείνοις δοκοῦν· οὔτε μὲν εἰς τὴν τῆς σαρκὸς φύσιν μεταπεφοίτηκεν ἡ τοῦ λόγου· ἀλλ' οὔτε ἡ » τῆς σαρκὸς εἰς τὴν αὐτοῦ, ἀλλ' ἐν ἰδιότητι » τῇ κατὰ φύσιν ἑκατέρου μένοντος, κατά γε τὸν » ἀρτίως ἡμῖν ἀποδοθέντα λόγον ». Εἰ δὲ μήτε κατὰ φύρσιν μήτε κατὰ τροπὴν, πῶς ἔσται μία φύσις, λεγέτω τίς· τί δὲ ἐπὶ καὶ τὸ μένον ἑκάτερον, καὶ ἐν ἰδιότητι φυσικῇ ὄν;

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Εὐλόγιον ἐπιστολῆς, καὶ ὅτι οὐ τὸ δύο λέγειν, ἀλλὰ τὸ μὴ ἡνωμένας καθ' ὑπόστασιν, ἀποβάλλεται.

« Οὕτω καὶ ἐπὶ Νεστορίου κἂν λέγῃ δύο » φύσεις τὴν διαφορὰν σημαίνων τῆς σαρκὸς καὶ » τοῦ Θεοῦ λόγου, ἑτέρα γὰρ ἡ τοῦ Θεοῦ λόγου » φύσις, καὶ ἑτέρα ἡ τῆς σαρκὸς, ἀλλ' οὐκέτι » τὴν ἕνωσιν ὁμολογεῖ μεθ' ἡμῶν ». Ὥστε οὖν τὸ δύο εἶναι φύσεις, μεθ' ἡμῶν καὶ αὐτὸς ὁμολογεῖ, φησί.

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Ἰωάννην ἐπιστολῆς.

« Εἷς γὰρ κύριος Ἰησοῦς Χριστὸς κἂν ἡ » τῶν φύσεων μὴ ἀγνοῆται διαφορά ». Τῶν ἄρα οὐσῶν, ἢ τῶν μὴ οὐσῶν ἐστιν ἡ διαφορά;

Γρηγορίου Νύσσης ἐκ τοῦ κατὰ Ἀπολιναρίου.

« Εἰ οὖν ἐν τοῖς ἐναντίοις ἰδιώμασιν ἡ » ἑκατέρου τούτων θεωρεῖται φύσις, τῆς σαρκὸς » λέγω καὶ τῆς θεότητος, πῶς μία αἱ δύο φύσεις εἰσίν; »

Κυρίλλου ἐκ τοῦ πρώτου βιβλίου τῶν θησαυρῶν, ὅτι οὐσῶν τῶν οὐσιῶν, ἀνάγκη εἶναι τὰς οὐσιώδεις διαφοράς.

« Οὐκοῦν προϋποκειμένης τῆς οὐσίας, αἱ » διαφοραὶ προσεπινοοῦνται ».

Digitized by Google

Ἰσιδώρου τοῦ πηλουσιώτου ἐκ τῆς πρὸς Τιμόθεον ἀναγνώστην ἐπιστολῆς.

« Πάσῃ τοίνυν φυλακῇ τήρει τὴν καρδίαν » μήπως μίαν φύσιν Χριστοῦ μετὰ τὴν σάρκω» σιν δέξῃ ».

Θεοδότου ἐπισκόπου Ἀντιοχείας ἐκ τοῦ κατὰ συνουσιαστῶν.

« Εὖ ἴστωσαν ὅτι ἡμεῖς τὸν Χριστὸν δύο » φύσεις ὁμολογοῦντες, ἑκατέρᾳ μὲν φύσει τὰ » πρόσφορα νέμομεν, ἀλλὰ πάντα καθ᾽ ἑνὸς » προσώπου τοῦ υἱοῦ κατηγοροῦντες ».

Κυρίλλου Ἱεροσολύμων ἐκ τοῦ εἰς τὸ ἐγὼ πορεύομαι πρὸς τὸν πατέρα μου.

« Φαίνεται δὲ τὴν διάγνωσιν τῶν φύσεων » ἐκ τῆς διαφορᾶς τῶν λεγομένων ».

Πέτρου μάρτυρος πάπα Ἀλεξανδρείας ἐκ τοῦ περὶ τῆς ἐπιδημίας τοῦ Χριστοῦ.

« Τὸ συναμφότερον τοίνυν δείκνυται, ὅτι » Θεὸς ἦν φύσει, καὶ γέγονεν ἄνθρωπος φύσει ».

Σεβηριανοῦ Γαβάλων.

« Οὕτω Θεόν τε καὶ ἄνθρωπον ὁμολογῶ » τὸν Χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ, φύσιν πα» θητὴν καὶ ἀπαθῆ ».

Πρόκλου Κωνσταντινουπόλεως εἰς τὸ παιδίον ἐγεννήθη ἡμῖν.

« Καὶ ἔστιν εἷς υἱὸς, οὐ τῶν φύσεων εἰς » δύο ὑποστάσεις διῃρημένων, ἀλλὰ τῆς φρι» κτῆς οἰκονομίας τὰς δύο φύσεις εἰς μίαν ὑ» πόστασιν ἑνωσάσης.

Σιλβέστρου ἐπισκόπου Ῥώμης ἐκ τῶν πρὸς ἰουδαίους (1).

« Δύο κατὰ ταυτὸν ἑνωμένων φύσεων, ἡ μὲν » μία περιπίπτει τῇ ὕβρει, ἡ δὲ ἑτέρα κρεῖτ» των πάθους παντὸς ἀπεδείχθη ».

Πρόκλου εἰς τὴν γέννησιν τοῦ κυρίου.

« Ἐκείνας ἀφθάρτως ἐγέννησεν· οὗ τὴν συ» ζυγίαν τῶν φύσεων θεωρῶν ὁ Θωμᾶς κέκραγε » λέγων, ὁ κύριός μου καὶ ὁ Θεός μου ».

Τοῦ ἁγίου Ἱππολύτου ἐκ τῶν εὐλογιῶν τοῦ Βαλαάμ.

« Ἵνα δειχθῇ τὸ συναμφότερον ἔχων ἐν » ἑαυτῷ, τήν τε τοῦ Θεοῦ οὐσίαν καὶ τὴν ἐξ » ἀνθρώπων ».

Τοῦ ἁγίου Ἱλαρίου τοῦ Πικτάβων, ἑνὸς ὄντος τῶν ἐν Νικαίᾳ, ἐκ τοῦ περὶ πίστεως ζ λόγου.

« Ταῦτα δὲ τούτου χάριν διὰ βραχέων » ὑπέδειξα, ἵνα ἑκατέραν φύσιν ἐν τῷ κυρίῳ » ἡμῶν Ἰησοῦ Χριστῷ νοεῖσθαι μνημονεύωμεν ».

Σχόλιον. Ἐπειδὴ ἑκάτερα ταῖς οἰκείαις γε» γένηται φύσεσιν, ἵνα μὴ κύριον Ἰησοῦν Χρι» στὸν ἐκεῖνον μνημόνευε τὸν ὄντα ἀμφότερα.

Τοῦ αὐτοῦ Ἱλαρίου τοῦ ὁμολογητοῦ ἐν τῷ αὐτῷ λόγῳ.

« Ἓν καὶ ταυτὸν δι᾽ ἑκατέρας φύσεως· πλὴν » οὕτως, ὡς ἑκατέρῳ, μηδετέρᾳ χηρεύειν ».

Τοῦ ἁγίου Ἀμβροσίου ἐκ τοῦ τρίτου λόγου.

« Διάστειξον οὖν καὶ ἐνταῦθα τὰς φύσεις· » βοηθὸν γὰρ εἶχεν ἡ σὰρξ, οὐκ εἶχε δὲ ἡ » θεότης ».

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς τοὺς ὄχλους διαλέξεως.

« Οὐ μίαν ἐκ δύο κατασκευάζων φύσιν, » κρᾶσιν καὶ σύγχυσιν πάντως εἰσάγει ». Καὶ μετὰ βραχέα. « Δύο ἐπὶ τοῦ Χριστοῦ ὁμολογοῦ» μεν φύσεις ἑνωμένας ἀῤῥήτῳ ἑνώσει, καὶ μη» δαμῶς ἀλλήλων χωριζομένας ἢ συγχεομέ» νας, δηλονότι τοῦ ἑκάστῃ πρέποντος ἰδιώμα» τος νοουμένου τε καὶ σωζομένου, εἰ καὶ ἕνα » οἴδαμεν Χριστὸν υἱὸν μονογενῆ· τὰ γὰρ συν» αμφότερα, ἕνα ἀπετέλεσαν ἡμῖν Χριστὸν, καὶ » οὐ μίαν φύσιν ».

Τοῦ αὐτοῦ ἐκ τῆς ἑρμηνείας τοῦ ἁγίου συμβόλου.

« Λύεται γὰρ Χριστὸς κατὰ τὴν ἡμῶν οὐ» σίαν ἣν ἀνέλαβε, καὶ λελυμένον ἐγείρει τὸν » ναὸν αὐτοῦ κατὰ τὴν θείαν οὐσίαν ».

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς τοὺς φιλοσόφους.

« Κἂν δύο ἐπιστάμεθα ἐν τῷ Χριστῷ φύ» σεις, οἴδαμεν μὴ δύο τῶν υἱοὺς, ἀλλ᾽ ἕνα » ὅμοιον τῷ πατρὶ κατὰ τὸ ἀόρατον, ὅμοιον τῇ » μητρὶ κατὰ τὸ ὁρατόν ».

Τοῦ αὐτοῦ ἐκ τοῦ κατὰ Ἀπολιναρίου β λόγου.

« Ὅτι ὁ Χριστὸς υἱὸς ἐστὶ τοῦ Θεοῦ καὶ ἀΐ» διος ἐκ πατρὸς, καὶ τεχθεὶς ἐκ παρθένου·

(1) Notemus S. Silvestri papae scriptum deperditum et plane incognitum. Merito ergo Leontius de sectis act. IV. §. Silvestrum papam inter ecclesiae doctores patresque numerabat.

» ἐν ὡς γίγαντα ὁ ἅγιος Δαβὶδ ὁ προφήτης
» ἐξέφρασεν, ὅτι μόνος δίμορφος ϗ διττῆς οὐκ
» φύσεως, κοινῶν θεότητος ϗ ἀνθρωπότητος ».

Τοῦ αὐτοῦ ἐκ τοῦ (πρὸς) Ἀντωνῖνον
ἐπίσκοπον λόγου.

« Ἵνα τέλειος ἐν ἑκατέρᾳ φύσει τυγχάνῃ ».

Τοῦ αὐτοῦ ἐκ τοῦ πρὸς Γρατιανὸν β λόγου.

« Εἷς γὰρ Θεοῦ υἱὸς ἐν ἑκατέρᾳ λαλεῖ,
» ἐπειδήπερ ἑκατέρα φύσις ἐν αὐτῷ ».

Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου
πρὸς ἀρειανούς.

« Διάκρινον τὰς φύσεις τήν τε τοῦ Θεοῦ ϗ
» τὴν τοῦ ἀνθρώπου ».

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Σέλευκον ἐπιστολῆς.

« Ἕνα υἱὸν, δύο φύσεων παθητῆς τε ϗ
» ἀπαθοῦς ». καὶ μετὰ βραχέα. « Ὁ Χρισ-
» τὸς ὁ υἱὸς τοῦ θεοῦ ὁ δύο τελείων φύσεων εἷς
υἱός ». Καὶ μετ᾽ ὀλίγα. « Ἕνα μὲν τὸν υἱὸν
» τοῦ Θεοῦ δύο φύσεων φημί ». Καὶ μετ᾽ ὀλίγα.
« Οἰκειοῦται οὖν αὐτος ὁ θεος λόγος, πάσχων
» οὐδὲν, τὰ τοῦ ναοῦ· ἐπειδὴ εἰς ἓν πρόσωπον
» συντελοῦσιν αἱ δύο φύσεις.

Αὐγουστίνου ἐπισκόπου Ῥηγιῶν
ἐκ τῆς πρὸς Βολουσιανὸν ἐπιστολῆς.

« Νῦν δὲ οὕτως μεταξὺ Θεοῦ ϗ ἀνθρώ-
» πων ἐνεφάνη μεσίτης, ὥστε αὐτὸν ἐν τῇ τοῦ
» προσώπου ἑνότητι, συνάπτειν ἑκατέρας φύ-
σεις ». Καὶ μετὰ βραχέα. « Ἐπίγνωθι τὴν διτ-
» τὴν φύσιν τοῦ Χριστοῦ, τὴν θείαν δὴ λέγω
» τὴν ἴσην ὑπάρχουσαν τῷ πατρὶ, καὶ τὴν
» ἀνθρωπείαν ἧς μείζων ἐστὶν ὁ πατήρ ».

Φλαβιανοῦ ἐπισκόπου Ἀντιοχείας
ἐκ τοῦ κατὰ Ἰωάννην εἰς τὸ ὁ μὴ τιμῶν
τὸν υἱὸν, οὐ τιμᾷ τὸν πατέρα.

« Ἵνα ἀμφοτέρας αὐτοῦ διδαχθῶμεν τὰς
» φύσεις, ϗ τὸν ὁρώμενον ἄνθρωπον, ϗ τὸν
» διὰ τοῦ σώματος ἐνεργοῦσαν θεότητα.

Τοῦ αὐτοῦ εἰς τὴν ἀνάληψιν τοῦ κυρίου.

« Ἀνθρωπίνῃ φύσει θεότης συνάπτεται,
» μενούσης ἐφ᾽ ἑαυτῆς ἑκατέρας φύσεως ».

Ἰσιδώρου ἀσκητοῦ τοῦ πηλουσιώτου
ἐκ τῆς πρὸς Θεοδόσιον διάκονον ἐπιστολῆς.

« Οὐ ψιλὸς ἄνθρωπος ὁ Χριστὸς ἐνανθρω-
» πήσας, μᾶλλον δὲ θεὸς ἐν ἑκατέραις ταῖς
» φύσεσιν εἷς ὑπάρχει υἱός ».

Τοῦ ἁγίου Κυρίλλου ἐκ τοῦ κατὰ διάλογον
συντάγματος ὅτι εἷς ὁ Χριστός.

« Ἆρα οὖν συγκέχυνται ϗ μία γεγόνασιν
» ἄμφω αἱ φύσεις; εἶτα τίς οὕτως ἐμβρόντη-
» τος ϗ ἀμαθὴς εἴη; »

Τοῦ αὐτοῦ ἐκ τοῦ ἐν πνεύματι
λατρείας λόγου θ.

« Λαμπρὸς γὰρ ἐν γῇ ϗ διαφανὴς ὁ Χρισ-
» τός· κατά γε τὸ, θεὸς κύριος καὶ ἐπέφανεν
» ἡμῖν, καὶ οἱονεὶ διφυᾶ τὴν γνῶσιν ἔχων·
» νοεῖται γὰρ ἐν ταυτῷ Θεὸς ϗ ἄνθρωπος ».

Τοῦ αὐτοῦ ἐκ τοῦ κατὰ Ἰουλιανοῦ λόγου ι.

« Μία γὰρ φύσις πῶς ἂν εἰσδέξαιτο τὸ
» διάφορον ἐφ᾽ ἑαυτῆς; »

Εὐσταθίου Ἀντιοχείας ἐκ τῆς ἑρμηνείας
τοῦ ι ψαλμοῦ.

« Ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ γενό-
» μενον ἐκ γυναικος, οὐ γενομένης ἀλλὰ γενό-
» μενον· μοναδικὸν γὰρ τὸ πρόσωπον οὐκ εἶ-
» πον μοναδικὴν τὴν φύσιν, ἄπαγε μὴ γέ-
» νοιτο, οὐδὲ τὴν αὐτὴν οὐσίαν σαρκὸς καὶ
» θεότητος, ἀλλ᾽ εἶπον ἕνα κύριον Ἰησοῦν χρισ-
» τὸν, δι᾽ οὗ τὰ πάντα, ἐν τῷ διαφόρῳ τῶν
» φύσεων γνωριζόμενον κατὰ πάντα ».

Ἰωάννου τοῦ χρυσοστόμου
ἐκ τῆς πρὸς Καισάριον ἐπιστολῆς.

« Μίξιν θεοπασχίαν θεότητος ϗ σαρκὸς,
» μίαν δὲ ἐντεῦθεν τελεσθῆναι φύσιν, ταῦτα
» τοῦ παρέδρονος Ἀπολιναρίου τὰ ἀτόπημα·
» αὕτη τῶν εἰσαγόντων κρᾶσιν ϗ συναλοιφὴν ἡ
» δυσσεβεστάτη αἵρεσις ». Καὶ πρὸς τῷ τέλει.
« Φεύγωμεν τοὺς μίαν φύσιν ἐπὶ τὴν ἕνωσιν τε-
» ρατευομένους· τῇ γὰρ τῆς μιᾶς ἐπινοίᾳ, τῷ
» ἀπαθεῖ θεῷ πάθος προσάπτειν ἐπείγονται ».

Ἀμφιλοχίου Ἰκονίου
ἐκ τῆς πρὸς Σέλευκον δευτέρας ἐπιστολῆς.

« Ἐὰν εἴπωσιν ὡς μιᾶς οὐσίας ἐστὶν, ἐρω-
» τήσατε αὐτοὺς, πῶς οὖν κατὰ μὲν τὴν θεό-
» τητα ἀπαθῆ, κατὰ δὲ τὴν σάρκα παθητὸν;
» τὸ γὰρ μιᾶς ὑπάρχον οὐσίας, ὅλον ὅμοιον·
» ἢ γὰρ ἀπαθὲς ὅλον, ἢ παθητόν ». Καὶ

μετὰ βραχέα. « Ἕνα οὖν υἱὸν τὸν Χριστὸν δύο » φύσεων φημὶ, οὐκ ἀρνούμενος τὴν θείαν, οὐδὲ » τὴν ἀνθρωπείαν· πάσχει τοίνυν οὐ θεότητι, » ἀλλ' ἀνθρωπότητι· τουτέστι Χριστὸς ἔπαθε » σαρκὶ, ἀλλ' οὐχ ἡ θεότης ἔπαθεν· ἄπαγε » τὸ δυσμενὲς τοῦτο καὶ βλάσφημον, ὦ φίλοι· » ἡ ληφθεῖσα πάσχει φύσις, ἡ δὲ λαβοῦσα » ἀπαθὴς μένει ».

Γρηγορίου Νύσσης

ἐκ τοῦ εἰς παρθενίαν ἐπαίνου.

« Ἦλθε θεὸς θνητός τε, φύσεις δύο εἰς » ἓν ἀγείρας, τὴν μὲν κευθομένην, τὴν δ' » ἀμφαδίην μερόπεσι ».

Ἀλλ' αὗται μὲν τῶν ἡμετέρων· αὗται δὲ τῶν καθ' ἡμῶν λυττώντων, εἰ ἑκούσιοι κατὰ θείαν συνέλασιν ἢ ἀκούσιοι οὐκ οἶδα, τοιαίδε δὲ ὅμως φωναὶ φέρονται.

Ἀμφιλοχίου τοῦ Σίδης, ὃν φασὶ μόνον ἀπροσπαθῶς καὶ ἀδεῶς ἔχειν τὴν ἐν τῇ συνόδῳ, ἐκ τῆς κατ' αὐτῆς γραφείσης αὐτοῦ ἐπιστολῆς πρὸς Λέοντα τὸν βασιλέα.

« Καταφεύζονται γὰρ εἰς τινας διδασκά» λους δύο φύσεις εἰρηκότας ».

Σεβήρου τοῦ αἱρετικοῦ τοῦ μιξοφυσίτου ταῖς Ἰουλιανοῦ καὶ Ἀμβροσίου χρήσεσιν οὕτως ἐπιλέγοντος.

« Ὁ δὲ καὶ τὰ ἴδια γινώσκων, καὶ τὴν » ἕνωσιν φυλάττων, οὔτε τὰς φύσεις ψεύδε» ται, οὔτε τὴν ἕνωσιν ἀγνοήσει ».

Τοῦ αὐτοῦ ἐκ τοῦ κατὰ τοῦ γραμματικοῦ.

« Δύο τὰς φύσεις ἐν τῷ Χριστῷ νοοῦμεν, » τὴν μὲν κτιστὴν, τὴν δὲ ἄκτιστον. ἀλλ' » οὐδεὶς ἐγράψατο τὴν ἐν Χαλκηδόνι σύνοδον, » τὴν ἄλογον ταύτην γραφὴν τί δήποτε δύο » φύσεις ὀνόματα περὶ τὸ τοῦ Ἐμμανουὴλ ἑνώ» σεως διαλαμβάνοντες; οὐδεὶς ταύτην ἐστή» σατο τὴν κατηγορίαν, ἀλλ' ἐκείνην μάλα » δικαίως· τί δήποτε μὴ ἀκολουθήσαντες τῷ » τῷ ἁγίῳ Κυρίλλῳ ἐκ δύο φύσεων εἶπατε εἶναι » τὸν Χριστόν· οὐ παυσόμεθα λέγοντες τοίνυν » ὡς ἐδέξατο τίς τὴν ἐν Χαλκηδόνι σύνοδον, » ἢ τὸν τόμον Λέοντος, τὴν καθ' ὑπόστασιν » ἕνωσιν ὁμολογήσαντας, ἢ συνοδὸν φυσικὴν, » ἢ ἐξ ἀμφοῖν ἕνα Χριστὸν, ἢ μίαν φύσιν τοῦ » θεοῦ λόγου σεσαρκωμένην καὶ τότε γνωσό» μεθα ὡς κατὰ τὸν σοφώτατον Κύριλλον θεω» ρίᾳ μόνῃ ἀνακρίνοντες τὴν οὐσιώδη διαφο» ρὰν τῶν συνενεχθέντων ἀπορρήτως εἰς ἕν» ωσιν καὶ ὡς ἑτέρα ἡ τοῦ λόγου φύσις, καὶ ἑτέ» ρα ἡ τῆς σαρκὸς, καὶ ὡς δύο τὰ ἀλλήλοις » συνεσπειρωμένα καθορῶσι τῷ νῷ, διΐστῶσι » δὲ οὐδαμῶς ».

Καί τοι γε ὁ ταῦτα λέγων, ἐν τῇ ἐκθέσει τῆς πίστεως αὐτοῦ πρὸς Νεφάλιον, ὁ αὐτός φησί.

« Τὸ λέγειν δύο φύσεις ἐπὶ Χριστοῦ, πά» σης κατηγορίας ἀνεπίμεμπτον, εἰ καὶ ὑπὸ πλειό» νων ἁγίων πατέρων εἴρηται ». Καὶ μεθ' ἕτερα. « Καὶ μὴ εἴπῃς ὡς τῇ λέξει τῶν δύο φύ» σεων τινὲς τῶν πατέρων ἐχρήσαντο· ἐχρήσαντο » γὰρ ἀδιαβλήτως, ὥσπερ εἴπομεν· κατὰ δὲ » τὸν χρόνον τοῦ ἁγίου Κυρίλλου τῆς νόσου τοῦ Νεσ» τορίου καινοφωνίας τὰς ἐκκλησίας ἐπινεμο» μένης, ὅτι πλέον ἡ λέξις ἀπεδοκιμάσθη ». Ὥστε οὖν, ὦ οὗτος, καὶ πάλαι ἐδόκιμα καὶ ὅτι πλέον μετὰ Νεστόριον· πῶς οὖν ἀδιαβλήτως ἐχρήσαντο αὐτῇ; εἶτα δὲ εἰ διαβέβληται καὶ ἀπεδοκιμάσθη κατὰ Νεστόριον, πῶς οὐ κατὰ τόδε γράφεταί τις ἢ κατηγορεῖ τῆς ἐν Χαλκηδόνι συνόδου μετὰ Νεστόριον οὔσης; ἀλλὰ διότι μὴ καὶ ἓν δύο λέγει, καὶ τὴν καθ' ὑπόστασιν ἕνωσιν Χριστοῦ· ὅτι δὲ λέγει τάδε, τίς ἀμφιβάλλει; εἰ γὰρ ἡ σύνοδος ψηφιζομένη φησὶν οὕτως, τὰς τοῦ μακαρίου Κυρίλλου τοῦ τῆς ἀλεξανδρέων ἐκκλησίας γενομένου ποιμένος συνοδικὰς ἐπιστολὰς πρός Νεστόριον καὶ πρὸς τοὺς τῆς ἀνατολῆς δεχόμεθα ἁρμοδίας οὔσας εἰς ἔλεγχον τῆς Νεστορίου φρενοβλαβείας, αἷς ἐπιστολαῖς καὶ τὴν φυσικὴν καὶ τὴν καθ' ὑπόστασιν ἕνωσιν ὁ πατὴρ, πῶς οὐχὶ τὰ αὐτὰ ὁμολογεῖ, ἃ συμφωνεῖ, καὶ ἃ ἀποδέχεται ἐν τοῖσδε;

Ἡμῶν δὲ προλεγόντων τε καὶ συλλεγόντων τὸ ἐκ δύο φύσεων εἶναι τὸν κύριον, μετὰ τοῦ καὶ ἐν δύο φύσεσιν εἶναι, καὶ λεγόντων καὶ τὴν σύνοδον, καὶ πᾶσαν φύσιν, καὶ ἄγγελον ἐξ οὐρανοῦ, εἰ μὴ οὕτως φρονοῖεν ἀναθεματιζόντων, διὰ τί μὴ καταδέχονται αὐτοὶ τάδε συνομολογεῖν,

Digitized by Google

λέγοντες καὶ τὸ ἐκ δύο μετὰ τοῦ ἐν δύο σὺν ἡμῖν; καὶ Σεβῆρον, καὶ Διόσκορον, καὶ τοὺς μετ' αὐτῶν, εἰ μὴ οὕτως ἐφρόνων, ἀναθεματίζειν αἱρούμεθα; Φλαβιανοῦ τε τοῦ μακαρίτου τῆς ἐκθέσεως ἐχούσης καὶ μίαν δὲ φύσιν τοῦ Θεοῦ λόγου σεσαρκωμένην μέντοι καὶ ἐνανθρωπήσασαν, λέγειν οὐ παραιτούμεθα ἐπὶ τὸν ἐξ ἀμφοῖν ἕνα κύριον ἡμῶν Ἰησοῦν χριστὸν καὶ τοῦτο τῆς συνόδου ποιουμένης, πῶς οὐχὶ κατὰ πάντα τάδε τούτοις συμφθέγγεται ἡ σύνοδος;

Λέων δὲ ὁ θαυμάσιος μιᾷ κυρώσει καὶ συνόψει πάντα τάδε τὰ κατὰ Νεστορίου εἰρημένα ἐν τῇ ἐν Ἐφέσῳ συνόδῳ ὑπὸ τοῦ μακαρίου Κυρίλλου ἐπισφραγίζεται καὶ κυροῖ, λέγων, τὰ μέντοι γε τῆς πρότερον ἐν Ἐφέσῳ συνόδου, ἧς τινος ὁ τῆς ὁσίας μνήμης Κύριλλος τότε προήδρευεν, κατὰ Νεστορίου ἰδικῶς πραχθέντα, διαμενέτωσαν μόνως ἡ τότε καταδικασθεῖσα δυσσέβεια, δι' αὐτὸ τοῦτο καθ' ὁτιοῦν ἑαυτὴν ἀπατήσῃ, ὅτι περ Εὐτυχὴς δικαίως ἀναθεματισθεὶς καταβέβληται· ἡ καθαρότης γὰρ τῆς πίστεως καὶ διδασκαλίας, ἣν τῷ αὐτῷ πνεύματι κηρύττομεν, ὥσπερ οἱ ἅγιοι πατέρες ἡμῶν, καὶ τὴν Νεστορίου, καὶ τὴν Εὐτυχοῦς, μετὰ τῶν ἡγημένων αὐτῶν, ἐπ' ἴσης καταδικάζει καὶ διώκει κακοδοξίαν.

Ἀκουστέον δὲ ὅτι τοῦ λέγοντος ὅτι καὶ πλείους τῶν πατέρων ἀδιαβλήτως ἐχρήσαντο φωνῇ τῇ ἐν δύο ἐπὶ Χριστοῦ, καὶ ὅτι οὐχ ὡς λέγουσι τὸ ἐν δύο γράφεται τὴν σύνοδον, ἀλλ' ὡς τὸ ἐκ δύο μὴ εἰπούσαν καὶ τὰ λοιπὰ ἃ φησὶν οὐκ οἶδα γὰρ πῶς λαθὼν ἑαυτὸν ὥσπερ ἕτερά τινα λαλῶν, ἐν τοῖς ἑαυτοῦ συγγράμμασι πάλιν φησί, « Νύκτωρ καὶ μεθ' ἡμέραν ταῖς βίβλοις τῶν πατέρων στρεφόμενος, οὔπω τινὰ μέχρι καὶ νῦν τῶν πατέρων εὑρεῖν ἐδυνήθην φύσεις ἐπὶ Χριστοῦ δύο δοξάζοντα, καθάπερ οἱ ἐν Χαλκηδόνι συνελθόντες ἐδόξασαν, καὶ ἐν δυσὶν αὐτὸν ἀπεφήναντο φύσεσιν ». Ταῦτα γε, εἰ μὴ τὸ τῆς ὑποθέσεως τοῦ ζητουμένου σεπτὸν πρὸς εὐλάβειαν ἦγχε, τὸν ἀκρατῆ οὐκ εἰς ἄμετρον ἐκχύσει γέλωτα, οὑτωσὶ αὐτοῦ ἑαυτόν, ἀμνημόνως ἢ ἀπαλαφρόνως ὁ Φιλαλήτης οὐκ οἶδα πῶς λέγειν, ἀντικαταβάσσοντος; Καὶ ἡμῖν σκοπὸς οὐκ ἦν, ὡς ὁ κύριος μάρτυς, ἀνδρὸς ὁμοφυοῦς ἄγνοιαν ὀνειδίζειν, ἢ σαθρότητα λόγων ἀλλοτρίων ἑτέροις δημοσιεύειν· ἀλλ' ἐπεὶ τὸ μὲν κατ' αὐτὸν δόγμα κεκίνηται, ὁ δὲ θερμῶς ἀντιποιησάμενος τοῦδε τοῦ δόγματος, αὐτὸς οὕτω ἔφθη πανεκκλησίῳ συνόδῳ κατακριθῆναι, ἀλλὰ ψήφοις βασιλικαῖς καὶ ἱερατικαῖς ἐκβληθῆναι τοῦ θρόνου τῆς ἀντιοχείας, ἀναγκαῖον παραστῆσαι τὴν σαθρότητα τοῦ ἀνδρὸς· μήπως ἐκ τῆς τινῶν περὶ αὐτοῦ φρατριαστικῆς τὸ ὅλον προλήψιον ἐνδέξῃ, ταῖς ἐκείνου διδασκαλίαις ἀβασανίστως οἱ νεώτεροι καταπύρωντο· ἔστι γὰρ τοιόσδε ὁ ἀνὴρ καὶ ἐν ἄλλοις τοῖς ὑποτεταγμένοις αὐτοῦ συγγράμμασι θεωρούμενος καὶ σύμφωνος, ὡς εἰπεῖν, τὴν ἀσυμφωνίαν ἑαυτοῦ γνωριζόμενος.

Σεβήρου ἐκ τοῦ κατὰ τοῦ γραμματικοῦ λόγου τρίτου, κεφαλαίου θ ἢ ιγ.

« Ἀλλὰ λέγεις ὡς οὐκ ἀρνεῖται ὁ δοκιμώτατος Κύριλλος δύο φύσεις ὀνομάζειν· ἑτέρα γὰρ ἡ τοῦ λόγου, καὶ ἑτέρα ἡ τῆς ἐμψύχου καὶ νοερᾶς σαρκός· σύμφημι κἀγώ, καὶ ὡς οἱ ἐν Χαλκηδόνι συνελθόντες, ἃ μὲν εὐσεβῶς λογεῖ καὶ Νεστόριος ἡμῖν ἐκ τοῦ Κυρίλλου φωνῶν παρατίθενται, δηλαδὴ τὸ φύσεις εἶναι δύο, καὶ διαφόρους τὴν οὐσίαν θεότητά τε καὶ ἀνθρωπότητα.

Τοῦ αὐτοῦ ἐκ τῶν κατὰ τοῦ αὐτοῦ Ἰωάννου γραμματικοῦ τοῦ καισαρέως, λόγου γ, κεφαλαίου ιζ.

« Τὴν διαφορὰν δεξάμενοι, δύο τὰς φύσεις ἐν αὐτῷ νοοῦμεν, τὴν μὲν κτιστήν, τὴν δὲ ἄκτιστον ».

Τοῦ αὐτοῦ, κεφαλαίου θ.

« Τὸ δύο φύσεις λέγειν, εἴτουν ὀνομάζειν, κοινὸν ἡμῖν καὶ Νεστορίῳ μέχρι τοῦ γνῶναι τὴν διαφορὰν τοῦ θεοῦ λόγου καὶ τῆς σαρκός ».

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς Σόλωνα ἐπιστολῆς, ἧς ἡ ἀρχή, ἦλθεν εἰς τὴν ἐμὴν μετριότητα.

« Τὰ ἐξ ὧν ὁ Ἐμμανουὴλ ὑφέστηκε, καὶ μετὰ τὴν ἕνωσιν οὐ τέτραπται, ὑφέστηκε δὲ ἐν τῇ ἑνώσει, καὶ ἐν μιᾷ ὑποστάσει θεωρού-

μένας, καὶ οὐκ ἐν μονάδι κατ' ἰδίαν ὑποστᾶσαν, ἑκάστην ἰδιοστάτως θεωρούμενον ».

Τοῦ αὐτοῦ ἐκ τῶν πρὸς τὸν γραμματικόν, λόγου β, κεφ. α.

« Καὶ τὸ ἐξ ὧν ὁ ἕνωσις μενόντων ἀμειώτων καὶ ἀναλλοιώτων, ἐν συνθέσει δὲ ὑφεστώτων, καὶ οὐκ ἐν μονάσιν ἰδιοσυστάτοις ». Ἰδοὺ τό τε ἀμείωτον μετὰ ποιὸν, καὶ ἀναλλοίωτον μετὰ ποιῶν λέγων φυσικῶν συντίθεται. Καὶ μετά τινα. « Καὶ ὡς τὰ ἐξ ὧν εἷς ὁ Χριστὸς ἐν τῇ συνθέσει, τελείως καὶ ἀμειώτως ὑφέστηκεν ».

Τοῦ αὐτοῦ Σεβήρου ἐκ τῆς πρὸς Σέργιον τὸν γραμματικὸν δευτέρας ἐπιστολῆς.

« Καὶ καταπέπληγμαι λίαν, πῶς καὶ σύνθεσιν ὀνομάζεις τὴν σάρκωσιν· ἔστιν ὅπου καὶ πάλιν λέγεις, μιᾶς γεγενημένης καθάπαξ οὐσίας ἢ ποιότητος· ἄρα γὰρ ἠρχθη μὲν ἡ ἕνωσις ἐκ συγχύσεως, καὶ πέπαυται δὲ ἡ σύνθεσις, καὶ εἰς μίαν οὐσίαν μετεχώρησεν, ἵνα ὡς λέγεις ἡ ἁγία τριὰς φυλαχθῇ τριὰς, καὶ μὴ τέταρτον πρόσωπον παραδέξηται ». Καὶ πάλιν. « Καὶ οὐ τοῦτο πρὸς μίαν οὐσίαν ἄγειν, τὰ τῇ φυσικῇ ποιότητι διαφέροντα, θεότητα καὶ ἀνθρωπότητα, ἐξ ὧν ἀσυγχύτως καὶ ἀμειώτως ὑπάρχει Χριστός ».

Τοῦ αὐτοῦ αἱρετικοῦ ἐκ τῆς πρὸς τὸν αὐτὸν Σέργιον τρίτης ἐπιστολῆς.

« Ἴσθι οὖν μὴ οὕτως ἔχειν τὸ ἀληθὲς, καὶ προκατασφήσαντός μου καὶ διὰ πλειόνων μαρτυριῶν ἀποδείξαντος, ὡς οὐ χρὴ λέγειν τὸν Ἐμμανουὴλ μιᾶς οὐσίας τε καὶ ποιότητος καὶ ἑνὸς ἰδιώματος ». Καὶ πάλιν. « Οὐκ ἄν τις νοῦν ἔχων εἴποι τὸν τοῦ Θεοῦ λόγον, καὶ τὴν ἔμψυχον καὶ ἔννουν σάρκα, τὴν ἑνωθεῖσαν αὐτῷ καθ' ὑπόστασιν, γεγενῆσθαι μιᾶς οὐσίας καὶ ποιότητος ».

Τοῦ αὐτοῦ ἐκ τῆς πρὸς τὸν αὐτὸν ἐπιστολῆς.

« Ἀναθεματίζοντες τοίνυν τοὺς διαιροῦντας τὸν ἕνα Χριστὸν μετὰ τὴν ἕνωσιν τῇ δυάδι τῶν φύσεων, οὐ δι' αὐτὸ τὸ λέγειν φύσεις ἢ ἰδιότητας ἢ ἐνεργείας ὑπαναθεματισθέντας ταῦτα φαμὲν, ἀλλὰ διὰ τὸ λέγειν δύο ». Ἀλλ' εἰ μίαν εἶναι τὰς φύσεις οὐδ' ἀγράμματός τις ἐρεῖ, δύο δὲ τοὺς λέγοντας αὐτὰς εἶναι ἀναθεματίζεις, ἢ τρεῖς ἢ τέσσαρας ἢ δέκα ἢ ἑκατὸν εἶναι αὐτὰς ἐξ ἀνάγκης ὁμολογήσεις· πλῆθος γὰρ οὐδὲν ἀναρίθμητον, εἰ μὴ τὸ ἄπειρον.

Τοῦ αὐτοῦ Σεβήρου ἐκ τῆς κατὰ τοῦ γραμματικοῦ Ἰωάννου τοῦ ἐπισκόπου Καισαρείας βίβλου.

« Εἰ καὶ τὸ λέγειν ἐν δύο φύσεσιν ἀδιαιρέτοις ὑφεστάναι τὸν Χριστὸν μετὰ τὴν ἕνωσιν εἴρητο τισὶ τῶν πάλαι διδασκάλων τῆς ἐκκλησίας, ἢ καὶ αὐτῷ Κυρίλλῳ, μετὰ ταῦτα δὲ ἀπηγόρευτο· καθάπερ καὶ τὸ λέγειν τῇ φύσει τῆς ἀνθρωπότητος παθεῖν τὸν Χριστὸν καλῶς ὑπὸ τῶν ὀρθοδόξων λεγόμενον, ἀπηγόρευσε λέγειν, τοῖς νοσοῦσι τὴν διαίρεσιν ἀνθιστάμενος· οὐδὲ οὕτω τοῖς ἐν Χαλκηδόνι συνελθοῦσιν ἀπολογίας τις ὑπελείπετο τρόπος, ὁρισαμένοις ἐν δύο φύσεσιν ἀδιαιρέτοις γνωρίζεσθαι τὸν Χριστόν ».

Τοῦ αὐτοῦ ἐν τῷ ὅτι ἀπαθὴς ὁ λόγος.

« Καὶ τῇ διδασκαλίᾳ τῶν ἱερῶν γραμμάτων πειθόμενοι, κηρυττόντων αὐτὸν πεπονθέναι σαρκὶ, καὶ σαφῶς εἰδότες ὡς τὸ πάθος οὐ πέρα τοῦ παθητοῦ διαβήσεται σώματος· προσψαύει γὰρ οὐδαμῶς τοῦ ἀπαθοῦς τῆς θεότητος ».

Τιμοθέου τοῦ αἰλούρου τοῦ αἱρετικοῦ τοῦ μονοφυσίτου, ἐκ τῆς πρὸς τὴν Ἀλεξανδρέα καλώνυμον διαλέξεως.

« Κύριλλός ἐστιν ὁ τῆς Ἀλεξανδρέων ἐπίσκοπος· οὗτος γὰρ διαφόρως τὸ σοφὸν τῆς ὀρθοδοξίας διαρθρώσας κήρυγμα, παλίμβολος φανεὶς, τἀναντία δογματίσας ἐλέγχεται· ἐπεὶ μίαν φύσιν τοῦ Θεοῦ λόγου σεσαρκωμένην χρὴ λέγειν ὑποθέμενος, ἀναλύει τὸ ὑπ' αὐτοῦ δογματισθὲν, καὶ δύο φύσεις ἐπὶ Χριστοῦ πρεσβεύων ἐλέγχεται· καὶ ὅ γε σαρκὶ παθεῖν τὸν Θεὸν ἀπαρνησάμενος λόγον, τοὐναντίον φησὶν οὐδενὶ τρόπῳ τὸ ὑπὲρ ἡμῶν ἀναδέξασθαι πάθος· ἀλλ' ἐναντίος τοῖς οἰκείοις λόγοις γενόμενος, τὴν νῦν κρα-

» τοῦσαν ἐν ταῖς ἐκκλησίαις δυσδιάλλακτον
» μάχην ἐνέσπειρε, καὶ ὥσπερ τινὰ φλόγα
» λαβροτάτην ἐξάψας, τὸν τῆς εὐγενοῦς πίσ-
» τεως λόγον ἐνέπρησεν· εἰ μὴ θεόθεν φανεὶς
» ὁ πατριάρχης Σεβῆρος, τοῖς ἱεροῖς αὐτοῦ
» συγγράμμασιν ἰάσατο Κυρίλλου τὸ ἄστατον
» καὶ παλίμβολον, καθάπερ τις φιλοπάτωρ
» υἱὸς λώβην τοῦ φύσαντος οἰκείοις ἐνθέμασιν
» ἀμφιάσας ».

Ἀλλὰ τί πρὸς ταῦτα πάντα φασὶ πάλιν ἡμῖν οἱ ὡς ἀσπίδες τὰ ὦτα βύοντες, καὶ τῆς τῶν πατέρων σοφῆς ἐπῳδῆς οὐκ εἰσακούοντες; τυχὸν γὰρ πάντως ἡμῖν ἀντιλέξουσι καὶ πρὸς τάδε· τί δῆτα μελιττῶν δίκην πᾶσι τοῖς πατρικοῖς συγγράμμασιν ἐφιστάμενοι, τὸ μὲν καθ' ἑαυτὸν ὑμῖν ἀνθολογεῖτε τῶν χρήσεων, καὶ περιβομβεῖτε ἡμᾶς τούτοις ἐνδελεχῶς; τὰ δὲ πολέμια τοῖς ὑμετέροις φρονήμασιν ὑπερβαίνετε, σιγῇ τούτων ἀποπηδήσαντες; Καὶ πρὸς τοῦτο γοῦν ἐροῦμεν, ὡς ὄντως καὶ τὰ δοκοῦντα ὑμῖν συμφωνεῖν πατρικὰ ῥήματα τοῖς ὑμετέροις δόγμασι, μᾶλλον τὰ ὑμέτερα ἀνατρέπει, διόντως ἐξεταζόμενα κατὰ τὴν ἔννοιαν, καθὼς ἐξ ἀρχῆς ἐλέγομεν· οὐ γὰρ δή τις τῶν ἐκκρίτων πατέρων ἀσύμφωνος ἑαυτῷ ἐστὶν ἢ τοῖς ὁμοτίμοις αὐτοῦ κατὰ τὴν ἔννοιαν τῆς πίστεως, εἰ καὶ δι' ἑτέρων λέξεων καὶ λόγων φερόμενος, ἐναντίος ὑμῖν δοκεῖ εἶναι, τὰς λέξεις καὶ οὐ τὰς δυνάμεις τῶν λόγων συμβιβάζειν ἐθέλουσιν. Ἀλλ' εἰκότως καὶ τοῦτο ὑμᾶς λανθάνει τό γε ὅμοιον προηγνοηκότας· ὥσπερ γὰρ ἐπὶ δύο τῶν αὐτῶν φωνῶν διάφορον ἔννοιαν σημαίνεσθαι ἐπὶ τῶν διασφάτων λόγων, οὕτω καὶ ἐκ διαφόρων λόγων τὴν αὐτὴν ἔννοιαν συνάγεσθαι, ἐπὶ τῶν πολυφράδων νοημάτων· εἰ οὖν τινὰ ἔχετε τῶν ὁμολογημένων καὶ γνωστῶν πατέρων ὀρθοδόξων, καὶ μὴ τύχης παλαιοῦ καὶ ἀνοθεύτου ἐπιδεικνύναι τί τοῖς ὑμετέροις συνᾷδον εἰρηκότα, προσάγετε· τὰς γὰρ κρυφαινομένας καὶ φαλσογράφους ὑμῶν χρήσεις (1) ἅπαξ καὶ δὶς φωραθείσας ἐν ἀκαιρίῳ ἐκπλάττετε λοιπὸν οὐ παραδεχόμεθα.

Προδιαμαρτυρόμεθα δὲ ὅμως ὅτι ἐν καταχρήσει ἐστὶ πολλάκις μεταχειριζόμενα εὑρεῖν καὶ τὰ τῆς φύσεως καὶ οὐσίας καὶ ὑποστάσεως καὶ προσώπου ὀνόματα ἐπὶ τῆς οἰκονομίας· οὐ γὰρ κυρίως ἀεὶ κεῖται. Ἀθανάσιός τε γὰρ ὁ μέγας, καὶ προσώπων ἕνωσιν ἐπὶ τοῦ Χριστοῦ διϊσχυρίζεται, καὶ Πρόκλος ὑποστάσεων· Κύριλλός τε ὁ μακάριος, εἴ τις διαιρεῖ τὰς ὑποστάσεις ἔφησεν· ἐὰν οὖν ὡς κυριολεξίας ὄντα καὶ τάδε νοοῦνται, ἰδοὺ καὶ οἱ νεστοριανοὶ καλῶς ἡμῖν ταῦτα ἀεὶ προβάλλονται, ὑποστάσεων καὶ προσώπων ἕνωσιν δογματίζοντες ἐν τῇ οἰκονομίᾳ· πῶς δὲ ἂν τόδε οὕτως ἔφη, ὁ ἐν τετάρτῳ ἀναθεματισμῷ εἰπὼν πατὴρ Κύριλλος, « εἴ τις προ-
» σώποις δυσὶν ἤγουν ὑποστάσεσι διανέμει φω-
» νὰς » καὶ τὰ ἑξῆς. Ἐν δὲ τῇ πρὸς βασιλέα Θεοδόσιον ἐπιστολῇ, ἀλλὰ καὶ πρὸς Ἰωάννην τὸν Ἀντιοχείας φησί· « τὰς εὐαγγελικὰς καὶ
» ἀποστολικὰς περὶ τοῦ κυρίου φωνὰς ἴσμεν τοὺς
» θεηγόρους ἄνδρας, τὰς μὲν κοινοποιοῦντας
» ὡς ἐφ' ἑνὸς προσώπου, τὰς δὲ διαιροῦν-
» τας ὡς ἐπὶ δύο φύσεων ».

Εἰ γὰρ πανταχοῦ ἐπὶ τῆς οἰκονομίας ἀποκληρωτικῶς φύσιν καὶ ὑπόστασιν ταυτὸν οἶδεν ὁ πατήρ, οἱ διαιροῦντες ὡς ἐπὶ δύο φύσεων τὰς φωνὰς, τῷ ἀναθέματι τῷ ἐπὶ τῶν δύο ὑποστάσεσι διανεμόντων φωνὰς κειμένῳ καθυποβέβληνται πάντες οἱ θεηγόροι. Μὴ οὖν τὰ μὴ κυρίως κατὰ τῶν κυρίως εἰρημένων προφέρετε, ἀλλ' ἐκ τοῦ πρέποντος λόγου καὶ συμφώνου καὶ κοινοτέρου καὶ πᾶσιν ὡμολογημένου, τῆς ἀληθείας στοχαστέον ἡμῖν τε καὶ ὑμῖν κατὰ πάντα τὰ παραγόμενα.

Πρῶτον μὲν οὖν εἰπεῖν Νεστόριος, φασὶ, κατεχρήσατο τῇ τῶν δύο φύσεων φωνῇ ἐπὶ Χριστοῦ, ᾗ καὶ ὑμεῖς. — Λέγομεν οὖν ὅτι καὶ γραφικαῖς φωναῖς πολλαῖς ἐχρήσατο· μὴ δὲ αὗται οὖν ὀνομαζέσθωσαν ὑμῖν, εἰ συνορᾶτε· ἀλλὰ καὶ τῇ μιᾷ φύσει τοῦ λόγου σεσαρκωμένῃ οἱ ἀρειανοὶ πρῶτοι καὶ ἀπολινάριοι καὶ ἕτεροι αἱρετικοὶ προσχρῶνται· σιγητέον οὖν καὶ τήνδε τῶν

(1) Liber χρήσεων Monophysitarum extat saepe in vaticano quodam codice, de quo ego postea locuturus sum.

τούσδε; οὐχί· ἀλλ' ἐμφράξει πᾶσα ἀνομία τὸ στόμα αὐτῆς, ἡμεῖς δὲ παῤῥησιασώμεθα ὡς δεῖ λαλῆσαι κατὰ τὸν θεοφόρου κήρυκα· ὁ γὰρ τῆς ἀληθείας λόγος ἐν τῷ θριαμβεύεσθαι, οὐκ ἐν τῷ περικαλύπτεσθαι, νικᾷ τὸ ψεῦδος· καὶ δοξάζειν αὐτὸς οἶδε τοὺς λαλοῦντας αὐτὸν, οὐκ ἐκ τῶν λαλούντων αὐτὸς δοξάζεται· καὶ περὶ μὲν τούσδε τάδε· λοιπὸν δὲ ἴδωμεν οἷα ἐπὶ καὶ ἃ φασὶν αὐτοὶ σαφῶς μίαν φύσιν ἐπὶ τοῦ κυρίου λέγειν, καὶ τὰς δύο ἀπαγορεύειν φύσεις παντελῶς, πατρικὰ δόγματα.

Τοῦ ἁγίου Κυρίλλου ἐκ τῆς πρὸς Σούκενσον β ἐπιστολῆς.

« Τὸ λέγειν δύο φύσεις ὑφεστάναι μετὰ τὴν » ἕνωσιν ἀδιαιρέτως, μάχεσθαι ἐπὶ τοῖς μίαν » τὴν λέγουσι τὴν τοῦ λόγου φύσιν σεσαρκωμένην ». Ἀλλὰ πρὸς νεστοριανοὺς τοῦτο λέγων, ἐπιφέρει μετὰ βραχέα, ὧδε οὕτως· τὸ γὰρ ἀδιαιρέτως προστεθὲν, δοκεῖ μὲν παρ' ἡμῖν ὀρθῆς εἶναι δόξης σημαντικὸν, αὐτοὶ δὲ οὐχ οὕτως νοοῦσι· τὸ γὰρ ἀδιαίρετον παρ' αὐτοῖς κατὰ τὰς Νεστορίου κενοφωνίας καθ' ἕτερον λαμβάνεται τρόπον· φασὶ γὰρ ὅτι τῇ ἰσοτιμίᾳ, τῇ ταυτοβουλίᾳ, τῇ αὐθεντίᾳ ἀδιαίρετός ἐστι τοῦ λόγου ὁ ἐν ᾧ κατῴκησεν ἄνθρωπος· ὥστε οὐχ ἁπλῶς τὰς λέξεις λέγουσιν ἀλλὰ μετά τινος κακουργίας. Ἰδοὺ οὖν σκοπεῖτε εὐγνωμόνως ὅτι τὴν μὲν φωνὴν οἶδεν ὀρθῆς δόξης, τὸ δὲ κακοῦργως ἔχον νόημα ἀποβάλλεται, ὅπερ ἐξ ἀρχῆς καὶ ἕως τέλους ποιεῖ· καὶ ὑμᾶς καὶ ὑμεῖς δυσωποῦμεν· ἔστω οὖν τὴν αὐτὴν ἀσεβῶς εἰπεῖν τινὰ φωνὴν ἀλλὰ καὶ τὴν ἑτέραν φωνὴν τὴν λέγουσαν μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην, ὅστις κατὰ Ἄρειον, ὡς οὐ πάντη ἀτρέπτου φύσεως ὄντος τοῦ υἱοῦ νοεῖν· καὶ κατὰ Ἀπολινάριον, ὡς αὐτοῦ τοῦ λόγου ἀντὶ νοῦ ψυχικοῦ ἡγουμένου, τῇ ἐψυχωθείσῃ ἀλόγῳ σαρκὶ λογίζεσθαι· καὶ κατὰ Εὐτυχέα, ὡς αὐτοῦ τοῦ λόγου εἰς σάρκα μεταποιηθέντος ἐκδέχεσθαι· ἐὰν οὖν μὴ τὰ νοήματα ἀνακρίνωμεν τῶν ὁμολογούντων, καὶ ταύτην κἀκείνην οὐκ ἄλλως προσιέμεθα τὴν φωνήν· τοῦτο γὰρ ὁ πατὴρ φησὶ, ὅτι ὡς κακουργοῦντας περὶ τὴν ἔννοιαν τῆς ἑνώσεως τῶν φύσεων, μὴ ἀποδέχεσθαι τοὺς αἱρετικοὺς δεῖ· καὶ εὔηχοι εἶεν αἱ φωναί· οὐ γὰρ τὴν καθ' ὑπόστασιν λέγουσι τῶν φύσεων, ἀλλὰ κατὰ σχέσιν ἀδιαίρετον· ἐν πολλαῖς γὰρ χρηστολογίαις οἶδε τὴν ἀπάτην καὶ ὁ ἀπόστολος γενομένην· ὅτι δὲ τοῦτο οὕτως νοεῖ, καὶ ἐν τῇ ἑξῆς ὧν παράγουσι χρήσει σαφὲς ἔσται.

Τοῦ αὐτοῦ Κυρίλλου ἐκ τῶν εἰς πρὸς Ἑβραίους, δευτέρου τόμου.

« Ἀποδιϊστάντες γὰρ ἀλλήλων τὰς δύο » φύσεις καὶ ἀνὰ μέρος ἡμῖν ἑκατέραν ἀσυνα» φῆ θατέρας δεικνύοντες, ἐν μόνοις προσώ» ποις φασὶ γενέσθαι τὴν ἕνωσιν, καὶ ὡς ἔν γε » ψιλῇ συναινέσει καὶ ταυτοβουλίᾳ καὶ θελημά» των ῥοπαῖς· κατ' ἐκεῖνό που τάχα τὸ ἐν » ταῖς πράξεσι τῶν ἁγίων ἀποστόλων γεγραμ» μένον, τοῦ δὲ πλήθους τῶν πιστευσάντων ἦν » ἡ καρδία καὶ ἡ ψυχὴ μία· ἑκάστου γὰρ τῶν » πεπιστευκότων κατά γε τὸν τῆς ἰδίας ὑποσ» τάσεως λόγον διεσχοινισμένου τῶν ἄλλων, » ὅταν ἥκει εἰς ταυτοβουλίαν καὶ τὴν ἑνότητα τῆς » πίστεως, ψυχὴ πάντων τῶν μία λέγεται καὶ » καρδία· ἆρα οὖν κατὰ τοῦτον καὶ αὐτοὶ τὸν » τρόπον, τῶν προσώπων τὴν ἕνωσιν ὁμολογεῖν » ἐγνώκασιν ». Ἰδοὺ διασαφεῖ οὐδόλως τί ἐστιν ὃ μέμφεται δόγμα τῶν δὲ καὶ ἕνωσιν ἀδιαίρετον λεγόντων ἐπὶ δύο φύσεων. Καὶ μετὰ βραχέα. « Καὶ οὐδέπω φαμὲν ἐν τῷ ἀνθρω» πίνῳ σώματι τὴν τοῦ θεοῦ λόγου περιγεγράφ» θαι φύσιν· ἄποσον γὰρ τὸ θεῖον ». Εἶτα ἐπάγει. « Ὅτι ὄψεταί τις ἐν Χριστῷ τὸ ἀν» θρώπινον τελείως ἔχον, κατά γε τὸν τῆς » ἰδίας φύσεως λόγον· ὁμοίως τὸ τέλειον τὸν ἐκ » θεοῦ φύντα λόγον· πλὴν ἕνα τὸν ἐξ ἀμφοῖν » ὁμολογήσει Χριστὸν καὶ υἱὸν, οὐ προσώπων » ἑνώσει μόνον συντεθεὶς τὴν οἰκονομίαν, συλ» λέγων δὲ μᾶλλον εἰς ἓν τὰς φύσεις ἀποῤ» ῥήτως γε καὶ ὑπὲρ λόγον, ὡς αὐτὸς ἔγνω ὁ » θεός· καὶ οὐδέπω φαμὲν ἀνάχυσιν ἤπερ τινὰ » συμβῆναι περὶ τὰς φύσεις, ὡς μεταστῆναι » τὴν τοῦ λόγου φύσιν εἰς τὴν τοῦ ἀνθρώπου τυ» χὴν· ἀλλ' οὐδὲ αὖ τὴν ἀνθρωπίνην εἰς τὴν » τοῦ λόγου, νοουμένας δὲ μᾶλλον καὶ ὑπαρχού-

» σεις ἑκατέρας ἐν τῷ τῆς ἰδίας φύσεως ὅρῳ, πεπράχθαι φαμὲν τὴν ἕνωσιν ». Καὶ μετ' ὀλίγα. « Εἴ τις οὖν ἄρα λέγοι μόνων προσώπων τὴν ἕνωσιν, ἀποδιϊστὰς ὁλοτρόπως ἀλλήλων τὰς φύσεις, ἔξω τῆς εὐθείας φέρεται τρίβου ». Τούτων τίς ἀγνοήσει τὴν ἔννοιαν, καὶ μίαν φύσιν λέγειν αἰδέσεται τὸν πατέρα ἐπὶ Χριστοῦ; οὐχὶ δὲ ἓν πρόσωπον μᾶλλον, ἡνωμένων αὐτοῦ τῶν φύσεων οὐχ ἁπλῶς ἀδιαιρέτως, ἀλλὰ καθ' ὑπόστασιν αὐτοῦ αὐτῶν;

Κυρίλλου ἐκ τῆς πρὸς Σούκενσον ἐπιστολῆς.

« Ὥστε τὰ δύο μηκέτι εἶναι δύο, δι' ἀμφοῖν δὲ τὸ ἓν ἀποτελεῖσθαι ζῶον ». Εἰ οὖν τοῦτό φησιν ὅτι αἱ φύσεις οὐκ εἰσὶ λοιπὸν φύσεις, ὅθεν εἰπεῖν ὥστε τὰς ποτὲ δύο, ταύτας μὴ εἶναι καὶ νῦν δύο· ἢ ὥστε τὸ ἓν τὸ νῦν μηκέτι εἶναι ὡς καὶ πρώην δύο· εἰ δὲ ἔστι καὶ νῦν δύο τὰ δύο, δι' ἀμφοῖν τε καὶ οὐκ ἐξ ἀμφοῖν ἁπλῶς τὸ ἓν ὁρᾶται, δῆλον ὡς κατ' ἄλλο καὶ ἄλλο· ὡς μὲν γὰρ φύσεις, δύο· ὡς δὲ σύνθετόν τι τοιόνδε ζῶον, ὅπερ καὶ ῥητῶς ἔφη, ἕν ἐστι· προσεκτέον δὲ ὡς καὶ δι' ἀμφοῖν ζῶον ἀποτελεῖσθαι λέγων, ἑκατέραν φύσιν τῷ ἑνὶ τούτῳ Χριστῷ ζωὴν συνεισάγειν φησίν· ἀλλὰ τὴν μὲν, τὴν φυσικὴν ἀνθρώπου· τὴν δὲ, τὴν φυσικὴν Θεοῦ ζωήν· ὡς ἓν εἶναί τι θεανδρικῶς ζῶν πρόσωπον τόδε· καὶ γὰρ ἐσθίων καὶ πίνων διῄρκει καὶ ηὔξανε καθ' ἡμᾶς, καὶ ἦν καὶ αὐτάρκης καὶ παντέλειος θεϊκῶς ὁ αὐτὸς εἷς Χριστὸς ὁ κύριος ἡμῶν.

Ἀλλ' ἅπαν ἓν ζῶον καὶ μία φύσις, φασίν· εἰ οὖν ἓν ζῶον, καὶ μία φύσις ὁ Χριστός. — Ἀλλ' εἰ ἀποδεικτικῶς ἀπαντᾷν βούλεσθε, μὴ ἀγνοεῖτε τὰ κοινῶς δεδομένα πᾶσι τοῖς ἀποδεικτικοῖς καὶ διαλεκτικοῖς· τῶν γὰρ ἀντιστρόφως ἀλλήλοις κατηγορουμένων, τούτων ἀνάγκη θατέρου δοθέντος, καὶ τὸ ἕτερον συνεισάγεσθαι· τῶν δὲ οὐκ ἀντιστρεφόντων, οὐ δῆτα· εἰ μὲν οὖν καὶ πᾶσα φύσις ζῶον, ὥσπερ οὖν καὶ πᾶν ζῶον φύσις, καλῶς ἐλέγετε, ἐπεὶ ζῶον τὸ σύνθετον, καὶ φύσιν ἀποτελεῖσθαι· εἰ δὲ ἔστιν ὁ λίθος φύσις, οὐ μὴν δὲ τόδε καὶ ζῶον, οὐκ ἀναγκαῖον εἴ τι ζῶον ἕν ἐστι, δὲ τόδε ἁπλῶς καὶ φύσιν μίαν εἶναι· καὶ ἄλλως γὰρ, εἰ διότι ἓν ζῶόν ἐστιν ὁ Χριστὸς, καὶ μία φύσις ἐστὶ, καὶ διότι ἐκ δύο φύσεών ἐστι, καὶ δύο ζῶα ἔσται, ὅ φησι Νεστόριος ἀσεβῶν μόνος· εἰ δὲ λέγοιτε ὅτι καὶ ἐκ δύο ζώων ὡς ἐπὶ τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος, τῶν διαφόρων φυσικῶν εἰδῶν φαμεν αὐτὸν, ἆρά γε καὶ ἓν ζῶον ὢν, ὡς κοινόν τι καὶ ὡς εἶδος ἕτερον παρὰ τὴν θεότητα καὶ ἀνθρωπότητα λέγοιτε αὐτόν· καὶ πῶς φασὶν αὐτός τε ὁ πατὴρ καὶ οἱ λοιποὶ, τὸ Χριστὸς ὄνομα μήτε οὐσίας ὅρον μήτε φύσεως ὄνομα εἶναι, μήτε ὅρου δύναμιν ἔχειν, μήτε εἶδος φύσεως σημαίνειν, ἤ τι τοιοῦτον; ζῶον ἄρα, τὸ ὡς ὑφεστὼς πρόσωπον ἐστὶν ἕν· ἀλλ' εἴποιτο ἴσως, ὅτι ὥσπερ ζωῆς τῆς ἀϊδίου καὶ τῆς προσκαίρου μετέχων ἓν ζῶόν ἐστιν, οὕτως καὶ φύσεως προσκαίρου καὶ τῆς ἀϊδίου μετασχὼν, μία φύσις ἐστίν· εὔδηλος ὁ παραλογισμός· ἀντὶ γὰρ τοῦ μετέχοντος, τὸ μετεχόμενον ἔφατε τὸ δεύτερον· εἰ μὲν γὰρ τὸ μετέχον ἑκατέρας ζωῆς ζωὴ ἦν, καὶ οὐ ζῶον, εἶτ' ἦν μετέχων τῶν ζωῶν, πρόσωπον καλῶς εἴρητο· εἰ δὲ τὸ ἐν δύο ζωαῖς θεωρούμενον, ζῶόν ἐστι, καὶ τὸ δύο οὐσιῶν μετειληφὸς, οὐσιωμένον ἐστί τι, οὐ μὴν ἡ οὐσία, εἴτ' οὖν φύσις, ἀπρόσωπος· τί δὲ ἐστὶ τὸ οὐσιωμένον καὶ τὸ ζῶον, ἢ τὸ πρόσωπον κυρίως, τό τε κατὰ διαφόρους φύσεις καὶ ζωὰς ὑφεστώς; ὥστε ζῶον μὲν ἓν ὀρθῶς φαμὲν, φύσιν δὲ μίαν οὐδαμῶς, ὥσπερ οὐδὲ ζωὴν ἐπὶ τοῦ συνθέτου προσώπου Χριστοῦ.

Κυρίλλου

ἐκ τῆς πρὸς Ἀκάκιον ἐπιστολῆς (1).

« Ὁρῶμεν ὅτι δύο φύσεις συνῆλθον ἀλλήλαις καθ' ἕνωσιν ἀδιασπάστως ἀσυγχύτως καὶ ἀτρέπτως· ἡ γὰρ σάρξ, σάρξ ἐστι καὶ οὐ θεότης, εἰ καὶ γέγονε Θεοῦ σάρξ· ὁμοίως δὲ καὶ ὁ λόγος Θεός ἐστι καὶ οὐ σάρξ, εἰ καὶ ἰδίαν ἐποιήσατο τὴν σάρκα οἰκονομικῶς· ὅταν οὖν ἐννοῶμεν τοῦτο, οὐδὲν ἀδικοῦμεν τὴν εἰς ἑνότητα συνδρομὴν, ἐκ δύο

(1) Immo vero sequens testimonium sumitur ex epistola ad Successum. Cyril. ed. T. V. part. 2. p. 137.

» φύσεων γεγενῆσθαι λέγοντες· μετὰ μέν τοι τὴν
» ἕνωσιν οὐ διαιροῦμεν τὰς φύσεις ἀπ' ἀλλή-
» λων, οὐδὲ εἰς δύο τέμνομεν υἱοὺς τὸν ἕνα
» καὶ ἀμέριστον, ἀλλ' ἕνα φαμὲν υἱὸν, καὶ ὡς
» οἱ πατέρες εἰρήκασι μίαν φύσιν τοῦ λόγου σε-
» σαρκωμένην, οὐκοῦν ὅσον μὲν ἧκεν εἰς ἔννοιαν
» καὶ εἰς μόνον τὸ ὁρᾷν τοῖς τῆς ψυχῆς ὄμμασι
» τίνα τρόπον ὁ μονογενὴς ἐνηνθρώπησε, δύο τὰς
» φύσεις φαμέν ». Ἀλλ' εἴπωμεν καὶ πρὸς τά-
δε, ὅτι ἀρκεῖ ἡμῖν αὐτὸς ἑαυτὸν διασαφῶν·
οὐ γὰρ διαιροῦμεν, ἔφη, καὶ οὐχ ἑνοῦμεν· καὶ
τὰς φύσεις, οὐ μὲν τὴν φύσιν, ὡς οὗτοι λέ-
γουσιν, οὐδὲ τεμνόμενον τὸν ἕνα υἱὸν, οὐ μὴν
τὴν μίαν φύσιν ἔφη, τοῖς δὲ τῆς ψυχῆς ὄμμα-
σιν, εἷς καὶ διαφέρει ἄνθρωπος κτήνους τοῦ ἐν
ταῖς τοῦ σώματος ὄμμασι μόνον βλέποντος· δύο
ἄρα καὶ φησὶν εἶναι ὁ πατὴρ τὰς φύσεις τοῦ λόγου
σεσαρκωμένου, ἀληθῶς.

Τοῦ αὐτοῦ ἐκ τῆς αὐτῆς ἐπιστολῆς.

« Δεξώμεθα πρὸς παράδειγμα τὴν καθ'
» ἡμᾶς αὐτοὺς σύνθεσιν, καθ' ἣν ἐσμὲν ἄν-
» θρωποι· συντεθείμεθα γὰρ ἐκ ψυχῆς καὶ σώ-
» ματος, καὶ ὁρῶμεν δύο φύσεις, ἑτέραν μὲν
» τοῦ σώματος, ἑτέραν δὲ τῆς ψυχῆς· ἀλλ' ἐξ
» ἀμφοῖν καθ' ἕνωσιν, ἄνθρωπον· καὶ οὐχ ὅτι
» ἐκ δύο φύσεων συντέθειται ὁ ἄνθρωπος,
» δύο τὸν ἕνα νομιστέον, ἀλλ' ἕνα τὸν αὐτὸν
» κατὰ σύνθεσιν, ὡς ἔφην, τὸν ἐκ σώματος
» καὶ ψυχῆς ». Ἰδοὺ πάλιν σαφῶς μὴ δύο
ἀνθρώπους, τὸν ἕνα νομίζειν λέγει, οὐχὶ μὴ
δύο φύσεις τὴν μίαν φύσιν λογίζεσθαι ἔφη· ἕνα
γε τοῦ ἀνθρώπου οὐδὲ κατὰ πάντα ἐλήφθη τὸ
παράδειγμα.

Ἀλλ' ἐν τῷ δευτέρῳ πρὸς Σούκενσον ὑπο-
μνηστικῷ ῥητῶς, φασὶν, ὁ πατὴρ Κύριλλος
εἴρηκε, τὸ τοῦ ἀνθρώπου λαβὼν, ἐκ ψυχῆς καὶ
σώματος ὄντος, παράδειγμα « ὥστε τὰ δύο
» μηκέτι εἶναι δύο ». — Καὶ πῶς οὐ δῆλον, ὡς
καὶ τοῦτο οὕτως λέγει, ὅτι καθ' ὃ γέγοναν,
οὐκ εἰσὶ δύο ἤγουν ἄνθρωποι; ἰδοὺ γὰρ αὐ-
τὸς ἀνωτέρω φησί· δύο μὲν γὰρ καὶ ἐπ' αὐτοῦ
νοοῦμεν τὰς φύσεις, μίαν μὲν ψυχῆς, ἑτέραν
δὲ τοῦ σώματος· εἰ καὶ μὴ ἀνὰ μέρος δῆλον· καὶ
γὰρ ἐπάγει « ἀλλ' ἑνὸς εἶναι νοοῦμεν »· ὥστε
οἶδεν αὐτὰ δύο ἐν τῷ εἶναι αὐτὰ ἑνός· οὐ γὰρ
ἂν ἔφη μήποτε εἰδὼς τὴν δυάδα, τὸ ἀλλ' ἑνὸς
τοῦ ἀνθρώπου ὡς ἕκαστα ἔχοντος· οὐκέτι δὲ
ἔμεινε δύο, τουτέστι μόνον καὶ ἁπλῶς ὄντα,
ἀλλὰ καὶ ἕν τι ποιήσαντα τὸν ἄνθρωπον· καὶ
ἕν τι γὰρ ὁρῶνται καὶ νοοῦνται· ἐπεὶ πῶς εἰ
πάντη οὐκ εἰσὶ δύο, ψυχὴ ἔτι δηλονότι καὶ σῶμα
σωζόμενα, ὅμως ἐπὶ Χριστοῦ, οὐδὲ κατὰ τὸν τῆς
φύσεως λόγον, ἀλλὰ κατὰ τὸν τῆς ὑποστάσεως
εἴληπται αὐτῷ τὸ παράδειγμα· πρὸς Νεστόριον
δύο τὰς ὑποστάσεις αὐτοῦ λέγοντα εἴρηται·
εἰ γὰρ καὶ φύσεως λόγῳ εἴληπται τὸ παράδειγμα
τοῦ ἀνθρώπου ἐπὶ Χριστοῦ, ἄρα καὶ ἐπεὶ οὐκ
ἐκ προϋπαρχουσῶν δύο φύσεων ὁ Ἀδὰμ ψυχῆς
καὶ σώματος, οὐδὲ ὁ κύριος ἐκ δύο φύσεων·
ὅτε μὲν ὁ λόγος, καὶ πρὸ τῆς σαρκός· τοῦ δὲ ἀν-
θρώπου οὐδὲν μέρος τοῦ ἑτέρου προϋπάρχειν εἴ-
ρηται. Ἔτι ὁ ἄνθρωπος δυνάμει διαιρετὸς εἰς
τὰς αὐτοῦ δύο φύσεις ἐστὶν ἀεὶ, ἀλλὰ καὶ ἐνερ-
γείᾳ ποτέ· ἆρα οὖν καὶ ἐπὶ Χριστοῦ εἴποι τις
τάδε μὴ παραφρονῶν; πῶς οὖν τὸ καθ' ὑπό-
στασιν ληφθὲν, καὶ ποτὲ, εἰς φύσιν τὴν ὡς ὑπό-
στασιν καὶ αὐτὴν λεγομένην, ὡς οὐσίας παρά-
δειγμα βιάζεσθε πάντως λαμβάνειν ἡμᾶς;
δέδεικται γοῦν καὶ ἐν τοῖς ἐπιχειρήμασιν ἐπὶ
Χριστοῦ τὴν μίαν λέγειν φύσιν, εἰ καὶ ἔστιν εἰ-
πεῖν ἐπ' ἀνθρώπου μίαν, ὁ λόγος ἀδύνατον.

Ἐν πολλοῖς, φασὶν, εὑρίσκομεν ἀπαρεσκό-
μενον τὸν πατέρα Κύριλλον, καὶ τῇ τοῦ διπλοῦ
ὀνομασίᾳ ἐπὶ τοῦ κυρίου, πόσῳ γε μᾶλλον τῇ τῶν
δύο φωνῇ; — Ἆρα οὖν ἐναντίος Γρηγορίῳ τῷ
πολλάκις κατακεχρημένῳ τῷδε ἐστὶν ἀποστά-
λη γάρ, φασὶν, ἀλλ' ὡς ἄνθρωπος· διπλοῦς
γὰρ ἦν· καὶ πατὴρ οὐ τοῦ ὁρωμένου, τοῦ νοουμένου
δέ· καὶ γὰρ ἦν διπλοῦς. Καὶ ἄλλοι δὲ πλεῖσ-
τοι τῶν πατέρων τὰ ὅμοια φασὶν ἢ δῆλον, ὅτι
μὲν διπλοῦς κατὰ τὰς φύσεις ἦν, ἔφη. Ὅτι δὲ
οὐ διπλοῦς Χριστὸς ἢ υἱὸς ὀρθῶς λέγεται, Κύ-
ριλλος ὁ πατὴρ φησί· τοῦτο γὰρ Νεστόριος ἐνό-
ει· εἰ γὰρ τὸ κατὰ φύσιν διπλοῦν οὐκ ἐγκρί-
νει, πῶς καὶ αὐτὸς ἔφη ἐν τῷ κατὰ Ματθαῖον
» ὁ πατὴρ ὁ ἀληθινὸς καὶ νοητὸς καὶ ὡς ἐν

» τύπῳ τῷ ἐξ ὕλης νοούμενος, οὗτός ἐστιν ὁ » κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, ὁ διπλοῦς » χαρακτήρ; »

Κυρίλλου ἐκ τῶν πρὸς τὰς ἀπορίας ὑπαντήσεων.

« Ἐν ἰδιότητι τῇ κατὰ φύσιν ἑκατέρου μένοντός τε καὶ νοουμένου, κατά γε τὸν ἀρτίως ἡμῖν » ἀποδοθέντα λόγον, ἀῤῥήτως καὶ ἀφράστως » ἑνωθεὶς μίαν ἡμῖν ἔδειξεν υἱοῦ φύσιν, πλὴν » σεσαρκωμένην· οὐ γὰρ ἐπὶ μόνων τῶν ἁπλῶν » κατὰ τὴν φύσιν τὸ ἓν ἀληθῶς λέγεται ». Ἰδοὺ, φασὶ, τοῦ υἱοῦ, ὅς ἐστι Χριστὸς, μίαν φύσιν ἔφη. — Ἀλλὰ καὶ τὸ ἐπαγόμενον συνάψαντες, διακρινέτωσαν, εἰ ὀρθῶς συλλογίζονται· εἰ γὰρ τὸ τοῦ υἱοῦ ὄνομα καὶ πρὸ τῆς σαρκώσεως τεταγμένον ἀντὶ τοῦ Χριστοῦ εὕρηται, οὑτωσὶ φρασθήσεται, μίαν ἡμῖν ἔδειξε Χριστοῦ φύσιν, πλὴν σεσαρκωμένην· τοῦτο δὲ ἢ ὡς ἀσάρκου Χριστοῦ δυνάμενον ληφθῆναι, ὅπερ ἀπεμφαῖνον· ἢ ὡς καὶ πρὸς τῇδε τῇ μιᾷ αὐτοῦ φύσει, καὶ σάρκα ἐπενδυσαμένου Χριστοῦ· ἔσται οὖν ἐκ λόγου τε καὶ σαρκὸς καὶ ἑτέρας φύσεως σαρκὸς ὢν ὁ Χριστός· καὶ οὐ μόνον δύο φύσεις ἁπλῶς, ἀλλ' ἐκ μιᾶς μετὰ τῆς θείας ἁπλῆς, ἐκ δύο δὲ συνθέτων, ἤγουν τῶν ἀνθρωπίνων νοούμενος, ἐκ τριῶν τε φύσεων λεγόμενος λοιπόν· οὐδὲν δὲ ἧττον καὶ δύο φύσεις ἐκ μιᾶς τῆς καθ' ὑμᾶς Χριστοῦ φύσεως, καὶ τῆς ἐπισαχθείσης Χριστῷ κατὰ τὴν δευτέραν σάρκωσιν αὐτοῦ σαρκὸς φύσεως.

Ἀλλὰ τί μὴ τούτων ἀφέμενοι τῶν παραλογισμάτων, ἔμμανον ὀρθαῖς τὸν σκοπὸν τὸν εἰρημένον κατανοεῖτε; ὅτι γὰρ υἱότητος φυσικῶς νῦν φασὶ τὴν αὐτὴν μίαν φύσιν μόνον τῷ υἱῷ, κἂν προσελάβετο ἄλλην φύσιν, ἰδοὺ αὐτὸς σαφῶς λέγων· οὐ γὰρ ἐπὶ μόνων τῶν ἁπλῶν κατὰ τὴν φύσιν, υἱῶν δηλαδὴ, τὸ ἓν ἀληθῶς λέγεται· ἆρα οὖν τοῦτο ὑμᾶς μᾶλλον διδάξει ὅτι οὐχ ἁπλοῦς κατὰ τὴν φύσιν ὁ περὶ οὗ τάδε φησὶν υἱὸς εἷς, ἀλλὰ διπλοῦς· ἔστι γὰρ κατὰ τὸν πατέρα, ὃ πολλάκις καὶ ἡμεῖς ὑμῖν συγχωροῦμεν, καὶ πλειόνων οὐσῶν τῶν φύσεων, ἓν εἶναί τέ τι ὁρίσωσιν, καὶ ἵνα τὸν αὐτὸν υἱὸν φύσει· καὶ οὐ τὸν μετὰ τῶν φύσεων, υἱὸν φύσει τὸν δὲ, υἱὸν χάριτι εἶναι· ὥστε σαφῶς τὰ ἡμέτερα λέγων, ἢ τὰ ὑμέτερα, δείκνυται πρὸς τούτοις ὁ διδάσκαλος· ἐπεί γε, εἰ καὶ οὕτως εἶχεν ὡς βούλεσθε, πάντα ἂν τὰ ἐν ἑτέροις εἰρημένα τῷ πατρὶ ὡς περὶ δύο φύσεων Χριστοῦ, τοῖσδε τοῖς αὐτοῦ ἂν διεμάχετο· ὅπερ οὐδεὶς ἐν πνεύματι Θεοῦ λαλῶν, παθεῖν ὑποπτεύεται.

Τοῦ μεγάλου Ἀθανασίου.

« Ὁμολογοῦμεν καὶ αὐτὸν υἱὸν τοῦ Θεοῦ » καὶ Θεὸν κατὰ πνεῦμα, υἱὸν ἀνθρώπου κατὰ » σάρκα· οὐδὲ δύο φύσεις τὸν ἕνα υἱὸν, μίαν » προσκυνητὴν καὶ μίαν ἀπροσκύνητον, ἀλλὰ » μίαν φύσιν τοῦ Θεοῦ λόγου σεσαρκωμένην καὶ προσ» κυνουμένην μετὰ τῆς σαρκὸς αὐτοῦ μιᾷ προσ» κυνήσει ». Ἰδοὺ, φασὶ, τὴν δυάδα σαφῶς ἀναιρεῖ τῶν φύσεων ὁ πατὴρ ἐπὶ τοῦ ἑνὸς υἱοῦ. — Ἀλλ' οὐ τὰς δύο φύσεις, ὦ οὗτοι, ἀνεῖλεν, ἀλλὰ τὸ μὴ θατέραν μὲν τῶν δύο φύσεων προσκυνητὴν ἐν τῷ υἱῷ, θατέραν δὲ ἀπροσκύνητον ἐν αὐτῷ· δεῖ γάρ τοι τόδε καὶ ἐπήγαγεν, ἵνα ἐν μιᾷ καὶ αὐτῇ προσκυνήσει τοῦ ἑνὸς υἱοῦ, οὐ φύσεως, λέγων· ὡς γὰρ δεῖ καθολικωτέρας τινὸς τοῦ ὅλου προσώπου, ἅμα προσκυνεῖσθαι τὰ μέρη αὐτοῦ ἤγουν τάσδε τὰς φύσεις συμβαίνει, ὡς ἐμπεριεχομένας τῷ προσκυνουμένῳ υἱῷ ὁμοίως ἄμφω· ὑμεῖς δὲ σοφιστικῶς τελείᾳ στίζοντες, καὶ οὐχ ὑποστιγμῇ καθ' ὑμᾶς τὸν ἕνα υἱὸν, τὰ πρῶτα μετὰ τῶν ῥησειδίων κατὰ σκοπὸν ἑαυτοῖς ἀποτείλαντες διορίζετε, τὰ δὲ ἑξῆς ἀσυνάρτητα παρέλκοντες, ἐν τῷ νοήματι τοῦ ὅλου χωρίου, διελέγχεσθε· οὕτως μὲν οὖν νοείσθω, εἰ ὄντως Ἀθανασίῳ εὕρηται· οὐ γὰρ ἑαυτῷ περὶ τὰ αὐτά τις θεοφόρος στασιάζει.

Ὅτι δὲ Ἀπολιναρίῳ εἴρηται τάδε κατὰ τὴν ὑμετέραν ἔννοιαν, Τιμόθεός τις τούτου μαθητὴς ἐν τῇ ἐκκλησιαστικῇ ἱστορίᾳ λέγει, καὶ Πολέμων ὁ συνουσιαστὴς, οὗ Κύριλλος ὁ πατὴρ καὶ Σεβῆρος ὁ πατραλοίας μνημονεύουσι φάσκοντος οὕτως. « Θεὸν γὰρ λέγοντες καὶ ἄνθρωπον τὸν » αὐτὸν, οὐκ αἰσχύνονται μίαν φύσιν τοῦ Θεοῦ.

» λόγου σεσαρκωμένον οἷόν τινα σύνθετον ὁμολογοῦντες· εἰ γὰρ Θεὸς τέλειος καὶ ἄνθρωπος τέλειος ὁ αὐτὸς, δύο φύσεις ἄρα ὁ αὐτὸς, καθάπερ ἡ τῶν Καππαδοκῶν εἰσηγεῖται καινοτομία, Διοδώρου τε καὶ Ἀθανασίου ἡ σύνεσις, καὶ τῶν ἐν Ἰταλίᾳ ὁ τῦφος· καὶ σχηματίζονται μὲν οἱ δῆθεν ἡμέτεροι φρονεῖν τὰ τοῦ ἁγίου πατρὸς ἡμῶν Ἀπολιναρίου, κηρύττουσι δὲ καθάπερ Γρηγόριος τὴν τῶν φύσεων δυάδα ». Καὶ μετὰ βραχέα. « Τί δὲ Ἀπολιναρίου τῷ θείῳ μαθητῶν σχηματίζονται; ταύτην γὰρ ἐπ' ἀναιρέσει τῆς τῶν φύσεων δυάδος μόνος ἡμῖν ἀπεκύησε, γεγραφὼς ὧδέ πη σαφῶς· καὶ τὸν αὐτὸν υἱὸν τοῦ Θεοῦ, καὶ Θεὸν κατὰ σάρκα, οὐ δύο φύσεις τὸν ἕνα υἱὸν, μίαν προσκυνητὴν καὶ μίαν ἀπροσκύνητον, ἀλλὰ μίαν φύσιν τοῦ Θεοῦ λόγου σεσαρκωμένην καὶ προσκυνουμένην μετὰ τῆς σαρκὸς αὐτοῦ μιᾷ προσκυνήσει ». Τίς οὖν οὐ θαυμάσει, εἰ ὁ μετὰ Διοδώρου τοῦ ἀσεβοῦς διαβαλλόμενος ἁγίου Ἀθανάσιος τὰ ὅμοια ῥήματα πάντα ἔφη; εἰ δὲ καὶ τάδε ἔλεξε, πῶς καὶ ἔτι τῆς αὐτῆς διανοίας τοῦδε τάδε εἰπὼν διεβλήθη Ἀπολιναρίῳ καὶ Τιμοθέῳ; πῶς τε πρῶτος Ἀπολινάριος τάδε ἀπεκύησεν, ὥς φασιν οἱ τοῦδε μαθηταί, εἰ τῷ διδασκάλῳ ἡμῶν Ἀθανασίῳ προείρηται; πῶς δὲ καὶ ὁ οὕτως ταῦτα εἰπὼν, ἔφη ἂν ἐν τῷ περὶ τῆς ἁγίας τριάδος λόγῳ « οὐκ ἐπιμίγνυται ἡ τοῦ δημιουργοῦ φύσις καὶ τῶν δημιουργημάτων εἰς ἑνότητα φύσεως; ἀλλὰ δυσφημίας τὸ τοιοῦτον μεγίστης τὴν ὑπεροχὴν τῆς θεότητος καταγούσης εἰς ἑνότητα τῆς κτιζομένης οὐσίας ».

Εἰ οὖν καὶ Κύριλλος αὐτὴν παράγει ὁ διδάσκαλος, ὡς Ἀθανασίου, οὐ τῶν ἀδυνάτων ἢ κατὰ τὴν ἡμετέραν ἔννοιαν, ἢ κατὰ ῥᾳδιουργίαν τινῶν ταύτῃ προσαχθῆναι αὐτὸν ὡς πατρικῇ καὶ οὐχ αἱρετικῇ μαρτυρίᾳ;

Ἰουλίου τῆς Ῥώμης, ὡς δοκεῖ, ἐκ τῆς (1) [περὶ τῆς ἐν Χριστῷ ἑνότητος τοῦ σώματος πρὸς τὴν θεότητα.]

« Ὁμολογεῖται δὲ ἐν αὐτῷ τὸ μὲν εἶναι κτιστὸν ἐν ἑνότητι τοῦ ἀκτίστου, τὸ δὲ ἄκτιστον ἐν συγκράσει τοῦ κτιστοῦ, φύσεως μιᾶς ἐξ ἑκατέρου μέρους συνισταμένης ἐνέργειαν, καὶ τοῦ λόγου συντελέσαντος εἰς τὸ ὅλον μετὰ τῆς θεϊκῆς τελειότητος, ὅπερ ἐπὶ τοῦ κοινοῦ ἀνθρώπου ἐκ δύο μερῶν ἀτελῶν γίνεται, φύσιν μίαν πληρούντων, καὶ ἑνὶ ὀνόματι δηλουμένων ». — Ταύτην πρῶτα μὲν Ῥωμαῖοι οὐ καταδέχονται εἶναι Ἰουλίου, οὐδὲ γὰρ εὑρίσκεται ἐν ταῖς βίβλοις τῶν ἀρχαίων τι τοιόνδε τοῦ ἀνδρός· Ἰωάννης δὲ ὁ Σκυθοπόλεως ἐπίσκοπος φιλοπονήσας ἐν τοῖς παλαιοτάτοις Ἀπολιναρίου συγγράμμασιν, εὗρεν ἐπὶ λέξεως τὴν χρῆσιν. Ὅτι δὲ Ἀπολιναρίου ἐστὶ, δηλοῖ καὶ τὸ ἐπαγόμενον ἐν τῷ αὐτῷ λόγῳ μετά τινα φύλλα· ἔφη γὰρ μὴ ζωοῦσθαι καὶ ὑπὸ ψυχῆς τὸ σῶμα τοῦ κυρίου, ὅπερ Ἰούλιος οὔποτε ἂν ἔφη· ἔχει δὲ οὕτως. « Οὕτω γὰρ ἔζωσε τὸ σῶμα θεότητος ἁγιασμῷ, καὶ οὐκ ἀνθρωπίνης ψυχῆς κατασκευῇ ». Ὅτι δὲ πάλαι καὶ ἄψυχον ἐδογμάτισεν Ἀπολινάριος εἶναι τὸν κύριον, εἶτα ὡς ἐκ μεταμελείας ἄνουν καὶ ἄψυχον λέγειν αὐτὸν μετέμαθε, Σωκράτης ἐν τῇ ἐκκλησιαστικῇ ἱστορίᾳ φησὶν οὕτως περὶ αὐτοῦ καὶ τῶν ἀμφ' αὐτόν. « Καὶ πρότερον μὲν ἔλεγον μὴ ἀνειληφέναι ψυχὴν ὑπὸ τοῦ Θεοῦ λόγου ἐν τῇ οἰκονομίᾳ τῆς ἐνανθρωπήσεως· εἶτα ὡς ἐκ μετανοίας ἐπιδιορθούμενοι προσέθηκαν ψυχὴν μὲν ἀνειληφέναι, νοῦν δὲ οὐκ ἔχειν, ἀλλ' εἶναι τὸν Θεὸν λόγον ἀντὶ νοῦ εἰς τὸν ἀναληφθέντα ἄνθρωπον ».

Τοῦ αὐτοῦ Ἰουλίου ἐπισκόπου Ῥώμης ἐκ τῆς πρὸς Διονύσιον ἐπιστολῆς (2).

« Μία φύσις ἐστὶν, ἐπειδὴ πρόσωπον ἕν,

(1) Sic in Leontii codice mutilus est titulus; sed idem titulus integer a me observatus fuit in alio codice vat. cum multo ampliore epistolae huius fragmento, quod in calce Leontii recitandum curabo.

(2) Edita fuit haec epistola a L. Muratorio in anecdotis graecis, qui et eandem Iulio papae, duce praesertim Leontio de sect. act. 8, prorsus abiudicavit in perdocta quam subtexuit disquisitione, et Apollinaris haeretici esse pervicit.

« οὐκ ἔχει εἰς δύο διαίρεσιν· ἐπεὶ μὴ ἰδία φύσις τὸ σῶμα, καὶ ἰδία φύσις ἡ θεότης μετὰ τὴν σάρκωσιν, ἀλλ' ὥσπερ ἄνθρωπος μία φύσις, οὕτως καὶ ὁ ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος· εἰ δὲ οὐκ ἐπιγινώσκουσι τὸ καθ' ἕνωσιν ἕν, δύνανται καὶ εἰς πολλὰ καταμερίζειν τὸν ἕνα, καὶ πολλὰς λέγειν φύσεις· ἐπειδὴ πολυειδὲς τὸ σῶμα ἐξ ὀστέων καὶ νεύρων καὶ φλεβῶν καὶ σαρκῶν καὶ δέρματος καὶ ὀνύχων καὶ τριχῶν καὶ αἵματος καὶ πνεύματος, ἅπερ πάντα διαφορὰν μὲν ἔχει πρὸς ἄλληλα, μία δὲ φύσις ἐστίν· ὥστε καὶ ἡ τῆς θεότητος ἀλήθεια μετὰ τοῦ σώματος ἕν ἐστι, καὶ εἰς δύο φύσεις οὐ μερίζεται ». Καὶ μετὰ βραχέα. « Ἀνάγκη γὰρ αὐτοὺς δύο λέγοντας φύσεις, τὴν μὲν μίαν προσκυνεῖν, τὴν δὲ ἑτέραν μὴ προσκυνεῖν· εἰς μὲν τὴν θεϊκὴν βαπτίζεσθαι, εἰς δὲ τὴν ἀνθρωπίνην μὴ βαπτίζεσθαι. Εἰ δὲ εἰς τὸν θάνατον τοῦ κυρίου βαπτιζόμεθα, μίαν ὁμολογοῦμεν φύσιν τῆς ἀπαθοῦς θεότητος καὶ τῆς παθητῆς σαρκός, ἵνα οὕτως εἰς θεὸν ᾖ τὸ βάπτισμα ἡμῶν καὶ εἰς τὸν θάνατον τοῦ κυρίου τελούμενον ». Καὶ μετ' ὀλίγα πάλιν. « Μὴ οὖν τοῖς διατέμνουσι πρόφασιν δότωσαν οἱ δύο λέγοντες φύσεις· οὔτε γὰρ τὸ σῶμα καθ' ἑαυτὸ φύσις, μὴ δὲ ζωοποιὸν καθ' ἑαυτό, μὴ δὲ διατέμνεσθαι δυνάμενον, ἄνευ τοῦ ζωοποιοῦ· οὔτε ὁ λόγος καθ' ἑαυτὸν εἰς ἰδίαν μερίζεται φύσιν ἣν ἔχει κατὰ τὸ ἄσαρκον· ἐπειδὴ ἐν σαρκὶ κύριος, καὶ ἄσαρκος ἐπιδήμησε τῷ κόσμῳ· οὔτε τὸ κτιστὸν σῶμα ζῇ χωρὶς τῆς ἀκτίστου θεότητος, ἵνα χωρίζῃ τις φύσιν κτιστήν· οὔτε μὴν ὁ ἄκτιστος λόγος ἐπεδήμησε χωρὶς σώματος, ἵνα μερίζῃ τις ἀκτίστου φύσιν· εἰ δὲ ἑκάτερόν ἐστι κατὰ τὴν ἕνωσιν καὶ τὴν σύνοδον καὶ τὴν σύνθεσιν τὴν ἀνθρωποειδῆ, ἓν καὶ τὸ ὄνομα τῷ συνθέτῳ προσαρμόζεται· ἀπὸ μὲν τῆς θεότητος τὸ ἄκτιστον, ἀπὸ δὲ τοῦ σώματος τὸ κτιστόν· ἀπὸ μὲν τῆς θεότητος τὸ ἀπαθές, ἀπὸ δὲ τοῦ σώματος τὸ παθητόν. Καὶ ὥσπερ ἀκούοντες τοῦ Παύλου τὸν Χριστὸν παθητόν, οὔτε μερικῶς ἠκούσαμεν, οὔτε τὴν θεότητα παθητὴν ἐνομίσαμεν, οὕτως καὶ τὸ κτιστὸν καὶ δοῦλον, οὔτε μερικῶς λέγεται, οὔτε τὴν θεότητα ποιεῖ κτιστὴν οὔτε δούλην ».

Ταύτην τὴν χρῆσιν εἴ γε προσεχόντως ἐπισκέπτοιεν οἱ ἐντυγχάνοντες, οὔτε διαβολῆς οἰόμεθα χρῄζειν εἰς ψευδεπίγραφον, οὔτε ἀνατροπῆς εἰς τὸ ἀνίσχυρον· ὅτι μὲν γὰρ πρόσφατος ἡ ταύτης σκαιωρία, συνίδοι τις ῥᾷστα, τῷ μὴ δὲ Διοσκόρῳ μὴ δὲ Σεβήρῳ μὴ δὲ τοῖς παλαιοτέροις τῆσδε τῆς ἀσεβείας αἱρεσιάρχαις παράγεσθαι· δῆλον γὰρ ὅτι ἢ διὰ τὴν διαβολὴν τοῦ εἰπόντος, ἢ τὴν ὑπερβολὴν τοῦ ἀσεβήματος, καὶ ἐκείνοις τοῖς λίαν προσκειμένοις τῷ δόγματι, παρώφθη· πάντα τὰ Ἰουλίου καὶ τῶν λοιπῶν πατέρων μυριάκις σπουδαίως περιεργασαμένων, ἵνα τι πρὸς συνηγορίαν τοῦ οἰκείου φρονήματος ἀναλέξωνται. Ἄλλως τε τῷ γε ψιλῶς πως τοῖς Ἀπολιναρίου ἐντυγχάνοντι πρεσβυτέροις συγγράμμασι περὶ τῆς οἰκονομίας, οὐδ' ἀμφιβολίας τι ἄξιον δόξει τὸ γνήσιον αὐτοῦ τῆσδε τῆς χρήσεως· ἄνω τε γὰρ καὶ κάτω τὰ δύο μέρη τοῦ αὐτοῦ Χριστοῦ, σῶμα μόνον καὶ θεότητα φησί, σάρκα τὴν ὡς σῶμα, οὐ μὴν ὡς ἀνθρωπότητα λαμβανομένην καὶ λόγον· ἀνθρωποειδῆ δὲ τὴν Χριστοῦ ἕνωσιν καλεῖ· ὅπερ ἦν ἀναιδέστατον ἐκείνου δόγμα λέγοντος, πάλαι μὲν ἀντὶ ψυχῆς σώματι ἀνθρωπείῳ ἡρμόσθαι τὴν θεότητα καὶ μίαν φύσιν ἀπαρτίσαι ἄψυχον θείαν τὸν Χριστόν, ὕστερον δὲ ὑφέντος πως τῇ ἀσεβείᾳ ἀντὶ τοῦ ψυχικοῦ εἶναι τὴν θεότητα ἐν Χριστῷ μετὰ τοῦ λόγου τῆς ψυχῆς μέρους δογματίζοντος· ἀλλ' οὕτω μὲν εὐθώρατος ἡ κατὰ τοῦ πατρὸς διὰ τῆς ἐπιχαροῦς συκοφαντία· ἡ δὲ κατὰ τοῦ κυρίου βλασφημία ἴση ἐστὶν ἐν τοῖσδε τοῖς μυσώδεσιν· ἐξεταστέον λοιπὸν τὰ πλεῖστα ἐν αὐτοῖς ἀλόγιστα καθ' ἓν βασανίζοντας.

« Μία φύσις ἐστί », φασί, « ἐπειδὴ πρόσωπον ἕν ». Ἆρα οὖν ὅπου πλείονα πρόσωπα, πάντως καὶ φύσεις πλείους· καὶ μὴν τρία τὰ θεῖα πρόσωπα, φύσις δὲ μία· οἷς ἔμπαλιν ἔχει ὁ τῆς οἰκονομίας λόγος ἤ φησιν ὁ θεολόγος Γρηγόριος. Ἔτι μὴν ἐπεὶ καὶ τοῦ μύδρου

ὑπόστασις μία, εἴτουν πρόσωπον, μία καὶ τῆς ἐν ἀμφὶ πυρὸς καὶ σιδήρου φύσις ἐστὶν ἡ παρὰ τῆς κοινῆς ἐννοίας δοξάζομεν τάδε. Εἶτα φησὶ « οὐκ ἔχων εἰς δύο διαίρεσιν, ἐπεὶ μὴ ἰδία » φύσις ἡ θεότης κατὰ τὴν σάρκωσιν ». Τὸ οὖν ἰδία τοῦτο φησίν· εἰ μὲν κατὰ τόπον, ὄντως οὐκ ἔστιν ἰδίᾳ θάτερον ἀπὸ θατέρου· οὐκ ἔστι γὰρ αὐταῖς τοπικὸς διορισμὸς, ὅτι ἐν τῷ ἀνθρωπίνῳ τοῦ Χριστοῦ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς· εἰ δὲ κατὰ λόγον, οὐκ ἔστιν ἑκατέρα ἰδιάζουσα φύσις ἐκ θατέρας· τοῦτο γὰρ ἐπαφήνεζε διὰ τῶν μετὰ βραχὺ λόγων μίαν ὁμολογοῦμεν φύσιν τῆς ἀπαθοῦς θεότητος καὶ τῆς παθητῆς σαρκός· καὶ οὔτε ἡ ἀπάθεια τοῦ λόγου, οὔτε τὸ πάθος τῆς σαρκὸς ἴδιον, δῆλον πᾶσιν ὡς καὶ ὁ λόγος αὐτῆς εἰς ἴδιον λόγον ἔπαθε, καὶ ἡ σὰρξ ἰδίῳ λόγῳ οὐκ ἔπαθεν· ἐζωοποιεῖτό τε οὐ μόνον ὁ λόγος τὸν σῶμα, ἀλλὰ καὶ ἡ σὰρξ τὸν λόγον, εἴπουν ἡ ἀνθρωπότης, ἢ ὡς οὗτος λέγει, τὸ σῶμα τὴν θεότητα· ὧν τίς βλασφημίας ὑπέρτερος λόγος;

Ἀλλὰ τὸν περὶ τῆς ἀσεβοῦς διανοίας συμβαίνοντα σάλον ἐξ ἀδρανείας τοῦ ψεύδους, καὶ διὰ τῶν ἑξῆς σκοπητέον. « Οὔτε γὰρ τὸ σῶμα » καθ' ἑαυτὸ φύσις φησὶ, μὴ δὲ ζωοποιὸν » καθ' ἑαυτὸ, μὴ δὲ διατέμνεσθαι δυνάμενον ». Ἆρα γοῦν ὥσπερ οὐκ ἔχει τὸ ζωοποιὸν ἐκ τοῦ ἰδίου λόγου, οὕτως οὐδὲ τὸ διατέμνεσθαι ἔχει ἐκ τοῦ ἰδίου λόγου τὸ σῶμα· ἢ ἐκ μὲν τοῦ λόγου τῆς ἰδίας φύσεως θάτερον ἔχει, ἅτερον δὲ οὐκ ἐκ δὲ τῆς πρὸς ζωοποιὸν καὶ ἀδιάτμητον φύσει ὂν ἑνώσεως, ἀμφότερα ἔλαβεν· ἄλλως δὲ, εἰ μὴ ἔχει τὰ ἴδια, καὶ ἀπεδείξατο ἐνεργείᾳ ἡ φύσις τοῦ σώματος τὸ διατμητὸν αὐτῆς ἐν Χριστῷ, οὔτε τῆς σαρκὸς οὔσης διατμητῆς, τίς περιετμήθη; τίς δὲ ἥλοις κατεπερονήθη; τίς δὲ λόγχῃ διῃρέθη; πλὴν εἰ μὴ φαντασία τίς καὶ σκιᾶς τύπος.

Τὸ δὲ ἐπαγόμενον ὅσης γέμει τῆς ἀνοίας προσεκτέον· φησὶ γάρ. « Οὔτε ὁ λόγος εἰς ἰδίαν » μερίζεται φύσιν ἣν ἔχει κατὰ τὸ ἄσαρκον ». Ἔχει οὖν, ὦ σοφοὶ, κατὰ τὸ ἄσαρκον ἰδίαν φύσιν ὁ λόγος ὅτε καὶ ἐπιδημήσας ἐν σαρκί· καὶ πῶς τῶν ἡμετέρων οὐκ ἐπαίοντο; τί τὰ ἡμῶν προσερωτῶσιν ὑμᾶς ἀποκριθήσεσθε; ἆρα γὰρ καὶ ὁ κυριακὸς ἄνθρωπος ἔχει ἰδίαν φύσιν κατὰ τὸ σαρκικὸν, εἰ καὶ ἐνθέως ἐπεδήμησεν, ἢ τοῦ λόγου μόνου σώζεται ἡ φύσις ἡ ἄσαρκος; διάστασις δὲ ἦν ἡ φανέρωσις τῆς σαρκὸς τοῦ κυρίου; εἰ γὰρ ἀληθείᾳ ἦν δύο φύσεις, ἑκατέρα τῶνδε συνάγουσιν εἰς μίαν κοινὴν ὑπόστασιν συνημμένας τὴν αὐτοῦ. Ἀλλ' ἐπὶ τούτοις τί φησιν; « εἰ δὲ » ἓν ἑκάτερον ἐστὶ κατὰ τὴν σύνοδον »· ὦ ἄνθρωπε, εἰ ἓν, πῶς ἑκάτερον; εἰ δὲ ἑκάτερον, πῶς ἓν κατὰ τὸ αὐτὸ ἔσται; οὐκοῦν σαφὲς ὅτι ἓν μὲν κατὰ τὸ πρόσωπον, ἑκάτερον δὲ κατὰ τὰς φύσεις ἐστίν. Οὐχὶ, φησίν, ἀλλὰ κατὰ τὴν ἀνθρωποειδῆ σύνθεσιν τί οὖν; σωζομένης φύσεως ψυχῆς καὶ σώματος, ἔτι μὴ καὶ ἑτέραν φύσιν εἶ τὸν ἄνθρωπον παρὰ τάσδε, ἢ οὐχί; εἰ μὲν οὖν οὐχὶ, οὐδὲ ἐπὶ τῆς κυρίας σωζομένης θεότητος καὶ ἀνθρωπότητος, φύσις ἐπ' αὐτοῦ ἡ καθολικωτέρα μία· εἰ δὲ σωζομένων τούτων, οἰόμεθα ἐπηγμένεσθαι καὶ τὴν κοινοτέραν τῆς ἀνθρώπου φύσιν παρὰ ταύτας ἑτέραν οὖσαν, τίς ἂν εἴη καὶ ἡ ἐπὶ Χριστοῦ ἡ ἐπηγμένη φύσις, ἢ οὔτε θεία οὔτε ἀνθρωπίνη ἐστί; καὶ τί τὸ φυσικὸν τοῦτο εἶδος τὸ ὑπέρθεον, εἴπατε· ἀλλ' οὕτως μὲν τάδε.

Ἐν δὲ τῷ συνθέτῳ ὄνομα τὸ ποῖον φατὸ προσαρμόζεσθε; εἰ μὲν τὸ ὑποστατικὸν, ἀναντίῤῥητος ὁ λόγος· εἰ δὲ φυσικὸν, τίς αὐτοῦ ἡ ὑποκειμένη φύσις, καὶ διὰ τοῦδε προσαγορευομένη; εἰ μὲν γὰρ ἑτέρα παρά τε τὴν θεότητα καὶ ἀνθρωπότητα, ποία ἂν εἴη; εἰ δὲ ἡ τῆς θεότητος, οὐ τοῦ συνθέτου ἰδίως ἡ ὀνομασία ὡς συνθέτου· καὶ πρὸ γὰρ τῆς συνθέσεως ἦν ἥ τε φύσις καὶ τὸ ὄνομα· εἰ δὲ τῆς ἀνθρωπότητος, καὶ οὕτως οὐ τοῦ συνθέτου ἡ προσηγορία· καὶ πρὸ γὰρ τῆς ἑνώσεως τῆσδε ἦν ἥ τε φύσις καὶ ἡ κλῆσις αὕτη ὡμολογημένως πᾶσιν. Ἀλλ' ἵνα πάντα παρίδωμεν, πῶς ἓν ὄνομα φυσικὸν δεῖν εἰδέναι κατὰ τοῦ συνθέτου λέγοντες ὅλου, δύο τὰ καὶ ἐναντία αὐτοῦ καταφάσκετε, κτιστόν τε καὶ ἄκτιστον αὐτὸ λέγοντες; καὶ τό γε λίαν παραδοξότερον, ὅτι ἀπὸ μὲν τῆς θεότητος, μόνον τε

ἄκτιστον καὶ ἀπαθὲς φάσκοντες τὴν αὐτοῦ, ἀπὸ δὲ τοῦ σώματος τὸ κτιστὸν καὶ παθητὸν, οὔτε μερικῶς ἀκούειν οὔτε λέγειν ταῦτα ἐπὶ Χριστοῦ εἰρήκατε, ἀλλ' ἐκ τοῦ ὅλου Χριστοῦ; Συγχωρήσαντος δὲ ὑμῖν ὡς ἂν καὶ βούλεσθε φιλολογεῖν, ἐπαγάγοιμεν τοὺς παρ' ὑμῶν ἀναγκαίως, ὡς εἴπερ ὁμοτίμως περὶ ἑκατέρων τῶν ἐν Χριστῷ τὰ ἐναντία δοξάζετε, καὶ τὰ ὅλου κατὰ φύσιν ἐστὶ τοῦδε Χριστοῦ, ἢ ἂν ἐκ θατέρας τῶν ἐν αὐτῷ φύσεων λέγεται κατὰ τῆς ὅλης ὑποστάσεως αὐτοῦ, ἄρα γε ὥσπερ ἀληθῶς παθητὴ καὶ κτιστὴ ἡ σάρξ αὐτοῦ, οὕτως γε καὶ ἡ θεότης αὐτοῦ· καὶ ὥσπερ ἀπαθὴς καὶ ἄκτιστος ἡ θεότης αὐτοῦ, οὕτως γε καὶ ἡ σάρξ· ἃ πρὸς τῷ βλασφήμῳ ἔχει καὶ τὸ ἀδύνατον σαφῶς· οὐ γὰρ ἐστὶν ἐν ταυτῷ καὶ κατὰ τὸ αὐτὸ καὶ ὡσαύτως πάντα τὰ ἐναντία, πώποτέ τινος καταφάσκειν.

Τοῦ αὐτοῦ Ἰουλίου
ἐκ τοῦ περὶ τῆς ἐν Χριστῷ ἑνώσεως.

« Ὁμολόγηται δὲ ἐν αὐτῷ τὸ μὲν εἶναι » κτιστὸν ἐν ἑνότητι τοῦ ἀκτίστου, φύσεως μιᾶς » ἐξ ἑκατέρου μέρους συνισταμένης, μερικὴν ἐνέρ» γειαν καὶ τοῦ λόγου συντελέσαντος εἰς τὸ ὅλον, » μετὰ τῆς θεϊκῆς τελειότητος, ὅπερ ἐπὶ τοῦ κοι» νοῦ ἀνθρώπου ἐκ δύο μερῶν ἀτελῶν γίνε» ται, μίαν φύσιν πληρούντων καὶ ἑνὶ ὀνόματι » δηλουμένων ». Σαφὲς ἄρα ὡς τῆς φύσεως τοῦ οἰκείου ὅλου τῆς μιᾶς, ἤγουν τοῦ Χριστοῦ, ἡ θεϊκὴ τελειότης μέρος ἐστὶ φυσικὸν καὶ ἐλάττων ἐστὶ φύσις, καὶ οὐ μόνον γυμνὴ σαρκὸς κρίνοιτο τοῦ λόγου πρὸς Χριστόν· ὅπερ εἰ ὁ Ἰούλιος ἔθος, οὕτως ὁ βουλόμενος σκοπείτω.

Γρηγορίου τοῦ Θαυματουργοῦ, ὥς φασιν,
ἐν τῇ κατὰ μέρος πίστει.

Τὸ δοξάζειν δύο φύσεις τὸν ἕνα Χριστὸν, τετράδα τὴν ἁγίαν τριάδα ποιεῖ, φασί· ἔφη γὰρ οὕτως. « Καὶ ἔστι θεὸς ἀληθινὸς ὁ ἄσαρ» κος ἐν σαρκὶ φανερωθεὶς τέλειος τῇ ἀληθι» νῇ καὶ θείᾳ τελειότητι, οὐ δύο φύσεις, οὐδὲ » τέσσαρας προσκυνεῖν λέγομεν, θεὸν, καὶ υἱὸν » θεοῦ, καὶ ἄνθρωπον, καὶ πνεῦμα ἅγιον ». Πρῶτον μὲν ἀγνοεῖται καὶ ἀμφιβάλλεται λίαν ὁ χρῆσις καὶ ἀεί· ὅμως μέντοι μὴ δύο πρόσωπα ἐπὶ Χριστοῦ λέγειν φησὶ, ἵνα μὴ ὁμολογοῦντες αὐτὸν θεὸν καὶ ἐν τελείᾳ θεότητι, δύο δὲ αὐτοῦ πρόσωπα, τετράδα παριστῶμεν τῶν θείων προσώπων, θεοῦ τοῦ πατρὸς ἓν, καὶ υἱοῦ θεοῦ ἓν, καὶ ἀνθρώπου ἓν, καὶ πνεύματος ἁγίου ἓν, ἀριθμοῦντες· ἀλλ' οὐδὲ δύο φύσεις θείας μέντοι εἰδέναι αὐτοῦ φησὶ, ἀλλ' ἐν μιᾷ φυσικῇ θείᾳ τελειότητι, τέλειον αὐτὸν θεὸν ὁμολογεῖν, καὶ οὐκ ἐν δύο· ὅτι γὰρ ἀτρέπτως ἐσαρκώθη καὶ ἀδιπλασιάστως τὴν θεότητα ἔχει, βούλεται δεῖξαι· ὁ γοῦν αὐτὸς πρὸ βραχέος φησί. « Καὶ » τῶν περὶ σάρκα παθῶν γινομένων, τὴν ἀ» πάθειαν ἡ δύναμις εἶχε τὴν ἑαυτῆς· ἀσε» βὴς οὖν ὁ τὸ πάθος ἀνάγων εἰς τὴν δύν» αμιν· ὁ γὰρ τῆς δόξης κύριος ἐν ἀνθρωπίνῳ » σχήματι πέφηνε, τὴν ἀνθρωπίνην οἰκονο» μίαν ἀναδεξάμενος ».

Γρηγορίου τοῦ [Νύσσης] ἐκ τοῦ κατὰ
ἀπολιναριστῶν.

« Κατηγοροῦσιν ἡμῶν ὡς δύο φύσεις εἰσα» γόντων, ἀπηρτημένας ἢ μαχομένας, καὶ με» ριζόντων τὴν ὑπερφυᾶ καὶ θαυμασίαν ἕνωσιν ». Ἀλλ', ὦ οὗτοι, σαφὲς ὅτι τὴν ἀπάρτησιν καὶ μάχην λέγειν ἐπὶ τῶν φύσεων, οὐ συνέθεντο· τόδε γὰρ μερίζει τὴν θαυμαστὴν ἕνωσιν· ἐπεὶ ἰδεῖ λέγειν μόνον οὕτως, ὡς δύο φύσεις εἰσαγόντων, καὶ μεριζόντων τὴν ὑπερφυᾶ ἕνωσιν.

Κυρίλλου
ἐκ τῆς πρὸς Σούκενσον ἐπιστολῆς.

« Πλὴν τῆς ἑνώσεως ὁμολογημένης, οὐκέτι » διΐστανται ἀλλήλων τὰ ἑνωθέντα, ἀλλ' εἷς » λοιπὸν υἱὸς, μία φύσις αὐτοῦ ὡς σαρκωθέν» τος ». Νῦν δῆλόν ἐστι παντὶ τῷ σοφῶς ἅμα καὶ εὐσεβῶς ἐννοήσαντι ὅτι μίαν φύσιν υἱοῦ φησὶν, ὡς φύσει υἱοῦ· οὐ γάρ ἐστι καὶ χάριτι υἱὸς ὁ ἅπαξ τὸν τῆς φύσει υἱοῦ φύσιν ἔχων, εἰ καὶ τὴν σαρκὸς φύσιν προσελάβετο, μηδέποτε αὐτοῦ ἀποδιαστᾶσαν, ἵνα καὶ τῆς κατὰ χάριν υἱοθεσίας δέοιτο, τῆς κατὰ φύσιν οὐκ ἐξῃρημένη· ἀεὶ γὰρ ἐξ οὗπερ ἐστὶ τῇ φύσει υἱῷ μία οὐσία, ἡνωμένη ἐστὶ καὶ τῇ τῆς φυσικῆς υἱότητος ἀξίᾳ· συντετιμημένη οὖν δοξάζεται καὶ συμπροσκυνεῖται.

Μηδὲν δὲ ἀθεράπευτον καταλιπεῖν ὡς οἷόν τε σπουδάζοντες αὐτοῖς τῶν τῆς πρὸς ὑμᾶς φιλεχθρίας προφασισμάτων, καὶ τὰς ἐν παραβάσει τοῦ λόγου εἰωθυίας αὐτοῖς προσφέρεσθαι μέμψεις καθ' ὑμῶν παραγαγόντες, ἐνταυθοῖ που τὸν ἔλεγχον τῶν κατὰ τῆς ἐκκλησίας ψευδῶς ἀποτερματίσωμεν· ἐπεὶ γὰρ μήτε ἀποδεικτικοῖς ἐπιχειρήμασι παραστῆσαι, μήτε γραφικοῖς ἢ πατρικοῖς μαρτυρήμασι βεβαιῶσαι τὰ οἰκεῖα φρονήματα δεδύνηνται, ἐν ἐσχατολογίᾳ τῶν αἰτιῶν τῆς ἀφ' ὑμῶν ἐκφοιτήσεως, φασὶν ὅτι· Ἕως κἂν τοιάδε ὑμεῖς εὐσεβοφανῶς νῦν δογματίζετε, οὐ συνεκκλησιαζόμεθα ὑμῖν· δέχεσθε γὰρ καὶ σέβετε τὴν ἐν Χαλκηδόνι σύνοδον καὶ Λέοντα τὸν πατριάρχην Ῥώμης, οἵ, καθ' ἅ φησιν αὐτοῖς ὁ λέγων τινὰ ἑαυτὸν τῶν διδάσκαλον αὐτῶν, ὁ ἀπὸ πατριαρχῶν Ἀντιοχείας Σεβῆρος, πρόφασιν μὲν ἔσχον τῆς ἐπὶ τὸ αὐτὸ συνελεύσεως τὴν Εὐτυχοῦς καθαίρεσιν, σπούδασμα δὲ ἦσαν Νεστορίου. Αὐτὰ γοῦν οἱ λέγοντες, πῶς οὐ τολμηταὶ καὶ αὐθάδεις εἶεν; δόξας γὰρ οὐ τρέμουσι βλασφημοῦντες, οἳ λόγον μὲν δώσουσι τῷ ἑτοίμως ἔχοντι κρῖναι ζῶντας καὶ νεκρούς, ὃς καὶ ἀποδώσει ἑκάστῳ κατὰ τὸ ἔργον αὐτοῦ, καὶ ἀποκαλύψει τὰς βουλὰς τῶν καρδιῶν· δείξομεν δὲ καὶ ἡμεῖς σὺν Θεῷ τῇ ἀληθείᾳ πᾶσι τοῖς ἀκροαταῖς τῶνδε, ὡς καὶ ἐρισταῖς ἀπολογούμενοι, ὅτι χείλη δόλια ἐν καρδίᾳ αὐτοῖς, καὶ ἐκ καρδίας ἐλάλησαν κακά, θυμὸς αὐτοῖς κατὰ τὴν ὁμοίωσιν τοῦ ὄφεως, φθονερὸς καὶ μισάνθρωπος, οὐ θεόζηλος.

Οἱ γὰρ τούς τε ἀναθεματίσαντας Νεστόριον, ἤγουν τὴν ἐν Ἐφέσῳ σύνοδον, τιμώμενοι, καὶ τὰ κατὰ Νεστορίου γεγραμμένα τῷ ὁσιωτάτῳ Κυρίλλῳ, καὶ τὰς κατὰ τοῦδε φωνὰς πάσας ὁμολογοῦντες, καὶ ὡς μῦσός τι αὐτοῦ πανταχόσε μνημονεύοντες, καὶ πρό γε πάντων τῶν ὑπευθύνων τῇ ἀσεβείᾳ καὶ μετὰ πάντας τοῦτον ἀναθεματίζοντες, καὶ τοὺς τὰ αὐτοῦ φρονοῦντας, πόθεν εὐλόγως ὡς Νεστορίῳ συσπουδάζοντες διεβλήθησαν; Ναὶ ἦσάν τινες, φασί, ἐν τῇ συνόδῳ οἳ ἐφωράθησαν Νεστορίῳ πάλαι προσκείμενοι. Ἵνα οὖν καὶ κατὰ συνδρομὴν τοῦτο δῶμεν αὐτοῖς, τὸ γὰρ εὐκαθαίρετον τοῦ λόγου εἰδότες εἰς μῆκος τὴν ἀπολογίαν ἐκτείνειν περιττῶς οὐ βουλόμεθα, πῶς πέντε μὲν δικαίων ἕνεκα μόνων, καὶ Σόδομα καὶ Γόμορρα ὅλα ἐσώζετο, ὧν ἡ κραυγὴ τῆς ἀνομίας καὶ ἕως τοῦ ὑψίστου ἀνέβη, ἐν δὲ τούτοις διὰ δεύτερον ἢ τρίτον τινὰ δυσσεβαιμονοῦντα, εἰ καὶ ἄρα ἀγνοοῦντας τὰ ἐν αὐτοῖς ἀσεβοῦντα, πᾶσα ἡ ὁσία πληθὺς καὶ λαὸς ὁ ἅγιος τοῦ τῶν χριστιανῶν ἱερατεύματος ὡς γνώμῃ δυσσεβοῦντες μὴ διαθρηνῆσαι τὴν ἀλήθειαν ἐγκατελείφθησαν ὑπὸ τοῦ λέγοντος Θεοῦ, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν; καὶ τοῦτο οὐκ εἰς αὐτοὺς μόνον συντεινούσης τῆς θείας παροράσεως, ἀλλὰ καὶ εἰς πᾶσαν Χριστοῦ τὴν καθ' ὅλης τῆς οἰκουμένης ἐκκλησίαν, τῶν πανδήμων καὶ παντεθνῶν λαῶν ἀφειδέστερον· ὅτι οὐδὲ προσκαίρως, ἀλλ' ἕως αἰωνίας παραδόσεως ἤμελλε τὰ τότε ψηφισθέντα φρονήματα, ὡς ὁρῶμεν σὺν Θεῷ μέχρι καὶ νῦν. Ἆρα οὖν οὐκ εἰς τὸν τῆς θείας προνοίας λόγον ἀντιβαίνειν πρῶτος ὁ τὸν τῆς πίστεως τῆς οἰκονομίας Χριστοῦ λόγον ἀθετεῖν κηρυχθῆναι τῇ οἰκουμένῃ διὰ τῶν ἁγίων συνόδων, καὶ βεβαιωθῆναι ἐν ταῖς ἑξῆς γενεαῖς λογιζόμενος;

Εἰ δὲ μηδὲ ἐκ τοῦ τῆς θείας προνοίας λόγου μὴ εὐπαραδέκτως ἔχετε πρὸς τὴν ἁγίαν σύνοδον, ἀλλ' ἔτι ὑποπτεύετε ἐκ τῆς παλαιᾶς προλήψεως τινὰς ἰδικῶς τῶν ἐν αὐτῇ ὑπούλως ἔχειν, καὶ τότε τὴν Νεστορίου κακοδοξίαν, εἰ καὶ τοῖς λεγομένοις ὑπὸ τοῦ κοινοῦ συναπήγοντο, σκοπήσωμεν καὶ οὕτως, τίς δικαία κατάκρισις ἐκ τοῦδε τῆς συνόδου; εἴπατε γάρ, εἰ ἀδύνατον ἦν τινας πάλαι οὐκ εὖ φρονοῦντας ἐν τοῖς ἑξῆς χρόνοις μεταμαθεῖν τὴν εὐσέβειαν καὶ ὀρθοδοξῆσαι· αὐτὸ γὰρ δὴ τοῦτο ὑπ' αὐτῶν πραχθέν, τουτέστι βοᾷ, ἤγουν τὸ κατ' ἐκεῖνο καιροῦ ἀκραιφνῶς εὐσεβεῖν, εἰ καὶ μὴ πρώην, ἐγγράφως ἀναθεματισάντων τὰ Νεστορίου φρονήματα· τόδε γὰρ οὐ τῶν ἐνδεχομένων ἐστίν; ὥσπερ γοῦν οὐδὲ ἱερέας πάλιν τινὰς τῶν ἐν τῇ συνόδῳ, ἀδυνατεῖν δεῖ κατ' ἐκεῖνο καιροῦ εὐ-

Digitized by Google

σεβοῦντας, ὕστερον μετέπεσον εἰς ἀσέβειαν· ἢ οὐχὶ καὶ Παῦλος ὁ πρὶν διώκτης, ὕστερον εὐηγγελίζετο τὴν πίστιν ἥν πάλαι ἐπόρθει; Ἰούδας δὲ ὁ πρώην σὺν τοῖς ια εὐαγγελιζόμενος τὸν κύριον, ὅτε ἀνὰ δύο ἀπεστάλησαν ὑπ' αὐτοῦ, ὕστερον καὶ ἐπεβούλευσεν αὐτῷ. Ἄλλως δὲ εἰ κατὰ τὸν τῆς συνόδου καιρὸν αὐτὸν κακόφρονες ἦσαν τινὲς ἐν αὐτοῖς, ὅμως ἐπεὶ τοῖς καλῶς πραττομένοις καὶ λεγομένοις συνετίθεντο, τίς ἡ μέμψις ἐκ τούτου καὶ τῇ συνόδῳ; μόνου γὰρ ἐστὶ Θεοῦ τὸ καρδίας καὶ νεφροὺς ἐτάζειν ἔξεσται.

Ἀλλ' εἰ ὅλως μέρος ἔσχε ψεκτόν, τὸ ὅλον φασὶ λοιπὸν ἀδόκιμον κρίνεται. Καὶ πᾶσαν τὴν ἅλω ἄρα διὰ τὸ ἐν ζιζάνιον, καὶ τὸν ὅλον χορὸν τῶν ἀποστόλων διαβλητέον διὰ τὸν εἰς τούσδε τὸν Ἰούδα συγκαταριθμούμενον· ὅτι μὲν εἰ ἐκ τοῦ μέρους τὸ ὅλον κρίνειν δεῖ, ἐπεὶ πολλοὶ καὶ τῶν ἐκ τῆς ἐν Ἐφέσῳ συνόδου ἦσαν ἐν τῇδε τῇ Χαλκηδόνος συνόδῳ, δῆλον ὅτι ὡς ἐκ τῶνδε μᾶλλον τὸν κατὰ Νεστορίου σκοπὸν ἐστὶ καὶ τῆσδε στοχάζεσθαι εὔλογον· ἢ ἀγνοεῖτε ὅτι καὶ τῶν ἐν Νικαίᾳ τιη περὶ τοὺς δέκα καὶ ἑπτὰ φόβῳ τῆς καθαιρέσεως ὑπέγραψαν κατὰ Ἀρείου; οἳ καὶ ἐπολέμησαν δεινῶς μετὰ ταῦτα τὸν μέγαν Ἀθανάσιον; καὶ οὐ παρὰ τοῦτο ἡ σύνοδος ὅλη διαβάλλεται· εἰ δὲ ἐκ τοῦ μὲν σαφοῦς μέρους οὐκ ἰσχύετε συνιδεῖν τὴν τοῦ ὅλου ἀγαθότητα, ἐκ δὲ τοῦ ἀμφιβόλου διαβάλλειν πειράζετε, ἆρά γε ἐκ μέρους διαβληθείσης ὑμῖν τῆσδε τῆς ἁγίας συνόδου, τῆς ὁλότητος πάσης συνδιαβεβλημένης τῷ ὅλῳ καὶ τῶν ἐκ τῆς ἐν Ἐφέσῳ εὑρεθέντων ἐν αὐτῇ οἳ ἦσαν μέρος ἐκείνης, κἀκείνην ἀνάγκη τὴν ὁλότητα ἐκ τοῦ ληφθέντος αὐτῆς μέρους μεμπτοῦ, ὡς σπούδασμα Νεστορίου συνδιαβάλλεσθαι· καὶ ἐκ τοῦ ὑπολείμματος τῶν δέκα καὶ ἑπτὰ ὡς σπούδασμα Ἀρείου τὴν ἐν Νικαίᾳ ἀθετεῖσθαι δέον. Ἵνα δὲ μὴ ἀγνοῆτε τῆς ἀθέσμου λοιδορίας ὑμῶν τὴν προπέτειαν, μνημονεύσατε ὅτι καὶ Συμεὼν ὁ ἅγιος ἐν οἴκοις τὴν ἰδίαν ὑμῶν σταλάσας ἀρετήν, εἷς ἦν τῶν ὑπογραψάντων ἐν τῷ ὅρῳ τῆσδε τῆς συνόδου, οἷς ἐν ἐγκωμιαστικοὺς λόγους καὶ ὕμνους ἐνθουσιαστικοὺς καὶ ὁ ὑμέτερος ἔφη πατριάρχης Σεβῆρος αὐτός, καὶ Βαραδάτης δὲ καὶ Ἰάκωβος οἱ θαυματουργοὶ συνυπέγραψαν.

Ἀλλὰ τί ταῦτα ῥητορικῆς ὄντα πιθανολογίας δεινώματα τοῖς πρὸς κατάληψιν εὐσεβείας ἐναγωνίως σπεύδουσιν ἐμποδὼν ῥίπτετε τὰ σκάνδαλα, καὶ τοὺς θέλοντας τρέχειν καλῶς, ἐγκόπτετε τῇ ἀληθείᾳ μὴ πείθεσθαι; ὡς ἂν γοῦν ἐνώπιόν τε Θεοῦ καὶ ἀνθρώπων παραστήσωμεν οὐκ ἐν λόγῳ ὄντα τὸν ὑμέτερον ἀπικελευσιασμόν, ἰδοὺ πάντα παραδραμόντες ἔλεγχον τῶν προφασισμάτων, προτείνομεν ὑμῖν, ὡς εἰ τὰ προβασανισθέντα ἡμῖν ὀρθὰ δόγματα συνομολογήσοιτε, μίαν τὴν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην λέγοντες, καὶ δύο φύσεις ἐπὶ Χριστοῦ ἑνωμένας κατὰ μίαν αὐτοῦ τὴν ὑπόστασιν, οὐκ ἀρνούμεθά τε καὶ τὴν σύνοδον καὶ Λέοντα καὶ ἑαυτούς, ἀλλὰ καὶ ἄγγελον ἐξ οὐρανοῦ, εἰ μὴ οὕτως ἐφρόνουν καὶ ἔλεγον καὶ ἔγραφον, πρὸ ὑμῶν ἀναθεματίζομεν, Σεβῆρόν τε καὶ Διόσκορον καὶ Τιμόθεον καὶ ὑμᾶς καὶ τὸν οἱονοῦν οὕτως φρονοῦντα, εὐφημοῦμεν καὶ ἀποδεχόμεθα, μηδὲν ἕτερον ἐπιλέγοντες τούτοις, ἀλλὰ τὴν κρίσιν τῶν οὕτως φρονούντων, ἢ ἄλλως μὲν εἰρηκότων, ἑτέρως δὲ νοούντων, τῷ πάντων κριτῇ Θεῷ ἐγκαταλιμπάνοντες· εἰ δὲ πάντως κρίνειν καὶ ἡμᾶς δεῖ καὶ πληροφορεῖσθαι τίνες μὲν εὐσεβεῖς εἰσὶ πατέρες ἡμῶν καὶ ποιμένες καὶ φωστῆρες, τίνες δὲ ἀστέρες πλανῆται καὶ λησταὶ καὶ λύκοι, εἰς διαίρεσιν καὶ φθορὰν τῆς ἐκκλησίας Χριστοῦ τῷ διαβόλῳ λειτουργήσαντες, εἰκότως οὓς μὲν εὕρομεν σαφῶς ἐκ τῶν γεγραμμένων τῆς ἀληθείας ὑποφήτας, ὡς διὰ τῆς θύρας εἰσιόντας εἰς τὴν μάνδραν τοῦ Χριστοῦ, ἤγουν δι' αὐτοῦ ὅς ἐστιν ἡ ἀλήθεια, τούτους σέβομεν, τούτους ἀγαπῶμεν, τούτοις ὑπακούομεν, ἀλλοτρίῳ δὲ οὐκ ὑπακούομεν, ὅτι οὐκ οἴδαμεν τῶν ἀλλοτρίων τὴν φωνὴν τὰ ἐντὸς πρόβατα τοῦ καλοῦ ποιμένος καὶ ἀρχιποιμένος τοῦ μεγάλου Ἰησοῦ Χριστοῦ. Καὶ μήν, φασί, καὶ αὐτοὶ οἱ τῆς συνόδου πατέρες περὶ φωνάς τινας ἀλλήλοις διηνέχθησαν, καὶ ἀνέστησαν ὑπὲρ τῆς πρώτης αὐτῶν ἐκθέσεως τῆς καταργηθείσης θερμῶς· ἀλλήλοις ἂν οὗτοι

καὶ ὑπὲρ Διοσκόρου πρεσβεύοντες τῆς ὑπευθύνου· πῶς οὖν οὐχ ὕποπτοι; Πλὴν τί τοῦτο ξένον; καὶ ἐν τῇ γὰρ τῶν τιη πατέρων συνόδῳ τῇ ἐν Νικαίᾳ διενεχθέντες πρὸς ἀλλήλους, ὡς δηλοῖ Εὐσέβιος ἱστορῶν.

Ἀλλὰ καί, φασιν, ἐλέγχει τὴν σύνοδον ἑτεροδοξοῦσαν τὸ βάθος πρὸς τὰ πολλὰ τῶν εἰρημένων ὑπ' αὐτῆς, καὶ ἄλλα ὠδίνουσαν, ἄλλα δὲ ἀποτίκτουσαν, καὶ ὁ τοῦ ὅρου αὐτῆς διπλασιασμὸς καὶ ἡ ἐπ' ἀλλήλοις ψῆφος, καὶ τῶν ἰδίων ἡ μεταστροφή. Ἀλλ' ἔστι μέν, ὦ οὗτοι, ἐκ τῶν κατ' αὐτὴν πεπραγμένων εὔλογον, τήν τε ἐπανάληψιν τοῦ ὅρου, καὶ τὴν ἐπιδιόρθωσιν κατανοῆσαι σαφέστατα· ἵνα δὲ μὴ τοιαύταις δικολογίαις ἀγοραίοις καὶ ἡμεῖς ὑμῖν συνδιαπειρώμεθα, καὶ πρὸς τόδε τοῦτο φαμὲν πρῶτα μὲν ὡς οὐκ ἐκ πρώτης ἀνθρώποις πᾶσιν οὐδὲ τοῖς θεοφόροις ἡ τελεία γνῶσις εὐθύς, ἀλλ' ἔστι καὶ τοὺς ἁγίους τῶν μετὰ ἐκ μέρους τι γινώσκοντας, ὕστερον τελειοτέρως τὸ αὐτὸ ἐπιγινώσκειν· ἄλλως δὲ εἰ μὴ τὸ ὅλον πρὸς διαβολὴν μόνον ὁρῷμεν, μᾶλλον ἂν ἐκ τοῦδε προσεχής τε καὶ ἐμπειροτέρως ψηφισμένη φανεῖται, καὶ οὐδὲν κατὰ συναρπαγὴν ἢ παρόρμησιν τῆς χρείας ἐκφωνήσασα. Ἀλλὰ καὶ ἐστράφη αὐτήν, φασι, διαβλητέον· Διοσκόρῳ γὰρ ἀντιπαθῶς ἔχουσα ἐλέγχεται τῷ ἐν Ἀλεξανδρείᾳ ὄντι πάπᾳ ποτέ, ὅς τοῖς νεστοριανοῖς ἀντέκειτο ἄγαν δόγμασι· καὶ γὰρ τόνδε οὐκ ἀλόγως ἐξέβαλε τοῦ θρόνου μόνον ὡς ἐχθρῷ Νεστορίου τούτῳ μηνίσασα· ἀλλά τινες αὐτῶν τοιῶνδε συνηγοριῶν καὶ κατηγοριῶν ῥητορικαὶ παρεγχαὶ(?) καὶ διαβολαὶ Τερτύλλῳ τῷ ὑπὲρ ἰουδαίων λέγοντι κατὰ Παύλου πρὸς Φήλικα πρέπουσαι; πρὸς ὑποσύλησιν γὰρ τῶν ἀκροατῶν κριτῶν εἰσιν ἐξευρημένα τὰ τοιάδε.

Διόσκορον γὰρ ὡς Εὐτυχέα μετὰ τὸν κακόφρονα δεξάμενον μετὰ τὴν καθαίρεσιν αὐτοῦ, καὶ ἀναθεματίσαντα τὸν ὅσιον Φλαβιανὸν τὸν δικαίως αὐτὸν καθῃρηκότα, προσετρίψατο ἐλθεῖν εἰς ἀντίκρισιν τῆς κατ' αὐτοῦ ἡ σύνοδος, δευτέρως καὶ ἀλλεπάλλως ψευδῆ τι προφασιζόμενον ἐπὶ τῇ ἀναμονῇ αὐτοῦ τῇ πρὸς τὴν κλῆσιν φωραθέντα· ὕστερον δὲ καὶ ἀναιδῶν τέλεον οὐκ εἴξαντα παραγγελίαις, τοιαῦτα ἐξέβαλον. Πῶς οὖν, φασιν, αὐτὴ ἡ σύνοδος ἔφη Διόσκορον μὴ διὰ δόγμα καθελεῖν, ἀλλ' ὅτι κληθεὶς οὐχ ὑπήκουσε; Καὶ γὰρ ὄντως, ὦ οὗτοι, ἐκλήθη μὲν διὰ τὴν τοῦ κακοῦ δόγματος Εὐτυχοῦς ὑποψίαν· μὴ ὑπακούσας δέ, καὶ ἐκδοὺς εἰς βάσανον τὰ καθ' ἑαυτὸν προϋποπτεύσας καὶ ἑτέρῳ ἐγκλήματι τῷ τῆς παρακοῆς ὑπὲρ οὗ καὶ τῆς κατὰ τοὺς κανόνας μερικῆς τέτυχεν ἀμοιβῆς ἐκβεβλημένος· πλὴν οὐκ ἐν τῷδε τῆς κακοδοξίας ἠλευθέρωται· οὐ γὰρ εἴ τις ἐπὶ ἱεροσυλίᾳ ἐγκαλοῖτο, προτραπεὶς δὲ εἰς τὴν περὶ τοῦδε δίκην καὶ φυγοδικήσας, εἶτα εὐλόγως φυγοδικίαν κατακριθείς, ἤδη διὰ τῆς κυριωτέρας κατηγορίας τῆσδε περὶ τῆς ἱεροσυλίας τὴν ψῆφον ἀπηνέγκατο(?)· τείνουσι γὰρ καὶ ἐκβεβαιοῦσι τὴν προτέραν ὑποψίαν τῆς κατ' αὐτοῦ προσαγγελίας ἡ γινομένη ἀπὸ ἐγκλήσεως τῆς ὑποθέσεως. Εἰ δὲ λέγοιεν ὅτι οὐ τὸ συνειδὸς αὐτῷ αἴτιον ἦν τῆς φυγοδικίας, ἀλλ' ἡ τῶν δικαστῶν ἀντιπάθεια, ταύτην ἄρα ἐγγράφως καὶ νομίμως καὶ κανονικῶς δι' ἐλέγχου παραιτήσεως ἔδει αὐτὸν συστῆσαι, οὐ μὴν διὰ τῆς ἐλέγχων ἀποδράσεως· τοῦτο γὰρ ἀπορία παντελὴς τῆς περὶ τοῦ ἐγκλήματος ἀπολογίας γίνεται· τίνας γὰρ ἂν καὶ ἔφη λόγους παραγενόμενος ὁ βουλόμενος τῶν ὑπεραλγούντων τ' ἀνδρὸς ἐθοποιεῖτο; ὅτι μὲν γὰρ ἐδέξατο Εὐτυχέα, φανερὸν· ὅτι δὲ οὐ καλῶς ἐδέξατο ἄνδρα μίαν τὴν μόνην τὴν τοῦ Χριστοῦ φύσιν δοξάζοντα θείαν τὸ κτιστὸν καὶ οὐδὲν ἔχουσαν ἀνθρώπινον, τί ἂν ἀπελογήσατο, ὑμεῖς οὖν οἱ διοσκορῖται ἐννοήσατε.

Ναί, φασι, μετανοήσαντα γὰρ αὐτὸν ἐπὶ τούτοις ἐδέξατο, καὶ ἀληθῶς ὀρθοδοξοῦντα ὕστερον. Οἱ γοῦν τοὺς ὑπευθύνους ὑποπτευθέντας πώποτε Νεστορίῳ συμφρονεῖν τὸν ἐν τῇ συνόδῳ, μὴ μεταστῆναι τῆς δυσσεβείας πειθόμενοι, πῶς νῦν τόνδε οὐχ ἁπλῶς μόνον ὑποπτευόμενον, ἀλλὰ καὶ ἐγγράφως ὁμολογήσαντα τὴν ἀσέβειαν αὐτοῦ, καὶ καθαιρεθέντα ἐπὶ τῷδε, ὡς μὴ ἀποστάντα τῆς κακοδοξίας μεταμαθεῖν τὴν εὐσέβειαν ἐκπεριεφρύθησαν(?), οὐ-

τε παρουσίᾳ συνόδου ἢ μαρτύρων τινῶν ἀξιοπίστων, οὔτε ἐν ἐκκλησίᾳ, οὔτε ἐγγράφως ὁμολογίᾳ τινὶ τῆς πρώην αὐτὸν ἀποστῆναι κακοδοξίας ὁμολογήσαντα· ὅτι μὲν εἰ ὄντως ταῦτα ἔχει καὶ ὡς μετανοήσαντα ἐδέξατο αὐτὸν, δῆλον ὅτι ὄντως ἀσεβοῦντα πρώην αὐτὸν ἐφ' εἷς ἔσχατον πρὸς Διόσκορον μετενόησε, καθῄρει ὁ ὁσιώτατος Φλαβιανός· πῶς οὖν δεξάμενος τόνδε ὁμολογοῦντα τὴν πάλαι αὐτοῦ κακοδοξίαν, τὸν καθαιρεθέντα δικαίως πρὸ τῆς μετανοίας, Φλαβιανὸν τὸν δικαίως αὐτὸν καθῄραντα Εὐτυχῆ τοῦτο φασὶ καὶ αὐτὸς πρᾶξαι εἰς αὐτόν; ἢ οὖν οὐκ ἀληθῶς μετανοήσαντα τοῦτον ἐδέξατο, ἢ οὐκ ἀδίκως καθελόντα αὐτὸν Φλαβιανὸν, ἐκεῖνον αὐτὸς ἀδίκως ἀντικαθεῖλεν· Ἀλλὰ ναί, φασι, νεστοριανὰ πρόληψις ἦν περὶ Φλαβιανοῦ τοῦ Κωνσταντινουπόλεως ἐπισκόπου· ὅθεν καὶ ὕποπτα τὰ εἰς Εὐτυχῆ γινόμενα ὑπ' αὐτοῦ.

Καὶ τίς ἐντυγχάνων τῇ ἐκθέσει τῆς πίστεως Φλαβιανοῦ, τῷδε συμβήσεται, ὦ οὗτοι; φησὶ γάρ. « Κηρύσσομεν τὸν κύριον ἡμῶν » Ἰησοῦν Χριστὸν πρὸ αἰώνων ἐκ θεοῦ πατρὸς » ἀνάρχως γεννηθέντα κατὰ τὴν θεότητα· ἐπ' » ἐσχάτων δὲ τῶν ἡμερῶν τὸν αὐτὸν δι' ἡμᾶς καὶ » διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Μαρίας τεχ- » θέντα κατὰ τὴν ἀνθρωπότητα, θεὸν τέλειον, » καὶ ἄνθρωπον τέλειον τὸν αὐτὸν ἐν προσλή- » ψει ψυχῆς καὶ σώματος, ὁμοούσιον τῷ πα- » τρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον τῇ μη- » τρὶ τὸν αὐτὸν κατὰ τὴν ἀνθρωπότητα· καὶ » γὰρ ἐκ δύο φύσεων τὸν αὐτὸν Χριστὸν μετὰ » τὴν σάρκωσιν τὴν ἐκ τῆς ἁγίας παρθένου » καὶ ἐνανθρώπησιν, ἐν μιᾷ ὑποστάσει καὶ ἐν » ἑνὶ προσώπῳ ἕνα Χριστὸν, ἕνα υἱὸν, ἕνα κύ- » ριον, ὁμολογοῦμεν· καὶ μίαν δὲ τοῦ θεοῦ λό- » γου φύσιν σεσαρκωμένην μέντοι καὶ ἐνανθρω- » πήσασαν λέγειν οὐκ ἀρνούμεθα, διὰ τὸ ἐξ » ἀμφοῖν ἕνα καὶ τὸν αὐτὸν εἶναι κύριον ἡμῶν » Ἰησοῦν τὸν χριστόν· τοὺς δὲ δύο υἱοὺς, ἢ » δύο ὑποστάσεις, ἢ δύο πρόσωπα καταγ- » γέλλοντας, ἀλλ' οὐχ ἕνα καὶ τὸν αὐτὸν κύ- » ριον Ἰησοῦν χριστὸν τὸν υἱὸν τοῦ θεοῦ τοῦ » ζῶντος κηρύσσοντας ἀναθεματίζομεν, καὶ » ἀλλοτρίους τῆς ἐκκλησίας εἶναι κρίνομεν· καὶ » πρῶτον πάντων Νεστόριον ἀναθεματίζομεν » τὸν δυσσεβῆ, καὶ τοὺς τὰ αὐτοῦ φρονοῦντας » ἢ λέγοντας· καὶ ἐκπίπτουσιν οἱ τοιοῦτοι τῆς » υἱοθεσίας τῆς ἐπηγγελμένης τοῖς ὀρθῶς φρο- » νοῦσιν.» Οὕτω μὲν οὗτος ὁμολογεῖ ὁ ὑπὸ Διοσκόρου, ὥς φασι, ὡς νεστοριανίζων καθαιρεθείς. Εἶτα δὲ ἁπλῶς καὶ τῆς κατὰ Διόσκορον πάσης μέμψεως σιγηθείσης ἡμῖν, πᾶσα μὲν ἡ τῶν ἱερῶν καὶ ἁγίων λειτουργῶν σύνοδος ἀντιπαθῶς ἔδοξεν ἡμῖν ἐκβαλεῖν παρόντα καὶ κεκλημένον διαφόρως καὶ προδιαβεβλημένον ἐπὶ προλήψει Εὐτυχοῦς ἕνα τινὰ μόνον αὐτὸν Διόσκορον.

Σεβῆρος δὲ ὁ γενόμενος ἐν Ἀντιοχείᾳ, οὔτε ἐν χρόνοις ἢ τόποις αὐτοῦ τὴν ἐν Χαλκηδόνι σύνοδον παροῦσαν, οὔτε προστραπεῖσαν ὑπ' αὐτοῦ, οὔτε δεξαμένην Νεστόριον, ἀλλὰ καὶ ἐκβάλλουσαν αὐτὸν καὶ τὰ αὐτοῦ ἐγγράφως, δεχομένην δὲ τὴν κατ' αὐτοῦ ὀρθοδοξίαν (ἀλλ' οὐχὶ καὶ τὴν ἀντικειμένην αὐτῷ κακοδοξίαν Εὐτυχοῦς;) οὐκ ἐκβάλλεσθαι ἁπλῶς καταψηφισάμενος, ἀλλὰ καὶ ἀναθέματι κατακρίνειν αὐτοὺς ἅπαντας ἅμα ἐφ' ἓν ὁ εἷς μόνος τολμήσας, πῶς οὐκ ἔδοξεν ὑμῖν ὅλως ἐμπαθῶς ἔχειν ὁ προπετῶς πρὸς τάδε; καίτοι ἀπ' αἰῶνος μὲν τοῖς ἐξωτέροις κἂν τοῖς ἡμετέροις πάντων τῶν ἐμφρόνων τὰς τοῦ κοινοῦ κρίσεις μᾶλλον ἀποδεκτέας εἶναι κατά τινος τῶν ἰδικῶν, ἢ τὰς ἐξ ἰδικοῦ τινὸς κατὰ τοῦ περὶ αὐτὸ κοινοῦ· καὶ ὑμῖν ἄρα τὸ ὅλον τῆς ἐκκλησιαστικῆς ἱεραρχίας μέρους ἰδίου ἑνὸς ἀξιοπιστότερον ἔδει νομίζεσθαι, εἰ εὐθείας κρίνετε υἱοὶ τῶν ἀνθρώπων· τίνα γὰρ καὶ ἄλλον οἴδατε τολμήσαντά ποτε, σύνοδον ἀναθεματίζειν, καὶ οὐ τοὐναντίον πάντας τοὺς αἱρεσιάρχας ὑπὸ συνόδων ἀναθεματισθέντας; καὶ γὰρ ὄντως θαυμαστὸν, ὅπως οἱ τοῦ θεοῦ δοῦλοι τὸν τῆς τάξεως λόγον ἐφύλαξαν ἀεί· οὐ γάρ ἐστιν ἀκαταστασίας ὁ θεός· συνόδων γοῦν διαφόρων δεισιδαιμονησασῶν, κατήργηνται μὲν συνόδοις κυριωτέραις τὰ ὑπ' αὐτῶν· οὐ μέν τις τῶν θεοφόρων μόνος ἰδικῶς κατακρίνων, ἀλλ'

Digitized by Google

οὐδὲ σύνοδος ἀναθεματίσαι σύνοδον ἐτόλμησε· πόσῳ γε μᾶλλον ἀναθεματίζειν κοινόν τι βελάστης πανηγύρεως ὁ εἷς ἐνθέσμως ἀπετόλμησεν;

Ἀλλ' ἐν τούτοις πᾶσιν οὐκ ἐκπτύσαντες ὅμως ἀπὸ τῆς ψυχῆς τὸν ἐγχριφθέντα αὐτοῖς γελοιώδη τῆς ἀλόγου προλήψεως καθ' ἡμῶν ῥύπον, τί φασὶ πάλιν; ὡς καὶ πλείους τῶν χειροτονιῶν ὑμῖν διὰ χρυσίου δόσεως καὶ λήψεως εἰσὶ, καὶ ἔχουσι τὸ ἐπάρατον κατὰ τὴν τοῦ μάγου Σίμωνος πρόθεσιν· πῶς οὖν ὑμῖν συγκοινωνητέον, εἰ μὴ ἄρα κατάρας τῆς κληρονόμους τιμωρητέον ἡμῖν φασίν; — Ἆρα γοῦν ἐπεί τινὲς τῶν ἱερέων ἐφωράθησαν μοιχοὶ καὶ κλέπται, διὰ τόδε τὴν ἱερωσύνην λοιδορητέον ἐπὶ τούτοις καὶ φευκτέον; πλὴν τάδε ἡμῖν, εἰ ὡς οἱ λεγόμενοι ἁγνοὶ τῷ ἑαυτῶν ἀνεπιλήπτῳ βίῳ πεποιθότες προάγουσιν, ὡς ναυατιανοῖς ἐπικρατούμεθα λοιπὸν, καὶ οὐχ ὡς μιξοφυτίταις· εἰ δὲ οὐχὶ, ἀλλ' ἐπειδὴ ὡς φιλοχρύσοις μᾶλλον ἢ φιλοχρίστοις διαμέμφονται· καὶ τῷ μὲν δόγματι συμφωνεῖν ἡμῖν, τούτῳ δὲ μόνῳ σκανδαλίζεσθαι συγκοινωνεῖν μεθ' ἡμῶν φασί· καὶ οὕτως ἄρα φιλοφρόνως αὐτοὺς ἔδει ἐξομολογουμένοις ἡμῖν τὰς ἁμαρτίας ἡμῶν ὑπερεύχεσθαι· εὔχεσθαι γὰρ ὑπὲρ ἀλλήλων ἡμᾶς ὅπως ἰαθῶμεν ἐντετάλμεθα, καὶ οὐ φαρισαϊκῶς βδελύττεσθαι τοὺς ὁμοεθνεῖς καὶ ὁμοπίστους· πλὴν ἐν κυρίῳ θαῤῥοῦμεν ὅτι ἐγκαταλέλοιπεν ἡμῖν κύριος σπέρμα, καὶ οὐκ ἐγενήθημεν ὡς Σόδομα καὶ ὡς Γόμοῤῥα ὡμοιώθημεν.

Τί δὲ οὖν ἄρα, εἰ δείξομεν πλείστους τῶν ἱεραρχούντων εἰς ἡμᾶς οὐ νοσφιζομένους ἀπὸ σπαρτίου ἕως σφαιρωτῆρος ὑποδήματος ἐπὶ τῷδε, λέλυται αὐτῶν ὁ ζῆλος καὶ κατήργηται τὸ σκάνδαλον, καὶ προστρέχουσι τῇ ἀληθείᾳ; Εἰ οὐδὲ τόδε πάλιν ἱκανὸν ἡμῖν ἔσται εἰς ἀποθεραπείαν αὐτῶν, ἆρα δ' οὖν εἴπωμεν ἔτι, οἱ καθ' ὑμᾶς ἱερεῖς οἱ ἐνδύνοντες εἰς τὰς οἰκίας καὶ αἰχμαλωτεύοντες γυναικάρια αἰσχροῦ κέρδους χάριν, οὐ τῆς εἰς τὰς γυναικωνίτιδας καὶ παρὰ πόδας τῆς κλίνης τελουμένης αὐτοῖς ἱερουργίας τοὺς μισθοὺς ἀποκλέπτοντες, καὶ τοῖς ματαίοις καὶ ἐτησίοις ἐράνοις ἐμπαίζουσι; δέδοικα λέγειν τὰ πλείω, μήπως καὶ βεβήλοις θριαμβευθῶμεν· οἱ τὴν μόρφωσιν ἔχοντες τῆς εὐσεβείας, τὴν δὲ δύναμιν αὐτῆς ἠρνημένοι· πολλὰ πταίομεν ἅπαντες· καὶ γὰρ μισθὸς τοῦ λουτροῦ τῆς χάριτος, καὶ ἀποτιμήσεις ἐκ τῶν λειψάνων τῆς θείας δωρεᾶς, εἰ συμπεφώνηται τοῖς δι' ὑμῶν, τί ἕτερον ἀκουσόμεθα ἢ ὅτι τὸ ὄνομά μου δι' ὑμῶν βλασφημεῖται ἐν τοῖς ἔθνεσιν; ἀρκέσει γοῦν ἑκάστῳ ἐκ τοῦ ἰδίου ὀφθαλμοῦ τὴν δοκὸν ἐξαίρειν, καὶ τότε τρανότερον τὸ ἐν τῷ ὀφθαλμῷ κάρφος κατανοεῖν, καθ' ἃ φησὶν ἡμῖν ὁ μόνος ἀναμάρτητος.

Τούτων δὲ ἡμῖν σὺν Θεῷ προτεθέντων εἰς κρίσιν καὶ διάσκεψιν πᾶσιν ἀνθρώποις, δυσωποῦμεν ἐνώπιον τοῦ τῆς ἀληθείας λόγου, τοῦ ὄντως κριτοῦ παντὸς ἔργου καὶ λόγου καὶ νοήματος ἡμῶν, ἀποθέσθαι ἕκαστον ἐντευξόμενον, κἄν τε τῆς ἡμετέρας, κἄν τε τῆς ἀλλοτρίας ᾖ δόξης, τὴν ὡς παρ' οἰκείων καὶ πολεμίων ἀκρόασιν τῶν εἰρημένων, καὶ κρίνειν τὰ ῥηθέντα ὡς παρά τινων πάντη ἀγνώστων αὐτῷ τῶν ἐξ ἑκατέρου μέρους, καὶ ὡς οὔποτε θατέρου λόγου προεθηματισθέντος κατὰ τὴν διάνοιαν αὐτοῦ· καὶ εἰ ὄντως γυμνῷ τῷ κριτηρίῳ ἑαυτῶν χωρὶς παντὸς προσπαθοῦς καὶ ἀντιπαθοῦς ἐπισκοτίσματος ἀληθέστερα κρίνομεν καὶ εὐλογώτερα καὶ ἰσχυρότερα καὶ σοφώτερα τὰ παρ' αὐτῶν, εἰ τοῖς δὲ τοῖς ἐναντίοις ἡμῖν προσκείμενοι, ὄντως τολμῶμεν λέγειν, ὡς εἰ καὶ κακῶς ταῦτα ἐκεῖνοι φρονοῖεν οἱ συναπαγόμενοι αὐτοῖς διὰ τὸ δόξαι τούτοις θεοπρεπέστερον εἶναι δόγμα τὸ κατ' αὐτούς, οὐ κατακριθήσονται ἀσέβειαν ἐν ἡμέρᾳ ὅτε κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ τῶν καρδιῶν· ἐὰν γὰρ ἔσω ἔμπροσθεν αὐτοῦ πείσομεν τὰς καρδίας ἡμῶν, καὶ ἡ καρδία ἡμῶν μὴ καταγινώσκει ἡμῶν, ὁ Θεὸς μείζων ἐστὶ τῆς καρδίας ἡμῶν, καὶ γινώσκει πάντα· εἰ δὲ ὁ μὲν τῆς ἀληθείας λόγος φαιδράζων ἑαυτὸν ἐπιδείκνυσιν ἡμῖν, ἡμεῖς δὲ τούς τε ὀφθαλμοὺς καμμύομεν καὶ τοῖς ὠσὶ βαρέως ἀκούομεν αὐτοῦ ἐθελοκωφοῦντες, καὶ ἀποστρεφόμεθα αὐτὸν, ὄντως παντὸς θρήνου ἀξίους ἑαυτοὺς καταστήσομεν τὴν αἰσχύνην τῆς μελλούσης ἀλλο-

τριώσεως καὶ ἀρνήσεως Χριστοῦ ἐνώπιον ἀγγέλων καὶ ἐξουσιῶν παντός τε τοῦ κρινομένου κόσμου οὐ προϋπειδόμενοι, ὅτι οὐδὲν ἡμᾶς ὀνήσει οὔτε ἡ πρὸς αἱρεσιάρχας προσπάθεια, οὔτε ἡ γονικὴ ἢ φιλικὴ ἢ τοπικὴ συνήθεια, πρὸς τὴν ἀσέβειαν ἀλύτοις τισὶ καταδεσμεύουσα, οὔτε πορισμὸς χρημάτων, ἢ κέρδη τινὰ βιωτικὰ δυσαποσπάστους ἡμᾶς ἀπὸ τῆς δεισιδαιμονίας ποιήσαντα, καὶ τὸν μέγαν πορισμὸν τὴν εὐσέβειαν, μετὰ αὐταρκείας καρδιῶν ἐκσπάσαντα· οὐ γὰρ δὴ φραγγιαστικοὶ κρότοι, καὶ ἀγῶνες ἀντιλογικοί, καὶ πρόληψις διδασκαλικῆς ἀξίας φιλοῦντας λέγεσθαι ῥαββὶ παρὰ τῶν ἀνθρώπων, τῆς οἰκτροτάτης ἐκείνης ταλανισμοῦ καὶ τῶν ὀδυνηροτάτων βασάνων καὶ τῆς εἰς τὸ σκότος τὸ ἐξώτερον παραδόσεως ἐξαιροῦνται τούσδε, οἳ τὸ φῶς τῆς ἀληθείας ἠρνήσαντο, καὶ εὐδόκησαν ἐν τῷ σκότει τῆς ψεύδους· εὐάρεστον γὰρ Θεῷ τὸ παντὸς προτιθέναι τὴν ἀλήθειαν, καὶ μάλιστα ἐν τοῖς περὶ Θεοῦ αὐτοῦ τῆς ἀληθείας.

Διὰ γοῦν τόδε καὶ μόνον Ἀβραὰμ χαλδαίων τὴν ἀσέβειαν ἀποπτύσας, μετὰ πατρὸς καὶ οἴκου καὶ συγγενείας καὶ φίλων καὶ χώρας καὶ λοιπῶν, προσεχώρησε τῇ εὐσεβείᾳ, Θεῷ τὸ ἐπὶ τούτῳ πρώτῳ μόνῳ ἠγάπηται καὶ εὐλόγηται καὶ δεδόξασται καὶ πεπλήθυνται. Παῦλος δὲ ὁ ἀπόστολος ἅτινα ἦν αὐτῷ κέρδη, πάντα σκύβαλα ἡγήσατο, δι' οὐδὲν ἕτερον ἢ ἵνα Χριστὸν κερδανῇ· καὶ οἱ λοιποὶ πάντες οἱ ἐξ ἑλλήνων καὶ σαμαρειτῶν καὶ ἰουδαίων πιστοὶ ἅγιοι, ὡσαύτως ἔσχον· ὁ γὰρ μὴ ἀρνούμενος πατέρα καὶ μητέρα καὶ ἀδελφοὺς καὶ ἀδελφὰς καὶ τέκνα καὶ ἀγροὺς καὶ οἴκους, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχὴν ἕνεκεν ἐμοῦ, οὐκ ἔστι μου ἄξιος, φησὶν ὁ κύριος. καὶ μήτις διαλογιζέσθω λέγων, ἀλλ' οὐχ ἡ κατὰ τὰς αἱρέσεις διάκρισις πρὸς τὴν ὀρθοδοξίαν οὐ τόσον διέστηκεν, ὡς ἡ χαλδαίων καὶ ἑβραίων καὶ ἑλλήνων ἀσέβεια τῆς ἀληθοῦς πίστεως, ἵνα ὁμοίως αὐτοῖς ἀλλοτριωθείη ἀπὸ Χριστοῦ ὁ περὶ μέρος τι τῆς ὀρθῆς πίστεως μόνον ἀπειθῶν τῷ λόγῳ· ὁ γὰρ σμικρόν τι μόριον ἀπωσῶν εὐσεβείας τοῦ λόγου παρορῶν διὰ προσπάθειαν ἄλογόν τινος ἑταίρου καὶ συνήθειαν, δῆλός ἐστιν ὡς καὶ ἴσον εὐσεβῶν δοκεῖ, οὐδὲ τοῦτο ἐξ αἱρέσεως οἰκείας, ἀλλ' ἀπὸ συμβεβηκότων γονέων ἢ τόπων ἢ φίλων παραδόσεως ἔχει· ὡς εἴπερ καὶ μανιχαίων ἔτυχεν ἢ ἑλλήνων ἢ ἑβραίων υἱὸς ὤν, ἢ φίλος ἢ σύνοικος, πολλῷ μᾶλλον ἂν ἀπειθεστέρως διέκειτο πρὸς τὴν ἀλήθειαν· εἴπερ γὰρ ὀλίγον ἀφιστὰς οὐ προσέχει καὶ καθίσταται τῇ ἀληθείᾳ, πλεῖον διεστηκὼς μᾶλλον ἂν ἀσπόνδως ἔχοι πρὸς αὐτήν.

Ἀλλά, φησί, κατ' ἐμαυτὸν ἐγὼ νομίζων κρειττόνως φρονεῖν, ἔχομαι τῆς ὑμῶν δόξης ἀμεταθέτως· ἀλλὰ καὶ περὶ ὧν φησὶν ὁ ἀπόστολος ἰουδαίων ὡς Θεῷ μὴ ἀρεσκόντων καὶ τὸν κύριον σταυρωσάντων καὶ τοὺς ἀποστόλους διωξάντων καὶ πᾶσιν ἀνθρώποις ἀπειθούντων, ὅμως τοῦτο ἐκείνοις μαρτυρεῖ· φησὶ γάρ που πάλιν, μαρτυρῶ γὰρ τοῖς ζῆλον Θεοῦ ἔχουσιν, ἀλλ' οὐ κατ' ἐπίγνωσιν· ἄρα οὖν οὐχ ἁπλῶς ζηλοῦν, ἀλλὰ καὶ ἐν ἐπιγνώσει τῶν ζηλουμένων δογμάτων δεῖ· καὶ γὰρ καὶ πᾶσα ἄλογος καὶ ἄνομος παράδοσις καὶ ἐθνῶν καὶ αἱρέσεων οἴεταί τι καλὸν ποιεῖν, ὥσπερ νῦν καὶ ἀνθρωποθυσίας οἱ σκύθαι θρησκεύοντες. Δέον ἄρα μὴ ἀμελεῖν ὅση δύναμις, καὶ ἐρευνᾶν τὴν ἀλήθειαν, καὶ πάντα δοκιμάζοντας, τὸ καλὸν φρόνημα κατέχειν· εἰ γε οὐδὲ ἀργύριον λαμβάνομεν ἢ ἱμάτιον ὠνούμεθα, εἰ μὴ δοκιμασίαις καὶ πυρώσεσι καὶ παρακύψεσι καὶ ἐπιδείξεσιν εἰς ἑτέρους πλείονας αὐτὸ βασανίσαιμεν· πῶς οὖν εὔλογοι ὦμεν ἀτημελῶς τὴν θείαν δόξαν προσδεχόμενοι; τὸ γὰρ ἐν τούτοις ἀφρόντιστον, ὡς οὐκ ἀξιόλογόν τι οἰομένους ἡμᾶς τὴν τῆς πίστεως Χριστοῦ χάριν καὶ ἀλήθειαν, διαβάλλει δι' ἧς ἡμῖν τὰ πρὸς ζωὴν πάντα τὰ θεῖα καὶ μέγιστα ἐπαγγέλματα δεδώρηται, ὡς εἴρηται, καὶ ἡ πρὸς τὴν θείαν φύσιν ἁπλῶς κοινωνία· ὅσον οὖν ἐστὶν ἀγαθὸν ἡ ἀκραιφνεστάτη εὐσέβεια, καὶ ὅσον κακὸν ἡ ἀσέβεια (τῆς γὰρ εἰς πᾶσαν ἁμαρτίαν ἐγκαταλείψεως ὑπὸ Θεοῦ αἰτία ἡ μὲν αὕτη ἐστὶ μόνη) δηλοῖ ὁ λέγων, καὶ καθὼς οὐκ ἐδοκίμασαν τὸν Θεὸν ἔχειν ἐν ἐπιγνώσει, παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν, ποιεῖν τὰ μὴ καθήκοντα, ἅτινα ἐξ ὅς

κατηρίθμησεν· καὶ τάδε μὲν οὖν μαρτυρεῖ τῇ ἀσεβείᾳ· περὶ δὲ τῆς εὐσεβείας φησὶ πρὸς Τιμόθεον, γύμναζε σεαυτὸν πρὸς εὐσέβειαν· ἡ γὰρ εὐσέβεια πρὸς πάντα ἐστὶν ὠφέλιμος, ἐπαγγελίαν ἔχουσα ζωῆς τῆς τε νῦν καὶ τῆς μελλούσης.

Ἀλλὰ τί καὶ ἕτερον τούτων τινὲς τῆς πρὸς τὴν ἀλήθειαν ἀντιτάξεως ποιοῦνται δικαίωμα; φασὶ γὰρ, ὅτι πῶς οὐ θαρροῦντες ἡ κατ' αὐτοὺς δόξα, ἔνθα καὶ τῶν ζώντων ἐν σαρκὶ τινὲς αὐτοῖς ὁμόδοξοι, καὶ τῶν προκοιμηθέντων, ὤφθησαν ἰαμάτων καὶ σημείων θεόθεν ἔχειν τὸ χάρισμα; δῆλον γὰρ ὡς ἐξ ἀκοῆς καὶ διδαχῆς ὀρθῆς πίστεως Θεοῦ, αἱ θεῖαι δυνάμεις ἐνεργοῦνται. Πρὸς ὃ λεκτέον, ὡς οὐκ ἀρκεῖ τόδε πρὸς ἀσφαλῆ πληροφορίαν τῷ δοκιμαστῇ τῶν θείων δογμάτων κριτῇ· πρῶτον μὲν γὰρ σπανιώτερον εὕρηται τοῦτο ἐν αὐτοῖς, καὶ οὐκ ἐκ μιᾶς χελιδόνος τὸ ἔαρ κριτέον· ἄλλως γοῦν καὶ ἀρειανοί ποτε, καὶ μέχρι νῦν ἐν [Λο]γγιβάρδοις, καὶ νεστοριανοὶ παρὰ Πέρσαις ποιοῦσι τοιάδε θαύματα, ἀλλ' οὐκ εἰς μαρτύριον ἁπλῶς τῆς κατ' αὐτοὺς πρὸς ἡμᾶς αἱρέσεως, ἀλλὰ τῆς τῶν χριστιανῶν πίστεως, οἵα τίς ἐστιν ἡ δύναμις πρὸς τοὺς πάντη ἀπίστους ἐπιδεικνυμένη τοῦ πνεύματος. Ἔτι μὴν ὁρῶν ἐρῶ πολλάκις θαυμάτων χαρίσματα ἐν τισιν ὀρθοδόξοις τε καὶ ἑτεροδόξοις ὁμοίως, οὐ δι' εὐσέβειαν μόνον (ἢ γὰρ ἂν ἦν ἐν τοῖς ἐναντίοις λόγοις καὶ ἀντιθετικοῖς ἀλήθεια;) ἀλλὰ διὰ φυσικὴν ἁπλότητα καὶ ἀτυφίαν, μᾶλλον τὲ ὑπηκοότητα ψυχῆς ἢ διανόημα, πραότητά τε καὶ συμπάθειαν, καὶ ἁπλῶς τῆς τοιᾶσδε χάριτος ἰδικωτέραν ἐπιτηδειότητα τῆς δέ τινος παρὰ τοὺς λοιποὺς τῶν ὁμοτίμων αὐτοῦ· εἰ γὰρ ὄντως πᾶσιν ἀεί τε διὰ τὴν δόξαν μόνον πρόσεστιν ἡ τῆς θαυματουργιῶν δύναμις, ἔδει πάντας πάντοτε ὁμοίως τοὺς ὁμοδόξους θαυματουργεῖν· καὶ μὴν πολλάκις τῶν διδασκάλων τῆς πίστεως οὐ θαυματουργούντων, οἱ μαθητευθέντες ὑπ' αὐτῶν ἐνεργοῦσι τὰ σημεῖα· οὐ γὰρ πάντα ὅσα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, ἑνὶ καὶ τῷ αὐτῷ χαρίζεται· ᾧ μὲν γὰρ δίδοται λόγος σοφίας, ᾧ δὲ λόγος γνώσεως, ἑτέρῳ δὲ χαρίσματα ἰαμάτων, ἑτέρῳ ἐνεργήματα δυνάμεων, ἄλλῳ δὲ πίστις κατὰ τὸ αὐτὸ πνεῦμα· καὶ γὰρ θαυμαστὸν, πῶς ὁ λαλῶν γλώσσαις, οὐ πάντως οὐδὲ τὸ ἐγγύτατον τοῦδε χάρισμα λαβὼν, καὶ διερμηνεύει· ἄρα οὖν ἔστι καὶ τινὰς οὐδὲ λόγον σοφίας ἀκραιφνῆ, οὐδὲ λόγον γνώσεως, οὐδὲ πίστιν ὑψηλὴν εἰληφότας, θαυμάτων ἔχειν χαρίσματα· καὶ οὐκ εὔλογον ἐκ θατέρου θάτερον τῶν τοῦ πνεύματος χαρισμάτων κατακρίνεσθαι.

Τὸ δέ γε σαφέστερον εἰπεῖν, εἰ μὲν ἐν τούτοις μόνοις ἦν τὰ χαρίσματα τῶν θαυμάτων, ἢ εἰ μᾶλλον ἡμῶν ἐν αὐτοῖς ἑωρᾶτο, εἶχεν ἂν ὄντως αὐτοῖς ἡ δόξα πρόληψιν εὐσεβείας παρὰ τὴν ἡμετέραν, ὡς τοῦ κυρίου τὸν λόγον αὐτῶν βεβαιοῦντος μόνον διὰ τῶν ἐπακολουθούντων σημείων κατὰ τὸ γεγραμμένον, ὥσπερ καὶ τὸ κήρυγμα τῶν ἀποστόλων πάλαι συνιστάνοντος πρὸς ἅπαντα τὰ ἔθνη, καὶ ὥσπερ τὰ Μωϋσέως καὶ Ἀαρὼν σημεῖα ὑπὲρ τὰ Ἰαννοῦ καὶ Ἰαμβροῦ πρὸς τοὺς αἰγυπτίους θριαμβεύοντος· εἰ δὲ ἐν ἡμῖν καὶ μείζονα καὶ πλείονα ὁρᾶται τὰ ἐκ τοῦ πνεύματος θαύματα κατὰ πᾶσαν τὴν οἰκουμένην, πῶς ἐκ θαυματουργιῶν ἀξιοπιστότερον ᾗ βούλονται τὸ δόγμα; μὴ δὲ τόδε οὖν ὡς ὀνήσιμον αὐτοῖς εἰς ἀπολογίαν τινὰ τὴν ὑπὲρ τῆς δεισιδαιμονίας αὐτῶν προβαλλέτωσαν· εἰ γὰρ καὶ Σκευᾶς σὺν τοῖς υἱοῖς αὐτοῦ ἰουδαῖος ὢν, ἐν ὀνόματι Χριστοῦ ἐπορκίζων ἤλαυνε δαίμονας, καὶ οὐκ ἐν τῷδε ἁπλῶς τοῖς μαθηταῖς τοῦ κυρίου συναριθμεῖται, δῆλον ὡς οὐδὲ οὗτοι ἐκ τοῦδε πρόφασιν ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν· πολλοὶ γὰρ, φησὶν, ἐροῦσί μοι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, κύριε οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ δαιμόνια ἐξεβάλομεν, καὶ δυνάμεις πολλὰς ἐποιήσαμεν; καὶ τότε ὁμολογήσω αὐτοῖς ὅτι οὐδέποτε ἔγνων ὑμᾶς· σαφὲς ἄρα, ὡς οὐκ ἀρκεῖ πρὸς διάκρισιν τῶν ἐγνωσμένων καὶ ἀπεγνωσμένων Χριστῷ, θαύματος ἐμφάνεια πολλάκις· ἢ διὰ τὴν τοῦ φαινομένου τὴν ἐνέργειαν, πίστιν ὀρθοτέραν μᾶλλον, ἢ τὴν τοῦ ἐνεργοῦντος γενομένου τοῦδε, ἢ διὰ τὴν τῶν θεατῶν εἰς τὴν πρὸς εὐσέβειαν ἁπλουστέραν πληροφορίαν· ὁπότε δὲ καὶ κατὰ πρόνοιαν κοινωφελεστέρας

Digitized by Google

χρείας τῆς κατὰ καιρὸν ἢ τόπον ὑπὸ Θεοῦ καὶ διὰ τῆς οἰουδήποτε τῶν παρόντων ἐπιτελουμένης.

Ἐν τοῖς γοῦν καθ' ἡμᾶς ἱστόρηται χρόνοις καὶ τόποις, μῖμός τις τῶν θεατρικῶν, καὶ οὗτος ἐπὶ στάσει καὶ φόνῳ ἐγκαλούμενος, φυγεῖν τὸν δικαστὴν ἐν ταῖς κατὰ τὸ βαρβαρικὸν λεγόμενον λιμιτὸν ἐρήμοις, καὶ ὑπὸ σαρακηνῶν ληϊσθεὶς χριστιανῶν, διὰ τὸ δοκεῖν αὐτοῖς ἐκ τῆς ἀποτριχώσεως μοναχὸς εἶναι, καὶ ὥσπερ οἱ πρὸς αὐτοὺς μοναχοὶ παραβάλλοντες ἱερουργεῖν δύνασθαι τοῦ ζωτικοῦ ἄρτου τὸ μυστήριον, διὰ νευμάτων εἰσεπράττετο σπουδαίως ὑπ' αὐτῶν τῆς θείας θυσίας τὴν λειτουργίαν, μόνος ἀφεθεὶς τῶν συνδεσμίων αἰχμαλώτων, ἐκτελέσαι· καὶ ὡς λόγῳ πείθειν αὐτοὺς ὑπὲρ τῆς ἑαυτοῦ ἀνεπιτηδειότητος οὐκ εὐπόρει, καὶ ἀντιτείνειν τῇ προστάξει αὐτῶν ἐπὶ πλεῖον οὐκ εὐτόνει, βωμὸν ἐκ φρυγάνων κατὰ τὴν ἔρημον συστησαμένων καὶ σινδόνα ἐφαπλωσάντων, καὶ προθέντων ἄρτον νεώτατον, καὶ οἶνον ἐξ ὑλοπετρείου κερασάντων, παρεστὼς ἐσφράγισε τὰ δῶρα ἀναβλέψας εἰς τὸν οὐρανὸν, καὶ ἐδόξασε τὴν ἁγίαν τριάδα μόνον, καὶ κλάσας δέδωκεν αὐτοῖς· εἶτα μετὰ τόδε, ὡς ἁγιασθέντα λοιπὸν ἐν τιμῇ συστέλλουσι, τό τε ποτήριον καὶ τὴν σινδόνα, πρὸς τὸ μὴ κοινωθῆναι λοιπὸν τάδε, τοῦ βωμοῦ μόνα περιφρονήσαντες· καὶ ἄφνω πῦρ ἐκ τοῦ οὐρανοῦ πλεῖστον ἐπιπεσὸν, αὐτῶν μὲν οὐδενὸς ἥψατο, ἢ ἐλύπησέ τινα, τῶν δὲ φρυγάνων τὸν βωμὸν ὅλον κατέφλεξε καὶ ἐξανάλωσεν, ὡς μὴ δὲ τέφραν αὐτῶν καταλιπεῖν· καὶ τούτῳ ὀφθέντι τῷ τερατίῳ οἱ βάρβαροι πληροφορηθέντες εἰς τὸν ἱερουργήσαντα, δῶρά τε παρ' αὐτῶν αἰτεῖν ὑπὲρ τῆς λειτουργίας ἐξεβίαζον· ὁ δὲ τοὺς συνδεθέντας αὐτῷ πάντας καὶ συναφεθῆναι ᾐτήσατο, καὶ τοῦτο ἐλάμβανε, καὶ πάντας ἠλευθέρωσε τῆς συμφορᾶς τοὺς σὺν αὐτῷ· ἦν δὲ οὗτος τὴν μὲν δόξαν ἡμέτερος τῷ μόνον ἡμῖν συνεκκλησιάζεσθαι· οὐ μὴν εἰδὼς ὅτι ἐστί τις σχεδὸν χριστιανῶν διαφορά· οἱ δὲ σαρακηνοὶ ἐκ τῆς τῶν ἰακωβιτῶν αἱρέσεως εἰωθότες κοινωνεῖν, οἳ καὶ αὐτοὶ τὴν μίαν φύσιν ἐπὶ τοῦ κυρίου πρεσβεύουσι· καὶ οὗτοι πρῶτοι τοῖς σαρακηνοῖς συμπεριάγεσθαι κατὰ τὴν ἔρημον καὶ λειτουργεῖν αὐτοῖς ἐπετήδευσαν ὡς εἴπομεν· οὔτε μὴν οὐδὲ οὗτοι εἰδότες ἢ διδάσκοντες τῶν ἐν χριστιανοῖς δογμάτων ἐξέτασιν ἢ σύγκρισιν· ἀλλ' ὥσπερ τοῖς Νεστορίου πέρσαις, οὕτως καὶ οὗτοι τοῖς Ἰακώβου φρονήμασι προκατειλημμένοι ἐπιτυπώθησαν ἀβασανίστως.

ΤΕΛΟΣ.

Quandoquidem in superioribus pp. 7. 14. 15. 131. 134. 135. S. Ambrosii Mediolanensium episcopi translatorum in graecum sermonem operum, et quidem plerumque deperditorum particulas recitavi; placet nunc eiusdem S. Patris opuscula latina duo heic subtexere; quorum primum brevis est explanatio symboli ad initiandos, *diversa ab illa maiore quam graeci patres legebant. Reapse autem in opere edito Ambrosii de sacramentis ad initiandos desideratur symboli traditio et explanatio, quae necessario fieri debuit; et quidem ego eam deprehendi in pervetusto vaticano codice, qui fuit olim monasterii bobiensis, inter cetera Ambrosii scripta de sacramentis. Alterum est Ambrosii eiusdem opusculum* epistola de fide ad B. Hieronymum, *quam alius vaticanus codex Hieronymi epistolis immixtam exhibet.*

BEATI AMBROSII EPISCOPI MEDIOLANENSIS

EXPLANATIO SYMBOLI AD INITIANDOS.

Celebrata hactenus mysteria scrutaminum. Inquisitum est ne immunditia in corpore alicuius haereret. Per exorcismum (1) non solum corporis sed etiam animae quaesita et adhibita est sanctificatio. Nunc tempus est et dies ut symbolum tradamus; quod symbolum est spiritale signaculum, cordis nostri meditatio, et quasi semper praesens custodia, certe thesaurus pectoris nostri.

Primum igitur rationem nominis ipsius debemus accipere. Symbolum graece dicitur, latine autem collatio: et maxime symbolam negotiatores dicere consuerunt, quando conferunt pecuniam suam, et quasi ex singulorum collatione in unum constipata, integra et inviolabilis conservatur, ut nemo fraudem collationi facere conetur, nemo negotiationi: denique inter ipsos negotiatores ista est consuetudo, ut siquis fraudem fecerit, quasi fraudulentus reiciatur. Sancti ergo apostoli in unum convenientes, breviarium fidei fecerunt, ut breviter fidei totius seriem comprehendamus. Brevitas necessaria est, ut semper memoria et recordatione teneatur. Scio in partibus maxime orientis (2), quod ea quae primo tradita sunt a maioribus nostris, dum quasi fraude alii, alii diligentia, fraude haeretici, diligentia catholici; dum ergo illi fraudulenter conantur inrepere, addiderunt quod non opus est; dum isti fraudem praecavere contendunt, finis maiorum velut pietate quadam et incuria videntur esse praetergressi.

Ergo apostoli sancti convenientes fecerunt symbolum breviter. Signate vos. Quo facto, et dicto symbolo; in hoc symbolo divinitas trinitatis aeternae evidentissime comprehensa est unius operationis. *Patrem et filium et spiritum sanctum*, hoc est venerabilem trinitatem. Et quod fides nostra ita sit, ut pari genere credamus in patrem et filium et spiritum sanctum. Ubi enim nulla discretio maiestatis est, nec fidei debet esse discretio. Deinde frequenter admonui, quod dominus noster Iesus Christus filius Dei solus carnem istam suscepit, corporis forma. Corporis istius veritate factus est ut homo; sed habet singulare privilegium generationis suae: non enim ex virili natus est semine, sed *generatus spiritu*, inquit, *sancto ex Maria virgine*. Praerogativam auctoris caelestis agnoscis; factus quidem ut homo ut infirmitates nostras in sua carne susciperet, sed cum privilegio venit maiestatis aeternae. Ergo dicamus symbolum. (Et cum dixisset, hinc complevit.) Hoc habet scriptura divina. Numquid supra apostolorum fines progredi audaci mente debemus? Numquid nos sumus apostolis cautiores?

Sed dicis mihi, postea emerserunt haereses. Quid ergo? vide simplicitatem, vide puritatem. Patripassiani cum emersissent, putaverunt etiam catholici in hac parte addendum *invisibilem* et *impassibilem*, quasi filius Dei visibilis et passibilis fuerit. Si fuit visibilis in carne, caro illa fuit visibilis non divinitas. Denique quid dicat audi: " Deus Deus respice in me; quare me „ dereliquisti „? In passione hoc dicit;

(1) Exorcismus legitur in Ambrosii editione maurina T. II. fin., sumptus videlicet ex vaticano pervetere codice LXXXII, saeculi XI. (2) Par sententia est apud Rufinum comm. in symb.

dominus noster Iesus Christus hoc secundum hominem locutus est, quasi caro diceat ad divinitatem, " quare me dereliquisti „? Ergo esto medici fuerint maiores nostri; voluerint addere aegritudini sanitatem; medicina non quaeritur. Ergo si medicina non fuit eo tempore necessaria, quo erat haereticorum quorundam gravis aegritudo animorum: et si fuit tunc temporis quaerenda, nunc non est. Qua ratione? Fides integra adversus Sabellianos. Exclusi sunt Sabelliani maxime de partibus occidentis. Ex illo remedio Arriani invenerunt sibi genus calumniae: et quoniam symbolum romanae ecclesiae nos tenemus (1), ideo visibilem et passibilem patrem omnipotentem illi aestimarent et dicerent: vides quia symbolum sic habent, ut visibilem filium et passibilem designarent. Quid ergo? Ubi fides integra est, sufficiunt praecepta apostolorum. Cautiones licet sacerdotum non requirantur. Quare? quia tritico immixta zizania sunt.

Hinc symbolum. *Credo unicum dominum nostrum*. Sic dicite: *filium eius unicum*. Non unicus dominus? Unus Deus est, unus et dominus: sed ne calumnientur et dicant, quia una persona (2); dicamus filium etiam unicum dominum nostrum. Quia de divinitate patris et filii venitur ad incarnationem ipsius, *qui natus et sepultus*, habes et passionem ipsius, et sepulturam. *Tertio die a mortuis*; habes et resurrectionem eius. *Ascendit et sedet ad dexteram patris*. Vides ergo quia caro divinitati imminuere nil potuit; immo de incarnatione triumphus magnus quaesitus est Christo. Qua ratione enim ubi de morte ascendit, sedet ad dexteram patris? Quasi qui patri retulerit bonae fructum voluntatis. Duo habes: *surrexit a morte, sedet ad dexteram patris*. Nullum ergo potuit afferre caro divinitatis gloriae detrimentum. Duo habes: aut quasi secundum praerogativam divinitatis et substantiae generationis suae dominus noster Iesus Christus sedet ad dexteram, a morte surrexit: aut certe quasi triumphator aeternus qui bonum regnum Deo patri comparavit, praerogativam sibi suae victoriae vindicavit, sedens ad dexteram patris.

[*Iudicare vivos*] (3) *et mortuos*. Audi, homo. Debes quidem cito credere. Fides ipsa de caritate promatur. Qui amat, nil derogat: amicus, qui amicum amat, nihil derogat: qui amat Dominum, multo magis non debet derogare. Quare dico *sedet*? Qui amat, habet quid timeat. Unde *et mortuos*? Ipse de nobis iudicaturus est. Cave ergo detrahere ei, quem iudicem habiturus es. Quare hoc mysterium? Numquid non unum iudicium est patris et filii et spiritus sancti? Numquid non una voluntas est? Numquid non una maiestas? Quare tibi dicitur quod filius iudicaturus est, nisi ut intelligas nihil filio derogandum? Ergo vide: credes in patrem, credes et in filium. Et quid tertio? et in spiritum sanctum. Quaecumque accipies sacramenta, in hac trinitate accipies. Nemo te fallat. Vides ergo unius operationis, unius sanctificationis, unius maiestatis esse venerabilem trinitatem.

Sane accipe rationem quemadmodum credimus in auctorem; ne forte dicas, sed habet et *in ecclesiam*, sed habet et *in remissionem peccatorum*, sed habet et *in resurrectionem*. Quid ergo? Par causa est. Sic credimus in Christum, sic credimus in patrem, quemadmodum credimus et in ecclesiam, et in remissionem peccatorum, et in carnis resurrectionem. Quae

(1) Nullis additamentis fuisse auctum romanum symbolum, et publice ab initiandis recitari solitum, narrat Rufinus loc. cit., qui tamen aquileiense suum sequitur. (2) Cod. *unam passum nam*.

(3) Praetermissa in codice verba uncis includo.

ratio est? Quia qui credit in auctorem, credit et in opus auctoris. Denique ne hoc ingenii nostri putetis, accipite testimonium: " si mihi non creditis, vel operibus credite ". Ergo hoc habes. Nunc fides tua amplius elucebit, si in opus auctoris tui fidem veram et integram putaveris defendam. *In ecclesiam sanctam, et in remissionem peccatorum.* Crede ergo ex fide, quia omnia tibi peccata remittuntur. Quare legisti in evangelio, dicente Domino, " fides tua te salvum fecit ". *Resurrectionem.* Crede quia resurget et caro. Quid enim opus fuit, ut Christus carnem susciperet? quid opus fuit ut Christus mortem gustaret, sepulturam susciperet et resurgeret, nisi propter tuam resurrectionem? Totum hoc sacramentum tuae est resurrectionis. Si Christus non resurrexit, vana est fides nostra: sed quia resurrexit, ideo firma est fides nostra.

Ergo dixi apostolos symbolum composuisse. Si ergo mercum istarum negotiatores et collatores pecuniae hanc habent legem, ut siqui symbolum suum violaverit, improbus et intestabilis habeatur, multo magis cavendum est nobis, ne de maiorum symbolo aliquid detrahatur: cum habeas in libro apocalypsis Iohannis, qui libellus canonizatur, et maxime ad fidei proficit fundamentum: ibi enim evidenter omnipotentem dominum nostrum Iesum Christum memoravit. Licet et in aliis locis, tamen in ipso libello " siqui, inquit, addiderit aut detraxerit, iudicium sibi sumit et poenam ". Sic unius apostoli scripturis nihil est detrahendum, nihil addendum, quemadmodum nos symbolo quod accepimus ab apostolis traditum atque compositum, nihil debemus detrahere, nihil adiungere. Hoc autem est symbolum quod romana ecclesia tenet, ubi primus apostolorum Petrus sedit, et communem sententiam eo detulit.

Ergo quemadmodum duodecim apostoli, et duodecim sententiae. Signate vos. Quo facto; *credo* [*in Deum patrem omnipotentem, creatorem caeli et terrae, et in Iesum Christum filium eius unicum dominum nostrum, qui conceptus est de spiritu sancto, natus ex Maria*] *virgine*; [habes patrem omnipotentem, habes filium unicum] habes incarnationem filii, quemadmodum dixi. *Sub Pontio Pilato passus et sepultus*; habes passionem et sepulturam. Ecce quattuor istae sententiae. Videamus alias. *Tertia die* [*resurrexit a mortuis, ascendit ad caelos, sedet ad dexteram Dei patris, inde venturus est iudicare vivos*] *et mortuos.* Ecce aliae quattuor sententiae, hoc est octo sententiae. Videamus adhuc alias quattuor sententias. *Et in spiritum sanctum*, [*sanctam ecclesiam, remissionem peccatorum, carnis*] *resurrectionem.* Ecce secundum duodecim apostolos, et duodecim sententiae comprehensae sunt.

Illud sane monitos vos volo esse, quoniam symbolum non debet scribi, quia reddere illud habetis. Sed nemo scribat. Qua ratione? Sic accepimus ut non debeat scribi. Sed quid? Teneri. Sed dicis mihi, quomodo potest teneri, si non scribitur? Magis potest teneri, si non scribatur. Qua ratione? Accipite. Quod enim scribes, securus quasi relegas, non cottidiana meditatione incipis recensere: quod autem non scribis, times ne amittas, cottidie incipis recensere. Magnum autem tutamentum est: nascuntur stupores animi et corporis, temptatio adversarii qui numquam quiescit, tremor aliqui corporis, infirmitas stomachi; symbolum recense intra te, maxime recense intra te ipsum. Quare consuetudinem facias et cum solus, [ut] fortius recenseas ubi sunt fideles.

Digitized by Google

BEATI AMBROSII EPISCOPI MEDIOLANENSIS

EPISTOLA DE FIDE

AD BEATUM HIERONYMUM PRESBYTERUM.

Apostolica narrat auctoritas, sine fide impossibile esse ut quisquam placeat Deo. Nos ergo fideliter credimus patrem, filium, et spiritum sanctum, unum verum solum Deum in essentiali substantia, ac sanctam et individuam personalem aeternitatem. Deitas enim Christi par in omnibus et consubstantialis est patri, et sempiterna atque intemporaliter una eademque potentia genitoris et geniti. Creator quippe omnium naturarum, quoniam per ipsum omnia facta sunt, et sine ipso factum est nihil, superior est omnibus quae creavit, nec umquam creatori suo non fuerunt subiecta quae condidit: cui proprium et sempiternum est nec aliunde quam de patre, nec alium esse quam pater est. Huic si addita esset potestas, si illustrata dignitas, si exaltata sublimitas, minor erat provehente qui creavit; nec habebat divitias eius naturae, cuius indiguit largitate.

In ea plenitudine temporis, quae sempiterno consilio fuerat praestituta, et prophetica dictorum atque gestorum significatione promissa, factus filius hominis non suae conversione substantiae, sed nostrae assumptione naturae, venit quaerere et salvare quod perierat. Venit autem non locali accessu nec motione corporea, tamquam praesens futurus unde afuisset, aut illinc recessurus unde venisset, sed venit per hoc quod erat visibilis et cunctis cernentibus declarandus. Humanam scilicet carnem atque animam in visceribus virginis matris accipiens, ut manens in forma Dei, servi formam assumeret, et in similitudine carnis peccatorum veniret, per quam non minueret divina humanis sed augeret divinis humana. Talis enim erat omnium a primis ducta genitoribus causa mortalium, ut originali peccato transeunte per posteros, nullus poenam damnationis evaderet, nisi Verbum caro fieret et habitaret in nobis. Quod deitatis est, caro non minuit; quod carnis est, deitas non peremit. Idem enim ut sempiternus ex patre, et temporalis ex matre, in sua virtute inviolabilis, in nostra infirmitate passibilis. In deitate tantum et cum patre et cum spiritu sancto unius eiusdemque naturae; in susceptione autem hominis, non unius substantiae, sed unius eiusdemque personae: ut idem esset dives in paupertate, omnipotens in submissione, impassibilis in supplicio, immortalis in morte. Nec enim Verbum aut in carnem aut in animam aliqua sui parte conversum est; cum simplex et immotabilis natura deitatis tota in sua sit semper essentia; nec damnum sibi recipiens nec augmentum; et sic assumptam naturam beatificans, ut glorificata in glorificante permaneat.

Cur autem inconveniens aut impossibile videatur, ut Verbum et caro atque anima unus homo Christus et unus Dei hominisque sit filius, si caro et anima, quae dissimilium naturarum sunt, unam faciunt, etiam sine Verbi incarnatione,

Digitized by Google

personam (1)? Cum multo facilius sit, ut hanc unitatem sui atque hominis, deitatis praestet potestas, quam ut eam in substantiis suis obtineat solius humanitatis infirmitas. Nec Verbum igitur in carnem, nec in Verbum caro mutata est: sed utrumque in uno manet, et unus in utroque est: non diversitate divisus, non permixtione confusus; nec alter ex patre, alter ex matre; sed idem ex patre ante omne principium, et idem in fine saeculorum ut esset mediator Dei et hominum, homo Iesus Christus in quo habitaret plenitudo divinitatis.

Nativitas enim Domini secundum carnem quamvis habeat quaedam propria, quibus humanae conditionis initia transcendat, sive quod solus ab inviolata virgine sine concupiscentia est conceptus et natus; sive quod ita e visceribus matris est editus, ut fecunditas pareret, et virginitas permaneret; non alterius tamen naturae erat eius caro quam nostra est: nec alio illi quam ceteris hominibus anima est inspirata principio, quae excelleret non diversitate generis sed, sublimitate virtutis. Nihil enim carnis suae habebat adversum; non discordia desideriorum gignebat compugnantiam voluptatum: sensus corporei vigebant sine lege peccati, et veritas affectionum sub moderamine deitatis et mentis nec temptabatur illecebris, nec cedebat in vitiis: verus homo vere unitus est Deo: nec secundum existentem prius animam deductus e caelo, nec secundum carnem creatus ex nihilo: eandem gerens in Verbi deitate personam, et tenens communem nobiscum in corpore animaque naturam. Non enim esset Dei hominumque mediator, nisi idem Deus idemque homo in utroque et unus esset et verus.

Invitat quidem nos ad latitudinem disserendi materiae magnitudo; sed apud eruditionem* tuam non est copia laborandi. Apud te est Bethleem, in qua salutifer Virginis partus illuxit, quem involutum pannis, inter angustias diversorii, praesepe suscepit. Apud te est declarata ab angelis, adorata a magis, post multorum infantium ab Herode mortem Salvatoris infantia est persecuta. Apud te, inquam, locus est, ubi pueritia adolevit, ubi adolescentia maturavit, et per incrementa corporea in virum perfectum veri hominis natura profecit, non sine cibo esuritionis, non sine somnun quietis, non sine fletu miserationis, nec sine pavore formidinis. Unus enim atque idem est qui in Dei forma operatur miracula magnae virtutis.

Ut autem repararet omnium vitam, recepit omnium causam: et vim veteris chirographi, quod solus inter omnes non debuit, pro omnibus solvendo vacuavit: ut sicut per unius reatum omnes facti fuerant peccatores, ita per unius innocentiam omnes fierent innocentes: inde in homine manente iustitia, ubi est suscepta humana natura. Nulla enim ratione extra nostri corporis veritatem. Nam quia captivitatis nostrae originalia vincula solvi non poterant, nisi existeret homo nostri generis nostraeque naturae, quem primi praeiudicia non tenerent, et qui immaculato sanguine suo chirographum letale dilueret, sicut erat ab initio divinitus praeordinatum; ita est in plenitudine praefiniti temporis factum;

(1) Rectissime Ambrosius *personam*, non *naturam* dicit. Nam si contra una hominis natura dicitur, ut plerique loqui solent, hoc exemplo mire abutuntur Monophysitae, ut unam Christi naturam affirment. Re autem vera duae sunt in homine naturae seu substantiae; spiritalis, anima; materialis, caro. Legatur de hoc exemplo praeclara Athanasii doctrina ed. Maur. T. I. p. 1279.

ut multis modis significata promissio diu expectato veniret effectu; nec posset esse ambiguum quod continuis significationibus semper fuerat nunciatum. In magno autem sacrilegio diversa haereticorum impietas manifestatur, cum speciu deitatis honorandae, humanae carnis in Christo derogant veritatem; et religiose aestimant credi, si dicatur in Salvatore nostro verum non esse quod salvat; cum ita secundum promissionem omnia saecula praecurrentem mundus sit Deo reconciliatus in Christo, ut nisi Verbum dignaretur caro fieri, nulla caro posset salvari. Enucleatius autem declarare fidei sacramentum, et confundere haereticam pravitatem, tuum est pater optime Hieronyme. Hoc unum oro et deprecor, mei ut memor sis frequentius, invictissima miles Christi. Amen.

ALIA EXPOSITIO FIDEI (1).

Profitemur nos credere indivisibilem et inseparabilem sanctam Trinitatem, hoc est patrem et filium et spiritum sanctum, unum Deum, ita unum et trinum, et ita trinum et unum: Trinitatem in distinctis atque discretis personis: hoc est patrem ex quo omnia, filium per quem omnia, spiritum sanctum in quo omnia; unius tamen deitatis, unius essentiae, uniusque substantiae, in tribus quidem subsistentiis seu personis, ut pater pater sit, filius filius sit, spiritus sanctus spiritus sanctus sit, in una natura unaque substantia, ut Deus unus et solus et summus credatur. Non tres naturas introducentes ut Arrius blasphemat, qui tres deos praedicavit, excellentiorem, minorem, et inferiorem. Nos vero sanctam Trinitatem in unitate, et unitatem in sancta Trinitate confitemur. Nam cum dicimus omnipotentem patrem, appellatio huius paterni nominis ad filii personam adtenditur. Et cum dicimus aeternum filium, ad aeterni patris personam refertur. Et cum nominamus spiritum sanctum, ab aeterni patris persona eum credere (2) demonstramus. Cum autem dicimus Deum patrem omnipotentem, non potest huius nominis evacuari sacramentum: quia cum dicimus patrem, filium demonstramus: et cum dicimus filium, patrem declaramus: et cum dicimus aeternum patrem, aeternum filium demonstramus. Nam si non invenimus initium vocabuli huius paterni nominis, quando pater sit dictus, consequenter ostenditur, quia nec initium geniti repperiemus. Obsecramus ut detur nobis ratio, quando pater hoc vocabulum, ut pater vocitaretur sortitus est. Si in tempore, si extra tempus, dicat nobis aliquis quando primitus coeperit appellari: et si potuerit hoc adprobari, nulla erit dubietas ex illo initio paterni nominis filium initium accepisse, quo pater nominatus est. Et si defecerit, immo quia et defecit, nec poterit adprobari nec dari initium paterni nominis, quando pater esse coeperit, profiteatur ergo nobis sanctam Trinitatem coëssentialem atque substantialem: nec patrem ante filium, nec filium post patrem, nec spiritum sanctum inferiorem fuisse: quia dum initium paterni nominis non invenitur, nescimus qua ratione filio initium adscribatur, quia

(1) Ex antiquo codice vaticano, olim bobiensi, post libros S. Augustini de Trinitate.

(2) Cod. *ab aeternae patris persona et credere.*

Digitized by Google

cum dicimus sempiternum Deum patrem, sempiternum Dei filium ostendimus. Ideo sanctam Trinitatem in una natura unaque essentia atque substantia, in tribus subsistentiis sive personis profitemur. Credimus autem ipsum Dei Verbum, hoc est filium patris sine initio genitum, eundem unum ex tribus subsistentiis de sancta Trinitate aeternum filium, per dispensationem factum pro nobis et nostra salute descendisse incarnatum Verbum Dei, et hominem factum. Intra virginis uterum veniens sibi nostrae naturae virtutem *adsumpsit* ex sancta gloriose Dei genitrice Maria virgine, perfectus Deus et perfectus homo, in duabus naturis, divinitatis scilicet atque humanitatis: consubstantialis item ipse nobis secundum humanitatem: non in duos filios divisus, sed unus et idem Dei et hominis filius, in veritate duarum naturarum, in una subsistentia sive persona divinitatis et humanitatis unitione facta; ut ex duabus perfectis naturis non duo filii sed unus, idem Dei et hominis filius permanens quod erat, coeperit esse quod non erat, dum sine initio aeterni patris filius, factus est hominis filius. Ideo et unus est dominus.

ΕΚΘΕΣΙΣ ΤΗΣ ΑΓΙΑΣ ΣΥΝΟΔΟΥ ΤΩΝ ΤΡΙΑΚΟΣΙΩΝ ΔΕΚΑ ΚΑΙ ΟΚΤΩ ΠΑΤΕΡΩΝ ΚΑΤΑ ΠΑΥΛΟΥ ΤΟΥ ΣΑΜΟΣΑΤΕΩΣ.

Ex antiquo codice vaticano.

Ὁμολογοῦμεν τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν χριστὸν τὸν ἐκ τοῦ πατρὸς κατὰ πνεῦμα πρὸ αἰώνων γεννηθέντα, ἐπ' ἐσχάτων τῶν ἡμερῶν καὶ ἐκ παρθένου κατὰ σάρκα τεχθέντα, ἓν πρόσωπον σύνθετον ἐκ θεότητος οὐρανίου καὶ ἀνθρωπίνης σαρκὸς, καὶ καθὰ πρόσωπον ἓν ἄνθρωπον, ὅλον θεὸν, καὶ ὅλον ἄνθρωπον· ὅλον θεὸν καὶ μετὰ τοῦ σώματος, ἀλλ' οὐχὶ κατὰ τὸ σῶμα θεόν· καὶ ὅλον ἄνθρωπον μετὰ τῆς θεότητος, ἀλλ' οὐχὶ κατὰ θεότητα ἄνθρωπον· οὕτω ὅλον προσκυνητὸν καὶ μετὰ τοῦ σώματος, ἀλλ' οὐχὶ κατὰ τὸ σῶμα προσκυνητόν· ὅλον προσκυνοῦντα καὶ μετὰ τῆς θεότητος, ἀλλ' οὐχὶ κατὰ τὴν θεότητα προσκυνοῦντα· ὅλον ἄκτιστον καὶ μετὰ τοῦ σώματος, ἀλλ' οὐχὶ κατὰ τὸ σῶμα ἄκτιστον· ὅλον πλαστὸν καὶ μετὰ τῆς θεότητος, ἀλλ' οὐχὶ κατὰ τὴν θεότητα πλαστόν· ὅλον ὁμοούσιον τῷ θεῷ καὶ πατρὶ καὶ μετὰ τοῦ σώματος, ἀλλ' οὐχὶ κατὰ τὸ σῶμα ὁμοούσιον τῷ θεῷ· ὥσπερ οὐδὲ κατὰ τὴν θεότητα ἐστιν ἀνθρώποις ὁμοούσιος, καίτοι γε μετὰ τῆς θεότητος ὢν κατὰ σάρκα ἡμῖν ὁμοούσιος. Καὶ γὰρ ὅταν λέγομεν αὐτὸν κατὰ πνεῦμα θεῷ ὁμοούσιον, οὐ λέγομεν αὐτὸν κατὰ πνεῦμα ἀνθρώποις ὁμοούσιον· καὶ πάλιν ὅταν κηρύσσομεν αὐτὸν κατὰ σάρκα ἀνθρώποις ὁμοούσιον, οὐ κηρύσσομεν αὐτὸν κατὰ σάρκα θεῷ ὁμοούσιον· ὥσπερ δὲ κατὰ πνεῦμα ἡμῖν οὐκ ἐστιν ὁμοούσιος, ἐπειδὴ θεῷ ἐστι κατὰ τοῦτο ὁμοούσιος· οὕτως οὐδὲ κατὰ σάρκα ἐστι θεῷ ὁμοούσιος, ἐπειδὴ ἡμῖν ἐστι κατὰ τοῦτο ὁμοούσιος· ὥσπερ δὲ ταῦτα διάρθρωται καὶ σεσαφήνισται οὐκ εἰς διαίρεσιν τοῦ ἑνὸς προσώπου τοῦ ἀδιαιρέτου Χριστοῦ, ἀλλ' εἰς δήλωσιν τοῦ ἀσυγχύτου τῶν ἰδιωμάτων τῆς σαρκὸς καὶ τοῦ λόγου, οὕτω καὶ τὰ τῆς ἀδιαιρέτου συνθέσεως πρεσβεύομεν.

Digitized by Google

MONITUM.

Nuper editus a me Leontius p. 139 Monophysitas increpat, qui falsa patrum orthodoxorum testimonia pro suo spurio dogmate adferre in medium solerent, cuius criminis non semel eos fuisse convictos adfirmat. Ecce autem in vaticana bibliotheca scrutanti mihi graecus reapse occurrit antiquus codex ab anonymo monophysita compositus, in quo magnus testimoniorum numerus scribitur, partim genuinorum sed ad pravam sententiam vi distortorum, partim vero pseudepigraphorum, inter quae Erechthii episcopi et Iulii papae auctoritates sunt. Erechthii quidem fragmentum iampridem, sed latine tantummodo, Canisius edidit antiq. lect. ed. nov. T. I. p. 527, ex F. Turriani interpretatione; nunc vero id demum a me, lingua sua id est graeca scriptum, vulgatur. Iamvero huius Erechthii, a Timotheo severiano laudati, numquam nomen inter patres auditum ait Cyrus presbyter apud Leontium de sectis act. 8. Et sane antiochenus quoque Ephraemius, apud Photium cod. 228. col. 813, nonnisi hoc ipsum Erechthii fragmentum noverat: et orientis christiani auctor Lequinius T. I. col. 1038 Leontii tantummodo Ephraemiique verbis fretus Erechthium hunc in numerum episcoporum Antiochiae Pisidiae retulit. Erechthium subsequuntur apud Canisium Theodoti ancyrani fragmenta aliquot, quae idcirco a me omittuntur, quia graece latineque occurrunt in Theodoti scriptis apud Gallandium biblioth. T. IX. Enim apud Canisium monophysiticarum χρήσεων nihil aliud est, quia Turrianus praedicta tantum excerpta fecit.

Age vero in observato a me vaticano codice, illam revera monophysiticarum χρήσεων superesse farraginem, quae Ephraemio olim Leontioque ad manus fuit, vel inde apparet, quod hi duumviri Erechthium simul, et Iulium papam, nec non Gregorii thaumaturgi expositionem fidei, praetereaque multas auctoritates Ignatii, Athanasii, Basilii, Gregoriorum, atque Cyrilli alex. in codicibus suis legebant, quorum omnium reapse excerpta in vaticano volumine cumulantur: quamquam a me nonnisi inedita proferenda sunt, Erechthii scilicet, Iulii, Gregorii thaumaturgi (huius enim fidei expositio nonnisi latine extabat hactenus F. Turriano interprete); omissis interim Cyrilli locis quamvis ineditis, quia hos cum aliis sane copiosis Cyrilli scriptis, nondum luce donatis, coniuncturus sum. Denique nequis dubitet, monophysiticam esse vaticani codicis collectionem, testis erit mox titulus Erechthia praepositus: praeter quam quod in codice notissima illa Basilisci et Zenonis impp. pro dogmate monophysitico edicta scribuntur: et denique circa finem codicis fol. 342. b. sic ait scriptor monophysita: ἀναγκαῖον ἡγησάμην καὶ ταῦτα προσθῆναι τῷ βιβλίῳ πρὸς εἴδησιν τῆς ἐν αὐτοῖς κακοπιστίας, necessarium iudicavi sequentia etiam libro huic addere ad demonstrandam ipsorum (*dyophysitarum*) perversam fidem. *Mox homo impius scribit Leonis magni celebres illas ad Flavianum et ad Leonem imp. epistolas, tum synodi chalcedonensis dogmaticam de duabus naturis de-*

Digitized by Google

finitionem, *denique S. Hippolyti adversus Noëti errores homiliam*, *Monophysitis aeque molestam*, *quam latine primum Ioh. A. Fabricius Turriano interprete edidit*, *et mox idem etiam graece beneficio V. C. Montfauconii qui illam ex vaticano codice hauserat.*

Nunc de Iulii papae scriptis dicendum est, *de illis inquam tantummodo*, *quae eidem a Monophysitis fuisse supposita adfirmavit iamdiu Leontius de sectis act.* 8, *nec non Iohannes scythopolitanus in libro meo p.* 144, *et rursus Leontius p.* 145: *tum memorati a Muratorio in dissertatione de Iulii epistola ad Dionysium*, *Facundus hermianensis*, *Evagrius scholasticus*, *atque Baronius*: *quibus accedunt ii passim catholici auctores qui critica methodo de patrum scriptis egerunt*; *instar autem omnium Constantius in appendice ad PP. RR. epistolas pp.* 58. 71. *sqq. Porro ex his pseudepigraphis Iulii scriptis pauciora ante me extabant*; *nempe epistola ad Dionysium corinthium* (*non alexandrinum ut in edd.*), *quam Muratorius e mediolanensi codice edidit*; *epistola ad Prosdocium*, *cuius fragmentum in ephesinae synodi actis*, *seu Cyrilli apologetico*, *sed perperam ut aiunt Leontius Constantiusque obtrusum*, *legebatur*, *aliudque a Sirmondo in notis ad Facundum lib. I.* 5. *laudatum*; *donec integram epistolam ex anglicano codice Lequinius eruit*: *tres aliae denique apud Constantium breves particulae. Nunc in codice vaticano extat epistola ad Dionysium*, *quam utpote editam praetermitto. Extant praeterea inedita scripta* 1. de unitate sive unione Christi corporis cum deitate. 2. *Encyclica epistola ad catholicae ecclesiae episcopos.* 3. *Adversus eos*, *qui propter vocabulum ὁμοού-σιος oppugnabant incarnationem*, *cuius scripti nonnisi pauca verba apud Photium cod.* 229. *col.* 829 *Ephraemius recitaverat. Attamen omnia pseudepigrapha Iulii scripta nondum sunt inventa*; *etenim Leontius de sect. loc. cit. septem Iulio suppositas fuisse epistolas narrat.*

Porro a me de fraude haereticorum et de iniuria nomini Iulii illata disputari post tot doctissimos criticos vanum sit: *quamquam fraus tanto olim astu nexa fuit*, *ut ipsi Cyrillo fucum fecerit*, *nedum aliis priscis quos praedicti critici memorant*: *donec mendacium a sapiente praesertim Leontio nudatum est*, *quod tamen antea alexandrinus Eulogius apud Photium cod.* 230. *col.* 852. *suspicatus fuerat. Sane et orthodoxus ac Monophysitarum osor Ephraemius apud praedictum Photium*, *quamquam haec Iulii scripta videtur recipere*, *attamen auctorem pie defendit. Nam col.* 776. *Iulii fidem eandem fuisse ait*, *quae Gregorii nysseni*, *Cyrilli*, *atque Leonis magni. Tum col.* 812. 813. 829 *orthodoxo sensu naturam unam a Iulio dictam contendit*, *sive quia is φύσιν interdum dixit quam alibi appellavit ὑπόστασιν*, *sive quia unum pro altero indifferenter posuit vocabulum. Addit Eulogius apud eundem Photium cod.* 230. *col.* 852. *aliam defensionem*, *quod nempe apud Romanos nonnisi post Iulii aetatem accurata vocabulorum naturae atque* hypostaseos *distinctio sit cognita. Atque haec pie quidem docteque dicuntur*: *ego nihilo tamen minus Leontii de sect. act.* 8. *sententiam sic amplector*, *ut haec scripta*, *pleraque saltem*, *falso titulo translata ad Iulium censeam.*

Digitized by Google

ΧΡΗΣΕΙΣ ΤΩΝ ΜΑΚΑΡΙΩΝ ΚΑΙ ΟΡΘΟΔΟΞΩΝ ΠΑΤΕΡΩΝ ΚΑΤΑ ΤΩΝ ΜΕΡΙΖΟΝΤΩΝ ΕΙΣ ΔΥΟ ΦΥΣΕΙΣ ΤΟΝ ΕΝΑ ΚΥΡΙΟΝ ΙΗΣΟΥΝ ΧΡΙΣΤΟΝ ΜΕΤΑ ΤΗΝ ΕΝΩΣΙΝ.

ΤΟΥ ΜΑΚΑΡΙΟΥ ΕΡΕΧΘΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΑΝΤΙΟΧΕΙΑΣ ΤΗΣ ΠΕΙΣΙΔΙΑΣ

Ἐξ ὁμιλίας λεχθείσης ἐν τοῖς ἁγίοις θεοφανίοις ἐν τῇ μεγάλῃ ἐκκλησίᾳ Κωνσταντινουπόλεως, καθεζομένου τοῦ μακαρίου ἐπισκόπου Πρόκλου.

Παρὰ Ἡσαΐου τοῦ μεγάλου προφήτου ἠκούσαμεν Θεοῦ κηρυττομένου « παιδίον γὰρ, φησὶν, ἐγεννήθη ἡμῖν, καὶ υἱὸς ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ· καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος, θαυμαστὸς σύμβουλος, θεὸς ἰσχυρὸς, ἐξουσιαστὴς, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος ». Μήτις οὖν ὑμᾶς ἰουδαϊκὸς ἐξαπατήσειεν κλάδος· οὕτω γὰρ καλεῖν τοὺς αἱρετίζοντας ἄξιον, ὡς ἄλλο μὲν τὸ τεχθὲν, ἄλλο δὲ ὁ ἐν αὐτῷ κατοικήσας Θεὸς, καὶ ὡς δύο τοῦ γεννηθέντος αἱ φύσεις· ἂν γάρ τις τοῦτο λέγειν τολμήσειεν, τὸν Ἐμμανουὴλ αὐτῷ μόνον ἀντίθες, καὶ χαλεπὸν σιωπῆς τὴν τοῦ ὀνόματος ὑποδέξεται μνήμην· οὐ γὰρ δύο φύσεις ἀλλὰ σαρκωθέντα Θεὸν ἡ παρθένος μυστικῶς ἀπεκύησεν, δεξαμένη τὴν τοῦ πνεύματος ἐπιφοίτησιν· εἰ μὲν γὰρ ἀνθρωπίνης σπορᾶς βλάστημα ἦν ὁ Χριστὸς, συνετίθεμεν ἂν, τὸν καρπὸν κατὰ τὴν φύσιν μιμεῖσθαι τὴν ῥίζαν· εἰ δὲ ἐκ πνεύματός ἐστιν ἁγίου, κατὰ τὴν τοῦ ἀρχαγγέλου φωνὴν, Θεὸς ὁ τεχθεὶς, ἐπειδὴ καὶ θεὸς ὁ τῆς γεννήσεως πρόξενος.

ΤΟΥ ΜΑΚΑΡΙΟΥ ΙΟΥΛΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΡΩΜΗΣ

Περὶ τῆς ἐν Χριστῷ ἑνότητος τοῦ σώματος πρὸς τὴν θεότητα (1).

Ἅγιον ἐξ ἀρχῆς γέννημα καλῶς ὁμολογεῖται καὶ κατὰ τὸ σῶμα ὁ κύριος, καὶ κατὰ τοῦτο διαλλάττει παντὸς σώματος· οὐδὲ γὰρ ὅλως ἐν μήτρᾳ συνελήφθη χωρὶς θεότητος ἀλλ' ἡνωμένος πρὸς ταύτην, ὡς ὁ ἄγγελός φησιν « πνεῦμα ἅγιον ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἅγιον, κληθήσεται υἱὸς Θεοῦ ». Καὶ νῦν οὐρανία κάθοδος οὐ μόνον γέννησις ἡ ἐκ γυναικός· εἴρηται γὰρ οὐ μόνον τὸ γενόμενον ἐκ γυναικὸς, γενόμενον ὑπὸ νόμον, ἀλλὰ « καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς ὁ υἱὸς τοῦ ἀνθρώπου ». Καὶ οὐκ ἔστιν ἰδίως κτίσμα τὸ σῶμα εἰπεῖν, ἀχώριστον ὂν ἐκείνου πάντως οὗ σῶμά ἐστιν, ἀλλὰ τῆς τοῦ ἀκτίστου κεκοινώνηκεν ἐπωνυμίας καὶ τῆς τοῦ Θεοῦ κλήσεως, ὅτι πρὸς ἑνότητα Θεῷ συνῆπται· καθὰ λέγεται ὅτι « ὁ λόγος σὰρξ ἐγένετο ». Καὶ παρὰ τῷ ἀποστόλῳ « ὁ ἔσχατος Ἀδὰμ εἰς πνεῦμα ζωοποιοῦν ». Δεῖ δὲ ἡμᾶς, ὥσπερ τὰ ἔνδοξα τῷ σώματι προσάπτομεν ἐκ τῆς θείας συλλήψεως καὶ τῆς πρὸς Θεὸν ἑνότητος, οὕτω καὶ τὰ ἄδοξα τὰ ἐπὶ τοῦ σώματος μὴ ἀρνεῖσθαι, ὥσπερ ἐστὶ τὸ γεννηθῆναι ἐκ γυναικὸς κατὰ τὸν ἀπόστολον, καὶ τὸ πλασθῆναι ἐκ κοιλίας δοῦλον Θεοῦ κατὰ τὸν προφήτην, τὸ ὅλως ἄνθρωπον ὀνομάζεσθαι καὶ υἱὸν ἀνθρώπου, τὸ ἀριθμεῖσθαι μετὰ Ἀβραὰμ πολλὰς γενεὰς μεθ' ἃς γέγονεν ἄνθρωπος, ἀνθρωπίνως μέντοι καὶ λέγειν καὶ ἀκούειν χρή.

Ὥσπερ ὅτε ὅλον ἄνθρωπος καλεῖται, μήτις ἀρνήσηται τὴν θείαν οὐσίαν τὴν τῷ ὀνόματι μετὰ τοῦ σώματος δηλουμένην· καὶ ὅτι δοῦλος κατὰ τὸ σῶμα ὀνομάζεται, μήτις ἀρνήσηται τὴν κυριευτικὴν φύσιν δουλείας ὀνόματι μετὰ τοῦ σώματος δηλουμένην· καὶ πάλιν ὅτι καταβεβηκὼς ἐξ οὐρανοῦ κηρύσσεται ἄνθρωπος ἐπουράνιος, μήτις ἀρνείσθω

(1) Confer Leontium nostrum p. 144. Ibi enim ego deficientem titulum ex hoc supplevi.

τὸν τοῦ σώματος ἀπὸ γῆς πρὸς θεότητα συμπλοκήν. Οὐ διατέμνεται μὲν γὰρ οὐδὲ πράγματι οὐδὲ ὀνόματι ὅτε δοῦλος ὁ κύριος καλεῖται, καὶ ὅτε πλαστὸς ὁ ἄκτιστος ὀνομάζεται, τῇ συναφείᾳ τῇ πρὸς τὴν τοῦ δούλου μορφὴν καὶ πρὸς τὸ πλασσόμενον σῶμα· ὁμολογεῖται (1) δὲ ἐν αὐτῷ τὸ μὲν εἶναι κτιστὸν, ἐν ἑνότητι τοῦ ἀκτίστου· τὸ δὲ ἄκτιστον, ἐν συγκράσει τοῦ κτιστοῦ, φύσεως μιᾶς ἐξ ἑκατέρου μέρους συνισταμένης, μερικὴν ἐνέργειαν καὶ τοῦ λόγου συντελέσαντος εἰς τὸ ὅλον μετὰ τῆς θεϊκῆς τελειότητος, ὅπερ ἐπὶ τοῦ κοινοῦ ἀνθρώπου ἐκ δύο μερῶν ἀτελῶν γίνεται, φύσιν μίαν πληρούντων καὶ ἑνὶ ὀνόματι δηλουμένων· ἐπεὶ καὶ σὰρξ τὸ ὅλον καλεῖται, μὴ περιαιρουμένης ἐν τούτῳ τῆς ψυχῆς· καὶ ψυχὴ τὸ ὅλον προσαγορεύεται, οὐ περιαιρουμένου τοῦ σώματος, εἰ καὶ ἕτερόν τι ἐστὶ παρὰ τὴν ψυχήν.

Ὁ θεὸς οὖν ὁ ἐνανθρωπήσας ὁ κύριος καὶ προέχων τῆς γεννήσεως εἰ καὶ γεγέννηται ἀπὸ γυναικὸς, κύριος ὢν εἰ καὶ μεμόρφωται κατὰ τοὺς δούλους, πνεῦμα ὢν εἰ καὶ σὰρξ κατὰ τὴν ἕνωσιν τῆς σαρκὸς ἀποδείκνυται, οὐκ ἄνθρωπος ὢν κατὰ τὸν ἀπόστολον εἰ καὶ ἄνθρωπος ὑπὸ τοῦ αὐτοῦ κηρύττεται καὶ τὸ ὅλον εἰπεῖν, ἀόρατος θεὸς ὁρατῷ σώματι μεταμορφούμενος ἄκτιστος θεὸς κτιστῇ περιβολῇ φανερούμενος, κενώσας μὲν ἑαυτὸν κατὰ τὴν μόρφωσιν, ἀκένωτος δὲ καὶ ἀναλλοίωτος καὶ ἀνελάττωτος κατὰ τὴν θείαν οὐσίαν· οὐδεμία γὰρ ἀλλοίωσις περὶ θείαν φύσιν, οὐδὲ ἐλαττοῦται, οὐδὲ αὐξάνεται· καὶ ὅτε λέγει δόξασόν με, ἀπὸ σώματος ἡ φωνὴ, καὶ περὶ σῶμα ὁ δοξασμὸς, ἐπὶ τοῦ ὅλου λεγόμενος· διότι τὸ ὅλον ἐστὶν ἕν. Καὶ πάλιν ἐπάγων, τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοὶ, τὴν ἔνδοξον ἀεὶ θεότητα δηλοῖ, εἰ καὶ ἰδίως θεότητι πρέπει τοῦτο, καί τοι κοινῶς ἐπὶ τοῦ ὅλου ῥηθέν. Οὕτως καὶ θεῷ ὁμοούσιος κατὰ τὸ πνεῦμα τὸ ἀόρατον, συμπεριλαμβανομένης τῷ ὀνόματι καὶ τῆς σαρκὸς, ὅτι πρὸς τὸν ὁμοούσιον τῷ πατρὶ λόγον ἥνωται. Καὶ πάλιν ἀνθρώποις ὁμοούσιος, συμπεριλαμβανομένης καὶ τῆς θεότητος τῷ σώματι, ὅτι πρὸς τὸ ἡμῖν ὁμοούσιον ἡνώθη· οὐκ ἐλαττουμένης τῆς τοῦ σώματος φύσεως ἐν τῇ πρὸς τὸν θεὸν ὁμοουσίῳ ἑνώσει, καὶ τῇ κοινωνίᾳ τοῦ ὁμοουσίου ὀνόματος· ὥσπερ οὐδὲ ἡ τῆς θεότητος ἀλλάττεται φύσις ἐν τῇ κοινωνίᾳ τοῦ ἀνθρωπίνου σώματος, καὶ τῇ ὀνομασίᾳ τῆς ἡμῖν ὁμοουσίου σαρκός.

Καὶ γὰρ ὁ Παῦλος λέγων « τοῦ γενομένου » ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα » τὸν υἱὸν εἶπεν τοῦ θεοῦ τὴν γέννησιν ταύτην ἀναδεδέχθαι, καὶ οὐχὶ τὴν σάρκα χωρὶς ὀνομάσας εἴρηκεν, ἡ σὰρξ ἐγένετο ἐκ σπέρματος Δαβίδ. Καὶ ὅτε λέγει « τοῦτο φρονείσθω ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῷ » Ἰησοῦ, ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων, οὐχ » ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ » οὐ χωρίσας εἶπεν οὐ ἡ θεότης ἐν μορφῇ θεοῦ οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ· καίτοι ἡ θεότης οὔτε Ἰησοῦς ὠνόμασται πρὸ τῆς ἐκ παρθένου γεννήσεως, οὔτε τὴν ἐν ἁγίῳ πνεύματι χρίσιν ἔσχηκεν, ὅτι δοτὴρ τοῦ πνεύματος ὁ τοῦ θεοῦ λόγος, οὐχ ἁγιαζόμενος ἐν πνεύματι. Καὶ λέγει ὑπὲρ αὐτῶν, ἐγὼ ἁγιάζω ἐμαυτὸν, ἵνα ὦσιν αὐτοὶ ἡγιασμένοι ἐν ἀληθείᾳ· οὐ χωρίζων, καὶ λέγων, ἁγιάζω ἐμαυτόν. Καίτοι τῷ σκοποῦντι μετὰ ἀκριβείας οὐ δυνατὸν αὐτὸν ὑφ' ἑαυτοῦ ἁγιάζεσθαι· εἰ γὰρ ὁ λόγος ἁγιάζει, τί τὸ ἁγιαζόμενον; εἰ ὁ σύμπας ἁγιάζεται, τί τὸ ἁγιάζον; ἀλλ' ὅμως φυλάττων τὸ ἓν πρόσωπον, καὶ τὴν ἀμέριστον ἑνὸς ζώου δήλωσιν, τό τε ἁγιάζον καὶ τὸ ἁγιάζεσθαι καθ' ὅλου τίθησιν, ἵν' ἀκριβὲς ἡμῖν ᾖ καὶ σαφὲς ὅτι οὐ κατὰ τὸν προφητικὸν οὐδὲ κατὰ τὸν ἀποστολικὸν τρόπον ἄλλος ἄλλον ἁγιάζει, καθάπερ τὸ πνεῦμα τοὺς προφήτας καὶ τοὺς ἀποστόλους, ὥσπερ ὁ Παῦλος φησὶ περὶ τῆς πάσης ἐκκλησίας « κλητοῖς ἁγίοις καὶ ἡγιασμένοις » ἐν Χριστῷ Ἰησοῦ ». Καὶ αὐτὸς ὁ σωτὴρ περὶ τῶν ἀποστόλων « ἁγίασον αὐτοὺς ἐν ἀλη-

(1) Confer fragmentum a Leontio laudatum loc. cit. et p. 147, cum eiusdem Leontii crist., quo Apollinari tribuit. Et quidem p. 147. in titulo est περὶ ἑνώσεως (non ἑνότητος) quod confirmat Ephremius apud Photium cod. 229. col. 808, quamquam Eulogius col. 849. inscribit περὶ ὁμοουσίου.

θείᾳ ». Ὅλη γὰρ ἡ ἀνθρωπίνη φύσις ἐν τῷ ἁγιάζειν. Καὶ τὸ ἀγγελικὸν τάγμα, ὡς αὐτὸς καὶ πᾶσα ἡ κτίσις ἁγιαζομένη ἐστὶ καὶ φωτιζομένη· ἁγιάζον δὲ τὸ πνεῦμα καὶ φωτίζον· ἁγιάζων δὲ ὁ λόγος διὰ τοῦ πνεύματος καὶ φωτίζων, ἁγιαζόμενος δὲ οὐδαμῶς· κτίστης γὰρ καὶ οὐ κτίσμα. Ἀλλὰ ἐνταῦθα τὸ ἁγιάζεσθαι ἔνθα καὶ τὸ σωματοῦσθαι· καὶ διῄρηται μὲν τὰ πράγματα, ἥνωται δὲ κατὰ τὴν τῆς σαρκὸς πρὸς θεότητα ἕνωσιν, ὥστε μὴ διαστέλλεσθαι ἕτερον τὸν ἁγιάζοντα καὶ ἕτερον τὸν ἁγιαζόμενον· καὶ αὕτη δὲ ὅλως ἡ σάρκωσίς ἐστιν ἁγιασμός.

Ὁ γὰρ σωτὴρ πρὸς τοὺς λέγοντας « σὺ ἄνθρωπος ὢν ποιεῖς σεαυτὸν θεόν », ἀποδίδωσι τῆς ἰδίας ἀνθρωπότητος τὸν λόγον λέγων « ὃν ὁ πατὴρ ἡγίασεν καὶ ἀπέστειλεν εἰς τὸν » κόσμον, ὑμεῖς λέγετε ὅτι βλασφημεῖς, ὅτι εἶ» πον υἱὸς θεοῦ εἰμί »; Τίνα λέγων ἐνταῦθα ἁγιασμόν, ἢ τὸν τῆς σαρκὸς ὑπὸ τῆς θεότητος; οὕτω γὰρ ἔζησεν τὸ σῶμα θεότητος ἁγιασμῷ, καὶ οὐκ ἀνθρωπίνης ψυχῆς κατασκευῇ (1), καὶ ὅλως τὸ ὅλον ἐν συναφείᾳ. Καὶ ἐνταῦθα « ὃν πατήρ, φησίν, ἡγίασε καὶ ἀπέστειλεν » τὸ ἁγιάζον ἅμα καὶ τὸ ἁγιαζόμενον ἁγιάζεσθαι λέγει, τῷ ἁγιαζομένῳ συνάψας τὸ ἁγιάζον. Καὶ ἑρμηνεύει γε ἀλλαχοῦ τὸν ἁγιασμὸν τοῦτον, ὅτι γέννησις ἦν ἡ ἐκ παρθένου. « Ἐγὼ γὰρ εἰς τοῦτο γεγέννημαι, καὶ εἰς τοῦτο » ἐλήλυθα εἰς τὸν κόσμον, ἵνα μαρτυρήσω τῇ » ἀληθείᾳ ». Ἐκ θελήματος μὲν γὰρ σαρκὸς καὶ ἐκ θελήματος ἀνδρὸς ὁ κοινὸς ἄνθρωπος ψυχοῦται καὶ ζῇ, τῆς ἐκπεμπομένης σπερματικῆς ὕλης ἐπιφερούσης τὴν ζωοποιὸν δύναμιν εἰς τὴν ὑποδεχομένην μήτραν· ἐκ δὲ πνεύματος ἐφόδου καὶ δυνάμεως ἐπισκιασμοῦ τὸ ἅγιον ἐκ τῆς παρθένου συνίσταται βρέφος, οὐ σπερματικῆς ὕλης ἐργαζομένης τὴν θείαν ζωήν, ἀλλὰ πνευματικῆς καὶ θεϊκῆς δυνάμεως ἐνδιδούσης τῇ παρθένῳ τὴν θείαν κύησιν καὶ χαριζομένης τὸν θεῖον τοκετόν.

Οὕτω δὲ κατὰ τὸν τῆς ἑνότητος τρόπον, καὶ τὸ ὑψοῦσθαι Χριστόν, καὶ τὸ χαρισθῆναι αὐτῷ τὸ ὄνομα, τὸ ὑπὲρ πᾶν ὄνομα, καίτοι τῆς ὑψώσεως ἰδίας οὔσης ἐπὶ τῆς κάτωθεν ἀναβαινούσης σαρκός· ἀλλ' ὅτι οὐκ ἰδιαζόντως ἀναβαίνει, διὰ τοῦτο κοινῶς ὀνομάζεται τὸ ὅλον ὑψούμενον, καὶ τὸ κεχαρίσθαι δὲ αὐτῷ περὶ τὴν ἐξ ἀδοξίας δοξαζομένην σάρκα συνίσταται· οὐ γὰρ τῷ ἀεὶ τὴν δόξαν ἔχοντι λόγῳ προστίθεται δόξα διὰ χάριτος· ὅπερ γὰρ ὑπῆρχεν καὶ μεμένηκεν, ἐν μορφῇ θεοῦ ὑπάρχων, καὶ ἦν ἴσα θεῷ· ἴσον γὰρ θεῷ καὶ ἐν τῇ σαρκὶ λέγει κατὰ τὸν Ἰωάννην, πατέρα ἴδιον αὐτοῦ λέγων γὰρ τὸν θεόν, καὶ ἴσον ἑαυτὸν ποιῶν τῷ θεῷ· οὐκ ἄρα μετέπεσεν ἡ πρὸς θεὸν ἰσότης, ἀλλ' ἀναλλοιώτως ἡ θεότης ἔμεινεν ἐν ταυτότητι· ἃ δὲ ἔχει, λαμβάνειν οὐ δυνατόν· ὥσπερ τῆς σαρκὸς ὅπερ οὐκ ἔχει λαμβανούσης, τὸ ἀπαθὲς ἐκ τῶν παθημάτων, τὸ οὐράνιον ἐκ τῆς κατὰ γῆν διατριβῆς, τὸ βασιλικὸν ἐκ τῆς ἐν ἀνθρώποις δουλείας, τὸ προσκυνεῖσθαι ὑπὸ πάσης τῆς κτίσεως ἐκ τοῦ προσκυνεῖν· ἐπὶ τοῦ ὅλου λέγεται τὸ κεχαρίσθαι αὐτῷ τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα. Καὶ εἴτις χωρίζειν τολμᾷ τὸ τῆς χάριτος ῥῆμα, καὶ τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, οὐδέτερον οἰκείως λεχθήσεται· εἰ γὰρ τῷ λόγῳ κεχάρισται ὡς οὐκ ἔχοντι, οὐδέποτε διὰ χάριτος δίδοται τὸ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα· καὶ εἰ οὐκ ἀπὸ δόσεως ἀλλ' ἀπὸ φύσεως ἔχει ταῦτο, ὥσπερ ἔχει κατὰ θεότητα, οὐ δυνατόν ἐστι τοῦτο δοθῆναι αὐτῷ· ὅθεν ἐξ ἀνάγκης καὶ τὸ σωματικὸν καθόλου, καὶ τὸ θεϊκὸν καθόλη λέγεται· καὶ ὁ μὴ δυνάμενος ἐν τοῖς ἡνωμένοις διαφόρως εἰδέναι τί τὸ ἴδιον ἑκατέρου, ἐναντιώμασιν ἀσυμφώνως περιπεσεῖται ὁ

(1) Hunc locum legebat Leontius noster p. 144, atque inde arguebat Apollinaris esse hoc scriptum, cuius error notissimus fuit Christo animam eripientis, eiusque vice divinitatem fungi putantis. Et quidem huic errori contradicet mox Iulius p. 168. col. 2.

δὲ καὶ τὰ ἴδια γινώσκων καὶ τὴν ἕνωσιν φυλάσσων, οὔτε τὴν φύσιν (1) ψεύσεται, οὔτε τὴν ἕνωσιν ἀγνοήσει.

ΙΟΥΛΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΡΩΜΗΣ ΕΓΚΥΚΛΙΟΝ.

Τοῖς πανταχοῦ ἐπισκόποις τῆς καθολικῆς ἐκκλησίας ἀγαπητοῖς ἀδελφοῖς Ἰούλιος ἐν Χριστῷ χαίρειν.

Πέπεισμαι μὲν, ἀγαπητοὶ ἀδελφοὶ, τὴν πίστιν ὑμῶν τὴν περὶ τὸν κύριον καὶ θεὸν καὶ βασιλέα, ἐκ τῆς ἐκκλησιαστικῆς ἱστορίας, ἀπὸ τοῦ Ὠσηὲ τοῦ προφήτου περὶ τοῦ θεοῦ λόγου καὶ τοῦ πατρὸς ὡς περὶ κυρίου « οὐ μὴ ἐγκαταλείπω τοῦ ἐξαλειφθῆναι τὸν Ἰακώβ· ὅτι θεός ἐγώ εἰμι, καὶ οὐκ ἄνθρωπος ἐν σοὶ ἅγιος· καὶ οὐκ εἰσελεύσομαι εἰς πόλιν· ὀπίσω κυρίου πορεύσομαι ». Ταῦτα καὶ ἔξω τούτων ὅσα ὁ θεὸς λόγος ἐνανθρωπήσας, πρὸς τοὺς ἀνθρώπους αὐτὸν ἁπλῶς ἄγιον, ἀλλ' οὐ θεὸν τῇ ὁμολογοῦντας, θεὸς ἐγώ εἰμι καὶ οὐκ ἄνθρωπος. Πιστεύω τῇ ἐν μιᾷ θεότητι καὶ οὐσίᾳ δοξαζομένῃ τε καὶ προσκυνουμένῃ τριάδι, τουτέστι πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι· καὶ τῇ ἐξ οὐρανῶν καθόδῳ, καὶ ἐξ ἁγίας παρθένου Μαρίας σαρκώσει, καὶ ἐπιφανείᾳ τοῦ θεοῦ λόγου καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἐν ἀνθρώποις φανερώσει αὐτοῦ ὄντος θεοῦ καὶ ἀνθρώπου· οὐκ ἄλλου μὲν θεοῦ, ἄλλου δὲ ἀνθρώπου, ἀλλὰ μίαν ὑπόστασιν καὶ ἓν πρόσωπον (2) τοῦ θεοῦ λόγου καὶ τῆς ἐκ Μαρίας σαρκὸς, ἐκ θεοῦ καὶ ἐκ γυναικὸς, τοῦ αὐτοῦ παθητοῦ καὶ ἀπαθοῦς, σαρκὶ μὲν πάσχοντος καὶ τὸ ἡμέτερον πάθος ἀναδεχομένου, θεότητι δὲ πάθος διαλύοντος, καὶ θανάτῳ σωτηρίῳ τὸν ἡμέτερον θάνατον καταλύσαντος, φωτίσαντος δὲ ζωὴν, καὶ ἀφθαρσίαν πιστοῖς δωρουμένου, μελλόντων ἀγαθῶν ἀπόλαυσιν, καὶ βασιλείας οὐρανίου καὶ θεϊκῆς σὺν δόξῃ κληρονομίαν.

ΙΟΥΛΙΟΥ ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΡΩΜΗΣ

Πρὸς τοὺς κατὰ τῆς θείας τοῦ λόγου σαρκώσεως ἀγωνιζομένους (3) προφάσει τοῦ ὁμοουσίου.

Μηδεὶς κατειρωνευζέτω τὴν δεσποτικὴν καὶ σωτήριον σάρκα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ προφάσει τοῦ ὁμοουσίου· οὔτε γὰρ ἡμεῖς, οὔτε ἡ ἡμετέρα σύνοδος, οὔτε τίς τῶν ἀνθρώπινον λογισμὸν ἐχόντων, σῶμα καθ' ἑαυτὸ ὁμοούσιον λέγει ἢ φρονεῖ· ἀλλ' οὐδ' ἐξ οὐρανοῦ τὴν σάρκα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ λέγομεν, ἀλλ' ἐκ τῆς ἁγίας παρθένου Μαρίας ὁμολογοῦμεν σεσαρκῶσθαι τὸν θεὸν λόγον· καὶ οὐ διαιροῦμεν αὐτὸν ἀπὸ τῆς αὐτοῦ σαρκὸς, ἀλλ' ἔστιν ἓν πρόσωπον (4), μία ὑπόστασις, ὅλος ἄνθρωπος, ὅλος θεός· εἰ οὖν καθ' ὁμοιότητα τοῦ ἀνθρώπου πιστεύομεν ἐληλυθέναι τὸν δεσπότην ἡμῶν Ἰησοῦν Χριστὸν, ἐξ αὐτῆς τῆς παρθενικῆς συλλήψεως καθ' ἣν καὶ θεοτόκος ἀποδέδεικται ἡ παρθένος, καὶ τοῦτο ἐστὶ τὸ μυστήριον τῆς σωτηρίας ἡμῶν τὸ σαρκωθῆναι τοῦ θεοῦ λόγον, ἀχώριστός ἐστι καὶ ἀμέριστος τῆς ἑαυτοῦ σαρκός· καὶ κατὰ τὴν πρὸς θεὸν λόγον ἕνωσιν τῆς κατὰ τὴν φύσιν ὁμοουσιότητος τοῦ λόγου τῆς πρὸς τὸν πατέρα ἐπικοινωνεῖ τῷ ὀνόματι ἡ νεκρῶς ψυχοῦσα σὰρξ αὐτοῦ, οὗ καὶ σάρξ ἐστιν· εἴ γε ἀληθῶς σάρκα ὁμολογοῦμεν γεγενῆσθαι τοῦ θεοῦ λόγου· εἰ δὲ μὴ ἐπικοινωνεῖ, πάντη ἀπαλλοτριοῦται· οὔτε γὰρ σωτηρία ἐκ τῆς σαρκώσεως ἐπηκολούθει τοῖς πιστοῖς ἐκτὸς τῆς θείας τριάδος ὑπαρχούσης· οὐδὲν γὰρ προσκυνητὸν οὐδὲ σωτήριον ἐκτὸς τῆς θείας τριάδος· ἀλλὰ περιττὴ τίς καὶ ἄκαιρος αὐτοῖς ἀποδειχθήσεται ἡ σάρ-

(1) Ita codex τὴν φύσιν. Sed τὰς φύσεις legebat S. Cyrillus, teste etiam Leontio nostro p. 151, quo loco codex quidem Leontii habet in titulo κατ' αὐτὴν, sed tamen dicendum est κατ' Ἔφεσον, si certe et aliis, et Leontio credimus contra Nest. et Eutych. lib. I. p. 552., qui aiunt hunc Iulii locum in ephesina synodo, ut reapse ibi legitur, fuisse recitatum. Item τὰς φύσεις legebat Severus apud nos p. 136; denique etiam Ephraemius apud Photium cod. 229. col. 829.

(2) En hic dicitur una persona, non una natura. Confer Eulogii observationem apud nos p. 164.

(3) Hunc titulum legebat etiam Ephraemius, teste Photio cod. 229. col. 813.

(4) Rursus recte *una persona*, sed tamen infra *una natura*. Indifferenter scilicet Iulius loquitur, ut iam cum Eulogio diximus.

Digitized by Google

κασις, ψεῦδος δὲ εὑρεθήσονται κατ' αὐτοὺς καὶ τὰ τῶν θείων γραφῶν, οἷον τὸ « ὁ λόγος » σὰρξ ἐγένετο » καὶ τὸ « ἐτέχθη ἡμῖν σή- » μερον Ἰησοῦς Χριστὸς ἐν πόλει Δαβίδ ». Ψεῦδος δὲ καὶ τὸ, Θεὸς ἰσχυρὸς, καὶ τὸ παιδίον, καὶ πάντα τὰ τούτοις ὅμοια· ἀλλ' οὐδὲ Θεοτόκος ἡ παρθένος ἔτι πιστευθήσεται, ὅπερ ἀθέμιτον, καὶ ἀσεβὲς τὸ τοιοῦτον, καὶ ἀλλότριον πάσης θεοσεβοῦς ψυχῆς· ἀνατραπήσεται γὰρ αὐτοῖς πᾶσα ἐλπὶς χριστιανῶν, καὶ αὐτὸς ὁ χριστιανισμὸς εἰς οὐδὲν λογισθήσεται· οὐδὲ γὰρ τὸ μέγα καὶ τίμιον δῶρον τὸ χριστιανῶν τὸ εἰς τὸν θάνατον τοῦ Χριστοῦ τελούμενον λουτρὸν, θεῖόν τι λογισθήσεται ἀλλὰ ἀνθρώπινον, εἴ γε οὐδὲ ἐναρίθμιός ἐστι τῇ θείᾳ τριάδι ἡ σάρκωσις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἡμῖν δὲ ὁμολογητέον υἱὸν θεοῦ καὶ ἀληθινὸν τὸν πρὸ αἰῶνος, τὸν ὁμοούσιον τῷ πατρὶ Χριστὸν Ἰησοῦν τὸν κύριον ἡμῶν, ὃν ἡ παρθένος ἐγέννησε σωτῆρα καὶ λυτρωτήν· καὶ τούτῳ τὴν προσκύνησιν ὀφειλόντως προσφέρομεν· καὶ οὐκ ἀφορίζεται τῆς προσκυνήσεως ἡ σὰρξ αὐτοῦ· ἀδύνατον γὰρ μὴ διοριζομένης τῆς θείας ζωῆς, διορίζεσθαι τὰ τῆς προσκυνήσεως· οὗ γάρ τις τὴν σάρκα οὐ προσκυνεῖ, τοῦτον οὐ προσκυνεῖ· οὐκοῦν ἐν τῇ ἑνώσει τοῦ λόγου πρὸς τὴν ἔμψυχον καὶ λογικὴν αὐτοῦ (1) σάρκα, ὡς ἑνὶ υἱῷ μία καὶ προσκύνησις προσφέρεται παρ' ἡμῶν, ὡς ὁ εὐαγγελιστὴς μίαν ζωὴν τοῦ λόγου καὶ τῆς σαρκὸς εὐαγγελιζόμενος « ὁ λόγος, φησὶ, σὰρξ ἐγέ- » νετο ». Οὐκοῦν εἰ σὰρξ ὁ λόγος γέγονεν, τὸν λόγον προσκυνῶν τίς, τὴν σάρκα προσκυνεῖ· καὶ τὴν σάρκα προσκυνῶν τίς, τὴν θεότητα προσκυνεῖ· καὶ οἱ προσκυνοῦντες τὸν Χριστὸν Ἰησοῦν ἀπόστολοι τῷ σώματι προσκυνοῦντες, τὸν θεὸν λόγον προσεκύνουν· καὶ ἄγγελοι δὲ αὐτῷ διηκόνουν ὡς ἂν ἰδίῳ δεσπότῃ τῷ σώματι προσιόντες· καὶ ἡ παρθένος ἀπ' ἀρχῆς σάρκα τεκοῦσα, τὸν λόγον ἔτεκεν, καὶ ἦν θεοτόκος· καὶ ἰουδαῖοι τὸ σῶμα σταυρώσαντες, τὸν θεὸν ἐσταύρωσαν· καὶ οὐδεμία διαίρεσις τοῦ λόγου καὶ τῆς σαρκὸς αὐτοῦ ἐν ταῖς θείαις προφέρεται γραφαῖς, ἀλλ' ἔστι μία φύσις, μία ὑπόστασις, μία ἐνέργεια, ἓν πρόσωπον, ὅλος θεὸς, ὅλος ἄνθρωπος ὁ αὐτός· οὐσία γὰρ αὐτοῦ κατὰ μὲν τὸ ἀόρατον ἡ θεότης, κατὰ δὲ τὸ ὁρατὸν ἡ σάρξ· οὔτε οὖν ἀλλοτριοῦται, οὔτε μεμέρισται τῆς θείας τριάδος ἡ σάρκωσις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ γὰρ ἐν τῇ τῆς τριάδος ἐξαριθμήσει ἐστὶ τὸ βάπτισμα τὸ εἰς ἄφεσιν ἁμαρτιῶν, καὶ σαρκὸς ἀνάστασιν διδόμενον, ὅπερ ἐστὶ θεότητος ἔργον καὶ οὐ κτιστῆς φύσεως· ἓν γὰρ καὶ ταυτὸν τὸ σῶμα καὶ ὁ θεὸς, οὗ τὸ σῶμα· οὐ μεταβληθείσης τῆς σαρκὸς εἰς τὸ ἀσώματον, ἀλλ' ἐχούσης καὶ τὸ ἴδιον τὸ ἐξ ἡμῶν κατὰ τὴν ἐκ παρθένου γέννησιν, καὶ τὸ ὑπὲρ ἡμᾶς κατὰ τὴν τοῦ θεοῦ λόγου σύγκρασιν ἤτοι ἕνωσιν.

(1) Ergo auctor huius scripti agnoscebat in Christo animam rationalem, secus ac dicitur in superiore scripto p. 167. col. 1. Confer ibi adn. 1.

ΓΡΗΓΟΡΙΟΥ ΜΕΓΑΛΟΥ ΘΑΥΜΑΤΟΥΡΓΟΥ

ΚΑΤΑ ΜΕΡΟΣ ΠΙΣΤΙΣ.

Ἔχθιστοι καὶ ἀλλότριοι τῆς ἀποστολικῆς ὁμολογίας οἱ τὸν υἱὸν ἐξ οὐκ ὄντων καὶ ἀποστολομένης ἀρχῆς εἶναι ἐπίκτητον λέγοντες τῷ πατρί· καὶ οἱ περὶ τοῦ ἁγίου πνεύματος τὰ αὐτὰ διακονούμενοι· οἱ θέσει καὶ χάριτι θεοποιεῖσθαι λέγοντες τὸν υἱὸν, καὶ τὸ πνεῦμα τὸ ἅγιον ἁγιάζεσθαι· οἱ τὸ τοῦ υἱοῦ κοινοποιοῦντες ὄνομα πρὸς τοὺς δούλους, καὶ πρωτότοκον κτίσεως οὕτω λέγοντες, ὡς ὁμοίως ἐκ τοῦ μὴ εἶναι καὶ αὐτὸν ὄντα, καὶ ὡς πρῶτον πεποιημένον, καὶ οὐχ ὁμολογοῦντες μονογενῆ υἱὸν, μόνον ὄντα τῷ πατρὶ, δεδωκότα δὲ ἑαυτὸν εἰς συναρίθμησιν τῶν θνητῶν, καὶ οὕτω πρωτότοκον ἀριθμούμενον· οἱ τὴν γέννησιν τοῦ υἱοῦ τὴν ἐκ πατρὸς ἀνθρωπίνως περιγράφοντες διαστήματι μετρημένῳ, καὶ οὐκ ἄναρχον τὸν αἰῶνα τοῦ γεννήτορος καὶ τοῦ γεννήματος ὁμολογοῦντες· οἱ τρεῖς ἀκοινωνήτους καὶ ξένας εἰσάγοντες λατρείας, μιᾶς καὶ μόνης οὔσης τῆς νομίμου θρησκείας, ἣν ἄνωθεν ἐκ νόμου καὶ προφητῶν παραλαβόντες ἔχομεν καὶ ὑπὸ τοῦ κυρίου βεβαιωθεῖσαν, καὶ ὑπὸ τῶν ἀποστόλων κεκηρυγμένην· ἀλλότριοι δὲ οὐχ ἧττον καὶ οἱ τὴν τριάδα μὴ κατὰ ἀλήθειαν ἐκ τριῶν προσώπων ὁμολογοῦντες, ἀλλ' ἐν μονάδι τὸ τριπλοῦν ἀσεβῶς κατὰ σύνθεσιν φανταζόμενοι· καὶ σοφίαν ἐν θεῷ τὸν υἱὸν ὡς ἐν ἀνθρώπῳ τὴν ἀνθρωπίνην ἡγούμενοι, δι' ἧς ὁ ἄνθρωπός ἐστι σοφὸς, καὶ λόγον ὁμοίως τῷ κατὰ προφορὰν ἢ διάνοιαν εἰκαζόμενοι, οὐδαμῶς ὑποστάσει οὐδὲ μόνῃ.

Ἐκκλησιαστικὴ δὲ ὁμολογία καὶ κόσμου σωτήριος πίστις ἡ περὶ τῆς τοῦ λόγου σαρκώσεως, δόντος μὲν ἑαυτὸν ἀνθρωπίνῃ σαρκὶ ἣν ἐκ Μαρίας προσελάβετο, μείναντος δὲ ἐν ταυτότητι, καὶ μηδεμίαν θείαν μετακίνησιν μηδὲ ἀλλοίωσιν ὑποστάντος, συναφθέντος δὲ πρὸς τὴν σάρκα καθ' ὁμοίωσιν ἀνθρωπίνην, ὥστε τὴν σάρκα πρὸς τὴν θεότητα ἑνωθῆναι, τῆς θεότητος τὸ παθητικὸν τῆς σαρκὸς ἐν τῇ τοῦ μυστηρίου πληρώσει ἀνηρπακυίας· μετὰ δὲ θανάτου κατάλυσιν περὶ τὴν σάρκα τὴν ἁγίαν ἀπάθειαν δεικνὺς καὶ ἄτρεπτος ἀθανασία· ἀπειλημμένου μὲν τοῦ κατ' ἀρχὴν ἀνθρωπίνου κάλλους ἐν τῇ τῆς θεότητος δυνάμει, χορηγουμένου δὲ ἐπὶ πάντας ἀνθρώπους ἐν τῇ τῆς πίστεως οἰκειώσει.

Εἰ δέ τινες καὶ ἐνταῦθα παραχαράττουσι τὴν ἱερὰν πίστιν, ἢ τῇ θεότητι τὰ ἀνθρώπινα προσιδιοποιοῦντες, προκοπάς τε καὶ πάθη καὶ δόξαν τὴν ἐπιγινομένην, ἢ τῆς θεότητος διιστῶντες τὸ προκόπτον καὶ πάσχον σῶμα, ὡς ἰδιαζόντως ὑφεστός, καὶ οὗτοι τῆς ἐκκλησιαστικῆς καὶ σωζούσης ὁμολογίας ἐκτός. Οὐδεὶς οὖν δύναται γνῶναι τὸν θεὸν, εἰ μὴ τὸν υἱὸν ἐπιγνῷ· σοφία γάρ ἐστιν ὁ υἱὸς δι' ἧς τὰ πάντα ἔκτισται· τὰ δὲ κτίσματα μηνύει τὴν σοφίαν, καὶ ὁ θεὸς ἐν τῇ σοφίᾳ γινώσκεται· οὐ τοιαύτη δὲ ἡ τοῦ θεοῦ σοφία οἵαν ἄνθρωπος ἔχει, ἀλλὰ τελεία ἐκ τελείου τοῦ θεοῦ προελθοῦσα καὶ μένουσα διὰ παντὸς, οὐχ ὡς νόημα ἀνθρώπου τὸ παρερχόμενον, καὶ λόγος λαλούμενος καὶ μὴ ὤν· διὰ τοῦτο οὐ μόνον ἐστὶ σοφία, ἀλλὰ καὶ θεός· οὐδὲ μόνον λόγος, ἀλλὰ καὶ υἱός. Εἴτε οὖν ὑπὸ κτίσεώς τις οἶδε τὸν θεὸν, εἴτε ἐκ τῶν θείων γραφῶν διδάσκεται, οὐκ ἄνευ τῆς σοφίας αὐτοῦ γνῶναι ἢ ἀκοῦσαι περὶ αὐτοῦ δύναται· καὶ ὁ ἐπικαλούμενος ὀρθῶς τὸν θεὸν, ἐπικαλεῖται δι' υἱοῦ· καὶ ὁ προσερχόμενος οἰκείως, διὰ Χριστοῦ ἔρχεται· προσελθεῖν δὲ ἀδύνατον τῷ υἱῷ χωρὶς τοῦ πνεύματος· τὸ πνεῦμα γὰρ καὶ ἡ ζωὴ καὶ ἡ ἁγία μόρφωσις τῶν ὅλων· καὶ τοῦτο ἐκπέμπων ὁ θεὸς δι' υἱοῦ, τὴν κτίσιν ὁμοιοῖ πρὸς ἑαυτόν.

Εἷς οὖν ὁ πατὴρ ὁ θεὸς, εἷς υἱὸς ὁ λόγος, ἓν πνεῦμα ζωὴ, ἡ ἁγιωσύνη ἡ τῶν ὅλων· καὶ οὔτε θεὸς ἕτερος ὡς πατὴρ, οὔτε υἱὸς ἕτερος ὡς λόγος θεοῦ, οὔτε πνεῦμα ἕτερον ὡς

Digitized by Google

ζωοποιὸν καὶ ἁγιαστικόν· ἀλλ' εἰ καὶ θεοὶ καὶ υἱοὶ καὶ πνεύματα καλοῦνται οἱ ἅγιοι, οὗτοι πνεύματος πληροῦνται, οὗτοι ὁμοιοῦνται πρὸς τὸν υἱὸν καὶ θεόν· ἐὰν δέ τις οὕτως λέγει τὸν υἱὸν εἶναι θεὸν ὡς πληρωθέντα θεότητος καὶ αὐτὸν, καὶ οὐχ ὡς γεννηθέντα ἐκ θεότητος, ἠρνήσατο τὸν λόγον, ἠρνήσατο τὴν σοφίαν, ἀπώλεσε τὴν γνῶσιν τὴν περὶ θεοῦ, κατέπεσεν εἰς τὸ σέβειν τὴν κτίσιν, κατέλαβεν ἑλλήνων ἀσέβειαν, ἐπὶ ταύτην ἐπέστρεψεν, τὴν ἰουδαίων ἀπιστίαν ἐμιμήσατο, οἳ τὸν ἐκ θεοῦ λόγον ἀνθρώπινον ὑπολαμβάνοντες, θεὸν εἶναι τοῦτον οὐκ ἐπίστευσαν, οὐδὲ θεοῦ υἱὸν ὡμολόγησαν· ἀσεβὲς δὲ τὸν τοῦ θεοῦ λόγον ὡς ἀνθρώπινον νοεῖν, καὶ τὰ ἔργα τὰ δι' αὐτοῦ γίνεσθαι μὴ μένοντος αὐτοῦ· ἐὰν δέ τις εἴπῃ κελευόμενον ὑπὸ τοῦ λόγου τὸν Χριστὸν ἐργάζεσθαι τὰ πάντα, καὶ τὸν τοῦ θεοῦ λόγον ἀργὸν ποιέσει, καὶ τὴν τοῦ δεσπότου τάξιν εἰς δουλείαν μεταθήσει· δοῦλον γὰρ ἅπαν τὸ κελευόμενον, καὶ τὸ κτιστὸν οὐχ ἱκανὸν εἰς τὸ κτίζειν· οὐ γὰρ ἐξισωθήσεται τῷ κτίσματι αὐτὸ κατ' οὐδένα τρόπον, ἵν' ὡς ὑπ' ἐκείνου ἔκτισται, οὕτω καὶ αὐτὸ κτίσῃ τὰ ἄλλα.

Πάλιν δὲ ὅταν καὶ τὸ πνεῦμα τὸ ἅγιον εἴπῃ τις ἡγιασμένον εἶναι ποίημα, οὐκέτι τὰ πάντα δυνήσεται νοεῖν ἐν πνεύματι ἁγιαζόμενα· ὁ γὰρ ἐν ἡγιάσας, ἁγιάζει καὶ τὰ πάντα· ἀρνεῖται οὖν τὴν τῆς ἁγιωσύνης πηγὴν, τὸ πνεῦμα τὸ ἅγιον, ὁ ἀφαιρῶν αὐτοῦ τὸ ἁγιάζειν, καὶ συναριθμεῖν αὐτὸ πατρὶ καὶ υἱῷ κωλυθήσεται· καὶ τὸ ἅγιον δὲ βάπτισμα ἀθετεῖ, καὶ οὐκέτι τριάδα ὁμολογήσει τὴν ἁγίαν καὶ σεβάσμιον· ἢ γὰρ ἐν φυσικῇ δόξῃ καὶ ἀληθεῖ τὴν ὅλην τριάδα νοήσομεν, ἢ μονάδα καὶ οὐκέτι τριάδα λέγειν ἀναγκασθησόμεθα, ἢ μὴ συναριθμεῖν τῷ κτίστῃ τὰ κτιστὰ ποιήματα, μηδὲ τῷ δεσπότῃ τὰ δοῦλα τὰ κτίσματα, μηδὲ τῷ ἁγιάζοντι τὰ ἁγιαζόμενα· ὥσπερ οὐδὲ τῇ τριάδι συναριθμεῖται τι τῶν ποιημάτων, ἀλλ' ἐπ' ὀνόματι τῆς ἁγίας τριάδος τὸ βάπτισμα καὶ ἡ ἐπίκλησις καὶ ἡ λατρεία· εἰ γὰρ τρεῖς αἱ δόξαι, τρεῖς αἱ λατρεῖαι γενέσθωσαν παρὰ τοῖς ἀσεβῶς τὰ κτίσματα σέβουσι· αἱ διῃρημένα τὰ τῆς προσκυνουμένης φύσεως, διῃρημένα καὶ τῆς προσκυνήσεως ἔστω παρ' αὐτοῖς· ἀλλ' οὐδὲ μετὰ τῶν αἰωνίων τὰ πρόσφατα προσκυνηθήσεται· πρόσφατον γὰρ ἅπαν τὸ ἀρχὴν εἰληφὸς, ἐπειδὴ πολὺς καὶ ἄμετρος ὁ πρὸ τῶν αἰώνων. Ὁ τοίνυν ἀρχήν τινα χρόνου τῆς τοῦ υἱοῦ ζωῆς καὶ τῆς τοῦ ἁγίου πνεύματος ὑποτιθέμενος, χωρίζει μετὰ ταυτὸν τῆς ἀπὸ τοῦ πατρὸς συναριθμήσεως τὸν υἱὸν καὶ τὸ πνεῦμα· δεῖ γὰρ ὥσπερ μίαν τὴν δόξαν ὁμολογοῦμεν, οὕτως καὶ μίαν τὴν οὐσίαν ἤτοι θεότητα, καὶ μίαν τὴν ἀϊδιότητα τῆς τριάδος ὁμολογεῖν.

Κεφάλαιον δὲ τῆς σωτηρίας ἡμῶν ἡ τοῦ λόγου σάρκωσις· πιστεύομεν οὖν ἀναλλοιώτῳ μενούσῃ τῆς θεότητος τὴν σάρκωσιν τοῦ λόγου γεγενῆσθαι πρὸς ἀνακαίνωσιν τῆς ἀνθρωπότητος· οὔτε γὰρ ἄλλαξις, οὔτε μετάπτωσις, οὔτε περιορισμὸς ἐν νεύματι γέγονεν περὶ τὴν ἁγίαν τοῦ θεοῦ δύναμιν, ἀλλ' ἡ αὐτὴ διαμένουσα, καὶ τὸ τῆς σαρκώσεως ἔργον ἐπλήρωσεν εἰς τὴν τοῦ κόσμου σωτηρίαν, καὶ κατὰ τὸ ἀνθρώπινον ἐπὶ γῆς πολιτευσάμενος ὁ τοῦ θεοῦ λόγος τὴν θεϊκὴν ἐπὶ πάντα παρουσίαν ὁμοίως διεφύλαξεν, πάντα πεπληρωκὼς, ἰδίως τε σαρκὶ συγκεκραμένος· καὶ τῶν περὶ σάρκα παθῶν γενομένων, τὴν ἀπάθειαν ἡ δύναμις εἶχεν τὴν ἑαυτῆς· ἀσεβὴς οὖν ὁ τὸ πάθος ἀνάγων εἰς τὴν δύναμιν· ὁ γὰρ τῆς δόξης κύριος ἐν ἀνθρωπίνῳ σχήματι πέφηνε τὴν ἀνθρωπίνην οἰκονομίαν ἀναδεξάμενος ἐπὶ γῆς· καὶ ταῖς μὲν πράξεσι τὸν νόμον πληρώσας ὑπὲρ ἀνθρώπων, τοῖς δὲ πάθεσι τὰ παθήματα διαλύσας, καὶ τῷ θανάτῳ τὸν θάνατον ἀνελὼν, τῇ δὲ ἀναστάσει τὴν ζωὴν ἀνατείλας· οὗ καὶ τὴν παρουσίαν ἔνδοξον ἀπ' οὐρανοῦ προσδοκῶμεν ἐπὶ τῇ τῶν ὅλων ζωῇ καὶ κρίσει, ἀναστάσεως νεκρῶν ἐσομένης, εἰς τὸ πᾶσιν ἀνταποδοθῆναι κατ' ἀξίαν.

Δειλὸν δὲ μελέτημα τοῖς κατὰ τῆς ἁγίας μελετῶσι τριάδος, οἱ τρία πρόσωπα οὐκ εἶναι διϊσχυριζόμενοι, ὥσπερ ἀνυπόστατον εἰσάγοντες πρόσωπον· δι' ὃς ἀποφεύγομεν τὸν Σαβέλλιον λέγοντα τὸν αὐτὸν πατέρα, τὸν αὐτὸν υἱὸν πατέρα μὲν γὰρ λέγει εἶναι τὸν λαλοῦν-

τα, υἱὸν δὲ τὸν λόγον ἐν τῷ πατρὶ μένοντα ϗ κατὰ καιρὸν τῆς δημιουργίας φαινόμενον· ἐνοῦντα μετὰ τὴν ἁπάντων πλήρωσιν τῶν πραγμάτων, εἰς Θεὸν ἀνατρέχοντα· τὸ αὐτὸ δὲ ϗ περὶ τοῦ πνεύματος λέγει. Πιστεύομεν γὰρ ἡμεῖς ὅτι τρία πρόσωπα μίαν ἔχοντα τὴν θεότητα δηλοῦνται, πατὴρ καὶ υἱὸς ϗ ἅγιον πνεῦμα· ἡ γὰρ θεότης μία, φυσικῶς ἐν τριάδι μαρτυρουμένη, τὴν ἑνότητα τῆς φύσεως βεβαιοῖ· ὅτιπερ καὶ ἴδιον μὲν πατρὸς κατὰ τὸ, εἷς Θεὸς ὁ πατήρ· πατρῷον δὲ τῷ υἱῷ, κατὰ τὸ, Θεὸς ἦν ὁ λόγος· ϗ τῷ πνεύματι δὲ παρὸν φυσικῶς, τὸ πνεῦμα Θεοῦ ὑπάρχειν, καθ' ὃ λέγει Παῦλος « ναὸς Θεοῦ ἐστὲ, ϗ τὸ πνεῦμα τοῦ Θεοῦ » οἰκεῖ ἐν ὑμῖν ».

Πρόσωπον μὲν γὰρ ἑκάστου, τὸ εἶναι αὐτὸ καὶ ὑφεστάναι δηλοῖ· θεότης δὲ πατρὸς ἴδιον· καὶ ὁπότε μία τῶν τριῶν ἡ θεότης λέγοιτο, τὴν πατρὸς ἰδιότητα παροῦσαν υἱῷ τε καὶ πνεύματι μαρτυρεῖ· ὥστε εἰ μὲν ἐν τρισὶ προσώποις μία ῥηθήσεται ἡ θεότης, ϗ ἡ τριὰς διαβεβαιοῦται, ϗ τὸ ἓν οὐ διακόπτεται, ϗ ἡ πρὸς τὸν πατέρα φυσικὴ υἱοῦ τε καὶ πνεύματος ἑνότης ὁμολογεῖται· εἰ δὲ ϗ πρόσωπον ἓν λέγει τὶς, ὥσπερ ϗ τὴν θεότητα μίαν, οὐκ ἔστιν ὡς ἓν τὰ δύο ἐν τῷ ἑνί· ὁ γὰρ Παῦλος ἕνα μὲν διὰ τῆς θεότητος τὸν πατέρα βοᾷ, ἕνα δὲ διὰ τῆς κυριότητος τὸν υἱὸν λέγει· εἷς Θεὸς ὁ πατὴρ ἐξ οὗ τὰ πάντα, ϗ ἡμεῖς εἰς αὐτὸν ϗ εἷς κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, ϗ ἡμεῖς δι' αὐτοῦ· τοιγαροῦν [εἰ] εἷς μὲν Θεὸς, κύριος δὲ εἷς, ἓν δὲ πρόσωπον καθ' ὃ θεότης μιᾶς κυριότητος, ϗ πῶς πιστεύεται τὸ ἐξ οὗ ϗ δι' οὗ ὡς προείρηται; ϗ οὐ διακόπτοντες ἡμεῖς τῆς θεότητος τὴν κυριότητα λέγομεν, οὐδ' ἀπαλλοτριοῦντες θατέρου θάτερον, ἀλλ' οὕτως ἑνοῦντες ὡς ἔχει τὸ πρᾶγμα ϗ ἡ ἀλήθεια· ϗ Θεὸν μὲν τὸν υἱὸν τῷ ἰδιώματι τοῦ πατρὸς καλοῦντες ὡς εἰκόνα ϗ γέννημα, κύριον δὲ τὸν πατέρα τῷ τοῦ ἑνὸς κυρίου προσαγορεύοντες ὀνόματι, ὡς τούτου ἀρχὴν ϗ γεννήτορα.

Τὰ αὐτὰ δὲ ϗ περὶ τοῦ πνεύματος ἑνότητα πρὸς τὸν υἱὸν ἔχοντος, ἣν ὁ υἱὸς πρὸς τὸν πατέρα· ὥστε γνωριζέσθω μὲν ἡ ὑπόστασις τοῦ πατρὸς τῇ τοῦ Θεοῦ προσηγορίᾳ· μὴ διατετμήσθω δὲ ταύτης ὁ υἱὸς ὡς ὢν ἐκ Θεοῦ· γνωριζέσθω δὲ ϗ τὸ πρόσωπον τοῦ υἱοῦ τῇ τοῦ κυρίου προσηγορίᾳ· μὴ χωριζέσθω δὲ ταύτης ὁ Θεὸς, κύριος ὢν ὡς κυρίου πατήρ· καθ' ὃ τῷ μὲν υἱῷ τὸ κυριεύειν ἴδιον, αὐτῷ δὲ δημιουργηκότι δι' ἑαυτοῦ ϗ κυριεύοντι τῶν πεποιημένων· τῷ δὲ πατρὶ ἀνωτέρως ὑπάρχειν, ὡς πατρὶ τοῦ κυριεύοντος ὄντι· οὕτω δὴ ϗ Θεὸν ἕνα φαμὲν τὴν τριάδα, ἀλλ' οὐχ ὡς ἐκ συνθέσεως τριῶν ἕνα δέοντα· μέρος γὰρ ἅπαν ἀτελὲς τὸ συνθέσεως ὑφιστάμενον· ἀλλ' ὡς ὅπερ ἐστὶν ὁ πατὴρ ἀρχικῶς τε ϗ γεννητικῶς, τοῦτον ὄντα τὸν υἱὸν εἰκόνα ϗ γέννημα τοῦ πατρός· ὥστε εἴ τις ἔροιτο πῶς εἷς Θεὸς, εἴπερ ἐκ Θεοῦ Θεὸς; ἐροῦμεν ὅτι τῷ τῆς ἀρχῆς λόγῳ, καθ' ὃν μία ἀρχὴ ὁ πατήρ· καὶ εἴ τις αὐτῶν πυνθάνοιτο πῶς εἷς κύριος, εἴπερ κύριος ὁ πατήρ; τοῦτο πάλιν ἀποκρινούμεθα, καθ' ὅτι κυρίου ἐστὶ πατήρ· ϗ οὐκέτι ἡμῖν ἀπαντήσεται τὸ ἄπορον τοῦτο.

Καὶ πάλιν ἐὰν εἴπωσιν οἱ ἀσεβῶς πῶς οὐκ ἂν εἶεν τρεῖς Θεοὶ, τρία πρόσωπα, εἰ μίαν ἔχοιεν τὴν θεότητα, ἐροῦμεν, ἐπειδὴ ὁ Θεὸς ἀρχὴ ϗ πατήρ ἐστιν τοῦ υἱοῦ, ϗ οὗτος εἰκών ἐστι καὶ γέννημα τοῦ πατρὸς ϗ οὐκ ἀδελφὸς αὐτοῦ, ϗ πνεῦμα ὡσαύτως πνεῦμα Θεοῦ ἐστὶν, ὡς γέγραπται, πνεῦμα ὁ Θεός· ϗ ἄνωθεν δὲ ἐκ τοῦ προφήτου Δαβὶδ « τῷ λόγῳ κυρίου δεδήλωται » τοὺς οὐρανοὺς ἐστερεώθησαν, ϗ τῷ πνεύματι » τοῦ στόματος αὐτοῦ πᾶσαν τὴν δύναμιν αὐ- » τῶν ». Καὶ ἐν ἀρχῇ τῆς κοσμοποιίας γέγραπται οὕτως « ϗ τὸ πνεῦμα τοῦ Θεοῦ ἐπεφέρετο » ἐπάνω τοῦ ὕδατος. Καὶ Παῦλος δὲ γράφων Ῥωμαίοις φησὶν « ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ, » ἀλλ' ἐν πνεύματι· εἴπερ πνεῦμα Θεοῦ οἰκεῖ » ἐν ὑμῖν ». Καὶ πάλιν λέγει « εἰ δὲ τὸ » πνεῦμα τοῦ ἐγείραντος Ἰησοῦν ἐκ νεκρῶν οἰ- » κεῖ ἐν ὑμῖν, ὁ ἐγείρας Χριστὸν ἐκ νεκρῶν » ζωοποιήσει ϗ τὰ θνητὰ ὑμῶν σώματα διὰ » τοῦ ἐνοικοῦντος αὐτοῦ πνεύματος ἐν ὑμῖν ». Καὶ πάλιν « ὅσοι πνεύματι Θεοῦ ἄγονται, οὗ-

Digitized by Google

» τοι υἱοὶ Θεοῦ εἰσίν· οὐ γὰρ ἐλάβετε πνεῦμα δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβετε » πνεῦμα υἱοθεσίας ἐν ᾧ κράζομεν ἀββᾶ ὁ » πατὴρ ». Καὶ πάλιν « ἀλήθειαν λέγω ἐν » Χριστῷ, οὐ ψεύδομαι, συμμαρτυρούσης μοι » τῆς συνειδήσεώς μου ἐν πνεύματι ἁγίῳ ». Καὶ πάλιν « ὁ δὲ Θεὸς τῆς ἐλπίδος πληρώσαι » ὑμᾶς πάσης χαρᾶς καὶ εἰρήνης, ἐν τῷ πιστεύειν εἰς τὸ περισσεύειν ὑμᾶς ἐν τῇ ἐλπίδι » ἐν δυνάμει πνεύματος ἁγίου ».

Καὶ πάλιν φησὶν τοῖς αὐτοῖς Ῥωμαίοις γράφων « τολμηροτέρως δὲ ἔγραψα ὑμῖν ἀπὸ » μέρους, ὡς ἐπαναμιμνήσκων ὑμᾶς διὰ τὴν » χάριν τὴν δοθεῖσάν μοι ἀπὸ τοῦ Θεοῦ εἰς » τὸ εἶναί με λειτουργὸν Ἰησοῦ Χριστοῦ εἰς » τὰ ἔθνη λειτουργοῦντα τὸ εὐαγγέλιον τοῦ » Θεοῦ, ἵνα γένηται ἡ προσφορὰ τῶν ἐθνῶν » εὐπρόσδεκτος ἡγιασμένη ἐν πνεύματι ἁγίῳ· » ἔχω οὖν τὴν καύχησιν ἐν Χριστῷ Ἰησοῦ τὰ » πρὸς τὸν Θεόν· οὐ γὰρ τολμῶ τί λαλεῖν ὧν » οὐ κατειργάσατο Χριστὸς δι' ἐμοῦ, εἰς ὑπακοὴν ἐθνῶν λόγῳ καὶ ἔργῳ, ἐν δυνάμει » σημείων καὶ τεράτων, ἐν δυνάμει πνεύματος » ἁγίου. Καὶ πάλιν « παρακαλῶ δὲ ὑμᾶς, » ἀδελφοί, διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ διὰ τῆς ἀγάπης τοῦ πνεύματος ». Καὶ ταῦτα μὲν γέγραπται ἐν τῇ πρὸς Ῥωμαίους ἐπιστολῇ.

Ἐν δὲ τῇ πρὸς Κορινθίους πάλιν λέγει « ὅτι ὁ λόγος μου καὶ τὸ κήρυγμά μου οὐκ » ἐν πειθοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' » ἐν ἀποδείξει πνεύματος καὶ δυνάμεως, ἵνα » ἡ πίστις ὑμῶν μὴ ᾖ ἐν σοφίᾳ ἀνθρώπων, » ἀλλ' ἐν δυνάμει Θεοῦ ». Καὶ πάλιν λέγει « ὅτι καθὼς γέγραπται, ἃ ὀφθαλμὸς » οὐκ εἶδεν, καὶ οὖς οὐκ ἤκουσεν, καὶ ἐπὶ » καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ὁ Θεὸς » ἡτοίμασεν τοῖς ἀγαπῶσιν αὐτόν· ἡμῖν δὲ ὁ » Θεὸς ἀπεκάλυψεν διὰ τοῦ πνεύματος· τὸ γὰρ » πνεῦμα πάντα ἐρευνᾷ καὶ τὰ βάθη τοῦ Θεοῦ· » τίς γὰρ οἶδεν ἀνθρώπων τὰ τοῦ ἀνθρώπου, » εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ; » οὕτως καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς ἔγνωκεν, εἰ μὴ » τὸ πνεῦμα τοῦ Θεοῦ ». Καὶ πάλιν λέγει· « ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ » πνεύματος τοῦ Θεοῦ ».

Ὁρᾷς ὅτι πανταχοῦ τῆς χάριτος πνεῦμα κηρύττεται, καὶ οὐδαμοῦ κτιστὸν ὀνομάζεται; Τί δ' ἂν εἴπωσιν οἱ ἀσεβεῖς τοῦ κυρίου ἀποστέλλοντος τοὺς μαθητὰς βαπτίζειν ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος; ἀναντιῤῥήτως κοινωνίαν καὶ ἑνότητα ἔχοντα καθ' ἣν οὔτε θεότητος τρεῖς, οὔτε κυριότητος, ἀλλ' ἀληθῶς τῶν τριῶν προσώπων μενόντων βεβαίως, τῶν τριῶν τὴν ἕνωσιν ὁμολογητέον· οὕτω γὰρ καὶ τὸ ἀποστελλόμενον, οἰκείως ἂν πιστεύοιτο, καθ' ὃ πατὴρ τὸν υἱὸν ἀπέστειλεν, καὶ υἱὸς τὸ πνεῦμα ἀποστέλλει· ἓν δὲ πρόσωπον οὐκ ἂν πέμψειεν αὐτὸ ἑαυτό· οὐκ ἂν γάρ τις εἴποι πατέρα σαρκωθέντα· τὰ γὰρ τῆς πίστεως ὁμολογήματα, ταῖς τῶν αἱρέσεων οὐ συνδραμεῖται κακοδοξίαις. Δεῖ δὲ τοῖς θείοις καὶ ἀποστολικοῖς δόγμασιν ἕπεσθαι τὰς ἡμετέρας ἐννοίας, οὐ τὰς ἡμετέρας ἀδυνάτους φαντασίας τὰ τῆς θείας πίστεως βιάζεσθαι δόγματα.

Ἐὰν δὲ εἴπωσι πῶς τρία πρόσωπα, καὶ πῶς μία θεότης; ἐροῦμεν αὐτοῖς, ὅτι τρία μὲν πρόσωπα, καθ' ὃ ἓν μὲν Θεοῦ πατρὸς, ἓν δὲ κυρίου υἱοῦ, καὶ ἓν τοῦ ἁγίου πνεύματος· μία δὲ θεότης καθ' ὃ τοῦ πατρὸς ἑνὸς ὄντος, Θεοῦ εἰκὼν ἐστὶν ὁ υἱὸς, τουτέστι Θεὸς ἐκ Θεοῦ, καὶ τὸ πνεῦμα ὁμοίως καλεῖται τοῦ Θεοῦ, καὶ τοῦτο φυσικῶς κατ' αὐτὴν τὴν οὐσίαν, οὐ κατὰ μετουσίαν Θεοῦ· καὶ μία τῆς τριάδος οὐσία, ὅπερ ἐπὶ τῶν ποιημάτων οὐκ ἔστιν· οὐ γὰρ μία οὐσία Θεοῦ καὶ τῶν ποιημάτων, ὅτι οὐδὲν τούτων τῇ οὐσίᾳ Θεός· ἀλλ' οὐδὲ κύριος οὐδὲν τούτων κατ' οὐσίαν, ἀλλ' εἷς κύριος ὁ υἱὸς, καὶ ἓν τὸ πνεῦμα τὸ ἅγιον· λέγομεν δὲ καὶ μίαν θεότητα καὶ μίαν κυριότητα, καὶ μίαν ἁγιότητα τὴν τριάδα· ὅτι τοῦ κυρίου ὁ πατὴρ ἀρχὴ, ἀϊδίως αὐτὸν γεννήσας, καὶ πρωτότυπος τοῦ πνεύματος ὁ κύριος· οὕτω γὰρ καὶ ὁ πατὴρ κύριος, καὶ ὁ υἱὸς Θεὸς, καὶ περὶ τοῦ Θεοῦ εἴρηται ὅτι πνεῦμα ὁ Θεός.

Ὁμολογοῦμεν οὖν ἕνα Θεὸν ἀληθινὸν, μίαν

ἀρχὴν, καὶ ἕνα υἱὸν, ἀληθινὸν θεὸν ἐξ ἀληθινοῦ θεοῦ, φυσικῶς τὴν πατρικὴν θεότητα ἔχοντα, τουτέστιν ὁμοούσιον τῷ πατρί· καὶ ἓν πνεῦμα ἅγιον φύσει καὶ ἀληθείᾳ τῶν πάντων ἁγιαστικὸν, καὶ θεοποιὸν ἐκ τῆς οὐσίας τοῦ θεοῦ ὑπάρχον· τοὺς δὲ ἢ τὸν υἱὸν, ἢ τὸ πνεῦμα τὸ ἅγιον, κτίσμα λέγοντας ἀναθεματίζομεν. τὰ δὲ ἄλλα πάντα ὁμολογοῦμεν ποιήματα καὶ δοῦλα κτισθέντα ὑπὸ θεοῦ δι' υἱοῦ ἐν πνεύματι ἁγίῳ ἁγιασθέντα. Ἔτι ὁμολογοῦμεν τὸν υἱὸν τοῦ θεοῦ υἱὸν ἀνθρώπου γεγενῆσθαι οὐκ ὀνόματι ἀλλὰ ἀληθείᾳ προσλαβόντα σάρκα ἐκ Μαρίας παρθένου· καὶ τὸν τέλειον αὐτὸν υἱὸν θεοῦ καὶ αὐτὸν υἱὸν ἀνθρώπου, ἓν πρόσωπον, καὶ μίαν τὴν προσκύνησιν τοῦ λόγου καὶ τῆς σαρκὸς ἣν ἀνέλαβεν· καὶ ἀναθεματίζομεν τοὺς διαφόρους προσκυνήσεις ποιοῦντας, μίαν θεϊκὴν, καὶ μίαν ἀνθρωπίνην· καὶ προσκυνοῦντας τὸν ἐκ Μαρίας ἄνθρωπον ὡς ἕτερον ὄντα παρὰ τὸν ἐκ θεοῦ θεόν· οἴδαμεν γὰρ ὅτι « ἐν ἀρχῇ » ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν πρὸς τὸν » θεὸν, καὶ θεὸς ἦν ὁ λόγος »· Γενόμενον δὲ αὐτὸν ἄνθρωπον διὰ τὴν ἡμετέραν σωτηρίαν προσκυνοῦμεν, οὐχ ὡς ἴσον ἐν ἴσῳ γενόμενον τῷ σώματι, ἀλλ' ὡς δοῦλον προσλαβόντα τὴν τοῦ δούλου μορφήν. Ὁμολογοῦμεν τὸ πάθος τοῦ κυρίου χριστοῦ σαρκὶ, τὴν ἀνάστασιν ἐν δυνάμει θεότητος αὐτοῦ, τὴν εἰς οὐρανοὺς ἀνάβασιν, τὴν ἔνδοξον αὐτοῦ παρουσίαν ἐρχομένην ἐπὶ κρίσει ζώντων καὶ νεκρῶν, καὶ ζωὴν αἰώνιον τῶν ἁγίων.

Καὶ ἐπειδή τινες παρηνώχλησαν ἡμῖν ἀνατρέπειν ἐπιχειροῦντες τὴν πίστιν ἡμῶν τὴν εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν τὸν χριστὸν, οὐ θεὸν σαρκωθέντα ὁμολογοῦντες αὐτὸν, ἀλλὰ ἄνθρωπον θεῷ συναφθέντα, τούτου χάριν ὁμολογίαν ποιούμεθα περὶ τῆς προειρημένης πίστεως, ἐκβάλλοντες τὴν ἄπιστον ἀντιλογίαν· θεὸς γὰρ σαρκωθεὶς ἀνθρωπίνῃ σαρκὶ, καθαρὰν ἔχει τὴν ἰδίαν ἐνέργειαν, νοῦς ἀήττητος ὢν τῶν ψυχικῶν καὶ σαρκικῶν παθημάτων· καὶ ἄγων τὴν σάρκα καὶ τὰς σαρκικὰς κινήσεις θεϊκῶς τε καὶ ἀναμαρτήτως· καὶ οὐ μόνον ἀκράτητος θανάτῳ, ἀλλὰ καὶ λύων θάνατον· καὶ ἔστι θεὸς ἀληθινὸς ὁ ἄσαρκος ἐν σαρκὶ φανερωθεὶς, τέλειος τῇ ἀληθινῇ καὶ θείᾳ τελειότητι, οὐ δύο πρόσωπα, οὐδὲ δύο φύσεις· οὐδὲ γὰρ τέσσαρα προσκυνεῖν λέγομεν, θεὸν καὶ υἱὸν θεοῦ, καὶ ἄνθρωπον, καὶ πνεῦμα ἅγιον. Διὸ καὶ ἀναθεματίζομεν τοὺς οὕτως ἀσεβοῦντας, τοὺς ἄνθρωπον ἐν τῇ θείᾳ δοξολογίᾳ τιθέντας· ἡμεῖς γὰρ φαμὲν ἄνθρωπον γεγενῆσθαι τὸν τοῦ θεοῦ λόγον πρὸς σωτηρίαν ἡμῶν, ἵνα τὴν ὁμοίωσιν τοῦ ἐπουρανίου λάβωμεν, καὶ θεοποιηθῶμεν πρὸς ὁμοιότητα τοῦ κατὰ φύσιν ἀληθινοῦ υἱοῦ τοῦ θεοῦ, κατὰ σάρκα δὲ υἱοῦ ἀνθρώπου κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ.

Πιστεύομεν τοίνυν εἰς ἕνα θεὸν, τουτέστιν εἰς μίαν ἀρχὴν, τὸν θεὸν τοῦ νόμου καὶ τοῦ εὐαγγελίου δίκαιον καὶ ἀγαθόν· καὶ εἰς ἕνα κύριον Ἰησοῦν χριστὸν, θεὸν ἀληθινὸν, τουτέστιν εἰκόνα ἀληθινοῦ θεοῦ, δημιουργὸν πάντων ὁρατῶν τε καὶ ἀοράτων, υἱὸν θεοῦ καὶ γέννημα μονογενὲς, καὶ ἀΐδιον λόγον, ζῶντα καὶ ὑφεστῶτα καὶ ἐνεργὸν, ἀεὶ συνόντα τῷ πατρί· καὶ εἰς ἓν ἅγιον πνεῦμα· καὶ εἰς παρουσίαν ἔνδοξον τοῦ υἱοῦ τοῦ θεοῦ σάρκα λαβόντος τὴν ἐκ παρθένου, τοῦ ἀνθ' ἡμῶν ὑπομείναντος πάθη καὶ θάνατον, καὶ ἐλθόντος εἰς ἀνάστασιν τῇ τρίτῃ ἡμέρᾳ, καὶ ὑπομείναντος πάθη καὶ θάνατον, καὶ ἐλθόντος εἰς ἀνάστασιν τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἀναληφθέντα εἰς οὐρανούς· καὶ εἰς τὴν μέλλουσαν ἔνδοξον αὐτοῦ παρουσίαν· καὶ εἰς μίαν ἁγίαν ἐκκλησίαν, ἄφεσιν ἁμαρτιῶν, σαρκὸς ἀνάστασιν, ζωὴν αἰώνιον.

Ὁμολογοῦμεν ὁμοούσιον τὸν τῷ πατρὶ τὸν υἱὸν καὶ τὸ πνεῦμα· καὶ μίαν τὴν οὐσίαν τῆς τριάδος, τουτέστι μίαν θεότητα φυσικῶς, ἀγεννήτου μένοντος τοῦ πατρὸς, γεννηθέντος δὲ τοῦ υἱοῦ ἐκ πατρὸς ἀληθινῇ γεννήσει οὐ ποιήσει τῇ ἐκ βουλήσεως· τοῦ πνεύματος ἐκ τῆς οὐσίας τοῦ πατρὸς δι' υἱοῦ ἀϊδίως ἐκπεμφθέντος ἁγιαστικοῦ τῆς ὅλης κτίσεως. Ὁμολογοῦμεν δὲ καὶ σαρκωθέντα τὸν λόγον καὶ φανερωθέντα ἐν σαρκικῇ κινήσει τῇ ἐκ παρθένου, οὐκ ἐν ἀνθρώπῳ ἐνεργήσαντα. Τοὺς δὲ κοινωνοῦντας τοῖς ἐκβάλλουσι τὸ ὁμοούσιον ὡς ἀλλότριον τῶν γραφῶν, καὶ τί ἐκ

τῆς τριάδος κτιστὸν λέγουσι καὶ χωρίζουσι τῆς μιᾶς φυσικῆς θεότητος, ἀλλοτρίους ἡγούμεθα, καὶ οὐδενὶ τῶν τοιούτων κοινωνοῦμεν· εἷς θεὸς ὁ πατήρ, ἡ θεότης ἡ μόνη· θεὸς δὲ καὶ ὁ υἱός, εἰκὼν τῆς μιᾶς καὶ μόνης θεότητος ὢν ἀληθὴς, κατὰ γέννησιν καὶ φύσιν ἣν ἐκ τοῦ πατρὸς ἔχει· κύριος εἷς ὁ υἱός· ὡσαύτως δὲ καὶ τὸ πνεῦμα τὴν τοῦ υἱοῦ κυριότητα διαπέμπον εἰς τὴν ἁγιαζομένην κτίσιν· υἱὸς ἐπεδήμησε κόσμῳ, σάρκα ἐκ παρθένου λαβὼν, ἣν ἐπλήρωσεν ἁγίου πνεύματος εἰς τὸν πάντων ἡμῶν ἁγιασμόν· θανάτῳ δὲ παραδοὺς τὴν σάρκα, τὸν θάνατον ἔλυσε διὰ τῆς ἀναστάσεως εἰς τὴν πάντων ἡμῶν ἀνάστασιν· ἀνῆλθεν δὲ εἰς οὐρανὸν ὑψῶν καὶ δοξάζων ἀνθρώπους ἐν ἑαυτῷ· ἔρχεται δὲ τὸ δεύτερον ἀποκαθιστῶν ἡμῖν τὴν αἰώνιον ζωήν.

Εἷς υἱὸς καὶ πρὸ τῆς σαρκώσεως καὶ μετὰ τὴν σάρκωσιν· ὁ αὐτὸς ἄνθρωπος καὶ θεὸς, ἑκάτερον ὡς ἕν· καὶ οὐχ ἕτερον μὲν πρόσωπον ὁ θεὸς λόγος, ἕτερον δὲ ἄνθρωπος Ἰησοῦς, ἀλλ' αὐτὸς ὁ προϋπάρχων υἱὸς ἑνωθεὶς σαρκὶ ἐκ Μαρίας κατέστη, τέλειον καὶ ἅγιον καὶ ἀναμάρτητον ἄνθρωπον συνιστὰς ἑαυτὸν, καὶ οἰκονομῶν εἰς ἀνανέωσιν ἀνθρωπότητος καὶ κόσμου παντὸς σωτήριον. Θεὸς ὁ πατὴρ, τέλειον ὢν τὸ πρόσωπον, τέλειον ἔχει τὸν λόγον ἐξ αὐτοῦ γεγεννημένον ἀληθῶς, οὐχ ὡς λόγον λαλούμενον, οὐδὲ καθ' υἱοθεσίαν υἱὸν, ὡς ἄγγελοι καὶ ἄνθρωποι υἱοὶ θεοῦ καλοῦνται, ἀλλὰ υἱὸν φύσει θεόν· τέλειον δὲ [ἔχει] καὶ τὸ πνεῦμα τὸ ἅγιον ἐκ θεοῦ δι' υἱοῦ χορηγούμενον εἰς τοὺς υἱοθετημένους, ζῶν καὶ ζωοποιὸν, ἅγιον ἁγιαστικὸν τῶν μεταλαμβανόντων αὐτοῦ· οὐχ ὡς ὑπ' ἀνθρώπου πνοὴν ἐμπνευσθεῖσαν ἀνυπόστατον, ἀλλ' ἐκ θεοῦ ζῶσαν· δι' ὅπερ ἡ τριὰς προσκυνητὴ, δοξαστὴ καὶ τιμία καὶ σεβάσμιος· πατρὸς μὲν ἐν υἱῷ νοουμένου καθότι υἱὸς ἐξ αὐτοῦ, υἱοῦ δὲ ἐν πατρὶ δοξαζομένου καθ' ὅ ἐστιν ἐκ πατρὸς, φανερουμένου ἐν πνεύματι ἁγίῳ τοῖς ἁγιαζομένοις.

Ὅτι δὲ σεβάσμιος ἐστὶν ἡ ἁγία τριὰς μὴ χωριζομένη, μηδὲ ἀλλοτριουμένη, τοῦτο διδάσκει ἡμᾶς Παῦλος ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ δευτέρᾳ λέγων οὕτως· « ἡ χάρις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ θεοῦ, καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος μετὰ πάντων ὑμῶν ». Καὶ πάλιν διὰ τῆς ἐπιστολῆς δηλοῖ λέγων « ὁ δὲ βεβαιῶν ἡμᾶς σὺν ὑμῖν εἰς Χριστὸν καὶ χρίσας θεὸς καὶ σφραγισάμενος ἡμᾶς καὶ δοὺς τὸν ἀρραβῶνα τοῦ πνεύματος ἐν ταῖς καρδίαις ἡμῶν ». Ἔτι δὲ σαφέστερον ἐν τῇ αὐτῇ ἐπιστολῇ γράφει οὕτως· « ἡνίκα ἂν ἀναγινώσκηται Μωϋσῆς, κάλυμμα ἐπὶ τὴν καρδίαν αὐτῶν κεῖται· ἡνίκα δ' ἂν ἐπιστρέψῃ πρὸς κύριον, περιαιρεῖται τὸ κάλυμμα· ὁ δὲ κύριος τὸ πνεῦμα· ὅπου δὲ τὸ πνεῦμα, ἐκεῖ ἐλευθερία· ἡμεῖς δὲ πάντες ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν κυρίου κατοπτριζόμενοι, τὴν αὐτὴν εἰκόνα μεταμορφούμεθα ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ κυρίου πνεύματος ».

Καὶ πάλιν λέγει Παῦλος· « ἵνα καταποθῇ τὸ θνητὸν ὑπὸ τῆς ζωῆς· ὁ δὲ κατεργασάμενος ἡμᾶς εἰς αὐτὸ τοῦτο θεὸς, ὁ δοὺς ἡμῖν τὸν ἀρραβῶνα τοῦ πνεύματος ». Καὶ πάλιν φησίν· « συνιστάνοντες ἑαυτοὺς ὡς θεοῦ διάκονοι ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν στενοχωρίαις » καὶ τὰ ἑξῆς. Εἶτα ἐπιφέρει λέγων· « ἐν χρηστότητι, ἐν πνεύματι ἁγίῳ, ἐν ἀγάπῃ ἀνυποκρίτῳ, ἐν λόγῳ ἀληθείας, ἐν δυνάμει θεοῦ ». Ἰδοὺ γὰρ καὶ ἐνταῦθα ὥρισεν ὁ ἅγιος τὴν ἁγίαν τριάδα ὀνομάσας θεὸν καὶ λόγον καὶ πνεῦμα ἅγιον. Καὶ πάλιν λέγει « οὐκ οἴδατε ὅτι ναὸς θεοῦ ἐστὲ, καὶ τὸ πνεῦμα τοῦ θεοῦ οἰκεῖ ἐν ὑμῖν; εἴ τις τὸν ναὸν τοῦ θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ θεός ». Καὶ πάλιν· « ἀλλὰ ἀπελούσασθε, ἀλλ' ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ, καὶ ἐν τῷ πνεύματι τοῦ θεοῦ ἡμῶν ». Καὶ πάλιν· « ἢ οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου πνεύματός ἐστιν, οὗ ἔχετε ἀπὸ θεοῦ; δοκῶ γὰρ κἀγὼ πνεῦμα θεοῦ ἔχειν ».

Καὶ πάλιν καὶ περὶ τῶν υἱῶν Ἰσραὴλ διαλαλῶν ὡς βαπτισθέντων ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ φησίν· « ὅτι πάντες τὸ αὐτὸ πνευματικὸν ἔπιον πόμα· ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκο-

Digitized by Google

» λιθούσης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός ». Καὶ πάλιν λέγει· « διὸ γνωρίζω ὑμῖν ὅτι οὐδεὶς ἐν πνεύματι Θεοῦ λαλῶν λέγει ἀνάθεμα Ἰησοῦν· καὶ οὐδεὶς δύναται εἰπεῖν κύριον Ἰησοῦν, εἰ μὴ ἐν πνεύματι ἁγίῳ. Διαιρέσεις δὲ χαρισμάτων εἰσὶν, τὸ δὲ αὐτὸ πνεῦμα· καὶ διαιρέσεις διακονιῶν εἰσὶν, καὶ ὁ αὐτὸς κύριος· καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν, καὶ ὁ αὐτὸς ἐστι Θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν· ἑκάστῳ δὲ δίδοται ἡ φανέρωσις τοῦ πνεύματος πρὸς τὸ συμφέρον· ᾧ μὲν γὰρ διὰ τοῦ πνεύματος δίδοται λόγος γνώσεως κατὰ τὸ αὐτὸ πνεῦμα, ἑτέρῳ δὲ πίστις ἐν τῷ αὐτῷ πνεύματι, ἄλλῳ δὲ ἐνεργήματα δυνάμεων, ἄλλῳ δὲ προφητεία, ἄλλῳ δὲ διάκρισις πνευμάτων, ἑτέρῳ δὲ γένη γλωσσῶν· πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται· καὶ καθάπερ τὸ σῶμα ἕν ἐστι καὶ μέλη πολλὰ ἔχει, πάντα δὲ τὰ μέλη τοῦ σώματος πολλὰ ὄντα ἕν ἐστι σῶμα, οὕτως καὶ ὁ Χριστός· καὶ γὰρ ἐν ἑνὶ πνεύματι πάντες ἡμεῖς εἰς ἓν σῶμα ἐβαπτίσθημεν ». Καὶ πάλιν λέγει· « εἰ μὲν γὰρ ὁ ἐρχόμενος ἄλλον Ἰησοῦν κηρύσσει ὃν οὐκ ἐκηρύξαμεν, ἢ πνεῦμα ἕτερον λαμβάνετε ὃ οὐκ ἐλάβετε, ἢ εὐαγγέλιον ἕτερον ὃ οὐκ ἐδέξασθε, καλῶς ἂν εἴχεσθε ».

Ὁρᾷς ὅτι ἀχώριστόν ἐστι τὸ πνεῦμα τῆς Θεότητος, καὶ οὐκ ἄν τις εὐσεβῶς φρονῶν κτίσμα αὐτὸ ὑπολάβοι. Ἐν δὲ τῇ πρὸς Ἑβραίους ἐπιστολῇ πάλιν γράφει οὕτως· « Πῶς ἡμεῖς ἐκφευξόμεθα τηλικαύτης ἀμελήσαντες σωτηρίας, ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι ὑπὸ τοῦ κυρίου διὰ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη, συνεπιμαρτυροῦντος τοῦ Θεοῦ σημείοις καὶ τέρασι καὶ ποικίλαις δυνάμεσι καὶ πνεύματος ἁγίου μερισμοῖς ». Καὶ πάλιν ἐν τῇ αὐτῇ ἐπιστολῇ φησίν· « διὸ καθὼς λέγει τὸ πνεῦμα τὸ ἅγιον, σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ, κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ, οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν με καὶ εἶδον τὰ ἔργα μου τεσσαράκοντα ἔτη· διὸ προσώχθισα τῇ γενεᾷ ταύτῃ, καὶ εἶπον· ἀεὶ πλανῶνται τῇ καρδίᾳ αὐτῶν, διότι οὐκ ἔγνωσαν τὰς ὁδούς μου, ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου ». Κἀνταῦθα ἀκηκόαμεν Παύλου μηδαμῶς χωρίζοντος τὸ πνεῦμα τὸ ἅγιον τῆς Θεότητος τοῦ πατρὸς καὶ τοῦ υἱοῦ, ἀλλὰ σαφῶς δηλοῦντος τὴν τοῦ ἁγίου πνεύματος διαλαλιὰν ἐκ προσώπου τοῦ Θεοῦ ὑπάρχουσαν, καὶ οὕτως ὑπὸ Θεοῦ εἰρημένην, καθὼς ἀποδίδοται ἐν τοῖς προειρημένοις ῥητοῖς· διὰ τοῦτο γὰρ εἷς Θεὸς ἡ ἁγία τριὰς πιστεύεται καὶ προσκυνεῖται, καὶ τὰ ἐκ τῆς θείας γραφῆς μαρτυρηθέντα, εἰ καὶ μάλιστα πανταχοῦ ὑπὸ τῆς θείας γραφῆς ἀναρίθμητοι διδασκαλίαι ὑμῖν ὑπάρχουσι συμμαρτυροῦσαι τῇ ἀποστολικῇ καὶ ἐκκλησιαστικῇ πίστει.

ΕΥΛΟΓΙΟΥ

ΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΛΟΓΟΣ ΠΕΡΙ ΤΡΙΑΔΟΣ ΚΑΙ ΤΗΣ ΘΕΙΑΣ ΟΙΚΟΝΟΜΙΑΣ ΤΟΥ ΕΝΟΣ ΤΗΣ ΤΡΙΑΔΟΣ ΘΕΟΥ ΛΟΓΟΥ.

Fragmentum ex codice vaticano.

Ἐν ἀρχῇ πρὸ αἰώνων ἦν ὁ Θεὸς, καὶ Θεὸς ἦν πρὸ τῶν αἰώνων, καὶ πρὸ πάντων ἦν ὁ Θεὸς [λόγος], πρὸ κόσμου, πρὸ ἀγγέλων, πρὸ οὐρανοῦ, πρὸ ἡλίου, πρὸ φωτὸς, πρὸ ἀστέρων, πρὸ ἀνέμων, πρὸ ὑδάτων, πρὸ πνοῆς, πρὸ τῆς γῆς, πρὸ πάσης ὁρατῆς τε, καὶ ἀοράτου κτίσεως· οὗτος τοίνυν ὁ προάναρχος καὶ προαιώνιος ὁ ἄκτιστος Θεὸς οἰκείᾳ βουλήσει καὶ εὐδοκίᾳ ὡς μόνος οἶδεν αὐτὸς, καὶ ὅτε οἶδεν, καὶ ὅθεν οἶδεν, κτίζει πάσας τὰς οὐρανίους τῶν ἀγγέλων καὶ ἀσωμάτων στρατευμάτων καὶ ταγμάτων, ἀοράτων, πολυομμάτων, ἀομμάτων, ἑξαπτερύγων, θρόνων, οὐρανῶν δυνάμεις· εἶτα μετὰ ταύτας δημιουργεῖ τὸν ὁρώμενον ἐξ οὐρανοῦ καὶ γῆς κόσμον, ἐξ ὧν δὴ καὶ ὁ ἄνθρωπος, μίμημα τῆς ὁρατῆς καὶ κτίσεως, ὁρατὴν μὲν ἔχων τὴν σάρκα, ἀόρατον δὲ τὴν ψυχήν· τοῦτον τὸν ἄνθρωπον πλασθέντα ἐσπούδασεν ὁ Θεὸς, δοὺς αὐτῷ εἰς ἐπιστροφὴν τὴν ἐκ τῆς πλάνης εἰδωλολατρείας νόμον γραπτὸν διὰ Μωϋσέως· ἀλλ' οὐκ ἴσχυσεν ὁ νόμος τὸν ἄνθρωπον ἀνακαλέσασθαι· εἶτα ἀπέστειλεν προφήτας νουθετοῦντας, ἀπειλοῦντας, θαυματουργοῦντας· ἀλλ' οὐδὲ οὕτως ὁ πλανηθεὶς ἄνθρωπος ἐκ τῆς πλάνης ἐπέστρεψε· τέλος δὲ λοιπὸν κατοικτείρας τὸ ἴδιον πλάσμα, ὁ Θεὸς αὐτὸς ἐπὶ γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις ὡς ἄνθρωπος ὁ Θεὸς λόγος συνανεστράφη, καὶ μορφὴ τοῦ δεσπότου ἐπὶ γῆς κατῆλθεν ἵνα ἡ μορφὴ τοῦ δούλου ἐν οὐρανοῖς ἀνέλθῃ.

Εἶτα ἐκπεσὼν τῆς προτέρας πλάνης καὶ ἐλπίδος ὁ πονηρὸς τῶν ἀνθρώπων πολέμιος ὡς οἶδεν ἑαυτὸν ἡττηθέντα καὶ διὰ Χριστοῦ συντριβέντα, διὰ σταυροῦ πατηθέντα καὶ διὰ βαπτίσματος βυθισθέντα, τά τε εἴδωλα καταστραφέντα, καὶ τὴν εἰδωλολατρείαν λοιπὸν ἐξ ἀνθρώπων καταργηθεῖσαν, καὶ τὴν θεογνωσίαν ἐν κόσμῳ κηρυχθεῖσαν, τί ποιεῖ ὁ κακοῦργος καὶ παμμήχανος, ὁ τῶν κακῶν ἐφευρετής; δευτέραν ἄλλην εἰδωλολατρείαν καὶ πλάνην εἰς οἰκουμένην κατέσπειρεν, τὰ τῶν αἱρέσεων ζιζάνια· εὐθέως ἐπὶ τῶν ἀποστόλων Σίμωνα τὸν μάγον ἀναστήσας μυσιάρχην πρῶτον τῶν τοῦ κόσμου αἱρέσεων, λέγοντα ἑαυτὸν τὸν Θεόν. Εἶτα δεύτερον Νικόλαον, ἐξ οὗ οἱ Νικολαῖται ἐλέγοντο. Εἶτα Θευδᾶν. Εἶτα ἑτέρους καθεξῆς οἰκείους ἐργάτας καὶ τῆς πλάνης ἐφευρέτας, δι' οὓς πλεῖσται καὶ διάφοροι ἅγιαι σύνοδοι ὑπὸ τῆς καθολικῆς ἐκκλησίας συνηθροίσθησαν.

Οὕτω ποτὲ τότε ἀνέστη μυσιάρχης Ἄρειος Ἀλεξανδρείας πρεσβύτερος, λέγων κτίσμα τὸν υἱὸν καὶ λόγον τοῦ Θεοῦ, ἑτεροούσιον τοῦ πατρὸς καθ' οὗ ἡ ἁγία σύνοδος ἡ νικαϊκὴ τῶν ἐν Νικαίᾳ τιη' ἁγίων πατέρων συνηθροίσθη, ὁμοούσιον ὁρίσασα τὸν υἱὸν τῷ πατρὶ κατὰ τὴν θεότητα, καὶ ὁμοούσιον τὸν αὐτὸν ἡμῖν τοῖς ἀνθρώποις κατὰ τὴν αὐτοῦ ἀνθρωπότητα, κηρύξασα οὐ κτίσμα ὄντα ἀλλὰ κτίστην, οὐ ποίημα ἀλλὰ ποιητὴν τῶν ἁπάντων. Εἶτα μετὰ χρόνους νε' ἀνέφανη Μακεδόνιος ὁ δύσνους ἐπίσκοπος Κωνσταντινουπόλεως, κτίσμα λέγων τὸ πνεῦμα τὸ ἅγιον. Δι' ὃν ἡ ἁγία σύνοδος τῶν ρν' ἁγίων πατέρων γέγονε, ὁμοούσιον λέγουσα τὸ πνεῦμα τὸ ἅγιον καὶ ἄκτιστον, ἔχειν μίαν οὐσίαν πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, μίαν θεότητα, μίαν ἐξουσίαν, μίαν δύναμιν, ἐν τρισὶν ὑποστάσεσιν.

Digitized by Google

Χρόνων δὲ που πάλιν ν̄α διαδραμόντων, προέκυψεν καὶ Νεστόριος ὁ μιαρὸς καὶ ἀκάθαρτος πρόεδρος Κωνσταντινουπόλεως, ἀνθρωποτόκον λέγων τὴν ἁγίαν παρθένον καὶ οὐ θεοτόκον· δι' ὃν γέγονεν ἡ ἐν Ἐφέσῳ τὸ πρότερον σ̄ ἁγίων πατέρων σύνοδος, θεοτόκον κυρίως καὶ ἀληθῶς κηρύττουσα τὴν ἁγίαν παρθένον, καὶ Νεστόριον αἰωνίῳ ἀναθέματι ὑποβαλοῦσα. Ὁ δὲ πάντων δὲ περί που κ̄ε χρόνων Εὐτυχὴς ὁ δυστυχὴς ἀρχιμανδρίτης μοναστηρίων Κωνσταντινουπόλεως ἀνέκυψεν μὴ λέγων ὁμοούσιον ἡμῖν εἶναι τὸ σῶμα τοῦ Χριστοῦ. Λοιπὸν δὲ καὶ Διόσκορος προῆλθεν τότε πάπας Ἀλεξανδρείας, μίαν φύσιν λέγων ἐν τῷ Χριστῷ· δι' οὓς τινας δύο μιαροὺς αἱρεσιάρχας συνηθροίσθη ἡ ἁγία σύνοδος ἡ Χαλκηδόνος τῶν ὀρθοδόξων ἁγίων πατέρων ἀναθεματίσασα τοὺς εἰρημένους αἱρεσιάρχας, ὁμοῦ τε καὶ Νεστόριον, ὁμοούσιον ἡμῖν τὸν Χριστὸν κατὰ τὴν ἀνθρωπότητα κηρύξασα, καὶ δύο ἀδιαιρέτους ὁρίσασα σὺν ἑνὶ προσώπῳ γνωριζομένας φύσεις· εἷς γάρ ἐστιν ὁ Χριστὸς καὶ οὐ δύο, καὶ σύνθετος αὐτοῦ ἡ ὑπόστασις.

Σβεσθείσης τοίνυν κἀκείνης ἤγουν ἀναθεματισθείσης τῆς ξυνωρίδος τῶν αἱρεσιαρχῶν, διέπεσε που ρ̄ τούτοις χρόνοις καὶ γέγονεν ἡ μακαρία πέμπτη σύνοδος ἐπὶ Ἰουστινιανοῦ τοῦ βασιλέως κατὰ Ὠριγένους, Διδύμου, καὶ Εὐαγρίου, τῶν ματαιοφρόνων ληρωδούντων προϋπάρχειν τῶν σωμάτων ἡμῶν τὰς ψυχὰς ἐν οὐρανοῖς, καὶ τέλος ἔχειν τὴν κόλασιν τὴν αἰώνιον· ἅπερ ἅπαντα ἀπεβάλετο καὶ ἀνεθεμάτισεν αὐτοὺς ἡ θεόπνευστος σύνοδος. Μακρὸς δ' ἂν εἴη λόγος καὶ περὶ τῶν λοιπῶν τοπικῶν πολλάκις γενομένων ἁγίων συνόδων διηγήσασθαι, καὶ τῶν καθ' ἕκαστον καιρὸν καὶ τόπον ἀναφανέντων ποικίλων αἱρέσεων, τῶν μὲν ἀρνουμένων τοῦ εἶναι ἕν, ἄλλως· τῶν δὲ δύο λεγόντων καὶ τὸ τέταρτον δὲ, ἀρειανοί, μανιχαῖοι, τρεῖς οὐσίας ἐπὶ τῆς ἁγίας βλασφημούντων τριάδος καὶ αὐτῶν δὲ, σαβελλιανοί, μίαν λεγόντων ἐπ' αὐτῆς τὴν ὑπόστασιν· ἄλλων δὲ τῇ οἰκονομίᾳ Χριστοῦ. . . .

ΕΠΙΣΤΟΛΗ ΣΑΒΙΝΟΥ ΕΠΙΣΚΟΠΟΥ

ΠΡΟΣ ΠΟΛΥΒΙΟΝ ΕΠΙΣΚΟΠΟΝ (1).

Χάριν ἔχω τῷ θεῷ, καὶ τῇ ὑμετέρᾳ προθυμίᾳ, δοῦλε τοῦ θεοῦ καὶ ἄξιε τῆς ἱερωσύνης ὅσιε πάτερ Πολύβιε, ὅτι διὰ σοῦ διηγείρομαι εἰς μνήμην καλήν· δεξάμενος γὰρ τὰ γράμματα τῆς ὑμετέρας ὁσιότητος, ὥσπερ γῆς διψώσης ὁμειφθέντα δι' ἀνυδρίαν τὰ προβλαστήσαντα, εἶτα τοῦ ὑετοῦ οὐρανόθεν ἐπιρραγέντος αὖθις ἀνεβίωσαν· οὕτω τὰ γράμματα τῆς σῆς ὁσιότητος ἐζωοποίησε μετὰ θεὸν τὴν ἡμετέραν ψυχήν· τίς γὰρ σὴν μνήμην ἔχων, ὅσιε πάτερ, δύναταί ποτε; τίς δὲ ἐπὶ τῆς ἡμετέρας πόλεως οὐ κατήγαγε δάκρυα ἐπὶ τῇ σῇ ἀποδημίᾳ; πολὺς γὰρ κοπετὸς καὶ πένθος ἀφόρητον ἐγένετο διὰ σὲ, ὅσιε πάτερ· οὐ μόνον γὰρ τὴν Κυπρίων νῆσον περιῆλθον οἱ Κυπρίων παῖδες, ἀναζητοῦντες τὴν σὴν ὁσιότητα ὅπως καθεσθῇς ἐπὶ τοῦ θρόνου τῆς ἐκκλησίας, ἀλλὰ καὶ διὰ θαλάσσης πολλοὶ ἀποπλεύσαντες ἐπὶ Φοινίκην τὴν σὴν ζήτησιν ἐποιοῦντο· ὡς τετραμηνιαίου χρόνου παρεληλυθότος ἡ ἐκκλησία ἔμεινε χήρα πρὸς τὴν ἀναζήτησιν.

Περὶ δὲ τῆς ἡμέρας καὶ τοῦ τόπου, ἐν ᾧ ἐτάφη ὁ τῆς ὁσίας μνήμης πατὴρ ἡμῶν ἐπίσκοπος Ἐπιφάνιος, διὰ τῶν γραμμάτων μοι τούτων σημαίνω τῷ ἐμῷ πατρί· Δέκα ἡμέρας ἐποίησε τὸ τίμιον λείψανον αὐτοῦ ἐν τῇ ἐκκλησίᾳ ἐν τῷ σκυπίῳ (2) κείμενον εἰς τὸ μέλι· καὶ πολλοὶ ἀσθενοῦντες προσερχόμενοι καὶ ἁπτόμενοι τοῦ λειψάνου εὐθέως τῆς

(1) Extat latine tantum in editione petoviana S. Epiphanii T. II. p. 380.
(2) Marg. γλωσσοκόμῳ.

ἀσθενείας ἀπηλλάττοντο· Λογγῖνος δὲ καὶ Πετρώνιος οἱ ἔξωθεν διάκονοι, οἱ ἀπὸ τῆς αἱρέσεως τῆς Οὐαλεντινιανοῦ σχήματι ἀποστρέψαντες, αὐτοὶ διεκώλυον τὸν ὅσιον πατέρα ταφῆναι, λέγοντες ὅτι οὐκ ἔξεστι νεκρὸν ἐπὶ τῆς πόλεως ἐν ἐκκλησίᾳ τεθῆναι μήποτε καὶ κινδυνεύσει ἡ πόλις δι' αὐτοῦ· ἦλθεν οὖν ἀκοὴ καὶ σπουδὴ ταρακτικὴ ἐν τῇ πόλει ὅτι μέλλει τὸ λείψανον ἀποσπᾶσθαι ὑπό τινων· καὶ πολὺς θόρυβος ἐγένετο καὶ ταραχὴ ἐπὶ πᾶσαν τὴν πόλιν· ἦμεν δὲ καὶ οἱ ἀπὸ τῶν μοναστηρίων ἅπαντες ἡγούμενοι ἐν τῇ πόλει· τῇ οὖν δεκάτῃ ἡμέρᾳ λαβὼν ὀρυκτῆρα ὁ τιμιώτατος Σαβῖνος ὁ διάκονος, ἤρξατο ἀνατέμνειν τὸν τόπον ἐν ᾧ ἔμελλε κατατίθεσθαι τὸ τίμιον λείψανον τοῦ ὁσίου πατρός· ἰδὼν δὲ καὶ ὁ αἰδέσιμος Δράκων, συνήνεσε καὶ αὐτός· εἶπον δὲ πάλιν Λογγῖνος καὶ Πετρώνιος· οὐκ ἔξεστι τοῦ ταφῆναι αὐτὸν ἐν τῇ ἐκκλησίᾳ· λαβὼν δὲ καὶ ὁ αἰδέσιμος Δράκων ὀρυκτῆρα ὤρυττε καὶ αὐτὸς μετὰ Σαβίνου λέγων· ταφήτω τὸ λείψανον τοῦ ὁσίου πατρὸς ἐν τῷ τόπῳ τούτῳ, κἀγὼ ποιήσω δέησιν πρὸς τὸν βασιλέα περὶ τούτου· ἦλθον οὖν τεχνῖται καὶ ἐποίησαν τὴν θήκην τοῦ τιμίου λειψάνου τοῦ ὁσίου πατρὸς ἡμῶν καὶ ἐπισκόπου Ἐπιφανίου μετὰ πάσης ἐπιμελείας τε καὶ ἀσφαλείας· μάλιστα διὰ τὸ λέγεσθαι ὑπὸ πολλῶν ὅτι μέλλει κλέπτεσθαι ὑπὸ τῶν Ῥωμαίων ἢ ὑπὸ Κωνσταντινουπολιτῶν ἢ ὑπὸ Φοινίκων.

Τῆς οὖν θήκης γενομένης ἐκ δεξιῶν τῆς ἁγίας ἐκκλησίας ἔνθα ὁ οἰκοδόμος ἔνευσεν Φαυστινιανοῦ, ἔλαβον τὸ τίμιον λείψανον τοῦ ὁσίου πατρὸς ἄνδρες εὐλαβεῖς ὅπως κατάθωνται, αὐτὸ ἐπὶ τῆς θήκης. Οἱ οὖν ἀσεβεῖς καὶ ἀνάξιοι, λέγω δὲ Λογγῖνος καὶ Πετρώνιος ἐπελάβοντο τοῦ λειψάνου παρακινοῦντες, καὶ ἄλλους κακοδόξους καὶ οὐκ εἴων αὐτὸ ταφῆναι· ὡς οὖν ἦμεν ἐν φιλονεικίᾳ πολλῇ, ὁ τίμιος διάκονος Σαβῖνος μετὰ φωνῆς μεγάλης καὶ κλαυθμοῦ πικροτάτου εἶπεν· ὅσιε πάτερ Ἐπιφάνιε, οἶδα καὶ πιστεύω ὅτι ὡς ἐδυσώπεις τὸν Θεὸν ἔτι περιὼν ἐν τῷδε τῷ βίῳ, οὕτω καὶ τὸ νῦν δύνασαι καὶ πλεῖόν τι· πάταξον δὲ Λογγῖνον καὶ Πετρώνιον τοὺς ἀποστάτας, ὅτι διὰ ζῆλον ἄδικον οὐκ ἐῶσί σε ταφῆναι ἐν τῷ τόπῳ τούτῳ· καὶ ἐπὶ τῷ λόγῳ τούτῳ τοῦ διακόνου Σαβίνου κρίσις ἐγένετο ὑπὸ τοῦ Θεοῦ· ὁ μὲν γὰρ Λογγῖνος πεσὼν ἐπὶ τῆς γῆς ἔμεινε νεκρός· ὁ δὲ Πετρώνιος παρέθη τὰς χεῖρας καὶ ἔμεινεν ἄφωνος ἐπὶ τῷ τόπῳ· καὶ τὸν μὲν Λογγῖνον περιστείλαντες ἔθαψαν· τὸν δὲ Πετρώνιον βαστάσαντες ἀπήνεγκαν ἐν τῷ οἴκῳ αὐτοῦ καὶ ἔθηκαν ἐπὶ τῆς κλίνης, καὶ τῇ τετάρτῃ ἡμέρᾳ κατέλυσε τὸν βίον. Λαβόντες οὖν τὸ τίμιον λείψανον τοῦ ὁσίου καὶ παμμάκαρος πατρὸς ἡμῶν καὶ ἐπισκόπου Ἐπιφανίου μετὰ πάσης τιμῆς κατέθεντο ἐν τῷ τόπῳ.

Τῇ οὖν ἕωθεν εὐθέως ὁ αἰδέσιμος Δράκων προσκαλεσάμενος ἅπαντας τοὺς κληρικοὺς μετὰ καὶ πολλῶν κτητόρων τῆς πόλεως, ἐποίησε δέησιν πρὸς τὸν βασιλέα· ἀπεστάλησαν οὖν τῶν κληρικῶν τρεῖς, καὶ τῶν κτητόρων τρεῖς· τῶν κληρικῶν, ὁ τιμιώτατος διάκονος Σαβῖνος, καὶ ὁ τιμιώτατος διάκονος Παῦλος ὁ ἀνεψιὸς τοῦ Δράκοντος, καὶ ὁ τίμιος διάκονος Ἀθανάσιος· τῶν δὲ κτητόρων, ὁ αἰδέσιμος Μαρκιανὸς ὁ ἀδελφὸς Συνεσίου, καὶ ὁ αἰδέσιμος Ἰωάννης ὁ τούτου ἀνεψιός, καὶ ὁ υἱὸς Δράκοντος, ὁ καὶ Δράκων καλούμενος, ὃν ἐθεράπευσεν Ἐπιφάνιος διὰ τοῦ Θεοῦ ἀπὸ πάθους δεινοτάτου· ἀπῆλθον οὖν οὗτοι ἐπὶ τὴν βασιλίδα καὶ ἐπέδωκαν τὴν δέησιν τῷ βασιλεῖ· ὁ δὲ βασιλεὺς Ἀρκάδιος δεξάμενος τὴν δέησιν καὶ ἀναγνοὺς, ἐλυπήθη λύπην μεγάλην σφόδρα περὶ Ἐπιφανίου, ἀκούσας ὅτι κατέλυσε τὸν βίον· καὶ εἶπεν πρὸς τοὺς τὴν δέησιν ἐπιδόντας αὐτῷ· καθίσατε δὲ ἐν τῇ βασιλίδι τεσσαράκοντα ἡμέρας, ὅπως πενθήσω ἐπὶ τῷ ἐμῷ πατρὶ, καὶ ἀποστελῶ ὑμᾶς μετ' εἰρήνης· οἱ δὲ ἐποίησαν οὕτως· καὶ ἐπένθησεν ὁ βασιλεὺς Ἀρκάδιος τὸν τῆς ὁσίας μνήμης πατέρα ἡμῶν καὶ ἐπίσκοπον Ἐπιφάνιον μ ἡμέρας· μετὰ δὲ τὸ πένθος ἐποίησε διάταξιν, καὶ ἀπέστειλε μετ' αὐτῶν ἄνδρα εὐλαβῆ στρατευόμενον ὀνόματι Μάξιμον· οὗτος πνεῦμα ἀκάθαρτον εἶχεν.

Καταντησάντων οὖν αὐτῶν ἐπὶ Κωνσταν-

τησαν εὐθέως λαβὼν τὴν διάταξιν ὁ Μάξιμος εἰσῆλθεν ἐν τῷ τόπῳ, ἔνθα κεῖνται τὰ λείψανα τοῦ ὁσίου πατρὸς ἡμῶν· καὶ ῥίψας ἑαυτὸν ἐπὶ πρόσωπον, καὶ τὴν δέησιν ἀποθέμενος ἐπὶ τοῦ θήκους, εἶπεν· ἄξιε τοῦ Θεοῦ ὅσιε Ἐπιφάνιε, δίωξον ἀπ' ἐμοῦ τὸ πνεῦμα τὸ πονηρόν· καὶ τότε τὸν τύπον τοῦτον ἐμφανίσω μετὰ μεγάλης εὐχαριστίας· καὶ παραχρῆμα ἐξῆλθε τὸ ἀκάθαρτον πνεῦμα ἀπὸ τοῦ Μαξίμου· καὶ τῇ ἕωθεν ἐνεφανίσθη ὁ τύπος ἐν δημοσίῳ τόπῳ· καὶ πάντες ἐχάρησαν χαρὰν μεγάλην ἐπὶ τούτῳ· τοῦ δὲ τύπου καὶ τὴν δύναμιν ἐν τῇ ἐμῇ ἐπιστολῇ τῇ παρ' ἡμῶν ἀποστελλομένῃ πρὸς τὴν ὑμῶν θεοφιλίαν ἐντίθημι, ἐν δευτέρῳ στίχῳ οὕτω περιέχουσαν· φησὶ γὰρ ὁ βασιλεὺς Ἀρκάδιος οὕτω περὶ τοῦ ὁσίου πατρός· τὸν ὑπὲρ τοὺς ἡμετέρους νόμους ζήσαντα, οὐ κατὰ τοὺς ἡμετέρους νόμους βουλόμεθα αἰδεῖσθαι.

Ἰδοὺ οὖν, ὅσιε πάτερ Πολύβιε, τὴν ἅπασαν ἀκολουθίαν τὴν γενομένην διὰ λόγων τε καὶ ἔργων ὑπεθέμην τῇ ὑμῶν θεοτιμήτῳ καὶ ὁσίᾳ ψυχῇ διὰ τῶν γραμμάτων τῶν ἀποσταλέντων παρ' ἡμῶν διὰ τοῦ τιμίου διακόνου Καλλίππου. Μνήμην δὲ ἔχε περὶ ἐμοῦ ἀδιαλείπτως ἐν ταῖς πρὸς Θεὸν εὐχαῖς σου, ὅσιε πάτερ· πολλὰ δὲ ἐξ ὑμῶν τὸν ὅσιόν σου κλῆρον προσειπεῖν καταξίωσον, ἄξιε τῆς ἱερωσύνης ὅσιε πάτερ· ὑπερεύχου μου τὰ πάντα θεοφιλέστατε.

ΔΙΑΘΗΚΗ

ΤΟΥ ΑΜΕΜΠΤΟΥ ΚΑΙ ΠΟΛΥΑΘΛΟΥ ΚΑΙ ΜΑΚΑΡΙΟΥ

ΙΩΒ. (1)

Βίβλος Ἰὼβ τοῦ καλουμένου Ἰωβὰβ, καὶ βίος αὐτοῦ, καὶ ἀντίγραφον διαθήκης αὐτοῦ, ἐν ᾗ ἡμέρᾳ νοσήσας, καὶ γνοὺς τὴν ἀποδημίαν αὐτοῦ ἐκ τοῦ σώματος, ἐκάλεσε τοὺς ἑπτὰ υἱοὺς αὐτοῦ καὶ τὰς τρεῖς αὐτοῦ θυγατέρας, καὶ εἶπεν αὐτοῖς· περικυκλώσατε, τέκνα, περικυκλώσατέ με, καὶ ἀκούσατε καὶ διηγήσομαι ὑμῖν ἃ ἐποίησε κύριος μετ' ἐμοῦ, καὶ τὰ συμβάντα μοι πάντα· ἐγὼ γάρ εἰμι Ἰὼβ ὁ πατὴρ ὑμῶν, ὦ ἐντέκνα μου, ὅτι γένος ἐκλεκτοῦ ἐστέ, καὶ τηρήσατε τὴν εὐγένειαν ὑμῶν· ἐγὼ γάρ εἰμι ἐκ τῶν υἱῶν Ἡσαῦ, ἀδελφὸς Ναχώρ· μήτηρ δὲ ὑμῶν Δῖνα, ἐξ ἧς ἐγέννησα ὑμᾶς· ἡ γὰρ προτέρα μου γυνὴ ἐτελεύτησε μετὰ τῶν ἄλλων δέκα τέκνων ἐν πικρῷ θανάτῳ· ἀκούσατε οὖν τέκνα, καὶ δηλώσω ὑμῖν τὰ συμβεβηκότα μοι.

Ἐγὼ γὰρ ἤμην πλούσιος σφόδρα τῶν ἀφ' ἡλίου ἀνατολῶν ἐν χώρᾳ τῇ Αὐσίτιδι· καὶ πρὸ τοῦ καλέσαι με ὁ κύριος Ἰὼβ, ἐκαλούμην Ἰωβάβ. Ἡ δὲ ἀρχὴ τοῦ πειρασμοῦ ἐγένετο οὕτως· ἦν γὰρ πλησίον τοῦ οἴκου εἴδωλον τινὸς θρησκευόμενον ὑπὸ τοῦ λαοῦ· καὶ συνεχῶς ἔβλεπον ὁλοκαυτώματα αὐτῷ προσφερόμενα ὡς θεῷ· διελογιζόμην ἐμαυτῷ καὶ ἔλεγον· ἆρα οὗτός ἐστιν ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντας ἡμᾶς; ἆρα πῶς γνώσομαι τὸ ἀληθές;

Καὶ ἐν τῇ νυκτὶ ἐκείνῃ κοιμωμένου μου ἦλθέ μοι φωνὴ λέγουσα, Ἰωβὰβ Ἰωβὰβ, ἀνάστηθι καὶ ὑποδείξω σοι τίς ἐστιν οὗτος ὃν γνῶναι θέλεις· οὗτος τοίνυν, ᾧ τὰ ὁλοκαυτώματα προσφέρουσιν οἱ ἄνθρωποι καὶ σπένδουσιν, οὐκ ἔστι θεὸς, ἀλλ' ἔστι δύναμις αὕτη καὶ ἐργασία τοῦ διαβόλου, ἐν ᾗ ἀπατᾷ τοὺς ἀνθρώπους. κἀγὼ ταῦτα ἀκούσας ἔπεσον εἰς τὴν γῆν, καὶ προσκύνησα λέγων, κύριέ μου ὁ ἐπὶ σωτηρίᾳ τῆς

(1) Iobi Testamentum, etsi apocryphum, pervetustum tamen opusculum est, quippe quod appellatur in decreto Gelasii papae collect. Concil. Mansii T. VIII. col. 169.

ἐμῆς ψυχῆς μου λαλῶν, δέομαί σου, εἴπερ οὗτός ἐστιν ὁ τόπος τοῦ σατανᾶ, δέομαί σου κέλευσόν με ἀπελθεῖν καὶ ἀφανίσαι αὐτὸν, καὶ καθαρίσαι τὸν τόπον τοῦτον· οὐκ ἔστιν ὁ κωλύων με τοῦτο ποιῆσαι, βασιλέα ὄντα τῆς χώρας ταύτης, ἵνα μηκέτι πλανηθῶσιν οἱ ἐν αὐτῇ.

Καὶ ἀπεκρίθη μοι ἡ φωνὴ ἐκ τοῦ φωτὸς λέγουσα, ὅτι καθαρίσαι τὸν τόπον δυνήσῃ· ἀλλ᾽ ἰδοὺ ἀποδείκνυμί σοι πάντα ἅπερ ἐνετείλατό μοι κύριος εἰπεῖν σοι· ἐγὼ γάρ εἰμι ὁ ἀρχάγγελος τοῦ Θεοῦ· κἀγὼ εἶπον, ὅτι πάντα ὅσα ἐντέλλεται τῷ θεράποντι αὐτοῦ, ἀκούσομαι· καὶ εἶπέ μοι ὁ ἀρχάγγελος· τάδε λέγει κύριος· εἰ ἀπολέσαι ἐπιχειρήσεις καὶ καθαίρεις τὸν τόπον τοῦ σατανᾶ, ἀναστήσεταί σοι μετ᾽ ὀργῆς εἰς πόλεμον καὶ ἐνδείξεται ἐν σοὶ πᾶσαν τὴν πονηρίαν αὐτοῦ· ἐποίσει σοι πολλὰς πληγὰς καὶ χαλινώσει, καὶ ἀφαιρεῖται ἀπὸ σοῦ πάντα τὰ ὑπάρχοντα, τά τε παιδία σου ἀνελεῖ· καὶ πολλὰ κακά σοι ποιήσει· καὶ ἔσῃ ὡς ἀθλητὴς πυκτεύων καὶ καρτερῶν πόνους καὶ ἐκδεχόμενος τὸν μισθὸν, καὶ τοὺς πειρασμοὺς προσκαρτερῶν καὶ τὰς θλίψεις· ἀλλ᾽ ἐὰν ταῦτα ὑπομείνῃς, ποιήσω σου τὸ ὄνομα ὀνομαστὸν ἐν πάσαις ταῖς γενεαῖς τῆς γῆς ἄχρι τῆς συντελείας τοῦ αἰῶνος· καὶ πάλιν ἐπανακάμψω σε ἐπὶ τὰ ὑπάρχοντά σου, καὶ ἀποδοθήσεταί σοι διπλάσια πάντα ὧν ἀπολέσεις· ἵνα γνῷς ὅτι ἀπροσωπόληπτός ἐστιν ὁ Θεὸς, ἀποδιδοὺς ἑκάστῳ τῷ ὑπακούοντι ἀγαθὰ, ἃ καὶ σοὶ δωρήσεται, καὶ στέφανον ἀμαράντινον κομίσεις· ἐγερθήσει δὲ καὶ ἐν τῇ ἀναστάσει εἰς ζωὴν αἰώνιον· τότε γνώσεις ὅτι δίκαιος καὶ ἀληθὴς καὶ ἰσχυρὸς ὁ κύριος.

Ἐγὼ δὲ, τέκνα μου, ἀνταπεκρίθην αὐτῷ, ὅτι ὑπομένω μέχρι θανάτου πάντα τὰ ἐπερχόμενά μοι ὑπὲρ τῆς ἀγάπης τοῦ Θεοῦ, καὶ οὐ μὴ ἀναποδίσω· τότε ὁ ἄγγελος σφραγισάμενός με ἀπῆλθεν ἀπ᾽ ἐμοῦ. Τῇ δὲ ἑξῆς ἀναστὰς τῇ νυκτὶ ἔλαβον πεντήκοντα παῖδας, ἀπῆλθον εἰς τὸν ναὸν τοῦ εἰδωλείου καὶ ὠλόθρευσα αὐτὸν ἄχρις ἐδάφους· καὶ οὕτως ἀνεχώρησα εἰς τὸν οἶκόν μου, κελεύσας ἀσφαλισθῆναι τὰς θύρας, ἐντειλάμενος τοῖς προθύροις μου ὅτι εἴ τις σήμερον ζητήσει με, μὴ σημανθήτω μοι· ἀλλ᾽ εἴπατε αὐτῷ, σχολάζω περὶ πραγμάτων ἀναγκαίων, ἔνδον ἐστίν· τότε ὁ σατανᾶς μετασχηματισθεὶς εἰς ἐπαίτην ἔκρουσε τῇ θύρᾳ, λέγων τῇ θυρωρῷ· σήμανον τῷ Ἰὼβ λέγουσα ὅτι βούλομαι συντυχεῖν αὐτῷ· καὶ ἡ θυρωρὸς εἰσελθοῦσα λέγει μοι ταῦτα· καὶ ἤκουσε παρ᾽ ἐμοῦ, ὅτι σχολάζω.

Ἀστοχήσας ἐν τούτῳ ὁ πονηρὸς, ἀπελθὼν ἐπέθηκεν ἐπὶ τοὺς ὤμους αὐτοῦ ἀσπάλιον ῥακκώδη καὶ εἰσελθὼν λελάληκε τῇ θυρωρῷ λέγων· εἰπὲ τῷ Ἰὼβ ὅτι δός μοι ἄρτον ἐκ τῶν χειρῶν σου ἵνα φάγω· καὶ ἀκούσας ἐγὼ ταῦτα, ἔδωκα αὐτῇ ἄρτον ἐκκεκαυμένον δοῦναι αὐτῷ· καὶ ἐδήλωσα αὐτῷ ὅτι μηκέτι φαγεῖν προσδόκα ἐκ τῶν ἐμῶν ἄρτων, ὅτι ἀπηλλοτριώθην σοι· καὶ ἡ θυρωρὸς αἰδεσθεῖσα ἐπιδοῦναι αὐτῷ τὸν ἐκκεκαυμένον ἄρτον καὶ σποδοειδῆ, μὴ εἰδυῖα ὅτι ὁ σατανᾶς ἐστὶν, ἦρεν ἐκ τῶν αὐτῆς ἄρτων τῶν καλῶν, καὶ ἔδωκεν αὐτῷ· ὁ δὲ λαβὼν, καὶ γνοὺς τὸ γεγονὸς, εἶπε τῇ παιδίσκῃ· ἀπελθοῦσα, κακὴ δούλη, φέρε μοι τὸν δοθέντα σοι δοθῆναί μοι ἄρτον· καὶ ἔκλαυσεν ἡ παῖς μετὰ λύπης λέγουσα· ἀληθῶς λέγεις εἶναί με κακὴν δούλην, ὅτι οὐκ ἐποίησα καθὼς προσετάχθη μοι ὑπὸ τοῦ δεσπότου μου· καὶ ὑποστρέψασα ἤνεγκεν αὐτῷ τὸν κεκαυμένον ἄρτον, λέγουσα αὐτῷ· τάδε λέγει κύριός μου, ὅτι οὐ μὴ φάγῃς ἐκ τῶν ἄρτων μου ἔτι, ὅτι ἀπηλλοτριώθην σοι, καὶ τοῦτόν σοι δέδωκα ἵνα μὴ ἐγκληθῶ, ὅτι τῷ αἰτήσαντι ἐχθρῷ οὐδὲν παρέσχου· καὶ ταῦτα ἀκούσας ὁ σατανᾶς ἀντέπεμψέ μοι τὴν παῖδα λέγων, ὅτι ὡς ὁρᾷς τὸν ἄρτον τοῦτον τὸν ὁλόκαυτον, οὕτω ποιήσω ἐν τάχει καὶ τὸ σῶμά σου τοιοῦτον· καὶ ἀνταπεκρίθην, ὃ ποιεῖς ποίησον, καὶ εἴ τι βούλῃ ἀγωγῇ ἔργασαι· ἕτοιμος γάρ εἰμι ὑποστῆναι ἅπερ προσφέρεις μοι.

Ταῦτα ἀκούσας ὁ διάβολος ἀνέστη ἀπ᾽ ἐμοῦ καὶ ἀπελθὼν ὑπὸ τὸ στερέωμα, ὥρκωσε τὸν κύριον ἵνα λάβῃ ἐξουσίαν τῶν ὑπαρχόντων μου· καὶ λαβὼν παρὰ Θεοῦ τὴν ἐξουσίαν, ἦλθε καὶ ἦρέ μου τὸν σύμπαντα πλοῦτον παραχρῆμα· εἶχον γὰρ ρ̄λ̄ χιλιάδας προβάτων, καὶ ἐξ αὐτῶν ἀφώρισα χιλιάδας ζ εἶναι εἰς ἔνδυσιν ὀρφανῶν

καὶ χηρῶν καὶ πενήτων καὶ ἀδυνάτων· ἦν δέ μοι ἀγέλη κυνῶν ω̅, οἱ φυλάσσοντες τὰ ποίμνια· καὶ ἄλλους κύνας εἶχον σ̅ φυλάσσοντας τὸν οἶκον· εἶχον δὲ καὶ μύλους ϡ̅ ἐργάζεσθαι κατὰ πᾶσαν πόλιν, καὶ γόμους κομίζεσθαι ἀγαθῶν· καὶ ἀπέστελλον κατὰ πᾶσαν πόλιν, καὶ εἰς τὰς κώμας τοῖς ἀδυνάτοις καὶ τοῖς ἀῤῥώστοις καὶ τοῖς ὑστερουμένοις· εἶχον δὲ καὶ ξ̅ μ χιλιάδας ὄνων νομάδων· καὶ ἐξ αὐτῶν ἀφώρισα φ̅, καὶ τὴν ἐξ αὐτῶν γονὴν ἐκέλευον πεπράσκεσθαι, καὶ τὴν τιμὴν εἶναι τοῖς πένησι καὶ δεομένοις· ἤρχοντο γὰρ εἰς ἀνάπαυσιν ἀπὸ πασῶν τῶν χωρῶν οἱ πένητες· ἀνεῳγμέναι γὰρ ἦσαν αἱ τέσσαρες θύραι τοῦ οἴκου ὑπὲρ τοῦ τοιούτου σκοποῦ, μὴ ἄρα ἔλθωσι τινὲς ἐλεημοσύνην ζητοῦντες, καὶ ἴδωσί με παρακαθεζόμενον εἰς μίαν τῶν θυρῶν, δυνηθῶσι διὰ τῆς ἄλλης ἀπελθεῖν καὶ λαβεῖν ὅσον χρήζουσιν.

Ἦσαν δέ μοι καὶ τράπεζαι ἱδρυμέναι λ̅ ἀκίνητοι πᾶσαν ὥραν τοῖς ξένοις μόνοις· εἶχον δὲ καὶ τῶν χηρῶν ιβ̅ τραπέζας κειμένας· καὶ εἴ τις ἤρχετο αἰτῶν ἐλεημοσύνην, εἶχε τρέφεσθαι ἐν τῇ τραπέζῃ μου τοῦ λαβεῖν τὴν χρείαν· καὶ οὐδένα ἐπέτρεπον ἐξελθεῖν τὴν θύραν μου κόλπῳ κενῷ. Εἶχον δὲ τρεῖς χιλιάδας πεντακόσια ζεύγη βοῶν· καὶ ἐξελεξάμην ἐξ αὐτῶν φ̅, καὶ ἔταξα εἰς τὸν ἀροτριασμόν, ὥστε πάντα ποιεῖν ἐν παντὶ ἀγρῷ τῶν προσλαβόντων αὐτοῦ· καὶ τὴν εἴσοδον τῶν καρπῶν αὐτῶν ἀφώριζον τοῖς πένησιν εἰς τὴν τράπεζαν αὐτῶν· εἶχον δὲ καὶ ἀρτοκόπια ν̅, ἀφ' ὧν ἔταξα εἰς τὴν τράπεζαν τῶν πτωχῶν· εἶχον δὲ δούλους ἐξαιρέτους εἰς τὴν ὑπηρεσίαν ταύτην.

Ἦσαν δὲ καὶ ξένοι τινὲς ἰδόντες τὴν ἐμὴν προθυμίαν· καὶ αὐτοὶ ἐπεθύμησαν ὑπηρετῆσαι τῇ διακονίᾳ· καὶ ἄλλοι τινὲς ἦσαν ἀποροῦντες, καὶ μὴ δυνάμενοι ἀναλῶσαι, ἤρχοντο παρακαλοῦντες καὶ λέγοντες, δεόμεθά σου, ἐπειδὴ καὶ ἡμεῖς δυνάμεθα ταύτην ἐκτελέσαι τὴν διακονίαν, καὶ οὐδὲν κεκτήμεθα, ποίησον μεθ' ἡμῶν ἔλεος, καὶ προχείρισον ἡμῖν χρυσίον, ἵνα ἀπέλθωμεν εἰς τὰς μακρὰς πόλεις, καὶ ἐμπορευσώμεθα, καὶ τὸ περιττὸν τῆς ἐμπορίας δυνηθῶμεν τοῖς πένησι ποιεῖσθαι διακονίαν· καὶ μετὰ τοῦτο ἀποκαταστήσομέν σοι τὸ ἴδιόν σου· καὶ ἐγὼ ταῦτα ἀκούων ἠγαλλιώμην ὅτι ὅλως παρ' ἐμοῦ λαμβάνουσιν εἰς οἰκονομίαν τῶν πτωχῶν· καὶ προθύμως ἐδίδουν αὐτοῖς ὅσον ἤθελον, δεχόμενος τὸ γραμματεῖον αὐτῶν, μὴ λαμβάνων παρ' αὐτῶν ἐνέχυρον, ἢ μὴ μόνον τὸ ἔγγραφον· καὶ φορτιζόμενοι ἐπορεύοντο· καὶ ἐπιτύγχανον ἐδίδουν τοῖς πτωχοῖς· πολλάκις τινὲς ἀπώλεσαν ἐξ αὐτῶν ἐν ὁδῷ, ἢ ἐν θαλάσσῃ, ἢ ἐσυλοῦντο ἐξ αὐτῶν· καὶ ἐρχόμενοι παρεκάλουν με λέγοντες· δεόμεθά σου, μακροθύμησον ἐφ' ἡμᾶς, ἵνα ἴδωμεν πῶς ἀποκαταστήσωμέν σοι τὰ σά· ἐγὼ δὲ ταῦτα ἀκούων καὶ συμπαθῶν αὐτοῖς προέφερον αὐτῶν τὸ χειρόγραφον, καὶ ἀνεγίνωσκον ἐνώπιον αὐτῶν· καὶ διαῤῥήξας ἠλευθέρουν αὐτοὺς τοῦ χρέους, λέγων οὕτως· ὅσον προφάσει τῶν πενήτων ἐπίστευσα ὑμῖν, οὐδὲν λήψομαι παρ' ὑμῶν· καὶ οὐδὲν ἐδεχόμην παρὰ τοῦ ὀφειλέτου μου.

Καὶ εἴ ποτε ἤρχετο ἀνὴρ ἱλαρὸς τῇ καρδίᾳ λέγων, οὐδὲν ἀπορῶ ἐπικουφίσαι τοῖς πένησιν· βούλομαι μὲν διακονῆσαι τοῖς πτωχοῖς ἐν τῇ τραπέζῃ σου· καὶ συγχωρηθεὶς ὑπηρέτει, καὶ ἔφαγεν, καὶ τῇ ἑσπέρᾳ ἐδίδου αὐτῷ τὸν μισθὸν αὐτοῦ· καὶ ἐπορεύετο εἰς τὸν οἶκον αὐτοῦ χαίρων· καὶ εἰ μὴ ἐβούλετο λαβεῖν, ἠναγκάζετο παρ' ἐμοῦ λέγοντος πρὸς αὐτόν· ἐπίσταμαι ὅτι ἐργάτης εἶ ἄνθρωπος προσδοκῶν καὶ ἀναμένων τὸν μισθόν, καὶ ἀνάγκην ἔχεις λαβεῖν· καὶ οὐκ ὑστέρησα τὸν μισθὸν μισθωτοῦ ἢ ἄλλου τινός, ἢ ἀφῆκα τὸν μισθὸν αὐτοῦ ὁ μένων παρ' ἐμοὶ μίαν ἑσπέραν ἐν τῇ οἰκίᾳ μου.

Ἀπεφώνουν δὲ οἱ ἀμέλγοντες τὰς βόας ἢ καὶ τὰ πρόβατα τοὺς παροδίτας ἐν τῇ ὁδῷ ὅπως μεταλάβωσιν ἐξ αὐτοῦ· καὶ διεχεῖτο γάλα τὸ βούτυρον ἐν τοῖς ὄρεσι καὶ ἐν ταῖς ὁδοῖς ἀπὸ τοῦ πλήθους· ἐν δὲ ταῖς πέτραις καὶ τοῖς ὄρεσιν ἐκοιτάζοντο διαλοχευόμενα· ἀπέκαμον δὲ οἱ δοῦλοί μου οἱ τὰ τῶν χηρῶν καὶ τὰ τῶν πενήτων ἐδέσματα ἐνέχοντες καὶ ὀλιγωροῦντες κατηρῶντό μοι λέγοντες· τίς ἂν δῴη ἡμῖν ἐκ τῶν σαρκῶν αὐτοῦ ἐμφορηθῆναι καὶ ἐμπλησθῆναι; λίαν χρηστοῦ ὄντος

μου πρὸς αὐτούς. Εἶχον δὲ καὶ ἐξ ψαλμοὺς ϗ δεκάχορδον κιθάραν, ϗ διηγειρόμην τὸ καθ' ἡμέραν καὶ ἐλάμβανον τὴν κιθάραν καὶ ἀντύπτουν αἱ χῆραι, μετὰ τὸ ἐσθίειν αὐτάς· ϗ ἐκ τοῦ ψαλτῆρος ἀνεμίμνησκον αὐτὰς τοῦ θεοῦ, ἵνα δοξάσωσι τὸν κύριον· ϗ εἴ ποτε ἐγόγγυζον αἱ θεράπαιναί μου, ἐλάμβανον τὸ ψαλτήριον, ϗ τὸν μισθὸν τῆς ἀνταποδοσίας ἔψαλλον αὐταῖς, ϗ κατέπαυον αὐτὰς τῆς ἀλογορίας τοῦ γογγυσμοῦ.

Τὰ δὲ ἐμὰ τέκνα μετὰ τὴν ὑπηρεσίαν τῆς διακονίας ἐλάμβανον καθ' ἡμέραν τὸ δεῖπνον αὐτῶν ϗ τὰς τρεῖς αὐτῶν ἀδελφάς, ἐπορεύοντο παρὰ τῷ ἀδελφῷ αὐτῶν τῷ πρεσβυτέρῳ, ϗ ἐποίουν πότον. Ἀνιστάμενος οὖν ἐγὼ τὸ πρωὶ ἀνέφερον ὑπὲρ αὐτῶν θυσίας, ἐρίφους αἰγῶν τ̅, ϗ πρόβατα ιθ̅· ταῦτα ἐκ περιττοῦ εἰς ἀνάλωμα τοῖς πτωχοῖς· καὶ ἔλεγον αὐτοῖς ἐγώ· ταῦτα λαμβάνετε περιττά, ϗ δεήθητε ὑπὲρ τῶν τέκνων μου, μὴ ἄρα οἱ υἱοί μου ἥμαρτον ἐνώπιον κυρίου, λέγοντες μετὰ καταφρονήσεως, ὅτι ἡμεῖς ἐσμὲν τέκνα τοῦ πλουσίου τοῦδε ἀνδρός· ἡμῶν ἐστι τὰ χρήματα ταῦτα· διὰ τί δὲ ϗ διακονοῦμεν; ταῦτα λέγοντες ἐξ ὑπερηφανίας, παρόργιζον τὸν θεόν· ϗ ἔστι βδέλυγμα ἐναντίον κυρίου ἡ ὑπερηφάνεια· ἀνέφερον δὲ ϗ μόσχους τῷ ἐπὶ τὸ θυσιαστήριον λέγων, μή ποτε οἱ υἱοί μου κακὰ ἐνόησαν πρὸς τὸν θεὸν ἐν τῇ καρδίᾳ αὐτῶν.

Τούτῳ τῷ τρόπῳ βιοῦντός μου, ὁ διάβολος οὐκ ἤνεγκε τὸ ἀγαθὸν ἀλλὰ ἀπελθὼν ἐξῃτήσατο κατ' ἐμοῦ τὸν πόλεμον παρὰ τῷ θεῷ· κατῆλθεν ἐπ' ἐμὲ ἀνηλεῶς· ϗ πρῶτον μὲν ἐφλόγησε τὸ πλῆθος τῶν προβάτων, ἔπειτα τὰς καμήλους, εἶτα τοὺς βόας ϗ πάντα τὰ κτήνη τὰ μὲν ἐφλόγησε, τὰ δὲ ᾐχμαλωτίσθησαν, οὐ μόνον παρ' ἐχθρῶν ἀλλὰ ϗ ἀπὸ τῶν παρ' ἐμοῦ εὐεργετηθέντων. Καὶ ἐλθόντες οἱ ποιμένες ἀνήγγειλάν μοι ταῦτα· ἐγὼ δὲ ἀκούσας ἐδόξασα τὸν θεόν, ϗ οὐκ ἐβλασφήμησα.

Τότε ὁ διάβολος ἐγνωκώς μου καρτερίαν, κατεμηχανήσατο κατ' ἐμοῦ· μετασχηματισθεὶς εἰς βασιλέα τῶν Περσῶν ἐπέστη ἐπ' ἐμῇ πόλει, ϗ συναγαγὼν πάντας τοὺς ἐν αὐτῇ, πανούργως ἐλάλησεν αὐτοῖς, μετὰ ἀπειλῆς λέγων· οὗτος ὁ ἀνὴρ ὁ Ἰὼβ ὁ ἀναλώσας πάντα τὰ ἀγαθὰ τῆς γῆς ϗ μηδὲν καταλιπών, ὁ ἀφανίσας ϗ καταλύσας τὸν ναὸν τοῦ θεοῦ· διὸ καὶ ἐγὼ ἀποδώσω αὐτῷ καθὰ ϗ ἔπραξεν μετὰ τοῦ οἴκου τοῦ μεγάλου θεοῦ· νῦν οὖν ἀπέλθετε σὺν ἐμοί, ϗ σκυλεύσωμεν πάντα τὰ ὑπάρχοντα ἐν τῷ οἴκῳ αὐτοῦ. Καὶ ἀποκριθέντες εἶπον αὐτῷ· ἔχει ζ̅ υἱοὺς ϗ θυγατέρας γ̅, μὴ ἄρα καταφύγωσιν εἰς ἑτέρας χώρας, ϗ ἐντύχωσι καθ' ἡμῶν ὡς τυραννούντων, ϗ λοιπὸν ἐπανέλθωσιν ἐφ' ἡμᾶς μετὰ δυνάμεως ϗ ἀποκτείνωσιν ἡμᾶς· ϗ εἶπεν αὐτοῖς, μὴ φοβεῖσθε ὅλως· τὰ κτήνη αὐτοῦ, ϗ τὸ πλῆθος αὐτοῦ ἀπώλεσα ἐν πυρί, τὰ δὲ ἄλλα ᾐχμαλώτευσα· καὶ ἰδοὺ καὶ τὰ τέκνα αὐτοῦ ἀπολέσω.

Καὶ ταῦτα εἰπὼν αὐτοῖς, ἀπελθὼν κατέβαλε τὸν οἶκον ἐπὶ τὰ τέκνα μου ϗ ἀπώλεσεν αὐτά· ϗ συμπολῖται ἰδόντες ὅτι ἀληθῆ γέγονε τὰ εἰρημένα ὑπ' αὐτοῦ, ἐπελθόντες ἐδίωξάν με, ϗ πάντα τὰ ἐν τῇ οἰκίᾳ μου διήρπαζον· καὶ εἶδον τοῖς ὀφθαλμοῖς μου τὴν ἁρπαγὴν τοῦ οἴκου μου, ϗ ἐπάνω τῶν τραπεζῶν μου ϗ τῶν κραβάτων μου ἄνδρας ἀτελεῖς καὶ ἀτίμους· καὶ οὐκ ἐδυνάμην φθέγξασθαί τι κατ' αὐτῶν· ἐπονημένος γὰρ ἤμην ὡς γυνὴ παρειμένη τὰς ὀσφύας ἀπὸ τοῦ πλήθους τῶν ὀδυνῶν, μνησθεὶς μάλιστα τοῦ προσημανθέντος μοι πολέμου ὑπὸ τοῦ κυρίου διὰ τοῦ ἀγγέλου αὐτοῦ· ϗ ἐγενόμην ὡς εἰ φορτίον ἐμβαλλόμενον ἐν θαλασσίῳ πλοίῳ, ϗ μεσοπελαγίσας, ἰδὼν τὴν τρικυμίαν ϗ τὴν ἐναντίωσιν τῶν ἀνέμων, ἔρριψεν εἰς θάλασσαν τὰ φορτία λέγων, θέλω ἀπολέσαι τὰ πάντα, μόνον εἰσελθεῖν εἰς τὴν πόλιν, ἵνα κερδαίνω τὸ πλοῖον σεσωσμένον καὶ τὰ κρείττονα τῶν σκευῶν· οὕτω κἀγὼ ἡγησάμην τὰ ἐμά· τότε ἦλθεν ἕτερος ἄγγελος, καὶ ἀπέδειξέ μοι τὴν τῶν ἐμῶν τέκνων ἀπώλειαν· ϗ ἐταράχθην μεγάλην ταραχήν, ϗ διέρρηξα τὰ ἱμάτιά μου, καὶ εἶπον ὁ κύριος ἔδωκεν, ὁ κύριος ἀφείλατο· ὡς τῷ κυρίῳ ἔδοξε, οὕτω καὶ ἐγένετο· εἴη τὸ ὄνομα κυρίου εὐλογημένον.

Ἰδὼν οὖν ὁ σατανᾶς ὅτι οὐδὲν δύναταί με εἰς ὀλιγωρίαν τρέψαι, ἀπελθὼν ᾐτήσατο τὸ σῶμά μου παρὰ τοῦ κυρίου, ἵνα ἐπενέγκῃ μοι πληγήν· διότι οὐκ ἤνεγκεν ὁ πονηρὸς τὴν ὑπομονήν μου· τότε παρέδωκέ με ὁ κύριος εἰς τὰς χεῖρας αὐτοῦ χρήσασθαι τῷ σώματί μου ὡς βούλεται, τῆς δὲ ψυχῆς μου οὐκ ἔδωκεν αὐτῷ ἐξουσίαν· καὶ προσῆλθε καθημένῳ μοι ἐπὶ θρόνου καὶ πενθοῦντι τὰ τέκνα μου· καὶ ὁμοιωθεὶς μεγάλῃ καταιγίδι, καὶ τὸν θρόνον μου κατέστρεψε, προσκρούσας με ἐπὶ τὴν γῆν· καὶ ἐποίησε ὥρας τρεῖς κείμενος ἐπὶ ἐδάφους· καὶ ἐπάταξέ με πληγὴν σκληρὰν, ἀπὸ κορυφῆς ἕως ὀνύχων τῶν ποδῶν μου· καὶ ἐν μεγάλῃ ταραχῇ καὶ ἀδημονίᾳ ἐξῆλθον τὴν πόλιν· καὶ καθεσθεὶς ἐπὶ τῆς κοπρίας, σκωληκόβρωτον εἶχον τὸ σῶμα, καὶ συνέβρεχον τὴν γῆν ἐκ πολλῆς ὑγρασίας· καὶ ἰχῶρες τοῦ σώματος ἔρρεον, καὶ σκώληκες πολλοὶ ἦσαν ἐν αὐτῷ· καὶ εἴ ποτε ἀφίστατο σκώληξ ἐκ τοῦ σώματός μου, αἴρων αὐτὸν καὶ κατῴκιζον εἰς τὸ αὐτὸ λέγων, παράμεινον ἐν τῷ αὐτῷ τόπῳ ἐν ᾧ ἐτάχθης, ἄχρις οὗ ἐπιτεταλθῇ σοι ὑπὸ τοῦ κελεύσαντός σοι.

Καὶ οὕτως διῆρκεσα ἔτη ζ̅ καθεζόμενος ἐν κοπρίᾳ ἔξω τῆς πόλεως ἐν ταῖς πληγαῖς· καὶ εἶδον τοῖς ὀφθαλμοῖς μου τέκνα μου ποθητά, τὴν ταπεινήν μου γυναῖκα τὴν πρώην ἐν τῇ τοσαύτῃ τρυφῇ καὶ δορυφορίᾳ θαλπομένην, ἴδον αὐτὴν ὑδροφοροῦσαν εἰς οἶκον τινὸς ἀσχήμονος ὡς παιδίσκην, ἵνα οὗ λάβῃ ἄρτον καὶ προσενέγκῃ μοι· καὶ ἐγὼ κατανενυγμένος ἔλεγον· ὢ τῆς ἀλαζονείας τῶν ἀρχόντων τῆς πόλεως ταύτης, οὓς οὐδὲ ἀξίους εἶναι κυνῶν τῶν ἐμῶν ποιμνίων ἡγοῦμαι· ὅτι πῶς χρῶνται τῇ γαμετῇ μου ὡς δουλίδι· καὶ μετὰ ταῦτα ἀνέλαβον λογισμὸν μακρόθυμον· καὶ μετὰ ἱκανὸν χρόνον, καὶ κύσον τὸν ἄρτον ἀφείλαντο τοῦ μὴ προσενεχθῆναί μοι, μόλις ἐπιστρέψαντες ἔχειν αὐτὴν τὴν ἰδίαν τροφήν· καὶ αὐτὴ λαμβάνουσα διεμέριζεν ἑαυτῇ τε καὶ ἐμοὶ, λέγουσα μετ᾽ ὀδύνης, οὐαί μοι, τάχα οὐ χορτάζεται τοῦ ἄρτου· καὶ οὐκ ἐφείδετο ἐξελθοῦσα ἐν τῇ ἀγορᾷ προσαιτῆσαι ἄρτον παρὰ τῶν ἀρτοπρατῶν ἵνα σοὶ προσενέγκῃ μοι καὶ φάγω.

Καὶ ὁ σατανᾶς τοῦτο γνοὺς, μετασχηματίσθη εἰς ἀρτοπράτην· καὶ ἐγένετο κατὰ συγκυρίαν ἀπελθοῦσαν πρὸς αὐτὸν τὴν γυναῖκά μου, αἰτῆσαι πάλιν ἄρτον, νομίζουσαν εἶναι αὐτὸν ἄνθρωπον· καὶ ὁ σατανᾶς λέγει αὐτῇ, πάρασχέ μοι τὸ τίμημα, καὶ λάβε ὃ θέλεις· ἀποκριθεῖσα δὲ αὐτῷ λέγει· πόθεν μοι ἀργύριον; ἢ ἀγνοεῖς τὰ συμβεβηκότα μοι ὧδε πονηρά; εἰ μὲν ἐλεήσεις, ἐλέησον· εἰ δὲ μὴ, σὺ ὄψει· καὶ ἀποκριθεὶς πάλιν λέγων· εἰ μὴ ἀξίως ἦτε τῶν κακῶν, οὐκ ἂν ἀπελάβετε αὐτά· νῦν οὖν εἰ μὴ ἐν χερσί σου ἀργύριον, ὑπόθες μοι τὴν τρίχα τῆς κεφαλῆς σου, καὶ λάβε τρεῖς ἄρτους· ἴσως δυνηθήσεσθε ζῆσαι ἐν ταῖς τρισὶν ἡμέραις· τότε εἶπεν ἐν ἑαυτῇ, τί γάρ μοι ἐστὶν ἡ θρὶξ τῆς κεφαλῆς μου πρὸς τὸν πεινῶντά μου ἄνδρα; καὶ οὕτως καταφρονήσασα ἑαυτὴν, εἶπεν αὐτῷ· ἀναστὰς κεῖρόν με· τότε λαβὼν ψαλίδα ἦρε τὰς τρίχας τῆς κεφαλῆς αὐτῆς πάντων ὁρώντων, καὶ ἔδωκεν αὐτῇ τρεῖς ἄρτους· ἡ δὲ λαβοῦσα, ἦλθε καὶ προσέφερέ μοι· καὶ ὁ σατανᾶς ἦλθεν ὄπισθεν αὐτῆς ἐν τῇ ὁδῷ περιπατῶν κεκρυμμένος, καὶ πλαγιάζων αὐτῆς τὴν καρδίαν.

Καὶ ἅμα τε ἤγγισε πρός με ἡ γυνή μου, ἀνακράξασα μετὰ κλαυθμοῦ λέγει μοι. Ἰὼβ Ἰὼβ, μέχρι τίνος καθίζεις, ἐπὶ τῆς κοπρίας ἔξω τῆς πόλεως, λογιζόμενος ἔτι μικρὸν, καὶ ἐκδεχόμενος τὴν ἐλπίδα τῆς σωτηρίας σου; κἀγὼ πλανῆτις καὶ λάτρις τόπον ἐκ τόπου περιερχομένη· ἰδοὺ γὰρ ἀπόλωλεν ἀπὸ τῆς γῆς τὸ μνημόσυνόν σου· οἱ υἱοί μου καὶ αἱ θυγατέρες ἐμῆς κοιλίας, καὶ πόνοι καὶ ὀδύναι οὓς εἰς τὸ κενὸν ἐκοπίασα μετὰ μόχθου· σὺ δὲ κάθῃ ἐν σαπρίᾳ σκωλήκων, διανυκτερεύων αἴθριος· κἀγὼ πάλιν ἡ ταλαίπωρα ἐργαζομένη καὶ ὀδυνωμένη ἡμέρας καὶ νυκτὸς, ἕως ἂν εὐπορήσασα ἄρτον προσενέγκω σοι· οὐκέτι γάρ μοι δίδοται ὁ περιττὸς ἄρτος ἐκεῖνος· ἐπειδὴ μόγις καὶ τὴν ἐμὴν τροφὴν λαμβάνω καὶ διαμερίζω σοί τε καὶ ἐμοὶ, ἐννοουμένη ἐν τῇ καρδίᾳ μου ὅτι οὐκ ἀρκεῖν

εἶναί σε ἐν πόνοις ϗ ἐν λιμῷ ἄρτι, ἐτόλμησα ἀναισχύντως ἐλθεῖν εἰς τὴν ἀγοράν· ϗ τοῦ πράτου εἰπόντος μοι, δός ἀργύριον καὶ λήψεις ἄρτους, ἔδειξα αὐτῷ τὴν ἀπορίαν ἡμῶν· ϗ ἤκουσα παρ' αὐτοῦ· εἰ μὴ ἔχεις ἀργύριον, παράσχου μοι τὴν τρίχα τῆς κεφαλῆς σου, ϗ λάμβανε τρεῖς ἄρτους· ἴσως ζήσεσθε ἐν τρισὶν ἡμέραις· κἀγὼ ἐγκακήσασα εἶπον αὐτῷ· ἀναστὰς κεῖρόν με· ϗ οὕτως ἀναστὰς μετὰ ψαλίδος ἀτίμως ἔκειρε μου τὴν τρίχα τῆς κεφαλῆς ἐν τῇ ἀγορᾷ, παρεστῶτος τοῦ ὄχλου καὶ θαυμάζοντος.

Τίς οὖν οὐκ ἐξεπλάγη λέγων, ὅτι αὕτη ἐστὶ Σῖτις ἡ γυνὴ τοῦ Ἰὼβ, ἥτις εἶχεν σκεπάζοντα αὐτῆς τὸ καθιστήριον βῆλα δεκατέσσαρα, καὶ θύρας ἔνδοθεν θυρῶν, ἕως ἂν ὅλως καταξιωθῇ τις εἰσαχθῆναι πρὸς αὐτήν; καὶ νῦν ἴδε καταλλάσσει τὴν τρίχα αὐτῆς ἀντὶ ἄρτου, εἰ ἦσαν κάμηλοι γεγεμισμένοι ἀγαθῶν, καὶ ἀπεφέροντο εἰς χώρας τοῖς πτωχοῖς, νῦν δίδωσι αὐτὴν τρίχα ἀντὶ ἄρτου· ἴδε τὴν ἔχουσαν ἑπτὰ τραπέζας ἀκινήτους ἐπὶ τῆς οἰκίας ἐν αἷς ἤσθιεν πᾶς πτωχὸς ϗ πᾶς ξένος, νῦν καταπιπράσκει τὴν τρίχα αὐτῆς ἀντὶ ἄρτου· βλέπετε ἥτις εἶχε τὸν νιπτῆρα τῶν ποδῶν χρυσοῦν ϗ ἀργυροῦν, νυνὶ δὲ ποσὶ βαδίζει ἐπὶ ἐδάφους· εἴδετε ὅτι αὕτη ἐστὶν ἥτις εἶχε τὸ ἔνδυμα ἐκ βύσσου ἐξυφασμένον χρυσῷ, ϗ ἄρτι ἀντικαταλλάσσει τὴν τρίχα αὐτῆς ἀντὶ ἄρτου· βλέπετε τὴν τοὺς κραββάτους χρυσέους ϗ ἀργυρέους ἔχουσαν, νυνὶ δὲ πιπράσκουσαν τὴν τρίχα αὐτῆς ἀντὶ ἄρτου· ϗ ἅπαξ ἁπλῶς, Ἰὼβ, πολλῶν ὄντων τῶν εἰρημένων μοι, συντόμως λέγω σοι· ἐπεὶ ἡ ἀσθένεια τῆς καρδίας μου συνέτριψέ μου τὰ ὀστᾶ· ἀνάστηθι οὖν σύ, καὶ λαβὼν τοὺς ἄρτους χορτάσθητι· καὶ εἰπὼν τί ῥῆμα πρὸς κύριον, ϗ τελεύτα· κἀγὼ δὲ πάλιν ἀπαλλαγῶ ἀκηδίας διὰ πόνων τοῦ σώματός σου.

Καὶ ἐγὼ ἀπεκρίθην αὐτῇ· ἰδοὺ ἐγὼ ἑπτὰ ἔτη ἔχω ἐν ταῖς πληγαῖς, ὑφιστάμενος τοὺς σκώληκας τοὺς ἐν τῷ σώματί μου, ϗ οὐκ ἐβαρύνθην τὴν ψυχήν μου διὰ τοὺς πόνους, ὅσον διὰ τὸ ῥῆμα ὃ εἶπας, ὅτι εἶπον τί ῥῆμα πρὸς κύριον ϗ τελεύτα· ὅμως τὰ κακὰ ταῦτα ἅπερ ὁρᾷς ὑποφέρω ϗ ὑποφέρεις, ϗ τὴν τῶν ὑπαρχόντων ἡμῖν ἀπώλειαν ὑπομένομεν· ϗ βούλει ἡμᾶς ἄρτι λαλῆσαι τί ῥῆμα πρὸς κύριον, καὶ ἀπαλλοτριωθῆναι τοῦ μεγάλου πλούτου; ἵνα τί δὲ οὐκ ἐμνήσθης τῶν μεγάλων ἐκείνων ἀγαθῶν, ἐν οἷς ὑπήρχομεν; εἰ οὖν τὰ ἀγαθὰ ἐκ χειρὸς κυρίου ἐδεξάμεθα, τὰ δὲ κακὰ πάλιν οὐχ ὑπομένομεν; ϗ μακροθυμήσωμεν ἐν παντὶ, ἕως οὗ ὁ κύριος σπλαγχνισθεὶς ἐλεήσει ἡμᾶς; ἆρα σὺ οὐχ ὁρᾷς τὸν διάβολον ὄπισθέν σου ἑστηκότα, ϗ ταράσσοντα τοὺς διαλογισμούς σου ὅπως ϗ ἐμὲ ἀπατήσεις; ϗ στραφεὶς ἐγὼ πρὸς τὸν σατανᾶν εἶπον· διὰ τί οὐκ ἔρχῃ ἐπὶ τὰ ἔμπροσθεν πρὸς ἐμέ; παῦσαι κρυπτόμενος ταλαίπωρε· μὴ ὁ λέων τὴν ἰσχὺν δείκνυσιν ἐν τῇ γαλεάγρᾳ; μήπω πετεινὸν ἀνίπταται ἐν καρτάλλῳ; ϗ νῦν σοι λέγω, ἐξελθὼν πολέμησον μετ' ἐμοῦ.

Τότε ἐξόπισθεν τῆς γυναικός μου ἐξῆλθεν, ϗ ἔστη ἔμπροσθέν μου κλαίων ϗ λέγων· ἴδε, Ἰὼβ, διαφωνῶ ϗ ὑποχωρῶ σοὶ ἀνθρώπῳ σαρκίνῳ ὄντι· ἐγὼ εἰμὶ πνεῦμα· ϗ σὺ μὲν ἐν πληγῇ ὑπάρχεις, ἐγὼ δὲ εἰμὶ ἐν ὀχλήσει μεγάλῃ, γενόμενος ὃν τρόπον ἀθλητὴς παλαίων μετὰ ἀθλητοῦ, ϗ εἷς τὸν ἕνα κατέρραξεν, κλείσας τὸ στόμα αὐτοῦ ἄμμῳ, ϗ πᾶν μέλος αὐτοῦ συγκλάσας· ὁ δὲ ὑποκάτω αὐτοῦ ὤν, ϗ ἐνέγκαντος αὐτοῦ τὴν καρτερίαν, ἃ μὴ διαπονήσαντος, ἐφώνησε δὲ ἀκμὴν ὑπάνω· οὕτω ϗ σύ, Ἰὼβ, ὑποκάτω εἶς, ϗ ἐν πληγῇ καὶ ἐν πόνῳ· ἀλλ' ἐνίκησας τὰ παλαιστρικά μου ἃ ἐπήγαγόν σοι· καὶ ἰδοὺ ὑποχωρῶ σου. Τότε καταισχυνθεὶς ὁ σατανᾶς ἀνεχώρησεν ἀπ' ἐμοῦ· νῦν οὖν τέκνα μου μακροθυμήσατε καὶ ὑμεῖς ἐν παντὶ συμβαίνοντι ὑμῖν λυπηρῷ· ὅτι κρεῖσσον ἐστὶ πάντων ἡ μακροθυμία.

Τότε ἤκουσαν οἱ βασιλεῖς τὰ συμβεβηκότα μοι, ϗ ἀναστάντες ἦλθον πρός με ἕκαστος ἐκ τῆς ἰδίας χώρας ἐπισκεψόμενοι καὶ παραμυθησόμενοί με· ἡνίκα δὲ ἤγγισάν μοι, κράξαντες φωνῇ μεγάλῃ διέρρηξαν ἕκαστος τὴν ἑαυτοῦ στολὴν, ϗ καταπασάμενοι γῆν ἐπὶ τὰς

ἑαυτῶν κεφαλὰς, παρεκάθισάν μοι ἑπτὰ ἡμέρας καὶ ἑπτὰ νύκτας, καὶ οὐδεὶς αὐτῶν ἐλάλησέ μοι ῥῆμα· ἦσαν δὲ τέσσαρες τῷ ἀριθμῷ, Ἐλιφὰς ὁ βασιλεὺς Θημανῶν, καὶ Βαλδὰδ, καὶ Σωφὰρ, καὶ Ἐλιοῦς· καθεζόμενοι διελογίζοντο τὰ περὶ ἐμοῦ· καὶ γὰρ τὸ πρῶτον ὅτ' ἂν ἤρχοντο πρός με, καὶ ἠρξάμην ἀναφέρειν αὐτοῖς τοὺς πολυτελεῖς λίθους, ἀπεθαύμαζον καὶ ἔλεγον· ὅτι ἂν ἡμῶν τῶν τριῶν βασιλέων τὰ χρήματα συναχθῇ εἰς ἓν ἐπὶ τὸ αὐτὸ, οὐ μὴ ἀναλώσει τοὺς λίθους τοὺς ἐνδόξους τῆς βασιλείας Ἰωβὰβ· εὐγενέστερος γὰρ εἶ τῶν ἀφ' ἡλίου ἀνατολῶν· ἡνίκα γὰρ ἦλθον τότε ἐπὶ τὴν Αὐσιτίδα ὅπως ἐπισκέψωσί με, ἠρώτησαν ἐν τῇ πόλει, ποῦ Ἰωβὰβ ὁ τῆς χώρας ταύτης ὅλης βασιλεύων; καὶ ἐμήνυσαν αὐτοῖς περὶ ἐμοῦ ὅτι κάθηται ἐπὶ τῆς κοπρίας ἔξω τῆς πόλεως, ἰδοὺ γὰρ ἔτη ζ̄ μὴ εἰσελθὼν ἐν τῇ πόλει· καὶ πάλιν ἠρώτησαν περὶ τῶν ὑπαρχόντων μου· καὶ ἐδηλώθη αὐτοῖς τὰ συμβεβηκότα μοι πάντα.

Καὶ ἀκούσαντες ἐξῆλθον τὴν πόλιν ἅμα τοῖς πολίταις· καὶ οἱ μὲν πολῖται μου ὑπέδειξάν με αὐτοῖς· οἱ δὲ ἀντεῖπον λέγοντες μὴ εἶναί με τὸν Ἰωβάβ· καὶ ἔτι ἀμφιβαλλόντων αὐτῶν, λέγει Ἐλιφὰζ ὁ Θημανῶν βασιλεύς· δεῦτε ἐγγίσωμεν καὶ ἴδωμεν· καὶ ἐρχομένων αὐτῶν, ἐμηνύθη μοι περὶ αὐτῶν· καὶ ἐγὼ ἔκλαυσα σφοδρῶς μαθὼν τὴν ἔλευσιν αὐτῶν, καὶ γῆν ἐπὶ τὴν κεφαλήν μου ἐπέθηκα καὶ καθεζόμενος ἐκίνουν τὴν κεφαλήν μου· καὶ κινήσας αὐτὴν ἐδήλωσα ὅτι ἐγώ εἰμι· ἰδόντες δὲ κινοῦντα τὴν κεφαλήν μου, κατέπεσον ἐπὶ τὴν γῆν ἐκλυθέντες· καὶ ἱσταμένων τῶν στρατευμάτων αὐτῶν, ἔβλεπον τοὺς τρεῖς βασιλεῖς κατερριμμένους ἐν τῇ γῇ ὡσεὶ νεκροὺς ἐπὶ ὥρας τρεῖς· τότε ἀναστάντες συνελάλουν ἀλλήλοις ὅτι οὐ πιστεύομεν ὅτι οὗτος ἐστὶν Ἰωβάβ· καὶ λοιπὸν, ἐν ταῖς ζ̄ ἡμέραις διακρίνοντες τὰ κατ' ἐμὲ, διαλογιζόμενοι τά τε κτήνη καὶ τὰ ὑπάρχοντά μου, λέγοντες· μὴ οὐκ οἴδαμεν τὰ πολλὰ ἀγαθὰ τὰ ἀποστελλόμενα ὑπ' αὐτοῦ εἰς τὰς πόλεις καὶ εἰς τὰς κύκλῳ κώμας διαδίδοσθαι τοῖς πτωχοῖς, παρεκτὸς καὶ τῶν ἐν τῇ οἰκίᾳ αὐτοῦ διδομένων; πῶς νῦν εἰς τὴν τοιαύτην νεκρότητα καὶ ταλαιπωρίαν ἐξέπεσε;

Καὶ μετὰ τὰς ζ̄ ἡμέρας ἀποκριθεὶς Ἐλιοῦς εἶπε τοῖς βασιλεῦσι, προσεγγίσωμεν αὐτῷ καὶ ἐξετάσωμεν ἀκριβῶς εἰ ὅλως ἐστὶν Ἰωβὰβ ἢ οὔ· οἱ δέ μου ὄντος ὡς ἡμισείας σταδίου διὰ τὴν δυσωδίαν τοῦ σώματός μου, ἀναστάντες προσήγγισάν μοι ἔχοντες εὐωδίας ἐν ταῖς χερσὶν αὐτῶν, συνόντων αὐτῶν τῶν στρατιωτῶν, καὶ θυμιάματα βαλλόντων μοι κύκλωθεν, ὅπως ἂν δυνηθῶσι προσεγγίσαι μοι· καὶ ποιήσαντες ὡσεὶ ὥρας τρεῖς, χορηγοῦντες τὰ θυμιάματα πλησίον μου ἐγένοντο. Καὶ ἀποκριθεὶς Ἐλιφὰζ εἶπέ μοι· σὺ εἶ Ἰὼβ ὁ συμβασιλεὺς ἡμῶν; σὺ ὁ ἔχων τότε τὴν μεγάλην δόξαν; σὺ εἶ ὡς ἥλιος τῆς ἡμέρας λάμπων πάσῃ τῇ γῇ; σὺ εἶ ὡς σελήνη καὶ οἱ ἀστέρες ἐν τῷ μεσονυκτίῳ φαίνοντι; Καὶ ἀποκριθεὶς εἶπον αὐτῷ· ἐγώ εἰμι· καὶ οὕτως κλαύσαντες κλαυθμὸν μέγαν σὺν θρήνῳ βασιλικῷ, ἐνεθύμησαν καὶ ὁ στρατὸς αὐτῶν· καὶ πάλιν ὑπολαβὼν Ἐλιοῦς λέγει μοι· σὺ εἶ ὁ τὰ ἑπτάκις χίλια πρόβατα ἐντάξας εἰς τὴν τῶν πτωχῶν ἔνδυσιν; ποῦ νῦν τυγχάνει ἡ δόξα σου; σὺ εἶ ὁ τὰς τρισχιλίους βόας ἐντάξας εἰς ἀροτριασμὸν τῶν πενήτων; ποῦ νῦν τυγχάνει ἡ δόξα τοῦ θρόνου σου; σὺ εἶ ὁ τοὺς χρυσέους κραββάτους ἔχων, νῦν δὲ καθήμενος ἐπὶ κοπρίας; σὺ εἶ ὁ τὰς ἱδρυμένας ἑξήκοντα τραπέζας τοῖς πτωχοῖς στηρίξας; σὺ εἶ ὁ τὰ θυμιατήρια τῆς ὠδῆς ἐκ λίθων ἔχων; ποῦ νῦν τυγχάνει ἡ δόξα σου, ὅτι ἐν δυσωδίᾳ νῦν ὑπάρχεις; σὺ εἶ ὁ χρυσέους ἐπὶ τὰς ἀργυρᾶς ἔχων, νῦν δὲ προσδοκᾷς τὴν φύσιν τοῦ φωτὸς τῆς σελήνης· σὺ εἶ ὁ ἄλειμμα ἔχων ἐκ τοῦ λιβάνου, νυνὶ δὲ ἐν σαπρίᾳ ὤν; σὺ εἶ ὁ καταγελῶν τῶν ἀδικούντων καὶ ἁμαρτανόντων, νυνὶ ἐγένου χλεύη πᾶσι.

Τοῦ δὲ Ἐλιφὰζ μακρύνοντος τὸν κλαυθμὸν ὑποφωνούντων αὐτῷ τῶν βασιλέων ὥστε γενέσθαι μεγάλην ταραχὴν αὐτῶν, εἶπεν αὐτοῖς· ἡσυχάσατε, καὶ ὑποδείξω ὑμῖν τὸν θρῆνόν μου καὶ τὴν δόξαν τῆς

εὐπρεπείας αὐτοῦ· ἐμοῦ ὁ θρόνος αἰώνιός ἐστιν· ὁ κόσμος ὅλος παρελεύσεται, καὶ ἡ δόξα αὐτοῦ φθαρήσεται, καὶ οἱ προσέχοντες αὐτῷ ἔσονται ὑποκάτω αὐτοῦ· ἐμοῦ ὁ θρόνος ἐν τῷ ὑπερκοσμίῳ ἐστὶ καὶ ἡ τούτου δόξα καὶ ἡ εὐπρέπεια ἐκ δεξιῶν τοῦ σωτῆρος ἐστὶν ἐν οὐρανοῖς· ἐμοῦ ὁ θρόνος ὑπάρχει ἐν τῇ ἁγίᾳ ζωῇ, καὶ ἡ δόξα ἐν τῷ αἰῶνι τῷ ἀπαραλλάκτῳ ἐστίν· οἱ μὲν ποταμοὶ ξηρανθήσονται, καὶ τὰ γαυριάματα αὐτῶν καταβαίνει εἰς τὰ βάθη τῆς ἀβύσσου, οἱ δὲ ποταμοὶ τῆς ἐμῆς γῆς, ἐν ᾗ ἐστιν ὁ θρόνος μου οὐ ξηραίνονται· ἀλλ' ἔσονται εἰς τὸ διηνεκές· οἱ βασιλεῖς παρελεύσονται, καὶ οἱ ἡγούμενοι παρέρχονται, καὶ ἡ δόξα αὐτῶν καὶ τὸ καύχημα ἔσται ὡς ἐν ἐσόπτρῳ, ἐμοῦ δὲ ἡ βασιλεία εἰς αἰῶνα αἰῶνος, καὶ ἡ δόξα καὶ ἡ εὐπρέπεια αὐτῆς ἐν τοῖς ἅρμασι τοῦ πατρὸς ὑπάρχει.

Καὶ ἐμοῦ ταῦτα εἰπόντος πρὸς αὐτοὺς, ὀργισθεὶς Ἐλιφὰζ εἶπε πρὸς τοὺς ἄλλους φίλους· τί χρήσιμον ὅτι οὕτως παραγεγόναμεν ἐν τοῖς στρατεύμασιν ὧδε, ἵνα παραμυθησώμεθα αὐτόν; καὶ ἰδοὺ οὗτος ἐγκαλεῖ ἡμῖν· διὸ ἀναχωρήσωμεν εἰς τὰς ἰδίας χώρας· οὗτος ἐν ταλαιπωρίᾳ σκωλήκων κάθηται ἐν δυσωδίᾳ, καὶ ἀκμὴν ἐγείρεται καθ' ἡμῶν λέγων· βασιλεῖαι παρέρχονται καὶ οἱ ἡγούμενοι αὐτῶν, ἡ δὲ ἐμὴ βασιλεία, φησὶν, ἔσται ἕως τοῦ αἰῶνος· ἀναστὰς δὲ ἐν μεγάλῃ ταραχῇ Ἐλιφὰζ ἐξέκλινεν ἀπ' αὐτῶν ἐν μεγάλῃ λύπῃ λέγων· ἐγὼ πορεύομαι· ἐληλύθαμεν γὰρ ἵνα παραμυθησώμεθα αὐτόν, καὶ αὐτὸς κατέλυσεν ἡμᾶς ἀπέναντι τῶν στρατιωτῶν ἡμῶν. Τότε Βαλδὰδ ἐκράτησεν αὐτὸν τῆς χειρὸς λέγων· οὐχ οὕτως δεῖ λαλῆσαι ἀνθρώπῳ πενθοῦντι, οὐ μόνον δὲ ἀλλὰ καὶ ἐν πολλαῖς πληγαῖς ὄντι· ἰδοὺ ἡμεῖς ὅλως ὑγιαίνοντες οὐκ ἰσχύσαμεν προσεγγίσαι αὐτῷ διὰ τὴν δυσωδίαν, εἰ μὴ διὰ πλείονος εὐωδίας· σὺ δὲ ὅλως ἀμνήμων εἶς Ἐλιφὰζ, ἁπλῶς γενοῦ· νῦν οὖν μακροθυμήσωμεν ἵνα γνῶμεν ἐν τίνι ἔσται, μή τι ἄρα μιμνησκόμενοι αὐτοῦ τῆς εὐδαιμονίας τῆς προτέρας ἐμάνη κατὰ ψυχήν· τίς γὰρ οὐκ ἂν ἐξεπλάγη πάνυ, βλέπων ἑαυτὸν τοιοῦτον ἐναπεμβάλλοντα κακοῖς καὶ πληγαῖς; ἀλλ' ἐάσόν με προσεγγίσαι αὐτῷ, καὶ γνώσομαι ἐν τίνι ἔσται.

Καὶ ἐγερθεὶς Βαλδὰδ προσήγγισέ μοι λέγων· σὺ εἶ Ἰώβ; καὶ εἶπον, ναί· καὶ εἶπεν, ἆρα ἐν τῷ καθεστῶτι ἐστὶν ἡ καρδία σου; κἀγὼ εἶπον, ἐν μὲν τοῖς γηΐνοις οὐ συνέστηκεν, ἐπειδὴ ἀκατάστατος ἡ γῆ καὶ πάντες οἱ κατοικοῦντες ἐν αὐτῇ· ἐν δὲ τοῖς οὐρανοῖς συνέστηκεν ἡ καρδία μου, διότι οὐχ ὑπάρχει ἐν οὐρανῷ ταραχή. Ὑπολαβὼν δὲ Βαλδὰδ λέγει, ὅτι μὲν γινώσκομεν τὴν γῆν ἀκατάστατον οὖσαν, ἐπειδὴ κατὰ καιρὸν ἀλλοιοῦται, ἐνίοτε καὶ εἰρηνεύει, ἔσθ' ὅτε καὶ πολεμεῖται· περὶ δὲ τοῦ οὐρανοῦ ἀκούομεν ὅτι εὐσταθεῖ· ἀλλ' εἰ ἀληθῶς ἐν τῷ καθεστῶτι τυγχάνεις, ἐρωτήσω δὲ λέγων· καὶ ἐὰν ἀποκριθῇς μοι πρὸς τὸν πρῶτον νοῦν, ἔχω σε ἐρωτῆσαι ἐν τῷ δευτέρῳ· καὶ ἐὰν ἀποκριθῇς μοι εὐσταθῶς, δῆλον ὅτι ἡ καρδία σου οὐκ ἐξέστηκεν· καὶ εἶπεν· ἐν τίνι σὺ ἐλπίζεις; καὶ εἶπον, ἐπὶ τῷ θεῷ τῷ ζῶντι· καὶ εἶπέ μοι· τίς ἀφείλατό σου τὰ ὑπάρχοντα, ἢ ἐπήνεγκέ σοι τὰς πληγὰς ταύτας; κἀγὼ εἶπον, ὁ θεός· καὶ εἶπεν, εἰ τῷ θεῷ ἐλπίζεις, πῶς ἀδικεῖται κρίνων, ἐπενεγκών σοι τὰς πληγὰς καὶ συμφορὰς ταύτας, ἢ ἀφελόμενός σοι τὰ ὑπάρχοντα; εἰ δὲ καὶ ἀφείλατο, ἐχρῆν αὐτὸν μὴ δεδωκέναι τι· οὐδέποτε βασιλεὺς ἀτιμάζει στρατιώτην αὐτοῦ, καλῶς αὐτὸν δορυφορεύοντα. Ἢ τίς ποτε καταλήψεται τὰ βάθη τοῦ κυρίου καὶ τῆς σοφίας αὐτοῦ, ἵνα τολμᾷς προσάπτειν τῷ κυρίῳ ἀδίκημα; ἀποκρίνου μοι Ἰὼβ πρὸς ταῦτα· καὶ πάλιν λέγω σοι, εἰ ἐν τῷ καθεστῶτι ὑπάρχεις, δίδαξόν με, εἰ ἔστι σοι φρόνησις· διὰ τί ἥλιον μὲν ὁρῶμεν ἀνατέλλοντα ἐπὶ ἀνατολὰς, δύνοντα δὲ ἐν τῇ δύσει; καὶ πάλιν ἀνιστάμενοι κατὰ πρωῒ εὑρίσκομεν αὐτὸν ἐν ἀνατολαῖς ἀνατέλλοντα; νουθέτησόν με πρὸς ταῦτα.

Εἶπον δὲ ἐγώ· διὰ τί οὖν μὴ λαλήσω τὰ μεγαλεῖα τοῦ θεοῦ ἐν τῇ καρδίᾳ μου; μὴ ὅλως ἂν πταίσῃ μου τὸ στόμα εἰς τὸν δεσπότην; μὴ γένοιτο· τίνες γὰρ ἐσμὲν πολυπραγμονοῦντες

Digitized by Google

τῷ ἐπουρανίῳ, σάρκινοι ὄντες καὶ ἔχοντες τὴν μερίδα ἐν γῇ καὶ ἐν σποδῷ; ἵνα οὖν γνῶτε ὅτι συνίστηκεν ἡ καρδία μου, ἀκούσατε ὃ ἐπερωτῶ ὑμᾶς· διὰ τοῦ στόματος οὖν ἡ τροφὴ, καὶ πάλιν τὸ ὕδωρ διὰ τοῦ στόματος πίνεται· καὶ ὁμοῦ κατέρχονται διὰ τοῦ φάρυγγος· ὅταν δὲ καταβῇ τὰ δύο εἰς τὸν ἀφεδρῶνα, τότε ἀφορίζονται ἀπ' ἀλλήλων· τίς οὖν ταῦτα χωρίζει; εἶπε δὲ ὁ Βαλδὰδ, ἀγνοῶ. Ἐγὼ δὲ ὑπολαβὼν εἶπον αὐτῷ· εἰ σὺ τὴν τοῦ σώματος σου πορείαν οὐ καταλαμβάνεις, πῶς τὰ ἐπουράνια καταλήψεις; Ὑπολαβὼν δὲ Σωφὰρ λέγει· οὐχὶ τὰ ὑπὲρ ἡμῶν ἐρευνῶμεν, ἀλλὰ βουλόμεθα γνῶναι ἐὰν ἐν τῷ σαυτοῦ καθεστῶτι ὑπάρχεις· καὶ ἰδοὺ ἀληθῶς ἔγνωμεν ὅτι ἡ σύνεσίς σου οὐκ ἠλλοιώθη· τί οὖν βούλει ἡμᾶς ἐν σοὶ διαπράξασθαι; ἰδοὺ γὰρ παρόντες μεθ' ἡμῶν αὐτῶν τοὺς ἰατροὺς τῶν τριῶν βασιλέων εἰσαγάγομεν· καὶ εἰ βούλει θεραπευθῆναι παρ' αὐτῶν. Ἀποκριθεὶς δὲ ἐγὼ εἶπον, ἡ ἐμὴ ἴασις καὶ θεραπεία παρὰ κυρίου ἐστὶν τοῦ καὶ τοὺς ἰατροὺς κτίσαντος.

Καὶ ἐμοῦ ταῦτα πρὸς αὐτοὺς λέγοντος, ἰδοὺ ἡ γυνή μου Σίτις ἐν ἱματίοις ῥακκώδεσιν ἀποδράσασα ἐκ τῆς τοῦ δεσπότου δουλείας ᾗ ἐδούλευσεν, ἐπεὶ ἐκωλύετο ἐξελθεῖν, ἵνα μὴ ἰδόντες αὐτὴν οἱ βασιλεῖς ἁρπάσωσιν· ὅτε δὲ ἦλθεν, ἔρριψεν ἑαυτὴν παρὰ τοὺς πόδας αὐτῶν κλαίουσα καὶ λέγουσα· μνήσθητι Ἐλιφὰζ καὶ οἱ φίλοι, ὁποία τις ἤμην μεθ' ὑμῶν καὶ πῶς ἐστολιζόμην· νῦν δὲ ὁρᾶτε τὴν προέλευσιν μου τί ἐνδύομαι. τότε κλαύσαντες οἱ βασιλεῖς κλαυθμὸν μέγαν, καὶ γενόμενοι ἐν διπλῇ ἀκηδίᾳ ἐσιώπησαν· ὥστε τὸν Ἐλιφὰζ ἅρπαντα τὴν πορφυρίδα αὐτοῦ περιρρῖψαι ἐπ' αὐτὴν ἐνδυθῆναι· ἡ δὲ ἐδέετο αὐτοῦ λέγουσα· παρακαλῶ ὑμᾶς κύριοί μου ὅπως κελεύσητε τοῖς στρατιώταις ὑμῶν ἵνα σκάψωσι τὴν πτῶσιν τῆς οἰκίας ἡμῶν τὴν πεσοῦσαν ἐπάνω τοῖς τέκνοις μου, ἵνα καὶ τὰ ὀστᾶ αὐτῶν ἀσφαλισθῇ ἐπὶ μνήματα· ἐπεὶ ἡμεῖς οὐκ ἰσχύσαμεν διὰ τὰ ἀναλώματα· ὅπως θεασώμεθα κἂν τὰ ὀστᾶ αὐτῶν· μὴ ἄρα δὲ ἐγὼ ἡ κτηνώδης γαστέρα θηρίου ἔχω, ὅτι τὰ τέκνα μου δέκα ὄντα τεθνήκασιν ἐν μιᾷ ἡμέρᾳ, καὶ οὐδὲν αὐτῶν ἐκήδευσα· καὶ ἐκέλευσαν οἱ βασιλεῖς τοῦ σκάψαι τὴν οἰκίαν· ἐγὼ δὲ ἐκώλυσα αὐτοὺς λέγων, μὴ κάμητε εἰκῇ· οὐ γὰρ εὑρεθήσονται τὰ παιδία μου, ἐπειδὴ πεφυλαγμένα εἰσὶ παρὰ τοῦ δημιουργοῦ αὐτῶν καὶ βασιλέως· καὶ ἀποκριθέντες οἱ βασιλεῖς εἶπον μοι· τίς πάλιν οὐκ ἐρεῖ ὅτι ἐξέστης καὶ μαίνῃ; ὅτι βουλομένους ἡμᾶς ἀγαγεῖν τὰ ὀστᾶ τῶν παίδων σου, κωλύεις λέγων, ὅτι ἀνελήφθησαν καὶ ἐφυλάχθησαν παρὰ τοῦ δημιουργοῦ αὐτῶν· διὸ ἔμφανον ἡμῖν τὸ ἀληθές.

Ἐγὼ δὲ εἶπον αὐτοῖς, ἐπεγείρατέ με ἵνα στῶ· οἱ δὲ ἤγειράν με, ἐκατέρωθεν τοὺς βραχίονας ὑποστηρίζοντες· καὶ σταθεὶς ἐξομολογησάμην τῷ θεῷ πρῶτον· καὶ μετὰ τὴν εὐχὴν εἶπον αὐτοῖς· ἀναβλέψατε τοῖς ὀφθαλμοῖς ὑμῶν πρὸς ἀνατολάς· καὶ ἀναβλέψαντες εἶδον τὰ τέκνα μου ἐστεφανωμένα παρὰ τῆς δόξης τοῦ ἐπουρανίου βασιλέως· ἡ δὲ γυνή μου Σίτις ἰδοῦσα ταῦτα, κατέπεσεν εἰς τὴν γῆν προσκυνοῦσα τῷ θεῷ καὶ λέγουσα· νῦν ἔγνων ὅτι ὑπάρχει μου μνημόσυνον παρὰ κυρίῳ· καὶ ταῦτα εἰποῦσα, ἑσπέρας καταλαβούσης, ἐπορεύθη εἰς τὴν πόλιν πρὸς τοὺς κυρίους αὐτῆς οἷς ἐδούλευεν, καὶ ἐκοιμήθη περὶ τὴν φάτνην τῶν βοῶν, κἀκεῖ ἐτελεύτησεν ἀθυμήσασα· καὶ ὁ μὲν δεσποτικὸς ἄρχων αὐτῆς ἐπιζητήσας αὐτὴν, καὶ μὴ εὑρὼν, εἰσῆλθεν εἰς τὴν ἔπαυλιν τῶν κτηνῶν, καὶ εὗρεν αὐτὴν νεκρὰν ἡπλωμένην ἐπὶ τῆς φάτνης· τὰ δὲ περιεστῶτα ζῶα κλαίοντα ἐπ' αὐτήν· καὶ πάντες ἰδόντες αὐτὴν, ἀνέκραξαν μετὰ κλαυθμοῦ, καὶ ἡ φωνὴ διεδόθη διὰ πάσης τῆς πόλεως· καὶ οὕτως προκομίσαντες ἐκήδευσαν, θάψαντες αὐτὴν ἐπὶ τὴν οἰκίαν τὴν συμπτωθεῖσαν ἐπὶ τὰ τέκνα αὐτῆς· καὶ ἐποίησαν οἱ πτωχοὶ τῆς πόλεως κοπετὸν μέγαν ἐπ' αὐτὴν λέγοντες· ἴδετε ἡ Σίτις ἐστὶν αὕτη, ἡ τοῦ καυχήματος καὶ τῆς δόξης οὐχ ὑπάρχει γυνή· καὶ οὐκ ἠξιώθη ταφῆς ἀναγκαίας· τὸν μὲν οὖν θρῆνον τὸν ὑπ' αὐτοῦ γενόμενον εὑρήσετε ἐν τοῖς παραλειπομένοις.

Ἐλιφὰζ δὲ καὶ οἱ μετ' αὐτοῦ θαμβηθέντες ἐπὶ τούτοις παρεκάθισαν ἀνταποκρινόμενοί μοι

ϗ μεγαλορημονοῦντες κατ' ἐμοῦ κζ' ἡμέρας, φάσκοντες ὅτι δικαίως ταῦτα πέπονθα ὑπὲρ ἁμαρτιῶν πολλῶν, ϗ ὅτι ἐλπὶς οὐκ ἀπελείφθη μοι· ἐγὼ δὲ ἀντεφιλονείκουν· ϗ ἐγερθέντες ἀνέστησαν πορευθῆναι μετὰ θυμοῦ· ϗ τότε Ἐλιοῦς ὥρκωσεν αὐτοὺς μεῖναι μικρὸν ἕως ϗ περὶ τούτου δεῖξαι αὐτοῖς, ὅτι τοσαύτας ἡμέρας ὑπεμείνατε ἀνεχόμενοι τοῦ Ἰὼβ καυχωμένου εἶναι δίκαιον· ἐγὼ δὲ οὐκ ἀνέξομαι· ἀρχῆθεν γὰρ κλαίων διετέλεσα ἐν αὐτῷ, ἀναμιμνησκόμενος τῆς εὐδαιμονίας αὐτοῦ τῆς προτέρας· ϗ ἰδοὺ μέγα ϗ ὑπερβάλλοντα λόγον ἐλάλησε λέγων ἔχειν τὸν ἑαυτοῦ θρόνον ἐν οὐρανοῖς· τοίνυν ἐμοῦ ἀκούσατε, ϗ γνωρίσω ὑμῖν τὴν μερίδα αὐτοῦ τὴν οὐχ ὑπάρχουσαν· τότε Ἐλιοῦς ἐμπνευσθεὶς ὑπὸ τοῦ σατανᾶ ἐξεῖπέ μοι λόγους θρασεῖς, οἵτινες ἀναγεγραμμένοι εἰσὶν ἐν τοῖς παραλειπομένοις τοῦ Ἐλιφάζ.

Μετὰ δὲ τὸ παύσασθαι αὐτὸν, ἀναφανείς μοι ὁ κύριος διὰ λαίλαπος ϗ νεφῶν εἶπε μεμφόμενος τὸν Ἐλιοῦν, ϗ ὑποδείξας μοι τὸν ἐν αὐτῷ λαλοῦντα μὴ εἶναι ἄνθρωπον ἀλλὰ θηρίον· ϗ μετὰ τὸ παύσασθαι τὸν κύριον λαλοῦντά μοι, εἶπεν ὁ κύριος τῷ Ἐλιφάζ, ἥμαρτες σὺ ϗ οἱ φίλοι σου· οὐ γὰρ ἐλαλήσατε ἀληθὲς κατὰ τοῦ θεράποντός μου Ἰώβ· διὸ ἀναστάντες ποιήσατε αὐτὸν ὑπὲρ ὑμῶν ἀναφέρειν θυσίας, ὅπως ἀφεθῇ ἡ ἁμαρτία αὕτη· εἰ μὴ γὰρ δι' αὐτὸν, ἀπώλεσα ἂν ὑμᾶς· ϗ αὐτοὶ δὲ προσήνεγκάν μοι τὰ πρὸς θυσίαν ϗ ἐγὼ λαβὼν ἀνήνεγκα ὑπὲρ αὐτῶν τὴν θυσίαν· ϗ ὁ κύριος προσδεξάμενος ἀφῆκεν αὐτοῖς τὴν ἁμαρτίαν· τότε Ἐλιφὰζ ϗ Βαλδὰδ ϗ Σωφὰρ γνῶντες ὅτι ἐχαρίσατο αὐτοῖς τὴν ἁμαρτίαν αὐτῶν διὰ τοῦ θεράποντος αὐτοῦ Ἰὼβ, τὸν δὲ Ἐλιοῦν οὐ κατηξίωσε συγχωρήσεως, ἀναλαβὼν Ἐλιφὰζ εἶπεν ὕμνον, ὑποφωνούντων αὐτῷ τῶν ἄλλων ϗ τῶν στρατευμάτων πλησίον τοῦ θυσιαστηρίου, ϗ ἔλεγεν οὕτως Ἐλιφάζ.

Περιῄρηται ἡμῶν ἡ ἁμαρτία, καὶ ἀπέστη ἡμῶν ἡ ἀνομία· Ἐλιοῦς δὲ ὁ μόνος πονηρὸς μνημόσυνον οὐχ ἕξει ἐν τοῖς ζῶσι· ϗ ὁ λύχνος αὐτοῦ σβεσθεὶς ἀφανίσει τὸ φέγγος αὐτοῦ· ἡ δὲ τῆς λαμπάδος αὐτοῦ δόξα ἀποβήσεται αὐτῷ εἰς κρίμα· ὅτι υἱός ἐστι τοῦ σκότους ϗ οὐχὶ τοῦ φωτός· οἱ δὲ θυρωροὶ τῆς σκοτίας κληρονομήσουσιν αὐτοῦ τὴν δόξαν ϗ τὴν εὐπρέπειαν· ἡ βασιλεία αὐτοῦ παρῆλθεν, σέσηπται αὐτοῦ ὁ θρόνος, ϗ ἡ τιμὴ τοῦ σχήματος αὐτοῦ ἐν τῷ ᾅδῃ τυγχάνει· ἠγάπησε τὸ τοῦ ὄφεως κάλλος ϗ τὰς λεπίδας τοῦ δράκοντος· ἡ δὲ χολὴ αὐτοῦ ϗ ὁ ἰὸς αὐτοῦ εἰς Βοῤῥᾶν· οὐκ ἐκτήσατο ἑαυτῷ τὸν κύριον, οὐδὲ ἐφοβήθη αὐτόν· ἀλλὰ ϗ τοὺς ἐντίμους αὐτοῦ παρώργησεν· ἐπελάθετο αὐτοῦ ὁ κύριος, ϗ οἱ ἅγιοι ἐγκατέλιπον αὐτόν· ἡ δὲ ὀργὴ ϗ ὁ θυμὸς ἔσται αὐτῷ εἰς κίνημα, ϗ οὐκ ἔχει ἔλεος ἐν καρδίᾳ αὐτοῦ οὐδὲ εἰρήνην· ἰὸν ἀσπίδος εἶχεν ἐν τῇ γλώττῃ αὐτοῦ· δίκαιός ἐστιν ὁ κύριος, ἀληθινὰ αὐτοῦ τὰ κρίματα, παρ' ᾧ οὐκ ἔστι προσωποληψία· κρινεῖ γὰρ ἡμᾶς ὁμοθυμαδόν· ἰδοὺ κύριος παραγίνεται· ἰδοὺ οἱ ἅγιοι ἡτοιμάσθησαν, προηγουμένων τῶν στεφάνων ϗ τῶν ἐγκωμίων· χαρίτωσαν οἱ ἅγιοι, ἀγαλλιάσθωσαν αἱ καρδίαι αὐτῶν, ὅτι ἀπειλήφασι τὴν δόξαν ἣν προσεδόκησαν· ἦρται τὰ ἁμαρτήματα ἡμῶν, καὶ κεκαθάρισται ἡμῶν ἡ ἀνομία· ὁ δὲ πονηρὸς Ἐλιοῦς ἐν τοῖς ζῶσι μνημόσυνον οὐκ ἔσχεν.

Μετὰ δὲ τὸ παύσασθαι Ἐλιφὰζ τὸν ὕμνον, ἀναστάντες εἰσήλθομεν εἰς τὴν πόλιν, εἰς ἣν οἰκοῦμεν οἰκίαν· καὶ πεποιήκασί μοι εὐωχίαν ἐν τῇ τερπνότητι τοῦ κυρίου· ϗ παρεγίνοντο πρός με πάντες οἱ φίλοι μου· καὶ ὅσοι εἴδησάν με εὐποιοῦντα, ἠρώτησάν με λέγοντες, τί παρ' ἡμῶν νῦν αἰτεῖς; ἐγὼ δὲ ὑπολαβὼν εὐποιεῖν πάλιν τοῖς πτωχοῖς ᾐτησάμην λέγων· δότε μοι ἕκαστος ἀμνάδα μίαν εἰς ἔνδυσιν τῶν πτωχῶν τῶν ἐν γυμνότητι ὄντων· ϗ τότε ἕκαστος προσήνεγκέ μοι ἀμνάδα μίαν, καὶ τετράδραχμον χρυσίου ϗ ἀργυρίου· ϗ τότε ὁ κύριος εὐλόγησε πάντα μοι ὅσα ὑπῆρχε· καὶ ἐπλήθυνεν ἐξ ὀλίγων ἡμερῶν ἀπό τε χρημάτων ϗ κτηνῶν ϗ τῶν λοιπῶν ὧν ἀπώλεσα, ἀπέλαβον ϗ ἕτερα εἰς τὸ διπλοῦν· ἔλαβον δὲ ϗ γυναῖκα τὴν μητέρα ὑμῶν, καὶ ἐγέννησα ὑμᾶς τοὺς δέκα, ἀντὶ τῶν

Digitized by Google

τελευτησάντων μοι δέκα τέκνων· καὶ νῦν, τέκνα μου, ἐντέλλομαι ὑμῖν· ἰδοὺ ἐγὼ τελευτῶ· ὑμεῖς οὖν ἔσεσθε ἀντὶ ἐμοῦ· μόνον μὴ ἐπιλάθησθε τοῦ κυρίου· εὐποιήσατε τοῖς πτωχοῖς, μὴ παρίδετε τοὺς ἀδύτους, μὴ λάβετε ἑαυτοῖς γυναῖκας ἐκ τῶν ἀλλοτρίων· ἰδοὺ οὖν, τέκνα μου, διαμεριῶ ὑμῖν πάντα ὅσα ὑπάρχει μοι, πρὸς τὸ δεσπόζειν ἕκαστος, καὶ ἐξουσίαν ἔχειν ἀγαθοποιεῖν ἐκ τοῦ μέρους αὐτοῦ ἀκωλύτως.

Καὶ τοῦτο εἰπὼν, ἐνέγκας τὰ χρήματα αὐτοῦ πάντα, διεμέρισεν αὐτὰ τοῖς ἑπτὰ υἱοῖς τοῖς ἀρρενικοῖς· καὶ ἀπὸ τῶν χρημάτων οὐ παρέσχε ταῖς θηλείαις· καὶ εἶπον τῷ πατρὶ αὐτῶν· κύριε πάτερ ἡμῶν, μὴ καὶ ἡμεῖς οὐκ ἐσμὲν τέκνα σου, διότι οὐκ ἔδωκας ἡμῖν ἐκ τῶν ὄντων σοι κληρονομίαν; εἶπε δὲ Ἰὼβ ταῖς θυγατράσιν αὐτοῦ· μὴ ταραχθῆτε, θυγατέρες μου· οὐ γὰρ ἐπιλαθόμην ὑμῶν· ἰδοὺ γὰρ ἐφύλαξα ὑμῖν κληρονομίαν κρείττονα αὐτῆς ἣν ἔλαβον οἱ ἑπτὰ ἀδελφοί· καὶ καλέσας τὴν θυγατέρα αὐτοῦ τὴν λεγομένην Ἡμέραν, λέγει αὐτῇ· λαβοῦσα τὸ δακτύλιον, ὕπαγε εἰς τὸ ταμεῖον, καὶ ἔνεγκέ μοι τὸ χρυσοῦν σκευεῖον, ἵνα δώσω ὑμῖν τὴν κληρονομίαν ὑμῶν. καὶ ἀπελθοῦσα ἤνεγκεν αὐτό. καὶ ἀνοίξας αὐτὸ ἐξήνεγκε τρία χορδῶν περιζώματα, ὡς μὴ δύνασθαί τινα ἄνθρωπον λαλῆσαι περὶ τῆς ἰδέας αὐτῶν, ἐπεὶ μὴ δὲ ἦσαν ἔργον γηΐνων ἀλλ᾽ οὐρανίων ἐξαστραπτούσαις σπινθῆρας φωτεινοῖς, ὡς ἀκτῖνες τοῦ ἡλίου· καὶ δέδωκε χορδὴν μίαν ἑκάστῃ τῶν θυγατέρων αὐτοῦ, εἰπὼν λάβετε αὐτὰς καὶ περιζώσατε, ἵνα τὰς ἡμέρας τῆς ζωῆς ὑμῶν περιποιήσωσιν ὑμᾶς καὶ ἐμπλήσωσι παντὸς ἀγαθοῦ.

Εἶπε δὲ αὐτῷ ἡ ἄλλη θυγάτηρ ἡ λεγομένη Κασσία· πάτερ, αὕτη ἐστὶν ἡ κληρονομία ἣν ἔλεγες εἶναι κρείττονα τῶν ἀδελφῶν ἡμῶν; τί οὖν; μὴ ἐκ τούτων ἕξομεν τὸ ζῆν; καὶ εἶπεν αὐταῖς ὁ πατὴρ αὐτῶν· οὐ μόνον ἐκ τούτων τὸ ζῆν ἕξετε, ἀλλὰ καὶ αὗται εἰσάξουσιν ὑμᾶς εἰς τὸν μείζονα αἰῶνα, ζῆσαι ἐν τοῖς οὐρανοῖς· ἢ ἀγνοεῖτε, τέκνα μου, τὴν τιμὴν τῶν [illegible] τούτων, ἧς με κατηξίωσεν ὁ κύριος ἐλεῆσαί με, καὶ περιαρθῆναι ἐκ τοῦ σώματός μου τὰς πληγὰς καὶ τοὺς σκώληκας; καὶ γὰρ καλέσας με περιέθετό μοι τὰς τρεῖς ταύτας χορδὰς, λέγων μοι, ἀναστὰς ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου· ἐρωτήσω δέ σε, σὺ δέ μοι ἀποκρίθητι· ἐγὼ δὲ λαβὼν περιεζωσάμην· καὶ εὐθέως ἀφανεῖς ἐγένοντο οἱ σκώληκες ἀπὸ τοῦ σώματός μου· ὁμοίως δὲ καὶ αἱ πληγαὶ, καὶ λοιπὸν τὸ σῶμά μου ἴσχυεν διὰ κυρίου· καὶ οὕτως διῆγον ὥσπερ ὅτι οὐδ᾽ ὅλως πέπονθα τί· ἀλλὰ καὶ τῶν ἐν τῇ καρδίᾳ μου ὀδυνῶν λήθην ἔσχον· ὁ δὲ κύριος λελάληκέ μοι ἐν δυνάμει, καὶ ὑποδείξας μοι τὰ γενόμενα καὶ τὰ μέλλοντα· νῦν οὖν, τέκνα μου, ἔχουσαι αὐτὰς, οὐχ ἕξετε ὅλως ἀντιτασσόμενον τὸν ἐχθρὸν· ἀλλ᾽ οὔτε τὰς ἐνθυμήσεις ἐν τῇ διανοίᾳ ὑμῶν· διότι φυλακτήριόν ἐστι τοῦ κυρίου· ἐξεγερθεῖσαι οὖν περιζώσατε ἑαυτὰς πρὶν τελευτήσω, ἵνα δυνηθῆτε θεάσασθαι τοὺς ἐξερχομένους ἀγγέλους εἰς τὴν ἐμὴν ἔξοδον, ὅπως θαυμάσητε τὰς τοῦ θεοῦ δυνάμεις.

Ἀναστᾶσα τοίνυν ἡ μία αὐτῶν ἡ καλουμένη Ἡμέρα, περιέζωσεν ἑαυτὴν, καὶ παραχρῆμα ἔξω γέγονε τῆς ἑαυτῆς σαρκὸς, καθὼς εἶπεν ὁ πατὴρ αὐτῆς· καὶ ἀνέλαβεν ἄλλην καρδίαν ὡς μηκέτι φρονεῖν τὰ τῆς γῆς, ἀπεφθέγξατο τοὺς ἀγγελικοὺς ὕμνους ἐν ἀγγελικῇ φωνῇ, καὶ ὕμνον ἀνέμελπε τῷ θεῷ κατὰ τὴν ἀγγελικὴν ὑμνολογίαν. Καὶ τότε καὶ ἄλλη αὐτοῦ θυγάτηρ ἡ Κασσία περιεζώσατο, καὶ ἔσχε τὴν καρδίαν ἀλλοιωθεῖσαν, ὡς μηκέτι ἐνθυμηθῆναι τὰ κοσμικά· καὶ τὸ μὲν στόμα αὐτῆς ἔλαβε τὴν διάλεκτον τῶν ἀρχόντων, ἐδοξολόγησε δὲ τοῦ ὑψηλοῦ τόπου τὸ ποίημα· διότι εἴ τις βούλεται γνῶναι τὸ ποίημα τῶν οὐρανῶν, δυνήσεται εὑρεῖν ἐν τοῖς ὕμνοις Κασσίας· τότε περιεζώσατο καὶ ἡ ἄλλη ἡ καλουμένη Ἀμαλθείας κέρας· καὶ ἔσχε στόμα ἀποφθεγγόμενον ἐν τῇ διαλέκτῳ τῶν ἐν ὕψει, ἐπειδὴ καὶ αὐτῆς ἡ καρδία ἠλλοιοῦτο ἀφισταμένη ἀπὸ τῶν κοσμικῶν· λελάληκε δὲ ἐν τῇ διαλέκτῳ τῶν χερουβὶμ, δοξολογοῦσα τὸν δεσπότην τῶν ἀρετῶν, ἐνδειξαμένη τὴν δόξαν αὐτῶν καὶ ὁ βουλόμενος λοι-

σὸν ἴχνος καταλαβὼν τῆς πατρικῆς δόξης, εὑρήσει ἀναγεγραμμένον ἐν ταῖς εὐχαῖς τῆς Ἀμαλθείας κέρας.

Μετὰ δὲ τὸ παύσασθαι τὰς τρεῖς ὑμνολογούσας, ἐγὼ Νηρεὺς ὁ ἀδελφὸς Ἰὼβ ἐκαθεζόμην πλησίον τοῦ Ἰὼβ κειμένου αὐτοῦ, ϗ ἤκουσα τὰ μεγαλεῖα τῶν τριῶν θυγατέρων τοῦ ἀδελφοῦ μου, μιᾶς ὑποσημειουμένης τῇ μιᾷ· ϗ ἀπεγραψάμην τὸ βιβλίον τοῦτο, πλὴν τῶν ὕμνων καὶ τῶν σημείων τοῦ ῥήματος, ὅτι ταῦτα ἐστὶ τὰ μεγαλεῖα τοῦ Θεοῦ· κειμένου οὖν τοῦ Ἰὼβ νοσοῦν ἐπὶ τῆς κλίνης ἄνευ πόνου ϗ ὀδυνῶν, ἐπεὶ μὴ ἴσχυε πόνος ἅπτεσθαι αὐτοῦ, ὅτι διὰ τὸ σημεῖον τῆς περιζώσεως ἧς περιεζώσατο· ϗ μετὰ τρεῖς ἡμέρας ἴδεν Ἰὼβ τοὺς ἐλθόντας ἐπὶ τὴν ψυχὴν αὐτοῦ ἁγίους ἀγγέλους· ϗ εὐθέως ἀναστὰς ἔλαβε κιθάραν, ϗ ἔδωκε τῇ θυγατρὶ αὐτοῦ Ἡμέρᾳ· τῇ δὲ Κασσίᾳ ἔδωκε θυμιατήριον· τῇ δὲ Ἀμαλθείας κέρας ἔδωκε τύμπανον· ὅπως εὐλογήσωσι τοὺς ἐλθόντας ἐπὶ τὴν ψυχὴν αὐτοῦ ἁγίους ἀγγέλους· αἱ δὲ λαβοῦσαι ᾖδοντο ϗ ἔψαλλον ϗ εὐλόγησαν ϗ ἐδοξολόγησαν τὸν Θεὸν ἐν τῇ ἐξαιρέτῳ διαλέκτῳ· ϗ μετὰ ταῦτα ἐξῆλθεν ὁ ἐπικαθήμενος τῷ μεγάλῳ ἅρματι, ϗ ἠσπάσατο τὸν Ἰώβ, βλεπουσῶν ϗ τῶν τριῶν αὐτοῦ θυγατέρων, ἄλλων δὲ μὴ βλεπόντων· ϗ ἔλαβε τὴν ψυχὴν τοῦ Ἰώβ, ϗ ἀνεπτάσθη ἐναγκαλιζόμενος αὐτήν, ϗ ἀνεβίβασεν αὐτὴν ἐπὶ τὸ ἅρμα, ϗ ὥδευσε κατὰ ἀνατολάς· τὸ δὲ σῶμα αὐτοῦ ἀπηνέχθη ἐπὶ τὸν τάφον προηγουμένων τῶν τριῶν θυγατέρων αὐτοῦ, ϗ περιεζωσμένων τὰς χορδὰς καὶ ὑμνολογουσῶν ἐν ὕμνοις τὸν Θεόν.

Καὶ τότε Νηρεὺς ὁ ἀδελφὸς αὐτοῦ καὶ οἱ ἑπτὰ παῖδες αὐτοῦ σὺν τοῖς λοιποῖς λαοῖς καὶ πτωχοῖς καὶ ὀρφανοῖς καὶ ἀδυνάτοις ἐκόψαντο κοπετὸν μέγαν ἐπ' αὐτόν, λέγοντες· οὐαὶ ἡμῖν ὅτι σήμερον ἤρθη ἀφ' ἡμῶν ἡ δύναμις τῶν ἀδυνάτων, τὸ φῶς τῶν τυφλῶν, ὁ πατὴρ τῶν ὀρφανῶν ἦρται ὁ ξενοδόχος, τῶν πεπλανημένων ἡ ὁδὸς, τῶν γυμνῶν τὸ σκέπασμα, τῶν χηρῶν ὁ ὑπερασπιστής· τίς λοιπὸν μὴ κλαύσει τὸν ἄνθρωπον τοῦ Θεοῦ; Ταῦτα ϗ τὰ τοιαῦτα ἀποκλαιόντων, ἐκώλυον αὐτὸν τεθῆναι ἐπὶ τὸν τάφον· μετὰ οὖν τρεῖς ἡμέρας ἐτέθη ἐν τῷ τάφῳ, ὡς ἐν καλῷ ὕπνῳ, λαβόντα ὄνομα καλὸν, ὀνομαστὸν ἐν πάσαις ταῖς γενεαῖς τοῦ αἰῶνος· καταλείψας υἱοὺς $\overline{\zeta}$ καὶ θυγατέρας τρεῖς· καὶ οὐχ εὑρέθησαν κατὰ τὰς θυγατέρας Ἰὼβ βελτίους αὐτῶν ἐν τοῖς ὑπ' οὐρανοῦ· προϋπῆρχε ὄνομα τῷ Ἰὼβ Ἰωβάβ· μετωνομάσθη δὲ παρὰ κυρίου Ἰώβ· ἔζησε δὲ πρὶν τῆς πληγῆς ἔτη $\overline{\pi\epsilon}$· μετὰ δὲ τὴν πληγὴν λαβὼν πάντα διπλᾶ ἔλαβε ϗ τὰ ἔτη διπλᾶ, τουτέστι $\overline{\rho o}$· τὰ δὲ πάντα ἔτη τῆς ζωῆς αὐτοῦ $\overline{\sigma\mu\epsilon}$· καὶ ἴδεν υἱοὺς τῶν υἱῶν αὐτοῦ ἕως τετάρτης γενεᾶς· γέγραπται ϗ ἀναστῆναι αὐτὸν μεθ' ὧν ὁ κύριος ἀνίστησι (1)· τῷ δὲ Θεῷ ἡμῶν εἴη δόξα.

(1) Heic auctor opusculi christianum se demonstrat.

ΑΝΑΣΤΑΣΙΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ

ΠΕΡΙ ΤΟΥ ΚΑΤ' ΕΙΚΟΝΑ ΚΑΙ ΚΑΘ' ΟΜΟΙΩΣΙΝ

ΥΠΟ ΘΕΟΥ ΚΑΤΑΣΚΕΥΗΣ

ΛΟΓΟΣ ΤΡΙΤΟΣ. (1)

Παρέβαλόν τινι τῶν ἐξηγητῶν, καὶ ἔλεγεν ὅτι ποτὲ φιλολογοῦντος αὐτοῦ τὴν ἱερὰν γραφὴν, ἐγένετο ἐξαίφνης ὥσπερ διανοιχθῆναι αὐτοῦ τοὺς νοεροὺς ὀφθαλμοὺς καὶ ἰδεῖν πᾶσαν τὴν κατασκευὴν τῆς κτίσεως καὶ πάντων τῶν ἐν αὐτῇ τὴν εἰκόνα καὶ τύπον τῆς ἐνανθρωπήσεως τοῦ Θεοῦ λόγου διαγράφουσαν· καὶ διὰ τοῦτο φησὶν ὁ Παῦλος περὶ Χριστοῦ ὅτι τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται· χρὴ τοὺς σοφοὺς καὶ ἐχέφρονας μέλλοντας συζητεῖν μετὰ τῶν αἱρετικῶν περὶ τοῦ τοῦ Χριστοῦ ἰδιοτάτου λόγου, ἤτοι περὶ θελήσεως ἢ περὶ ἐνεργείας, πρὸ παντὸς λόγου ἀπαιτεῖν αὐτοὺς ἐγγράφως ἐκθέσθαι τοὺς ὑπογεγραμμένους ὅρους· ἐξ αὐτῶν γὰρ εὐχερῶς ἐλέγχεται ἡ ἀφροσύνη αὐτῶν· δύο γὰρ τελειότητας οἱ ἅγιοι πατέρες εἰρήκασιν ἐν τῷ Χριστῷ, τουτέστι τέλειον αὐτὸν ὄντα ἐν θεότητι, ὁμοίως καὶ τέλειον ἐν ἀνθρωπότητι· δεῖ τοίνυν ἀπαιτεῖν αὐτοὺς ὁριστικῶς εἰπεῖν εἴ γε καὶ ἐπίστανται. — Τί ἐστιν ὅρος ὁμουσίου ἀληθοῦς. Τί ἐστιν ὅρος τελείου ἐντελοῦς. Τί ἐστιν ὅρος ψυχῆς λογικῆς. Τί ἐστιν ὅρος ψυχῆς ἀλόγου. Καὶ ποῖος ὅρος τῆς ψυχῆς τοῦ Χριστοῦ. Καὶ τί ἐστι σαρκικὸν θέλημα. Καὶ τί ψυχή. Καὶ τί θεϊκόν. — Καὶ ἐὰν τοὺς προειρημένους ὅρους πατρικῶς καὶ οὐχ ἑλληνικῶς διαιρέσαι ἰσχύσωσιν, ἐξ αὐτῶν ἐλεγχόμενοι πίπτουσιν· ὥσπερ γὰρ ἀναλλοίωτον Θεὸν δείκνυσιν ἡ πρὸς τὸν πατέρα ὁμοουσιότης τὸν λόγον, οὕτως ἐκ παντὸς τρόπου καὶ ἀναλλοίωτον αὐτὸν ἄνθρωπον παρίστησιν ἡ πρὸς ἡμᾶς τοῦ σώματος αὐτοῦ καὶ τῆς ψυχῆς ὁμοουσιότης.

Παρακαλοῦμεν τοὺς ἐν κυρίῳ ἀδελφοὺς ἡμῶν μετὰ πολλῆς εὐλαβείας καὶ περισκέψεως διαλέγεσθαι πρὸς τοὺς ἀντιδίκους τὸν περὶ ἐνεργειῶν καὶ θελημάτων λόγον, καὶ μάλιστα πρὸς τοὺς μὴ χωροῦντας· οὐ γὰρ πάντων ἡ πίστις, ὥς φησιν ὁ Παῦλος· λοιπὸν μὴ ἀναισχύντῳ προσώπῳ καὶ ἀναιδεστάτῃ φωνῇ ὥς τινες ἄφρονες ἀπεριφυλάκτως κράζωμεν δύο φυσικὰ θελήματα καὶ δύο φυσικὰς ἐνεργείας, καὶ δύο φυσικὰ τόδε καὶ τόδε, ἀλλὰ μετ' εὐλαβείας καὶ φόβου Θεοῦ καὶ περισκέψεως· ἔστι γὰρ καὶ εὐσεβῶς εἰπεῖν ἐν Χριστῷ καὶ τὰς δύο φύσεις· ὁμοίως ἔστι καὶ ὀρθῶς καὶ στρεβλῶς εἰπεῖν ἐν αὐτῷ καὶ θελήματα καὶ ἐνεργείας· καὶ γὰρ καὶ Διόδωρος καὶ Νεστόριος λέγουσι δύο φύσεις Χριστοῦ, ἀλλ' ὑποστατικῶς. Καὶ Θεόδωρος ὁ ἀντιοχεὺς καὶ Ἄρειος ὁ ἀλεξανδρεὺς λέγουσι δύο θελήματα, ἀλλ' ἐναντία. Καὶ Μάνης ὁ πέρσης λέγει δύο ἐνεργείας, ἀλλ' ἀγαθοῦ Θεοῦ καὶ πονηροῦ ἑτέραν. Διὸ δυσωποῦ ἐν πάσῃ περισκέψει τοῖς μαχομένοις ἀπολογησόμεθα λέγοντες πρὸς αὐτοὺς εὐθέως, ὅτι εἴ τις λέγει ἐν Χριστῷ σαρκικὸν θέλημα ἢ κοσμικὸν, ἢ ὅλως ἐνέργειαν ἐναντιουμένην τῇ αὐτοῦ θεότητι, ἢ θέλημα ἀντιπίπτον τῷ Θεῷ λόγῳ, ἔστω κατάκριτος· πάντα γὰρ ὅσα εἶχεν ἡ τοῦ δούλου μορφὴ, ὑπέκειντο καὶ εἵποντο κατὰ τὸ νεῦμα καὶ βούλημα τῆς τοῦ δεσπότου Θεοῦ λόγου μορφῆς· ἀλλ' ὅπως μὴ ποιήσωμεν τὴν θείαν φύσιν αὐτοῦ ὑποκειμένην πάθεσι καὶ ὡς δοῦλον ὑποπίπτουσαν τὸν λόγον τῷ πατρὶ, τούτου χάριν ἑκατέρᾳ φύσει Χριστοῦ ἀδιαιρέτως τὰ ἴδια ἀπονέμομεν.

(1) Priores duo huius operis libri extant typis iamdiu excusi cum Origenis philocalia Parisiis 1624. Ego tertium sane brevem quartumque satis prolixum ex vaticano codice effero.

Digitized by Google

ΑΝΑΣΤΑΣΙΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ

ΛΟΓΟΣ ΤΕΤΑΡΤΟΣ.

Ἰατρῶν ἐχέφρονες καὶ σοφῶν γνωμόνων ἐπιστήμονες ἐπὶ τὰς θεραπευτικὰς ὁρμῶντες τῶν νόσων ἐπιστήμας, οὐ πρότερον τὰς τούτων ἀλεξιφαρμάκους κατασκευὰς ἀπεργάζονται, ἄχρις ἂν τὰς αἰτιοποιοὺς ὕλας προῤῥίζως διαγνόντες καταμάθωσι· ταύτῃ τοι καὶ οἱ τὰς τῶν αἱρέσεων λοιμώδεις νόσους τε καὶ φθοροποιοὺς βλάβας ἀναστέλλειν καὶ ἐκριζοῦν οὐ μάλα ῥᾳδίως βουλόμενοι, τὰς προῤῥίζους αὐτῶν καὶ οἱονεὶ προθεμελίους καταβολὰς ἀνορύττοντες τε καὶ γυμνοῦντες καὶ προκατασείοντες, τηνικαῦτα εὐμαρῶς ὡς ἄριστα καὶ ἰατρεύειν δυνήσονται.

Οὐκ εἰσὶ τοίνυν λαλιαὶ οὐδὲ λόγοι ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν, ἀλλὰ μὲν καὶ εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν· ἐκείνων λέγω τῶν πολεμικῶν περσικῶν τε καὶ ῥωμαϊκῶν παρατάξεων, ἡνίκα τὸ νικητικὸν τρόπαιον τοῦ σταυροῦ συνεργείᾳ θεοῦ ἐπανῆλθε μεθ' Ἡρακλείου τοῦ βασιλέως ἐν Ἱερουσαλήμ. Οὗτος δὴ ὁ τῆς ῥωμαϊκῆς κατ' ἐκεῖνο καιροῦ σκηπτοῦχος βασιλείας Ἡράκλειος (1) ἐπὶ τὰ χαλδαϊκὰ τε καὶ περσικὰ μέλαθρα τὰς πορείας ποιούμενος, κατὰ τὴν ἀντιοχέων πόλιν περιτυγχάνει τινὶ Ἀθανασίῳ πατριάρχῃ λεγομένῳ τῆς τῶν Ἰακωβιτῶν μισαρχίας, δεινῷ τινι ὄντι περὶ λόγους κακούργους τῇ τῶν σύρων ἐμφύτῳ πανουργίᾳ· καὶ κινήσας πρὸς αὐτὸν τοὺς περὶ πίστεως τῶν δύο Χριστοῦ φύσεων λόγους ὁ βασιλεὺς, ὑπισχνεῖτο ὡς εἰ πεισθῇ αὐτῷ καὶ δέξηται τὴν ἁγίαν σύνοδον Χαλκηδόνος, πατριάρχην αὐτὸν καθιστᾶν τῆς αὐτόθι ἁγίας καθολικῆς ἐκκλησίας· εἴτε οὖν ἐν ὑποκρίσει, εἴτε καὶ ἕτερον τρόπον, ὅμως ἐδέξατο τὴν σύνοδον ὁ Ἀθανάσιος ὁμολογήσας τὰς δύο ἐν Χριστῷ ἡνωμένας φύσεις.

Καὶ τούτων στοιχηθέντων, ἤρετο τὸν βασιλέα περὶ τῆς ἐνεργείας καὶ τῶν θελημάτων τὸ πῶς δεῖ ταῦτα λέγειν ἐν τῷ Χριστῷ, διπλᾶ ἢ μοναδικά· ὁ γοῦν βασιλεὺς καὶ ξενοφωνηθεὶς ἐπὶ τῇ ἐρωτήσει, ἅτε δὴ οὔπω κατὰ τοὺς ἡμετέρους καιροὺς κινηθείσῃ, γράφει πρὸς Μαρτῖνον τὸν πάπαν Ῥώμης περὶ τούτου· ὁμοίως καὶ πρὸς Σέργιον τὸν ἐπίσκοπον Κωνσταντινουπόλεως. Καὶ ὁ μὲν πάπας ἐσήμανεν αὐτῷ κατὰ τὴν παράδοσιν τῶν ἁγίων πατέρων, λέγων ὅτι ἔνθα δύο φύσεις γνωρίζονται, κτιστὸν ὁμοῦ τε καὶ ἄκτιστον, ἀνάγκη πᾶσα ἔχειν αὐτὰς καὶ τὰς δύο αὐτῶν φυσικὰς ἰδιότητας, λέγω δὴ τὰ θελήματα καὶ τὰς ἐνεργείας· ὧν γὰρ ἡ θέλησις καὶ ἡ ἐνέργεια μία, τούτων πάντως καὶ ἡ φύσις μία καὶ οὐ δύο τυγχάνουσι. Ταῦτα καὶ τὰ τοιαῦτα Μαρτίνου τὰ γράμματα.

Ὁ δὲ Κωνσταντινουπόλεως Σέργιος, ἅτε δὴ συρογενὴς ὑπάρχων, ὡς δὲ λόγος καὶ γονέων ἰακωβιτῶν ἔγγονος, τὰ ἐναντία Μαρτίνῳ ἀπέστειλε πρὸς Ἡράκλειον, μίαν φυσικὴν θέλησιν καὶ ἐνέργειαν ἐν Χριστῷ ὁμολογήσας. Δεξάμενος οὖν ὁ βασιλεὺς ἐξ ἀμφοτέρων τὰ γράμματα, ἐστοίχησε μᾶλλον τοῖς ὑπὸ Σεργίου γραφεῖσιν, ἅπερ καὶ Ἀθανάσιος ὑπτίαις χερσὶν ἀσμένως ἐδέξατο ὡς κακοῦργος, γινώσκων ὅτι ἔνθα μία ἐνέργεια εἴρηται, ἐκεῖ πάντως καὶ μία φύσις γνωρίζεται· εἶτα ἀποστέλλεται ὁ πάπας Κῦρος ἐν Ἀλεξανδρείᾳ· ποιεῖ καὶ αὐτὸς ὁμοίως κἀκεῖ τὴν ὑδροβαφῆ ἐκείνην διὰ Θεοδώρου τοῦ Φαναρίτου ἕνωσιν, μᾶλλον δὲ κίνωσιν, μίαν καὶ αὐτοὶ αὐτόθι γράψαντες ἐν Χριστῷ φυσικὴν τὴν ἐνέργειαν· τούτων δὴ λοιπὸν οὕτως κατὰ τὴν ἀντιοχέων καὶ ἀλεξανδρέων παρακολουθησάντων, εἰς μέγα ὄνειδος ἡ σύνοδος

(1) Sequenti narratione de Heraclio imp. a Monophysitis decepto utitur breviter et cum varietate Theophanes in chronico ad annum praedicti Heraclii vigesimum.

Χαλκηδόνος καὶ ἡ καθολικὴ τετρέπεται ἐκκλησία· κατεκαυχῶντο γὰρ οἱ τὰ Ἰακώβου ἐν Συρίᾳ φρονοῦντες· ὁμοίως καὶ οἱ τὰ Θεοδοσίου ἐν Ἀλεξανδρείᾳ, φάσκοντες ὅτι οὐχ ἡμεῖς τῇ Χαλκηδόνι, ἀλλ' ἡ Χαλκηδὼν μᾶλλον ἡμῖν ἐκοινώνησε διὰ τῆς ἐνεργείας μίαν ὁμολογήσασα φύσιν Χριστοῦ.

Εἶτα ἀκούσας ταῦτα Ἡράκλειος ᾐσχύνθη, καὶ καταλῦσαι μὲν τὰ οἰκεῖα οὐκ ἤθελε, καὶ πάλιν τὸν ὀνειδισμὸν οὐχ ὑπέφερε· τότε δὴ ὡς μεγά τι νομίζων ποιεῖν, ἐκτίθεται τὸ λεγόμενον ἔδικτον, τὸ περιέχον μήτε μίαν μήτε δύο ἐνεργείας ὁμολογεῖν ἐν Χριστῷ· ὅπερ δὴ ἀναγνόντες οἱ τὰ Σεβήρου φρονοῦντες, ἐπὶ καταλύσει καὶ βλασφημίᾳ διέσυραν τῆς καθολικῆς ἐκκλησίας· λέγοντες, πρώην μὲν τὰ Νεστορίου φρονοῦντες οἱ χαλκηδονῖται, ἀνένευσαν ἐπιστρέψαντες εἰς τὴν ἀλήθειαν, ἑνωθέντες ἡμῖν διὰ τῆς μιᾶς ἐνεργείας εἰς τὴν μίαν τοῦ Χριστοῦ φύσιν· νῦν δὲ καταγνόντες τοῦ καλῶς ἔχοντος, ἀπώλεσαν ἀμφοτέρας, μήτε μίαν φύσιν μήτε δύο ἐν Χριστῷ ὁμολογοῦντες. Ταῦτα δὲ ἀκούσας ὁ θεοφόρος ὁ τῆς ῥωμαίων πρόεδρος Μαρτῖνος, καὶ μὴ φέρων οὕτως αἰσχρῶς ὁρᾶν ὀνειδιζομένην τὴν ἐκκλησίαν, ποιεῖ ἐν τῇ Ῥώμῃ σύνοδον πλειόνων ὁσίων ἐπισκόπων, κηρύξας ἐκ πατρικῶν μαρτυριῶν δύο ἀδιαιρέτους Χριστοῦ τὰς ἰδιότητας, τουτέστι τὴν θείαν καὶ τὴν ἀνθρωπίνην θέλησιν αὐτοῦ καὶ ἐνέργειαν.

Εἶτα τελευτᾷ Ἡράκλειος· ἐξορίζεται Μαρτῖνος ὑπὸ τοῦ ἐκγόνου Ἡρακλείου· καὶ εὐθέως ἀνέστη ὁ ἐρημικὸς Ἀμαλὴκ τύπτων ἡμᾶς τὸν λαὸν τοῦ Χριστοῦ· καὶ γίνεται ἡ πρώτη καὶ φοβερὰ καὶ ἀνίατος τοῦ ῥωμαϊκοῦ στρατοῦ πτῶσις, ἡ κατὰ τὴν Γαβιθὰν λέγω καὶ Ἱερμουχᾶν καὶ τὴν Δαθημῶν αἱμοχυσία· μεθ' ἣν αἱ Παλαιστίνων καὶ Καισαρείαι καὶ Ἱεροσολύμων ἁλώσεις καὶ ἐμπρήσεις· εἶτα ὁ αἰγύπτιος ὄλεθρος, καὶ καθεξῆς αἱ τῶν μεσογείων καὶ νήσων καὶ Ῥωμανίας πάσης αἰχμαλωσίαι καὶ ἀνίατοι ἐρημώσεις. Ἀλλ' οὐδ' οὕτως εἰς συναίσθησιν ἦλθον οἱ ῥωμαίων ἄρχοντες καὶ κυριεύοντες, ἀλλὰ δὴ μεταστειλάμενοι τοὺς ἐν τῇ Ῥώμης συνόδῳ διαλάμψαντας, γλωσσοτομίας καὶ χειροκοπίαις εἰς αὐτοὺς ἐχρήσαντο. Τί δὲ καὶ ἡ τούτων ἡμῖν ἐκ Θεοῦ ἀντίδοσις; ἐκείνη ἡ ἐν τῷ Φοίνικι μικροῦ δεῖν παντελὴς τοῦ ῥωμαϊκοῦ στρατοῦ καὶ τοῦ στόλου ἀπώλεια, καὶ ἡ κατὰ πρόσθεσιν πάλαι πάντων τῶν χριστιανικῶν λαῶν καὶ τόπων ἐρήμωσις, ἥτις οὐκ ἐπαύσατο ἄχρις ἂν ὁ Μαρτῖνος ἐδιώκετο, καὶ ὁ βασιλεὺς ἐν Σικελίᾳ ὑπὸ μαχαίρας ἀπέθανεν.

Ὁ δὲ τούτου υἱὸς Κωνσταντῖνος ὁ εὐσεβὴς δι' οἰκουμενικῆς συνόδου τὰς ἁγίας ἐκκλησίας ἥνωσε, θεϊκὴν τὸ ὁμοῦ καὶ ἀνθρωπίνην ἐν Χριστῷ τῷ Θεῷ ἡμῶν κατὰ τοὺς ἁγίους πατέρας ὁμολογήσας θέλησιν καὶ ἐνέργειαν· ἥτις ὁσία σύνοδος, ὥσπερ θυσία εὐπρόσδεκτος καὶ ὡς ἐκεῖνο τὸ τοῦ Ἀαρὼν θυμιατήριον προσδεχθεῖσα παρὰ τῷ Θεῷ, ἐπὶ εἴκοσι χρόνοις ὄλεθρον τοῦ ἡμετέρου λαοῦ ἔπαυσε, τὴν μάχαιραν τῶν ἐχθρῶν κατ' ἀλλήλων αὐτῶν ἤγαγε, τὰς χώρας ἀνέπαυσε, τὴν θάλασσαν πλώιμον ἐποίησε, τὰς αἰχμαλωσίας διέλυσε, καὶ πάσῃ Ῥωμανίᾳ ἄνεσιν καὶ εἰρήνην οὐ μετρίαν πεποίηκεν. Ἀλλὰ ταῦτά γε πάντα οἱ ματαιόφρονες οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν, ἐν σκότει διαπορευόμενοι, ἐπὶ καπήλοις καὶ βαλανείοις καὶ κοράκων καὶ ἑταιρίδων ἡμᾶς διασύροντες, καὶ φάσκοντες ὅτι οἱ τὰ δύο θελήματα λέγοντες ἐν τῷ Χριστῷ, πάντως τὸ ἓν ἀγαθὸν λέγουσι, τὸ δὲ ἕτερον πονηρόν· καὶ τὸ ἓν θεϊκόν, τὸ δὲ ἕτερον διαβολικόν· πῶς γὰρ δύναται ὅλως λέγειν ἀνθρώπινον θέλημα ἐν Χριστῷ, τοῦ ἀποστόλου λέγοντος ὅτι θέλημα τῆς σαρκὸς νόμῳ Θεοῦ οὐχ ὑποτάσσεται, καὶ τὸ θέλημα τῆς σαρκὸς ἔχθρα εἰς Θεόν; καὶ ἦμεν ποτε καὶ ἡμεῖς ἀπειθεῖς ποιοῦντες τὰ θελήματα τῆς σαρκός· τὸ γὰρ θέλημα τῆς σαρκὸς θάνατος.

Ταῦτα καὶ τὰ τοιαῦτα οἱ τῆς ἀληθείας ἐχθροὶ καθ' ἡμῶν ὑλακτοῦσιν, ὡς κύνες καὶ ἵπποι καὶ ἡμίονοι οἷς οὐκ ἔστι σύνεσις, συκοφαντοῦντες ἡμᾶς ὡς δύο πρόσωπα καὶ δύο ὑποστάσεις λέγοντας ἐν Χριστῷ, καὶ δύο διορισμούς, καὶ δύο ἐναντίας ἕξεις, καὶ ἀρνουμένας τὴν θεωτικὴν φωνήν, καὶ πάντα διπλᾶ καὶ διῃρημένα ἐπὶ αὐτοῦ δογματίζοντας, καὶ δύο ἐνεργείας ἀγαθὰς

τε καὶ πονηρὰν ὑπ' αὐτοῦ κρύπτοντας· δι' ὧν τινων φλυαριῶν τε καὶ συκοφαντιῶν ἔβλαψαν λαούς, ἔσχισαν ἐκκλησίας, ἐτάραξαν χώρας, ἐνύβρισαν τὴν πίστιν, ἱερεῖς ἀπέσχισαν, μονάζοντας ἐπλάνησαν, ἄρχοντας ἐμίαναν, τὰ πάντα ἐσάλευσαν, πᾶσαν πόλιν, πᾶσαν κώμην, πᾶσαν ἐπαρχίαν, διωγμοὺς ποιήσαντες, αἰκισμούς, ἀφορισμούς, ἐξορίας, καταδίκας, οἵας οὐδὲ αρειανοὶ κατὰ τῆς ἐκκλησίας, μῖσος τε τοιοῦτον πρὸς ἡμᾶς ἔχοντες, οἷον οὐδὲ πρὸς ἰουδαίους ἢ σαμαρείτας ἢ μανιχαίους ἢ ἕλληνας ἢ ἀποστάτας ἔχουσιν, αἱρούμενοι μᾶλλον συνδιάγειν καὶ συναυλίζεσθαι τοῖς τὰ εἴδωλα προσκυνοῦσιν ἢ ἡμῖν τοῖς τὰς δύο Χριστοῦ ἰδιότητας ἀδιαιρέτως λέγουσι καὶ συνεύχεσθαι μᾶλλον σὺν ἰουδαίοις ἐκλεγόμενοι ἢ σὺν ἡμῖν τοῖς ὁμολογοῦσιν ἐν Χριστῷ θεῖον τὸ καὶ ἀνθρώπινον ἀδιαιρέτως θέλησιν τὸ καὶ ἐνέργειαν μὴ βουλόμενοι, τάχα δὲ μήτε δυνάμενοι, διακρῖναι τί μέν ἐστι τὸ θεικὸν καὶ ἄκτιστον θέλημα, τί δέ ἐστι τὸ θεόκτιστον καὶ θεόσδοτον τῆς λογικῆς ἡμῶν ψυχῆς θέλημα, δι' οὗ θελήματος ἐργάζεται τὸ ἀγαθὸν καὶ εὐάρεστον τοῦ Θεοῦ θέλημα· τί δὲ πάλιν ἐστι τὸ σαρκικὸν ἤγουν διαβολικὸν καὶ ὁλικὸν θέλημα, ὅπερ ὁ θεῖος ἀπόστολος καὶ πᾶσαι αἱ γραφαὶ διαβάλλουσι καὶ ἀποβάλλονται.

Ὅτι γὰρ τὴν ἁμαρτίαν πολλάκις σάρκα ὀνομάζει ὁ Παῦλος, ἄκουσον αὐτοῦ λέγοντος ὅτι σὰρξ καὶ αἷμα βασιλείαν θεοῦ κληρονομῆσαι οὐ δύναται. Καὶ οἱ ἐν σαρκὶ ὄντες, θεῷ ἀρέσαι οὐ δύνανται. Καὶ ὁ σπείρων εἰς τὴν σάρκα, ἐκ τῆς σαρκὸς θερίσει φθοράν· καὶ ἐὰν κατὰ σάρκα περιπατοῦντες, μέλλετε ἀποθνήσκειν· σάρκα τὴν ἁμαρτίαν ὀνομάζων, ἀλλ' οὐ τὴν φύσιν τῆς ἡμετέρας σαρκός· ἐπεὶ εὑρίσκεται τὸν Χριστὸν ἐνυβρίζων τὸν λέγοντα, ψηλαφήσατέ με καὶ ἴδετε ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα· ὥστε τὸ σαρκικὸν θέλημα, ἀλλότριον καὶ ξένον τοῦ Χριστοῦ οἱ ἅγιοι πατέρες ὁρίζουσι· καὶ τὴν ῥυπικὴν καὶ ἐμπαθῆ τῆς ἁμαρτίας ἐνέργειαν, οὐ τὴν φυσικὴν, οὐ τὴν θεόκτιστον, οὐ τὴν κατ' εἰκόνα καὶ ὁμοίωσιν θεοῦ ὑπάρχουσαν ἡμῶν ἄμωμον καὶ ἀδιάβλητον φυσικὴν θέλησιν καὶ ἐνέργειαν· ἀλλ' οἱ ἀληθῶς ὄντως ὑπὸ τῆς ἐνεργείας τοῦ διαβόλου ἐνεργούμενοι, καὶ εἰς τὰς πυρώσεις καὶ εἰς τὰς ἐκκαύσεις τῆς σαρκὸς ἐκμαινόμενοι, καὶ ὑπὸ τοῦ σαρκικοῦ θελήματος κατακαμπτόμενοι καὶ μολυνόμενοι καὶ βορβορούμενοι, μὴ ἰσχύσαντες διακρῖναι τί μέν ἐστι τὸ ἐπεισακτὸν καὶ πονηρὸν θέλημα καὶ ἡ παρὰ φύσιν ἐνέργεια, τί δέ ἐστι τὸ θεόφυτον τῆς ψυχῆς λογιστικὸν καὶ ἐπιθυμητικὸν οὐσιῶδες θέλημα, καὶ τί πάλιν ἡ ζωτικὴ αὐτῆς καὶ συστατικὴ τοῦ σώματος ἐνέργεια, ὡς γνήσιοι τοῦ Μάνεντος μαθηταί, διαβάλλουσι τὸ τῆς φύσεως τοῦ θεοκτίστου ἀνθρώπου θέλημα· κακίζουσιν, ὡς οἱ μανιχαῖοι, τὴν ἡμῶν θεόκτιστον σάρκα· ὑβρίζουσι τὴν ζωοποιὸν θεόσδοτον ἡμῶν ἐνέργειαν· μέμφονται τὴν νοερὰν ἡμῶν θεόσδοτον ἐπιθυμίαν, δι' ἧς ὀρεγόμενοι τοῦ θείου, τυγχάνομεν τῆς σωτηρίας· διὰ παντὸς αὐτῶν τοῦ δόγματος τῷ κτίστῃ προσκρούοντος.

Εἰ δὲ πονηρὸν ἦν τὸ ἔμφυτον τῆς ψυχῆς θέλημα, πῶς φησὶν ὁ Δαβὶδ ὅτι ἐκ θελήματός μου ἐξομολογήσομαι τῷ Θεῷ; πῶς γὰρ ἂν ὅλως καὶ δυνήσεται ἡ ψυχὴ θελητόν τινα ἔχειν τῶν θείων, εἰ μὴ ἔχει θέλησιν λογιστικήν; ἢ πῶς νοήσει τῶν κρειττόνων καὶ νοερῶν, εἰ ἐνεργήσει μὴ ἔχουσα ἐνέργειαν νοερὰν; δι' ὧν δύο ἰδιοτήτων ἐξεικονίζει σαφῶς ἐν ἑαυτῇ τὸ κατ' εἰκόνα καὶ ὁμοίωσιν Θεοῦ· διὰ γὰρ τοῦτο καὶ μόνον ἡμῖν πεποίηνται οἱ προειρημένοι εἰς τὸ κατ' εἰκόνα λόγοι, εἰς τὸ δεῖξαι ὡς ἐν τύπῳ τινὶ καὶ εἰκόνι ἐν τῷ ἀνθρώπῳ οὐ μόνον τῶν δύο τοῦ Χριστοῦ οὐσιῶν τὴν προδιατύπωσιν, ἀλλὰ καὶ δύο ἐνεργειῶν καὶ θελημάτων ἀδιαβλήτων ὡς ἐν τύπῳ τινὶ ἀμυδρῷ προδιαγράψαι· καὶ γὰρ τὸ τιμᾷν πατέρα καὶ μητέρα καὶ ἀδελφοὺς ἀγαπᾷν καὶ συγγενεῖς, φύσεως ἀνθρωπίνης φυσικόν ἐστιν οὐσιῶδες θέλημα ψυχῆς ἀδιάβλητον· τὸ δὲ καταλεῖψαι καὶ ἀρνήσασθαι διὰ τὸν Θεὸν πατέρα καὶ μητέρα καὶ ἀδελφούς, ὄντως θεῖον καὶ ὑπὲρ φύσιν θέλημα ἀξιέπαινον· ἰδοὺ δύο θελήματα ἀδιάβλητα· τὸ μὲν, φύσει ἀνθρωπίνῃ· τὸ δὲ, ὑπὲρ φύσιν καὶ θεῖον.

XXV *

Digitized by Google

Λοιπὸν ὅτε ἴδῃς Ἰησοῦν ὑποτασσόμενον καὶ διακονοῦντα, ὡς φησὶν ὁ Λουκᾶς, τῷ Ἰωσὴφ καὶ τῇ μητρὶ αὐτοῦ, καὶ προσέχοντα καὶ τυρευλισσόμενον ὡς παιδίον ταῖς ἀγκάλαις καὶ τοῖς ἁγίοις κόλποις αὐτῆς, μὴ διστάσῃς εἰπεῖν θελήματι καὶ στοργῇ τῇ καθ᾽ ἡμᾶς φύσει ποιοῦντα καὶ διακονοῦντα αὐτὸν ταῦτα· καὶ τέλειον καὶ ὁμοούσιον ἡμῖν κατὰ τὴν ἀνθρωπότητα ἑαυτὸν ἐμφανίζοντα κατὰ πάντα τρόπον, ὡς φησὶν ὁ Παῦλος, δίχα μόνης ἁμαρτίας. Ὅταν δὲ πάλιν πρὸς τὴν μητέρα λέγῃ, τί ἐμοὶ καὶ σοὶ, γύναι; καὶ τίς ἐστί μου πατὴρ ἡ μήτηρ, εἰ μὴ ὁ ποιῶν τὸ θέλημα τοῦ πέμψαντός με, ἐνταῦθα παιδεύει ἡμᾶς τὸ θεῖον καὶ ὑπὲρ φύσιν θέλημα· δι᾽ ἡμᾶς γὰρ πάντα ἐποίει καὶ ἔπραττεν, ἐν πᾶσιν αὐτὸς τέλειος καὶ προτέλειος καὶ ἀεὶ πλήρης ὑπάρχων.

Νομίζω δὲ μᾶλλον ἀκριβεστέραν ὑπάρχειν τὴν ἑτέραν ἐκδοχὴν τὴν φάσκουσαν ὅτι διὰ τῆς θελήσεως τῆς λογικῆς καὶ βουλευτικῆς καὶ διανοητικῆς τῆς νοερᾶς ψυχῆς τῆς τοῦ δούλου μορφῆς ἐπλήρου ὁ Χριστὸς τὴν ὑπακοὴν καὶ τὸ θέλημα τοῦ πατρὸς καὶ τὴν ἐντολὴν καὶ τὸ πρόσταγμα καὶ τὸν νόμον· διὰ δὲ πάλιν τῆς ζωτικῆς καὶ ζωοποιοῦ θεοσεβοῦς αὐτῆς, λέγω δὴ τῆς ψυχῆς νοερᾶς ἐνεργείας, συνεκράτει καὶ ἐζωοποίει καὶ ηὖξει τὸ οἰκεῖον σῶμα ὁ θεὸς λόγος, κατὰ τὸν ὅρον καὶ λόγον ὃν δέδωκε τῇ λογικῇ ψυχῇ ζωοποιεῖν καὶ συγκρατεῖν καὶ αὔξειν καὶ κινεῖν νῦν τὴν τῶν σωμάτων φύσιν· ὅθεν καὶ ψυχὴ δι᾽ οὐδὲν ἕτερον εἴρηται, εἰ μὴ διὰ τὸ ψύχειν ἔχειν ζωοποιεῖν τὸ σῶμα· διὰ τοῦτο καὶ ἀποψύχειν τὸ ἀποθνήσκειν εἴρηται, ὥσπερ πάλιν τὸ ἀναψύχειν τὸ ζῆν. Ὥσπερ δὲ διττῆς φύσεως Χριστοῦ, ὡσαύτως καὶ θελήσεως εἰκόνας ἐδείξαμεν εἰς τὸν κατ᾽ εἰκόνα καὶ ὁμοίωσιν αὐτοῦ ὑπ᾽ αὐτοῦ γενόμενον σύνθετον ἄνθρωπον, οὕτω πάλιν ὡς ἐν εἰκόνι καὶ τύπῳ, λέγω, ὁρᾶται ἐν τῷ ἀνθρώπῳ καὶ διττή τις ἐνεργείας ἔμφασις εἰς εἰκόνα καὶ τύπον Χριστοῦ· καθάπερ γὰρ ἡ αὐτὴ θεότης ἐνήργει καὶ θεανδρικῶς, ἐνήργει δὲ καὶ θεϊκῶς ἐν οὐρανῷ πρὸ τῆς τοῦ σώματος ἀναλήψεως ὡς ἀπερίγραφος καὶ μὴ περιγραφεῖσα ἐν τῷ σώματι, οὕτω καὶ ἡ ψυχὴ ἡ κατ᾽ εἰκόνα καὶ ὁμοίωσιν τοῦ ἀοράτου θεοῦ λόγου ὑπάρχουσα, ἐνεργεῖ μετὰ καὶ ψυχανδρικῶς, τουτέστι σωματοψύχως εἰς τύπον θεανδρικοῦ τοῦ Χριστοῦ· ἐνεργεῖ δὲ καὶ ψυχικῶς μόνον πλεῖστά τινα μὴ συνεργοῦντος αὐτῇ τοῦ οἰκείου σώματος, εἰς τύπον τοῦ ἀοράτου ἐνεργήσαντος ἐν οὐρανῷ καὶ ἐπὶ γῆς, διὰ τῆς ἀπεριχάρακτου αὐτοῦ καὶ παγκοσμίου καὶ ὑπερκοσμίου θεϊκῆς ἐνεργείας.

Ἡ οὖν ἀγάπη ἡ πρὸς θεὸν, κατὰ ψυχικὴν καὶ μόνην ἐπιτελεῖται ἐνέργειαν, οὐ χρήζουσα ἐν τούτῳ τῆς συνεργείας τοῦ σώματος· ὁμοίως καὶ ἡ πίστις ψυχικῆς καὶ μόνης ἐνεργείας ἐστὶν ἔνδειξις· ὡσαύτως καὶ ἡ ἐλπὶς κατὰ ψυχικὴν καὶ μόνην ἐπιτελεῖται ἐνέργειαν, ὥσπερ καὶ ἡ ταπεινοφροσύνη δι᾽ ἐνεργείας ψυχῆς ἐνεργεῖται καὶ ὑφίσταται· καὶ περιληπτικῶς εἰπεῖν, πᾶσαι αἱ ἀναγκαῖαι καὶ πνευματικαὶ ἀρεταὶ, ὧν ῥίζα καὶ θεμέλιον ὅλων ἡ καθαρότης τῆς καρδίας, κατὰ τὴν νοερὰν καὶ μόνην τῆς λογικῆς ἡμῶν ψυχῆς ἐνέργειαν ἐπιτελοῦνται, οὐ χρῄζουσαι τοῦ σώματος εἰς τὴν ἑαυτῶν ἐκπλήρωσιν· ὅθεν καὶ οἱ πηροὶ καὶ ἀσθενεῖς καὶ ἀκίνητοι ὄντες τῇ σαρκὶ, δύνανται διὰ τῶν τοιούτων ἀρετῶν τῇ κατὰ ψυχὴν ἐνεργείᾳ εὐαρεστῆσαι τῷ θεῷ.

καὶ ἐν τῷ ὕπνῳ (1) δὲ μάλιστα τῷ καθ᾽ ἡμᾶς δείκνυται τὸ διττὸν τῆς καθ᾽ ἡμᾶς ἐνεργείας· τοῦ γὰρ σώματος ὥσπερ νενεκρωμένας καὶ σχεδὸν ἀνενεργήτους τὰς αἰσθήσεις ἔχοντος, ἡ νοερὰ καὶ λογικὴ τῆς ψυχῆς ἐνέργεια ἀκοίμητος καὶ ἄσβεστος τὰ πάντα περιπολεῖ· ἐπεὶ πῶς καὶ χωριζομένη τοῦ σώματος ἐν τῷ θανάτῳ συνίσταται ἡ λογικὴ ψυχὴ, εἰ μὴ διὰ τῆς νοερᾶς αὐτῆς καὶ ζωτικῆς καὶ ἀειζώου ἐνεργείας; καὶ μάλιστα αἱ τῶν δικαίων ψυχαὶ πῶς νῦν θεὸν αἰνοῦσι; κατὰ ποίαν ἐνέργειαν τὴν παρ᾽ αὐτοῦ εἰσδέχονται ἔλλαμψιν; πῶς ὑπὲρ τοῦ

(1) Hic articulus usque ad verba τῷ Ἀδὰμ ἐμφυσηθεῖσα extat in praedicta editione duorum huius operis priorum librorum p. 605; errore videlicet editoris, qui hanc quarti libri inediti particulam transtulit ad secundum.

κόσμου προσκυνοῦσιν; ἕκαστον γὰρ πρὸς τὴν οἰκείαν συγγένειαν τὴν ἰδιότητα ἔχει· τὸ μὲν σῶμα ὡς ἐξ ἐρημούσης καὶ νεκρᾶς καὶ ἀκινήτου καὶ ἀναισθήτου γῆς ὑφεστὸς, νεκρόν τι καὶ ἄψυχον καὶ ἀναίσθητον καὶ ἀκίνητον καὶ πάντη ἄπρακτον ἐν τῷ θανάτῳ γίνεται, κατὰ τὴν θείαν ἀπόφασιν τὴν περὶ τοῦ σώματος πρὸς τὸν Ἀδὰμ ῥηθεῖσαν ὅτι γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ ὡς γῆ ἐξ ἧς καὶ ἐπλάσθης· ἡ δὲ ψυχὴ οὐκ ἐκ γῆς γέγονεν, οὐκ ἐξ ἀέρος, οὐκ ἐξ ὕδατος, οὐδ' ἐκ πυρὸς, καθὰ περὶ τῶν ἀγγέλων ἀκούομεν (1), οὐκ ἐκ φωτὸς, οὐκ ἐξ ὕλης, οὐκ ἐκ νεφέλης, οὐδ' ἑτέρας τινὸς ὑποστάσεως ἢ οὐσίας κτιστῆς ὁρωμένης ἢ νοουμένης, ἀλλ' ἐξ αὐτῆς τῆς ἀχράντου καὶ ἀϊδίου καὶ ἀκαταλήπτου καὶ ἀνερμηνεύτου καὶ ἀοράτου καὶ ἀσχηματίστου καὶ ἀφθάρτου καὶ ἀψηλαφήτου καὶ ἀῤῥεύστου καὶ ἀσωμάτου φύσεως τοῦ θεοῦ τὴν κτίσιν καὶ τὴν ὕπαρξιν καὶ τὴν πρόοδον διὰ τοῦ θείου ἐκείνου ἐμφυσήματος, ἡ θεοείκελος καὶ θεόσδοτος καὶ θεόκτιστος καὶ θεόμοιος ἡμῶν ψυχὴ ἔσχεν, ὥσπερ ἔκ τινος πηγῆς ζωῆς ζωὴ καὶ ζωοποιὸς προελθοῦσα· καὶ ὡς ἐκ θησαυροῦ φωτὸς, λαμπηδὼν δημιουργηθεῖσα· καὶ ὡς ἔκ τινος ἀβύσσου ἀϊδίου ἀρώματος εὐωδίας πνοὴ διὰ τοῦ θείου στόματος γεννηθεῖσα καὶ ἐξελθοῦσα καὶ τῷ Ἀδὰμ ἐνοικισθεῖσα.

Καὶ ὅπως ἀποτολμήσας εἴπω, ἐκ τοῦ δημιουργοῦ τῶν ἁπάντων θεοῦ λόγου ἡ λογικὴ ἡμῖν μεταδέδοται ψυχὴ, ἐκ τοῦ ἀχράντου στόματος εἰς ἡμᾶς ἐμπνευσθεῖσα, ἐκ θεοῦ καρδίας ἡμῖν καρδιωθεῖσα, ἐκ θεοῦ ψυχῆς ἡμῖν ἐμψυχωθεῖσα, ἐκ θεοῦ νοὸς ἡμῖν νοερωθεῖσα· ὅθεν ὡς ἐξ αὐτοῦ τοῦ θεοῦ τοῦ ἀκινήτου διὰ τοῦ στόματος καὶ ἐμφυσήματος τοῦ θείου προελθοῦσα καὶ γεννηθεῖσα, ἀκίνητος ὑπάρχει, καὶ μόνη παρὰ πᾶσαν τὴν κτίσιν κατ' εἰκόνα καὶ ὁμοίωσιν θεοῦ ὑπάρχει καὶ προσηγορεύθη ὡς ἔχουσα ἐν ἑαυτῇ κατὰ χάριν τὰ τῆς θείας φύσεως ἰδιώματα τυπικῶς· λέγω δὴ τὸ ἀκατάληπτον, τὸ ἀόρατον, τὸ ἀσώματον, τὸ ἀσχημάτιστον, τὸ καθαρὸν, τὸ ἀθάνατον, τὸ αἰώνιον, τὸ ἄφθαρτον, τὸ αὐτεξούσιον, τὸ ἀναμάρτητον, τὸ ζωοποιὸν, τὸ σοφιστικὸν, τὸ πνευματικὸν, τὸ δημιουργικόν· ὥσπερ γὰρ ὁ θεὸς ἐκ γῆς ἄνθρωπον, οὕτω καὶ ἄνθρωπος ἐκ γυναικὸς κατὰ χάριν δημιουργεῖ ἄνθρωπον· καὶ ὥσπερ ἐπὶ τῆς πρώτης πλάσεως τὸ μὲν σῶμα ἐκ τῆς γῆς ἔσχεν ὁ ἄνθρωπος, τὴν δὲ ψυχὴν ἐξ αὐτοῦ τοῦ θεοῦ γεννηθεῖσαν, οὕτω καὶ νῦν τὸ μὲν σῶμα ἐκ τῆς γυναικείας γῆς καὶ αἵματος συνίσταται, ἡ δὲ ψυχὴ διὰ τῆς σπορᾶς, ὥσπερ διά τινος ἐμφυσήματος, ἐκ τοῦ ἀνθρώπου ἀῤῥήτως μεταδίδοται· ἐπὶ μὲν οὖν τῆς τῶν ἀγγέλων καὶ τῶν χερουβὶμ καὶ σεραφὶμ δημιουργίας εἴρηται ὅτι αὐτὸς, τουτέστιν ὁ θεὸς, εἶπε καὶ ἐγεννήθησαν· αὐτὸς ἐνετείλατο καὶ ἐκτίσθησαν.

Ἐπὶ δὲ τοῦ ἀνθρώπου τοῦ κατ' εἰκόνα καὶ ὁμοίωσιν θεοῦ ὄντος, οὐχ οὕτως· ἀλλὰ τὸ μὲν σῶμα διὰ τῶν οἰκείων καὶ θείων χειρῶν αὐτοῦ ἔπλασεν ὁ θεὸς, τὴν δὲ ψυχὴν (2) ἀόρατον ἐκ τῆς παντοκράτορος αὐτοῦ ψυχῆς διὰ τοῦ ἐμφυσήματος προήγαγε καὶ ἐποίησε παρ' ἑαυτοῦ καὶ οὐκ ἐκ τῶν ἐκτὸς ἑαυτοῦ ταύτην ἡμῖν ἐνέθηκε, ὡς καὶ Γρηγορίῳ δοκεῖ. Οὐκοῦν εἰ ἐκ στόματος καὶ πνοῆς θεοῦ προῆλθεν ἡ ψυχὴ, ἐκ πνοῆς θεοῦ προῆλθον καὶ συμπροῆλθον πάντα τὰ τῆς ψυχῆς οὐσιώδη ἰδιώματα, τουτέστι τὸ λογιστικὸν, τὸ νοερὸν, τὸ θελητικὸν, τὸ ἐνεργητικὸν, τὸ ζωοποιὸν, ὧν τινων ἀναιρουμένων, οὐδὲ ἔστιν οὐδὲ γνωρίζεται ψυχὴ λογική· καθάπερ γὰρ τὰ στοιχεῖα συστατικὰ καὶ συμπληρωτικὰ τοῦ σώματος ὑπάρχουσιν, οὕτω καὶ ἡ ψυχὴ διὰ τῶν οἰκείων ἕξεων καὶ ἰδιοτήτων συνίσταται καὶ γνωρίζεται, καὶ τῶν ἀλόγων ὡς λογικὴ διακρίνεται· κατὰ γὰρ τὸ νοερὸν καὶ λογικὸν ἤτοι βουλευτικὸν καὶ θελητικὸν καὶ μόνον τῶν ἀλόγων διαφέρει ὁ ἄνθρωπος, ἐπεὶ σχεδὸν ἐν πᾶσι τοῖς λοιποῖς καὶ μάλιστα τοῖς τοῦ σώματος, κοινωνικὸς καὶ ὅμοιος καὶ ὁμοούσιος τῶν ἀλόγων καθ-

(1) Hunc nos errorem de angelis igneis alibi coarguimus.
(2) Sequentem quoque particulam usque ad verba διαφέρει ὁ ἄνθρωπος obtrusit praedictus editor in calce sermonis secundi.

ἔστακε· ϗ γὰρ ἐκ τῆς αὐτῆς γῆς ὄντα, ὅθεν ϗ τὸ ἡμέτερον σῶμα γέγονε, ϗ θυμὸν ἔχουσι, ϗ ψυχὴν ἄλογον ϗ ἀθίατον ἔχουσι, ϗ ζωὴν, ϗ φωνὴν, ϗ πνοὴν, ϗ σάρκα, ϗ αἷμα, ϗ χυμὸν, ϗ πάντα τὰ ἐν τῷ σώματι ἡμῶν ἔχουσι ϗ μνήμην, ὥς φησιν ὁ Θεὸς πρὸς τὸν Ἰὼβ, ϗ ὄρεξιν, ϗ πεῖναν, ϗ δίψαν, ϗ κόπον, ϗ ἱδρῶτα, καὶ πάντα τὰ σωματικὰ ἡμῶν· μόνον δὲ τὸ λογιστικὸν ϗ νοερὸν ϗ θελητικὸν τῆς ἀθανάτου ἡμῶν ψυχῆς τὸ ἐκ Θεοῦ προελθὸν, οὐκ ἔχουσιν.

Ὅρα μοι λοιπὸν τὸ τυφλὸν ϗ πεπλανημένον τῶν αἱρετικῶν· πᾶσαν συγγένειαν τῶν ἀλόγων ἀνελλιπῶς ὁμολογοῦσιν ἐν Χριστῷ, τουτέστι σῶμα, ὕλην, φθορὰν, χυμὸν, αἷμα, δάκρυον, πτύσμα, ὀστᾶ, κόπρον, ῥύσιν, πεῖναν, δίψαν, κόπον, ἱδρῶτα, θάνατον, νέκρωσιν, ἅπερ εἰσὶ κατὰ φύσιν ἀλλότρια ὄντως ϗ ἀνάξια Θεοῦ, ὡς ἴδια ὄντα κτηνῶν ϗ θηρῶν ϗ ἑρπετῶν· τὰ δὲ τῆς νοερᾶς ϗ ἀθανάτου ψυχῆς ἰδιώματα τὰ κατ' εἰκόνα ϗ ὁμοίωσιν Θεοῦ ὑπάρχοντα, ϗ ἐκ τοῦ ἀχράντου αὐτοῦ στόματος προελθόντα, ϗ σχεδὸν εἰπεῖν συγγένειαν θεοῦ τινὰ κατὰ χάριν ϗ ὁμοίωσιν ἔχοντα, ταῦτα ὡς πονηρὰ ὄντα ὁμολογεῖν ἐν Χριστῷ οἱ μιαροὶ οὐκ ἀνέχονται, δι' ὧν πᾶσα ἡμῶν ἡ τῶν ἀνθρώπων φύσις ϗ ζωοποιεῖται ϗ σώζεται· ἀναιρουμένης γὰρ τῆς ζωοποιοῦ τῆς ψυχῆς ἡμῶν ἐνεργείας, εὐθέως ὁ ἄνθρωπος θανάτῳ παραπέμπεται, χωριζομένου τοῦ σώματος τῆς συγκρατούσης καὶ ζωοποιούσης αὐτὸ ψυχικῆς ἐνεργείας· στερουμένης δὲ πάλιν τῆς λογικῆς ἡμῶν ψυχῆς, ϗ ἀναιρουμένης τῆς θελητικῆς αὐτῆς ϗ ἐπιθυμητικῆς δυνάμεως, οὐδὲν διαφέρει τῆς ἀλόγου ϗ ἀδιανοήτου τῆς ἵππου ψυχῆς. Πῶς γὰρ ἂν ϗ ὑπακούσειε τῷ Θεῷ, εἰ μὴ δίχα τῆς θελητικῆς ϗ ἐνεργητικῆς αὐτῆς κινήσεως ϗ δυνάμεως; πῶς δὲ ϗ τελέσει τὸ τοῦ Θεοῦ θέλημα, εἰ μὴ δίχα τῆς ἐμφύτου αὐτῆς ϗ οὐσιώδους θελήματος; ὅπερ πολλάκις ἐν τῇ γραφῇ διαφόροις ὀνόμασιν εὑρίσκομεν ὀνομαζόμενον, τουτέστι θέλημα ἀγαθὸν, πόθον, ἐπιθυμίαν, ἀγάπην, ἔρωτα.

Εἰ δὲ δεῖ ϗ μακρὰς μαρτυρίας ἐνθεῖναι, οὐκ ὀκνητέον. Εἴρηται γοῦν ὅτι θέλημα τῶν φοβουμένων αὐτὸν ποιήσει ὁ κύριος· καὶ ἐν τῷ νόμῳ κυρίου τὸ θέλημα τοῦ μακαρίου ἀνδρός· ϗ ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σὲ ὁ Θεός· ϗ ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου εἰς τὰς αὐλὰς τοῦ κυρίου· ϗ ἐπεπόθησα τὸ σωτήριόν σου κύριε. Περὶ δὲ ἀγάπης· ἀγαπήσω σε κύριε ἡ ἰσχύς μου· ϗ ἠγάπησα ὅτι εἰσακούσεται κύριος· καὶ ὡς ἠγάπησα τὸν νόμον σου κύριε· ϗ ἀγαπήσεις κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς καρδίας σου ϗ ἐξ ὅλης τῆς ψυχῆς σου. Πῶς οὖν δυνήσεται ἀγαπῆσαι τὸν Θεὸν ἡ ψυχὴ, μὴ ἔχουσα οὐσιωδῶς ἐν ἑαυτῇ τὴν δύναμιν τὴν θελητικὴν ϗ ἐπιθυμητικὴν ϗ ἀγαπητικὴν καὶ ἐρωτικὴν φυσικήν τε καὶ ἀγαθήν; ἣν ἔχων Ἰγνάτιος ἔκραζεν ὅτι ὁ ἐμὸς ἔρως ἐσταύρωται. Ὄντινα ἔρωτα Θεοῦ ϗ ἀγάπην Θεοῦ ϗ πόθον ϗ ἐπιθυμίαν Θεοῦ ϗ θελητικὴν ὄρεξιν πρὸς Θεὸν μὴ ἔχοντες οὗτοι, τὸ θέλημα τὸ διαβολικὸν ἔχοντες ϗ τὰ θελήματα τῆς σαρκὸς αὐτῶν πράττοντες, παραιτοῦνται ὡς πονηρὸν τὸ θεόσδοτον ϗ θεόκτιστον ϗ ἐνόμοιον τῆς νοερᾶς ϗ θεοχαράκτου ἡμῶν ψυχῆς ὁμολογεῖν ἐν Χριστῷ, καὶ τὴν ζωοποιὸν αὐτῆς καὶ συστατικὴν θελήσεων ἐνέργειαν· ὧν χωρὶς ἡ νοερὰ ϗ θεόσδοτος καὶ θεόστομος τοῦ ἐμφυσήματος τοῦ Θεοῦ ἡμῶν ψυχὴ οὔτε θελῆσαι οὔτε ἐνεργῆσαί τι τῶν θείων ἐντολῶν δύναται· εἰ δὲ ἀλλοτρία ἐστὶν ἡ νοερὰ ἡμῶν ψυχὴ ἀγαθῆς ϗ θεομιμήτου θελήσεως ϗ ἐνεργείας, πῶς πρὸς ἀνθρώπους λέγει ὁ Θεὸς, ὅτι ἐὰν θέλητε ϗ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε; πῶς ποιήσει τὸ θεῖον θέλημα ἡ ψυχὴ, εἰ μὴ ἔχει δύναμιν θελητικὴν ϗ ἐνεργητικήν; πῶς δὲ ϗ ἐνετράπη εὐθέως ἅμα γέγονεν ὁ Ἀδὰμ ἐργάσασθαι ϗ φυλάττειν τὸ δεσποτικὸν πρόσταγμα;

Ἀλλὰ παρετράπη, φησὶν, ὁ ἄνθρωπος ϗ πάντα τὰ τοῦ ἀνθρώπου πάντως, ἐροῦσι πρὸς ἡμᾶς οἱ αἱρετικοί· ϗ τούτου χάριν ἀλλότριον ϗ ἀνάξιόν ἐστι τὸ λέγειν ἐπὶ Χριστοῦ ἀνθρώπινον θέλημα ἢ ἀνθρωπίνην ἐνέργειαν. Οὐχ

Digitized by Google

οὕτως· οὐ γὰρ ἀποτελλὴς τῇ φύσει ἐπλάσθη ἤγουν ἠλλοιώθη ἐξ ἀφθαρσίας εἰς φθορὰν ὁ Ἀδάμ, ἀλλὰ τὸ σῶμα ὡς ἐκ γῆς καὶ τρεπτῆς φύσεως γεγονὸς καὶ πλασθὲν, τούτῳ τὴν τροπὴν ἐξ ἀφθαρσίας καὶ ἀθανασίας ὑπέμεινε, φθαρτὸν καὶ θνητὸν γενόμενον διὰ τῆς παραβάσεως· οὕτως γὰρ ἦν ὁ παραπεσὼν τοῖς λῃσταῖς καὶ γενόμενος, ὥς φησι τὸ θεῖον εὐαγγέλιον, ὑπὸ τῶν πληγῶν αὐτῶν ἡμιθανής, οὐ μὴν καὶ ὁλοθανής· ἡ γὰρ ψυχὴ ὡς ἐξ ἀθανάτου οὐσίας Θεοῦ καὶ κρείττονος διὰ τοῦ ἐμφυσήματος κτισθεῖσα, οὐ καὶ τῇ προβολῇ τοῦ ξύλου συγκατεβλήθη, ἀλλ' ὅμως ἔμεινεν ἐν τῇ οἰκείᾳ τῇ κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν Θεοῦ ἀφθαρσίᾳ καὶ ἀθανασίᾳ, οὐ χρῄζουσα οὐσιώδους ἀναπλάσεως, καθάπερ τὸ σῶμα, ἀλλὰ μόνης λογιστικῆς τινος διορθώσεως καὶ ἐξομολογήσεως· οὐκ ἀναιρέσεως θελήσεως, ἵνα μὴ ἄλογος γένηται· οὐκ ἐξαλείψεως ἐνεργείας, ἵνα μὴ νεκρὰ καὶ ἀνενέργητος ὡς τὰ ἄψυχα γένηται.

Ἐπιδημήσας οὖν ὁ τοῦ Θεοῦ λόγος ἐπὶ τῷ ἀνακαινίσαι τὸν Ἀδάμ, τοιαύτην ἑαυτῷ ψυχὴν ἐδημιούργησεν, οἵαν ἀπ' ἀρχῆς ἐξ ἑαυτοῦ διὰ τοῦ ἐμφυσήματος τῷ Ἀδὰμ μετέδωκεν, ἤγουν ἔμπνευστον, κατ' εἰκόνα Θεοῦ λόγου οὖσαν καὶ καθ' ὁμοίωσιν, ὥς φησιν ἡ γραφή, κατ' εἰκόνα αὐτοῦ ὅλην ὑπάρχουσαν, καθ' ὁμοίωσιν αὐτοῦ τὴν ὕπαρξιν ἔχουσαν, κατ' εἰκόνα αὐτοῦ τὴν θέλησιν, κατ' εἰκόνα αὐτοῦ τὴν ἐνέργειαν διασώζουσαν, καθαράν, ἀμώμητον, ἄρρητον, ἀναμάρτητον, μὴ δεομένην οὐσιώδους ἀναπλάσεως, ὥσπερ τὸ σῶμα καὶ τὰ τοῦ σώματος, μὴ χρῄζουσαν τῶν οἰκείων μερῶν καὶ μελῶν ἀλλοιώσεως καὶ ἀνακτήσεως, μὴ ἔχουσαν θέλησιν ἀφανισμοῦ δεομένην, μὴ ἔχουσαν ἐνέργειαν καταλύσεως χρῄζουσαν· τί γὰρ ἂν καὶ χρῄζοι οὐσιώδους ἀναπλάσεως ἡ ἐκ Θεοῦ προελθοῦσα καὶ ἐν εἰκόνι Θεοῦ καὶ ὁμοιώσει ὑπάρχουσα, καὶ μάλιστα ἡ πανάχραντος τοῦ Θεοῦ λόγου ψυχή; ἡ μὲν γὰρ τοῦ Ἀδὰμ ψυχὴ ἔξωθεν τὴν ὕπαρξιν διὰ τοῦ ἐμφυσήματος ἔσχεν.

Ἡ δὲ τοῦ Ἐμμανουὴλ ψυχὴ ἔνθεον καὶ σύνθεον καὶ ὁμόθεον τὴν οὐσίωσιν ἔσχεν, ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ σὺν αὐτῷ καὶ ἐν αὐτῷ καθ' ὑπόστασιν συνουσιωμένη ἐν τῇ παναχράντῳ καὶ θεοδόχῳ μήτρᾳ ὑποστᾶσα· ὥστε εἰ μὴ τολμηρὸν τὸ λέγειν, ἐπεὶ εἶπον ἂν ὅτι ὥσπερ πάλαι ὁ Θεὸς λόγος ἐξ ἑαυτοῦ ἀρρήτως προήγαγε καὶ ἔκτισε λογικῆς ψυχῆς οὐσίαν, οὕτω καὶ ἐκ παρθενικῶν λαγόνων τῷ ἑαυτοῦ εἰσῴκισε. Καὶ ποῖον λοιπὸν μῶμον δύναται ἔχειν οὐσία ἡ ἀπ' ἀρχῆς ἐκ Θεοῦ προελθοῦσα εἰς κτίσιν, καὶ νῦν ἐν αὐτῷ τῷ Θεῷ εἰσοικισθεῖσα καὶ σύνθεος ὑπάρξασα, καὶ τιμιωτέραν τὴν φύσιν καὶ τὴν θέλησιν καὶ τὴν ἐνέργειαν ἔχουσα; ὅτε τότε μὲν χωριστῶς Θεοῦ τὰς ἑαυτῆς δυνάμεις καὶ ἰδιότητας ἔσχεν, νῦν δὲ συναπτῶς Θεοῦ καὶ οἰονεὶ ὁμοθεωθεὶς καὶ συνθεὶς τῇ καθ' ὑπόστασιν ἑνώσει. Καὶ τούτων οὕτως ἐχόντων, οὕτως πάλιν λέγω γέλως ὁ πλατὺς τῆς τῶν αἱρετικῶν ἀφροσύνης, ὅτι τὰ ὁμοιοπαθῆ τῆς κτιστῆς φύσεως τῆς σαρκὸς τῆς ἀδιαβλήτου πάθη λέγουσιν ἐν Χριστῷ· τὰ δὲ τῆς κατ' εἰκόνα αὐτοῦ ψυχῆς ἰδιώματα τὰ οὐσιώδη μὴ πρέποντα παραιτοῦνται εἰπεῖν. Καὶ ὅπως μὴ δόξωσιν ἐξ οἰκείων ἡμῶν ἐννοιῶν καὶ μύθῳ πρὸς αὐτοὺς διαλέγεσθαι, φέρε τῇ συνεργείᾳ τοῦ Θεοῦ γραφικὰς τὰς παραστάσεις ποιήσωμεν.

Κατακλεισθεὶς ἐν τῷ δεσμωτηρίῳ ὁ θεῖος Ἰωάννης ὁ πρόδρομος καὶ ὄμμασι τοῖς νοεροῖς προγνοὺς ὅτι ὑπὸ Ἡρῴδου ἀναιρούμενος ἐν ᾅδῃ πορεύεται, ἀποστείλας δύο τῶν ἑαυτοῦ μαθητῶν ἐρώτησε τὸν Χριστὸν λέγων, σὺ εἶ ὁ ἐρχόμενος, τουτέστιν ἐν τῷ ᾅδῃ κατερχόμενος, ἢ ἕτερον προσδοκῶμεν; καθ' ἃ καὶ ὁ Πέτρος περὶ Χριστοῦ ἐν τῇ ἐπιστολῇ τῇ καθολικῇ λέγει, ὅτι πορευθεὶς ἐκήρυξε καὶ τοῖς ἐν φυλακῇ πνεύμασι τοῖς ποτὲ ἀπειθήσασιν· ἥν τινα κατάβασιν αὐτὸς ὁ κύριος πρὸς τὸν Ἰὼβ προκαταγγέλλει λέγων, ἦλθες δὲ ἐπὶ πηγὴν θαλάσσης, ἐν δὲ ἴχνεσιν ἀβύσσου περιεπάτησας; ἀνοίγονται δέ σοι φόβῳ πύλαι θανάτου, πυλωροὶ δὲ ᾅδου ἰδόντες σε ἔπτηξαν; αὕτη δὲ οὖν ἡ κατάβασις Χριστοῦ ἡ ἐν τῷ ᾅδῃ καὶ ἡ παρουσία καὶ τὸ κήρυγμα. πῶς γέγονε; Θεὸν οὐδεὶς ἑώρακε πώποτε, ἀλλ' οὔτε ἰδεῖν δύναται.

Digitized by Google

Πάλιν τε τὸ πανάγιον σῶμα Χριστοῦ ἐν τῷ μνήματι ἄνω ἐπὶ γῆς ἔκειτο· πῶς οὖν ὁ ᾅδης ἐσκυλεύθη; ποίαν μορφὴν οἱ πυλωροὶ τοῦ ᾅδου ἰδόντες ἔπτηξαν; τίς τὰς ἀπ' αἰῶνος δεσμίους ψυχὰς τῶν κεκοιμημένων ἀνθρώπων ἐπεσκέψατο; πρόδηλον ὅτι ἡ πανάχραντος τοῦ δεσπότου τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Θεοῦ ψυχὴ τὰς ὁμοουσίους αὐτῆς ψυχὰς τὰς λογικὰς ἐπεσκέψατο· αὕτη πρὸς αὐτὰς κατελήλυθε σύνθετος· αὕτη τὸ δεσμωτήριον ἐσκύλευσεν, αὕτη τὸν τύραννον ἔδησε καὶ τοὺς δεσμίους ἀπέλυσε, βοήσασα τοῖς ἐν δεσμοῖς ἐξέλθετε, εἰς τύπον ἀναπληροῦσα τελείου ἀνθρώπου τοῦ ἐκ ψυχῆς συνισταμένου καὶ σώματος· λογικοῖς τε ὡς λογικὴ καὶ θελητικὴ καὶ ἐνεργητικὴ ἐν τῷ ᾅδῃ κηρύττουσα καὶ ἐνσπείρουσα καὶ σκυλεύουσα, ἡ νοερὰ τὰς νοερὰς ἐπεσκέψατο, ψυχὴ τὰς ψυχὰς, ἡ λογικὴ τὰς λογικὰς, ἡ ζωτικὴ τὰς ζωτικὰς, ἡ ἀθάνατος τὰς ἀθανάτους, ἡ ἐνεργητικὴ τὰς ἐνεργητικὰς, ἡ ἐνθελὴς τὰς θελητικάς· πῶς γὰρ καὶ ἐδέξαντο τὸ τῆς ἁγίας ψυχῆς κήρυγμα, εἰ μὴ διὰ τῆς νοερᾶς αὐτῶν λογικῆς θελήσεως; οὐ γὰρ ἀναγκαστικῶς καὶ ἀκουσίως ἐπίστευσαν καὶ ἐσώθησαν, οὐδ' ἑκουσίως καὶ γνώμῃ θελήσεως καὶ ἐνεργείᾳ συγκαταθέσεως.

Πιστοῦται δέ μου τὰ λεγόμενα ὁ τῆς θεολογίας θεοφόρος Γρηγόριος οὕτω φάσκων περὶ τῆς ἐν τῷ ᾅδῃ Χριστοῦ καταβάσεως ἐν τῷ λόγῳ τῷ εἰς τὸ ἅγιον πάσχα. « Ἐὰν εἰς σταυρὸν Χριστὸς ἀνέρχηται, συνάνελθε· ἐὰν εἰς ᾅδου κατέρχηται, συγκάτελθε· γνῶθι τὰ ἐκεῖ μυστήρια, τὴν διπλῆν κατάβασιν πάντας ἁπλῶς σώζει ἐπιφανεὶς, ἢ κἀκεῖ τοὺς πιστεύοντας ». Ἰδοὺ οὐ πάσας λέγει Γρηγόριος τὰς ἐν τῷ ᾅδῃ ψυχὰς σωζομένας, ἀλλὰ μόνας τὰς Χριστῷ πιστευσάσας ἐξ οἰκείας προαιρέσεως καὶ θελήσεως· πῶς γὰρ καὶ πιστεῦσαι εἶχον χωρὶς θελητικῆς θελήσεως καὶ ἐνεργείας; ἀνθρώπους μὲν γὰρ τοὺς ἐν σαρκὶ καὶ ψυχῇ ἔτι ἐπὶ γῆς ζῶντας, διὰ σαρκὸς ὁ Χριστὸς καὶ ψυχῆς ἐπεσκέψατο καὶ ἔσωσε, τῷ ὁμοίῳ τὸ ὅμοιον ἀνακαθαίρων, ὡς φησι Γρηγόριος· τοῖς ὁρατοῖς δι' ὁρατῆς φύσεως λαλῶν καὶ ἐπιδημῶν· ψυχαῖς δὲ σωμάτων ἀπηλλαγμέναις διὰ ψυχῆς ἀχράντου σώματος ἀπηλλαγμένης ἐπεσκέψατο.

Εἰ δὲ ἀθελὲς ἦν ἡ πανάχραντος τοῦ κυρίου ψυχὴ, πρόδηλον ὅτι ἀκουσίως δίκην ἀλόγου ὑπετάττετο τῷ θείῳ λόγῳ, ὡς Ἀπολινάριος ληρωδεῖ· εἰ ἀθελὴς ἦν, εὔδηλον ὅτι δίκην τινὸς ἀστέρος ἢ νεφέλης ἀλογίστου καὶ ἀδιανοήτου ἐν τῷ ᾅδῃ κατελήλυθε, καὶ ὑπὸ τῆς θεότητος ὥσπερ ἄψυχον ὄργανον καὶ ἄλαλον ἐλάλει καὶ ἐκήρυττε, μήτε λόγον ἐνδιάθετον κατὰ τὴν οὐσίαν τῆς ψυχῆς ἔχουσα, μήτε νόησιν, μήτε διάνοιαν, μήτε προχαρακτὴν ἢ ἐκπορευτικὴν ἐνέργειαν καὶ τοπικὴν μετάστασιν· καὶ ποία λοιπὸν ἐνέργεια τοῦ σώματος ἐχωρίσθη, καταλιποῦσα αὐτὸν νεκρὸν καὶ ἄψυχον καὶ ἀκίνητον καὶ ἀνενέργητον, τὰς τῶν μελῶν κινήσεις καὶ πράξεις μὴ ἔχον; ποία ἐνέργεια ἐξελθοῦσα διὰ τοῦ δεσμωτηρίου τοῦ ᾅδου ἐπανῆλθεν εἰς τὸ ἴδιον σῶμα; ἡ γὰρ θεία ἐνέργεια ὡς ἀπερίγραπτος οὖσα καὶ τὰ πάντα πληροῦσα, οὔτε ἐκ τόπου εἰς τόπον περιέρχεται, οὔτε χώραν ἐκ χώρας ἀμείβεται, οὐκ ἀφίσταται καὶ πάλιν τοπικῶς ἐπανέρχεται. Εἰ δὲ ἀθελὴς καὶ ἀνενέργητος ἦν ἐν τῷ ᾅδῃ ἡ κυριακὴ ψυχὴ, πάντως καὶ ἄλογος, καὶ ἄγνοιαν εἶχε· καὶ εὑρεθήσεται τιμιωτέρα αὐτῆς ἡ ψυχὴ τοῦ Σαμουὴλ ἐπανελθοῦσα ἐκ τοῦ ᾅδου διά τινα οἰκονομίαν καὶ λαλήσασα τῷ Σαοὺλ καὶ προειποῦσα αὐτῷ τὸν αὔριον θάνατον καὶ αὐτοῦ καὶ τῶν τέκνων αὐτοῦ, ὅπερ δὴ οὔτε ἐγίνωσκεν οὔτε προειπεῖν ἠδύνατο, κἂν τινες οὕτω νομίζωσιν.

Εὐκαίρως δὲ καιροῦ καλοῦντος ἐκείνην τὴν τοῦ μακαρίου Ἀθανασίου προσαγαγεῖν φωνὴν τὴν περὶ τῆς ἀχράντου ψυχῆς τοῦ κυρίου λέγουσαν οὕτως· « ἀλλ' οὔτε μὴν εἰσέτι καὶ νῦν ἄπρακτοι καὶ ἀργαὶ εἰσιν αἱ τοῦ θείου λόγου νοήσεις, οὔτε τῆς καθ' ὑπόστασιν αὐτῷ ἡνωμένης ψυχῆς λογικῆς, εἴ γε τὸ μὴ θέλειν αὐτὴν μήτε βούλεσθαι ἀνυπαρξίαν ἀποκαλεῖ ». Ἠκούσατε οἱ ὄντως ἄλογοι καὶ ἀνενέργητοι ὅτι τὸ μὴ θέλειν μηδὲ βούλεσθαι τὴν νοερὰν τοῦ κυρίου ψυχὴν, ἀνυπαρξίαν τῆς οὐσίας αὐτῆς δηλοῖ; οὐκοῦν ὅτε ἀκούσῃς τοῦ αὐτοῦ ὁσίου πατρὸς ἢ ἑτέρου τινὸς τῶν πατέρων λέγοντος, ὅτι ἐθά-

νουν ὁ Χριστὸς τὸ σαρκικὸν θέλημα, καὶ κατήργησε τὰ ἀνθρώπινα θελήματα, καὶ ὅτι παρητήσατο τὴν σαρκικὴν ἐνέργειαν, γνῶθι ἀκριβῶς ὅτι οὐ τὴν κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν αὐτοῦ θέλησίν τε καὶ ἐνέργειαν τῆς νοερᾶς διὰ τοῦ ἀχράντου καὶ ἀσωμάτου αὐτοῦ στόματος προελθοῦσαν ἠφάνισεν, ἢ ἐξήλειψεν, ἢ κατήργησεν, ἐπεὶ εὑρεθήσεται τὰ ὑπ' αὐτοῦ φυτευθέντα καὶ ἐξ αὐτοῦ προελθόντα καταλύων καὶ ἀφανίζων καὶ ἀνατρέπων ὡς πονηρὰ καὶ ἀσύμφωνα καὶ ἀντίθετα αὐτοῦ.

Λοιπὸν δὲ καὶ εἰς αὐτὸν ἡ αἰτία καὶ ἡ μέμψις ἀνατρέχει ὡς πονηρὰν θέλησίν τε καὶ τὴν σατανικὴν ἐνέργειαν ἐξήλειψε καὶ ἠφάνισεν ὁ Χριστὸς, ἣν πολλάκις σάρκα ὀνομάζει ἡ θεία γραφὴ καὶ ὁ θεῖος ἀπόστολος καὶ οἱ μακάριοι πατέρες, τὴν διὰ τοῦ στόματος τοῦ ὄφεως τῷ ἀνθρώπῳ εἰσοικισθεῖσαν· αὕτη γὰρ καὶ μόνη ἡ θεόσδοτος ἡμῶν θέλησις καὶ ἐνέργεια ἐστὶν αἰτία καὶ ἐργάτις πάσης σωτηρίας ἡμῶν· θελήματι γὰρ ἑκουσίῳ τῆς ψυχῆς εἰς θεὸν ἐπιστεύσαμεν· θελήματι ἑκουσίῳ παρθενίαν ἐνεργοῦμεν· καὶ ὅπως συντόμως εἴπω, πᾶσαι αἱ πνευματικαὶ καὶ θεῖαι καὶ ἀναγκαῖαι ἀρεταὶ αἱ κατ' εἰκόνα θεοῦ, καὶ θεῖαι ὁράσεις καὶ ἐλλάμψεις καὶ ἀποκαλύψεις καὶ προσευχαὶ, ἐν τῇ νοερᾷ ἡμῶν θελήσει καὶ ἐνεργείᾳ τῆς ψυχῆς ἐνεργοῦνται ὑπὸ θεοῦ ἐν ἡμῖν· καὶ ἐπιτελοῦνται καὶ προσγίνονται ἡμῖν.

Καὶ εἴρηται μὲν ἡμῖν περὶ τούτου διὰ βραχέων ἐν τοῖς ἔμπροσθεν, καὶ νῦν δὲ πάλιν πλατυτέρως ἐροῦμεν. Δύο τοίνυν ἐντολὰς φησὶν ὁ κύριος καὶ ὁ ἀπόστολος, ἐν αἷς περιέχεται καὶ συνδέδεται πᾶσα ἐντολὴ καὶ ἀρετὴ, τουτέστι τὸ ἀγαπήσεις κύριον τὸν θεόν σου ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, καὶ ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν· καὶ αἱ δύο αὗται ἐντολαὶ κατὰ ψυχὴν βουλεύονται καὶ ἐνεργοῦνται· ἀγάπη γάρ ἐστιν, ὥς φησι Διονύσιος, ἑνωτικὴ καὶ συναπτικὴ τῆς ψυχῆς διάθεσις πρὸς τὸ ποθούμενον· ὡσαύτως καὶ οἱ μακαρισμοὶ τοῦ κυρίου κατὰ τὴν νοερὰν θέλησίν τε καὶ ἐνέργειαν τῆς ψυχῆς ἐπιτελοῦνται· τὸ γὰρ μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ψυχικὴ ἀρετὴ καθίστησιν· ὅμοιον καὶ τὸ μακάριοι οἱ πενθοῦντες, διὰ ψυχικῆς σκυθρωπότητος καὶ θελήσεως ἐνεργεῖται· καθ' ἃ καὶ τὸ μακάριοι οἱ πραεῖς, καὶ τὸ μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, καὶ τὸ μακάριοι οἱ εἰρηνοποιοί. Οὐ μόνον δὲ, ἀλλὰ καὶ ἡ πίστις, ἐλπὶς, ἀγάπη, ψυχικαὶ ἀρεταὶ καὶ οὐ σωματικαὶ τυγχάνουσι· καθάπερ πάλιν ἐκεῖναι ἃς ὁ αὐτὸς ἀπόστολος ἀπαριθμεῖται λέγων, ὅτι οἱ καρποὶ τοῦ πνεύματος, ἀγάπη, χαρὰ, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη καὶ τὰ ἑξῆς, κατὰ νοερὰν θέλησίν τε καὶ ἐνέργειαν ἐν τῇ ψυχῇ προσγίνονται.

Καὶ ἐπειδὴ δίκην ἵππων καὶ ἡμιόνων ἀσυνέτων πτύρονται οἱ τὰς τοῦ κυρίου ἀπαρνούμενοι συστατικὰς τῆς ἡμετέρας φύσεως ἰδιότητας, λέγω δὴ τὴν οὐσιώδη τῆς ψυχῆς θέλησιν, ἀκούοντες καὶ ἐνέργειαν, ἐροῦμεν σαφέστερον τὴν τούτων ὥσπερ διερμηνεύοντες καὶ σαφηνίζοντες δύναμιν· θέλησις ψυχῆς λογικῆς ἐστιν, ὡς πρὸ βραχέος καὶ ὁ μέγας Διονύσιος εἴρηκε, δύναμις λογιστικὴ καὶ ἐπιθυμητικὴ πρὸς τὸ συνάπτεσθαι τῷ θεῷ τὴν ψυχὴν ὑπὸ θεοῦ οὐσιωδῶς αὐτῇ δεδωρημένη, δι' ἧς εἰργάζετο καὶ ἐφύλαττεν ὁ πρῶτος ἄνθρωπος τὰ θεῖα προστάγματα ἐκλείψεως ψυχικῆς εἰς ἐνέργειαν τῶν ἐντολῶν τοῦ θεοῦ ἐρχόμενος· ἀλλὰ ταῦτα μὲν ἐπὶ τοῦ Ἀδάμ.

Εἴρηται δὲ ἐπὶ Χριστοῦ τοῦ υἱοῦ τοῦ θεοῦ ὅτι μορφὴν δούλου ἤγουν οὐσίαν δούλου ἑκουσίως ἔλαβεν· αὐτὸ τοίνυν ἡ κατὰ τὸν Χριστὸν μορφὴ καὶ οὐσία τοῦ δούλου κατὰ τί ἀκούει μορφὴ τοῦ δούλου; κατὰ ποίαν δουλείαν καὶ ὑπουργίαν καὶ ὑποταγήν; ἆρα κατὰ τὴν δεσποτικὴν θέλησιν καὶ ἐνέργειαν καὶ μορφὴν τοῦ θεοῦ λόγου; ἄπαγε τῆς Ἀρείου μανίας. Ἀλλ' ἐπειδὴ διὰ τῆς παρακοῆς τοῦ πρώτου ἀνθρώπου ἁμαρτωλοὶ κατέστημεν οἱ ἄνθρωποι παρακούσαντος τοῦ Ἀδὰμ τῶν ἐντολῶν τοῦ θεοῦ, τούτου χάριν διὰ τῆς οἰκείας αὐτοῦ ὁ Χριστὸς ὑπακοῆς δικαίους ἡμᾶς κατέστησεν, ἐν τῇ μορφῇ τοῦ δούλου τελέσας τὰ προστάγματα τοῦ δεσπότου, ἃ οὐκ ἐφύλαξεν ἀπ' ἀρχῆς ὁ δοῦλος· ὥσπερ γὰρ τὸν θάνατον ἐν ἐχθροὶ ὄντες

ὁ δοῦλος διὰ τῆς μορφῆς τοῦ δεσπότου ὑπήκοος γενόμενος μέχρι θανάτου σταυροῦ, οὕτως καὶ τὴν παρακοὴν τοῦ νόμου καὶ τοῦ θελήματος τοῦ Θεοῦ ἣν ἐχρεώστει ὁ δοῦλος, ἐν τῇ μορφῇ τοῦ δούλου ἐτέλεσε καὶ ἀνεπλήρωσεν ὁ δεσπότης· διὸ καὶ ἔλεγεν ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με πατρὸς, καὶ ἵνα τελειώσω αὐτοῦ τὸ ἔργον, καὶ ἵνα φυλάξω αὐτοῦ τὰς ἐντολάς· ταύτην τὴν φυλακὴν τῶν ἐντολῶν τοῦ Θεοῦ καὶ τοῦτο τὸ θέλημα τὸ τοῦ πέμψαντος αὐτὸν πατρὸς, κατὰ ποῖον θέλημα, μᾶλλον δὲ διὰ ποίου θελήματος εἰργάσατο ὁ Χριστὸς, ἐὰν μὴ ἔχῃ ὅλως θέλημα νοερᾶς ψυχῆς τῆς τοῦ δούλου μορφῆς; κατὰ γὰρ τὴν θεότητα ἓν ἐστι δεσποτικὸν καὶ ἐπιτρεπτικὸν τὸ θέλημα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ· ποῖον οὖν λοιπόν ἐστι τὸ θέλημα τοῦ Χριστοῦ τὸ πληρῶσαν τὸ θεῖον θέλημα; δῆλον γὰρ ὅτι ἕτερον ἐστὶ τὸ ἐπιτρεπτικὸν θέλημα, καὶ ἕτερον τὸ ὑποτακτικὸν καὶ ὑπακουστικόν· εἰ οὖν κατὰ τὴν θείαν θέλησιν τὴν ὑπουργίαν τελεῖ, πάντως ὅτι καὶ κατὰ θείαν φύσιν δοῦλος καὶ ὑπουργὸς ὑπάρχει κατὰ τοὺς ἀρειανῶν μύθους· καὶ τοῦτο εὐθέως κατάδηλον ποιῆσαι πειράσομαι.

ΧΡΗΣΕΙΣ ΑΧΡΗΣΤΟΙ ΑΡΕΙΑΝΩΝ ΜΙΑΡΩΝ ΔΥΣΣΕΒΩΝ ΑΘΕΤΟΥΣΑΙ ΤΗΝ ΟΜΟΟΥΣΙΟΝ ΘΕΟΤΗΤΑ ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΘΕΟΥ, ΚΑΙ ΚΤΙΣΜΑ ΤΟΝ ΚΤΙΣΤΗΝ ΤΩΝ ΑΠΑΝΤΩΝ ΛΕΓΟΥΣΑΙ.

Ἀρείου τοῦ μιαροῦ αἱρεσιάρχου
τῆς τῶν ἀρειανῶν δυσσεβείας
ἐκ τοῦ περὶ τριάδος λόγου.

Οὕτω γοῦν νοητέον ἐκείνας τὰς εὐαγγελικὰς φωνὰς τὰς λεγούσας ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμὸν, καὶ ὅτι καταβέβηκα ἐκ τοῦ οὐρανοῦ οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμὸν ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με πατρὸς, ὡς οὐ πάντη ἑπομένου καὶ συνακούοντος τῇ πατρικῇ βουλῇ τοῦ θελήματος τοῦ υἱοῦ· ὅθεν χρησίμως ὡς τὸ ἑαυτοῦ προτιμῶν θέλημα τοῦ πατρὸς, λέγων· μὴ τὸ ἐμὸν, πάτερ γενέσθω θέλημα, ἀλλὰ τὸ σόν.

Τοῦ αὐτοῦ Ἀρείου
ἐκ τῆς ἑρμηνείας ἧς ἐξέθετο κατὰ τοῦ συμβόλου
τῶν ἐν Νικαίᾳ τιη πατέρων.

Ἦμεν γάρ ποτε καὶ ἡμεῖς, φησὶν, ἀπειθεῖς ποιοῦντες τὰ θελήματα τῆς σαρκός· ἅπερ καὶ ἐν ἑτέρῳ τόπῳ καταμέμφεται λέγων, τὸ γὰρ φρόνημα τῆς σαρκὸς θάνατος, καὶ τὸ θέλημα αὐτῆς νόμῳ Θεοῦ οὐχ ὑποτάσσεται· οὔτε γὰρ δύναται, ἔχθρα ὂν εἰς Θεόν· ὡς οὖν σαρκὸς καὶ αἵματος κοινωνήσας ὁ Ἰησοῦς, καὶ σπέρματος καὶ θελήματος Ἀβραὰμ ἐπιλαβόμενος, παραιτεῖται τὸ οἰκεῖον θέλημα λέγων, πλὴν μὴ τὸ ἐμὸν θέλημα γενέσθω. Καὶ μεθ' ἕτερα. Μίαν τοίνυν υἱοῦ κτιστὴν φύσιν αἱ θεῖαι ἡμᾶς ἐκπαιδεύουσι γραφαὶ, καθ' ἃ καὶ ἐν αὐταῖς τὸ θέλημα ἐπιστάμεθα ὥσπερ καὶ τὴν ἐνέργειαν.

Ἀετίου αἰτίου πάσης ἀρειανῆς
θεομάχου αἱρέσεως ἐκ τοῦ περὶ υἱοῦ λόγου.

Οὐκ οὖν ἐθελοντὴς ὁ τῆς Μαρίας υἱὸς, ἵνα μὴ κατὰ τοὺς Μανιχαίων νόμους σαρκικῷ θελήματι ἀντιστρατεύηται τὸ θέλημα τοῦ Θεοῦ.

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου.

Αὐτὸς γὰρ ἑαυτοῦ ἑρμηνεύει ὁ υἱὸς τὴν τῆς οἰκείας φύσεως ὑπόστασιν καὶ ἀνομοιότητα, παραιτούμενος τὴν πρᾶξιν τοῦ οἰκείου θελήματος· εἰ οὖν τὸ θέλημα παραιτητέον, τρεπτὴ πάντως καὶ ἡ φύσις· ὅθεν οὐδὲ ἀπαξιοῖ ὁ υἱὸς Θεὸν ἑαυτοῦ καὶ ποιητὴν ὁμολογεῖν τὸν πατέρα· μόνον γὰρ ἀγαθὸν τὸ θέλημα τοῦ πατρός· διάφοροι γοῦν αἱ φύσεις υἱοῦ καὶ πατρὸς, καὶ δύο ἀνόμοια αὐτῶν τὰ θελήματα.

Εὐνομίου πρωτοστάτου
τῆς Ἀρείου θυμελικῆς ὀρχήστρας
ἐκ τοῦ περὶ υἱοῦ τρίτου λόγου κεφ. ιθ.

Καταβέβηκα γάρ, φησιν, ἐκ τοῦ οὐρανοῦ οὐχ ἵνα ποιῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πατρός· ὁρᾷ τὸν κατελθόντα ἄνω-

Digitized by Google

θεν λόγον ἀκυροῦντα τὸ ἴδιον θέλημα ὡς μὴ συμφωνοῦντα τῷ ἀκτίστῳ θελήματι τοῦ πατρός, ἀλλὰ τὸ κτιστὸν ἔχειν τὸν λόγον καθάπερ τὴν φύσιν οὕτω καὶ τὸ θέλημα.

Τοῦ ἁγίου Εὐσταθίου ἐπισκόπου Ἀντιοχείας
καὶ μάρτυρος ἀνατροπὴ τοῦ Κέλσου
ἐκ τοῦ λόγου τοῦ εἰς τὸ κατὰ Ἰωάννην κεφ. κϛ.

Ὑποτάττει καὶ μᾶλλον κυροῖ ὑπὲρ τὸ ἑαυτοῦ ὁ Χριστὸς τὸ τοῦ πατρὸς θέλημα ἐν διαφόροις τόποις, οὐχ ὅτι θέλημα ἦν ἐν αὐτῷ δεόμενον καταλύσεως, οὔτε θεϊκόν, οὔτε μὴν τὸ τῆς αὐτοῦ ἀνθρωπήσεως· καθάπερ ἂν γὰρ τὴν φύσιν καὶ τὰ τῆς φύσεως ἀπειργάσατο· ἀλλὰ περὶ ἰουδαίους λαλῶν τοὺς νομίζοντας αὐτὸν ἀντίθεον τοῦ πατρὸς εἶναι, οἰκονομικῶς ταῦτα ἔφασκε λέγων, ὅτι οὐ ζητῶ τὸ θέλημα τὸ ἐμόν, ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με πατρός.

Ἀπολιναρίου τοῦ δυσσεβοῦς
ἐκ τοῦ περὶ ἑνώσεως λόγου πρώτου.

Ἐπεὶ γὰρ ἄριστα Παῦλος βοᾷ, ἐν τῷ παντοκράτορι θεῷ καὶ μόνῳ ζῶμεν καὶ κινούμεθα καὶ ἐσμέν, ἄρα καὶ μόνον τὸ αὐτοῦ θέλημα διὰ τοῦ ἐν τῇ σαρκὶ σκηνώσαντος λόγου πρὸς τὸ ταύτην ζωοποιεῖν καὶ κινεῖν, ἀναπληροῦσαν τῆς θείας ἐνεργείας τὸν τῆς ψυχῆς τόπον καὶ τοῦ ἀνθρωπίνου νοός· ὅθεν καὶ σκήνωσιν ὁ Ἰωάννης τὴν ἐπιδημίαν αὐτοῦ τὴν ἐξ οὐρανῶν ὀνομάζει· εἰπὼν γὰρ ὅτι ὁ λόγος σὰρξ ἐγένετο, οὐ προσέθηκε καὶ ψυχή· ἀδύνατον γὰρ δύο νοερὰ καὶ θελητικὰ ἐν ταὐτῷ ἅμα κατοικεῖν, ἵνα μὴ τὸ ἕτερον κατὰ τοῦ ἑτέρου ἀντιστρατεύηται διὰ τῆς οἰκείας θελήσεως καὶ ἐνεργείας· οὐκοῦν οὐ ψυχῆς ἀνθρωπίνης ἐπελάβετο ὁ λόγος, ἀλλὰ μόνου σπέρματος Ἀβραάμ· τὸν γὰρ τοῦ σώματος Ἰησοῦ ναὸν προδιέγραψεν ὁ ἄψυχος καὶ ἄνους καὶ ἀθελὴς τοῦ Σολομῶντος ναός.

Ταῦτα τοῦ θεοστυγοῦς Ἀπολιναρίου δυσφημήσαντος, καὶ ἄψυχον καὶ ἀθελῆ τὴν τοῦ κυρίου σάρκα λέγοντος· καθ' ἃ καὶ Εὐνόμιος ὁ ἄνομος καὶ οἱ σὺν αὐτῷ ἀρειανίζοντες φαίνονται οἱ νέοι σοφισταὶ ὅτι ταῖς τούτων βωμολόχοις ἐγκύψαντες βίβλοις, καὶ ὥσπερ ἀρυσθέντες καὶ καταπλησθέντες ἐξ αὐτῶν ἡμῖν παρατάττονται. Λέγει γὰρ πάλιν ὁ αὐτὸς Ἀπολινάριος εἰς τὸ πάτερ παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον, πλὴν μὴ τὸ ἐμὸν θέλημα γενέσθω ἀλλὰ τὸ σόν, οὕτως·
« Εἰ δὲ ἰσοσθενὴς καὶ κοινωνὸς τῆς πατρικῆς
» οὐσίας ὁ ἐπὶ τὸ πάθος καὶ τὸν σταυρὸν ἐρχό-
» μενος ἦν, πῶς ἐν ἀγωνίᾳ γενόμενος προσηύχε-
» το παρελθεῖν αὐτὸν τὸ ποτήριον, καὶ μὴ γενέσθαι
» αὐτοῦ τὸ θέλημα, ἀλλὰ μᾶλλον τὸ τοῦ πα-
» τρός; τί δὲ καὶ προσαγορεύειν ἐχρῆν τὸ τοῦ εὐ-
» χομένου θέλημα, ἀλλ' ἢ ἀσύμφωνον θεοῦ καὶ
» ἐναντίον; »

Ταύτης τῆς ματαίας Ἀπολιναρίου ῥαψῳδίας ἀνατρέπων ἐν τοῖς συγγράμμασι τοῖς κατ' αὐτοῦ ὁ τῆς Νυσσαέων ἐκκλησίας Γρηγόριος, τοιούτῳ τινὶ συλλογισμῷ κέχρηται κατ' αὐτοῦ· « ὅτι οὐκ ἐγένετο τὸ θέλημα τοῦ προσευ-
» χομένου, τουτέστι τοῦ κυρίου τὸν σωτῆρα νοου-
» μένου ἀνθρώπου, ἰδοὺ ἐδείχθη ἔχων οἰκεῖον
» θέλημα οἰκονομικῶς παραιτούμενον τὸν θά-
» νατον· εἰ δὲ πάλιν μὴ γένηται αὐτοῦ τὸ
» θέλημα, καὶ οὕτως θέλημα αὐτοῦ γέγονε·
» τοῦτο γὰρ ἤθελεν ἵνα μὴ γένηται αὐτοῦ τὸ
» θέλημα· ὥστε καὶ εἰσακουομένης τῆς προσευχῆς
» καὶ μὴ εἰσακουομένης, τὸ ἀνθρώπινον Χριστοῦ
» ἐδείκνυτο καὶ ἐπληροῦτο θέλημα ».

Τοῦ ἁγίου Βασιλείου
ἐκ τοῦ κατὰ ἀρειανῶν λόγου.

Ἐπεὶ οὖν ἓν θέλημα ἔχων πρὸς τὸν πατέρα, εἴληφε καὶ τὸ ἀνθρώπινον, τούτου χάριν ἐκ πολλῆς περιουσίας λέγει, μὴ τὸ ἐμὸν θέλημα γενέσθω ἀλλὰ τὸ σόν.

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου.

Τὸ φιλόζωον θέλημα εἶχεν ἡ σὰρξ τοῦ κυρίου, ὡς κοινωνὸς οὖσα καὶ σύμβιος ψυχῆς ἀθανάτου καὶ θεοῦ λόγου ζωοποιοῦ παναθανάτου, καὶ ἐξ αὐτῶν ὥσπερ μεταλαβοῦσα τὸν τῆς ἀθανασίας πόθον.

Ἀμβροσίου ἐπισκόπου Μεδιολάνων
ἐκ τοῦ λόγου εἰς τὸ πάτερ παρελθέτω
ἀπ' ἐμοῦ τὸ ποτήριον.

Εἰ δὲ καὶ παραιτεῖται τὸν θάνατον κατὰ τὸ ἀνθρώπινον αὐτοῦ θέλημα ὁ σωτήρ, μὴ σκαν-

θαλίζει· φύσει γὰρ τὴν πηγὴν τῆς ζωῆς ἐν αὐτῇ ἔχουσα ἡ σὰρξ καὶ τῆς ἀθανασίας τὸν θεὸν λόγον, τῆς αὐτοῦ ὥσπερ ἀθανασίας μεταλαβοῦσα, δικαίως ἀπεστρέφετο τὸν θάνατον, οὐ δειλιῶσα ἀλλὰ μισοῦσα, καὶ ὡς ἀναμάρτητος θανάτῳ μὴ ὑποκειμένη.

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ λόγου.

Ὁ γὰρ τῇ οἰκείᾳ φωνῇ πᾶσαν τὴν τῶν ἀνθρώπων φύσιν ἐκ τῶν τάφων ἀναστῆσαι μέλλων, πῶς ἐδεδοίκει θάνατον; οὐκοῦν πιστούμενος τὸ ἀνθρώπινον ἑαυτοῦ διὰ τὰς τῶν αἱρέσεων ἀπιστίας, τούτου χάριν καὶ πράγματι καὶ ῥήμασιν ἐπὶ τὸ πάθος ἐρχόμενος, ἀνθρωπίνοις εἴχετο· διὸ καὶ προσεύχεται, καὶ ἱδροῖ τοὺς αἱματώδεις θρόμβους, καὶ ὑπὸ ἀγγέλου ὁ τῶν ἀγγέλων ποιητὴς ἐνισχύεται καὶ θρασοποιεῖται, καὶ παρελθεῖν αὐτὸν τὸ ποτήριον αἰτεῖ, καὶ τὸ ἀνθρώπινον αὐτοῦ θέλημα ὑποκλίνει τῷ πατρικῷ καὶ θείῳ αὐτοῦ θελήματι λέγων, πλὴν μὴ τὸ ἐμὸν θέλημα γινέσθω ἀλλὰ τὸ σὸν· οὐ διαίρεσιν καὶ ἐναντιότητα θελημάτων δεικνὺς, ἀλλὰ τὸ τέλειον ἐν ἀνθρωπότητι· ὁ γὰρ τὴν φύσιν καταδεξάμενος, πάντως καὶ τὰ τῆς φύσεως οἰκειώσατο.

Τοῦ ἁγίου Ἀθανασίου
ἐκ τοῦ λόγου τοῦ εἰς τὸ κύριος ἔκτισέ
με καὶ τῶν ἀρειανῶν.

Καὶ γοῦν ἐπὶ τὸν σταυρὸν ἐρχόμενος, ἐκτενῶς προσεύχεται καὶ τὸ γόνυ κλίνει· λέγων, πάτερ, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο· πλὴν μὴ τὸ ἐμὸν θέλημα γινέσθω, ἀλλὰ τὸ σὸν· ἴδιον αὐτοῦ θέλημα λέγων τὸ τῆς σαρκός· ὅτι περ καὶ αὐτὴν τὴν ἡμετέραν σάρκα ἐν ἑαυτῷ οἰκειώσατο.

Ἀντιπάτρου ἐπισκόπου Βόστρων
ἐκ τοῦ λόγου τοῦ εἰς τὸν σταυρόν.

Τοῦ γὰρ ἀνθρωπίνου τῆς ἡμετέρας φύσεως θελήματος ἐν Χριστῷ, περὶ οὗ φησι μὴ τὸ ἐμὸν θέλημα γινέσθω ἀλλὰ τὸ σὸν, ἴδιον ἦν ἡ τοῦ θανάτου παραίτησις· προειμένου γὰρ ὡς θεὸς ὅτι παρέρχεται αὐτὸν τὸ ποτήριον· ἀνέστη γὰρ τριήμερος, ἀθανατίσας τὴν σάρκα, καὶ συντρίψας τὸ τοῦ θανάτου ποτήριον.

Τοῦ αὐτοῦ
ἐκ τοῦ αὐτοῦ λόγου κατὰ Ἀπολιναρίου.

Ὁ γοῦν ὑπὲρ ἡμῶν παθὼν οὐ μόνον ἁμαρτίαν οὐκ ἐποίησεν, ἀλλὰ καὶ τὰς ῥίζας τῆς ἁμαρτίας ἐκ θεμελίων ἀνέτρεψεν· οὐκοῦν οὐχ ὡς ἐναντίος θεῷ ὢν λέγει μὴ τὸ ἐμὸν θέλημα γινέσθω, ἀλλ' ὑποτυπώσεις ἡμῖν παρέχων πῶς ἐν τοῖς πειρασμοῖς προσεύχεσθαι θεῷ· εἰ δὲ διὰ τὸ λέγειν, μὴ τὸ ἐμὸν θέλημα γινέσθω, ἀναιρεῖ αὐτοῦ τὸ νοερὸν τῆς ψυχῆς ὁ Ἀπολινάριος ἄψυχον αὐτοῦ καὶ ἄνουν ὁ ἄνους κηρύττων τὴν σάρκωσιν, πολλῷ πλέον τοῦ φιλοξένου θελήματος ἐφύβριστόν ἐστι λέγειν τὸν Χριστὸν γενόμενον κατάραν καὶ ἁμαρτίαν, καὶ πειρασθέντα ὑπὸ τοῦ σατανᾶ τεσσαράκοντα ἡμέρας, καὶ φυγόντα ἀπὸ Ἡρώδου ἐν Αἰγύπτῳ, καὶ ὑποτασσόμενον Ἰωσὴφ τῷ τέκτονι, καὶ ἐνισχυόμενον ὑπὸ ἀγγέλου ὡς δειλιῶντα τὸν θάνατον.

Ἐφραὶμ τοῦ ἁγιωτάτου ἐπισκόπου Ἀντιοχείας
ἐκ τοῦ κατὰ Σεβήρου τρίτου λόγου.

Ὥσπερ οὖν ἐν τῇ θείᾳ φύσει διάφορα λέγομεν φύσεως ἴδια, τουτέστι τὸ ἄκτιστον, τὸ ἄναρχον, τὸ ἀναλλοίωτον, τὸ ἀπερίγραπτον, τὸ ἄτρεπτον καὶ τὰ τούτοις ἀδελφά τε καὶ σύμφωνα καὶ τῇ θείᾳ οὐσίᾳ μόνῃ ἁρμόζοντα, οὕτω καὶ ἐν τῇ θελητικῇ τοῦ θεοῦ δυνάμει πολλὰ θεοῦ ἐν ταῖς θείαις γραφαῖς λέγονται θελήματα· τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ τῆς κατ' εἰκόνα θεοῦ γεγενημένης νοερᾶς ψυχῆς· μίαν γὰρ καὶ αὐτὴν νοερὰν καὶ λογικὴν ἔχει τὴν ἐπιθυμητικὴν οὐσιωδῶς δύναμιν ἣν εἴληφε πρὸς τὸ ἐμφυσιωθῆναί τι καὶ πράττειν τὰ θεῖα προστάγματα· ἥτις δύναμις τῆς φύσεως ἐστῶσα, οὔτε ἁμαρτία λέγεται οὔτε δικαιοσύνη, ἀλλ' ἕξις ψυχῆς θελητική· ταύτης τοίνυν τῇ αὐτεξουσίῳ τῆς ψυχῆς δυνάμει, θελημάτων προβολαὶ γίνονται δύο, λέγω δὴ θεϊκοῦ τε καὶ πονηροῦ· καὶ ὅτε μὲν τὴν ῥοπὴν δῶμεν πρὸς τὴν ἐντολὴν τοῦ θεοῦ, θεϊκὸν ὀνομάζεται ἡμῶν τὸ θέλημα, οὐ κατ' οὐσίαν ἀλλὰ κατὰ τὴν πρᾶξιν· ὅταν δὲ πάλιν πρὸς τὴν ὑπακοὴν τοῦ πονηροῦ κατασύρηται, τότε σαρκικὸν εἰκότως προσαγορεύεται θέλημα· οἷον φέρε εἰπεῖν, τῆς φύσεως τῆς λογικῆς ἡμῶν ἐστι

Digitized by Google

θέλησις τὸ ἀγαπᾷν τὴν ζωήν· σαρκικὴ δὲ πάλιν βούλησις τὸ ἡμπαθῶς ζῇν· θεϊκὸν δὲ θέλημα, τὸ καταφρονεῖν καὶ ἀρνεῖσθαι τὴν ζωήν.

Τοῦ αὐτοῦ ἐκ τοῦ εἰς τὸ ἀποστολικὸν ῥητὸν λόγου τὸ φάσκον πεπειρασμένον δὲ κατὰ πάντα δίχα μόνης τῆς ἁμαρτίας.

Ἐντεῦθεν δὲ ὁρώμενος ὁ τῶν πατέρων χορὸς, τέλειον τὸν Χριστὸν πρεσβεύει ὥσπερ ἐν θεότητι οὕτω καὶ ἐν ἀνθρωπότητι· ὁμοούσιον ἡμῖν ὄντα κατὰ πάντα τρόπον δίχα μόνης τῆς ἁμαρτίας· καὶ ὥσπερ μία ἦν καὶ ἀδιαίρετος ἡ τῆς συναΐτιδος βάτου ὑπόστασις πάντοθεν ἀβλαβῶς περιειλημμένη τῷ πυρὶ, μήτε τῆς τοῦ φυτοῦ φύσεως ἀμαυρούσης τὴν ἐνέργειαν τοῦ πυρὸς, μηδ' αὐτῆς ἐνεργείας τῆς φλογὸς λυμαινομένης τῷ φυτῷ, οὕτω δὴ ἐν τῷ ἑνικῷ προσώπῳ Χριστοῦ ἀμαχεὶ μοι νόει τὴν θείαν καὶ ἀνθρωπίνην ἰδιότητα. Καὶ μεθ' ἕτερα. Διὰ τοῦτο ὁμοίωμα καὶ προτύπωμα τοῦ υἱοῦ τοῦ θεοῦ ἐν τῇ καμίνῳ τῶν παίδων προεξενονεῖσθαι· ὥσπερ γὰρ ἡ τῶν παίδων ἐκείνων ἀνθρωπίνη φύσις σχεδὸν κεκραμένη ὅλη τῇ ἐνεργείᾳ καὶ φύσει τῆς φλογὸς τῇ τοῦ σώματος καυστικῶς καὶ μεταστατικῶς περιεπάτει ἐνεργείᾳ, καὶ τῇ θελήσει τῇ νοερᾷ ἐξετέλει τὴν ὑμνῳδίαν, καὶ οὐδὲν ἐμάραινε τὸ πῦρ τῶν σωματικῶν ἢ ψυχικῶν αὐτῶν ἰδιωμάτων, ἀλλὰ τέλειος ἦν Ἀζαρίας ἐν πυρότητι καὶ ἐν ἀνθρωπότητι, οὕτω καὶ ἐπὶ τοῦ Ἐμμανουὴλ νοητέον τὸ τῆς θεότητος αὐτοῦ πῦρ ὥσπερ τινα πνοὴν ζωῆς συγκεκραμένον τῇ ψυχῇ καὶ τῷ σώματι, ἡγίασε μὲν ταῦτα, οὐ μὴν ἐμείωσέ τι τῆς κατ' οὐσίαν τῆς ψυχῆς τοῦ σώματος.

Πρόκλου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως ἐκ τοῦ λόγου τοῦ εἰς τὴν προδοσίαν τοῦ Χριστοῦ.

Ἤρξατό φησι λυπεῖσθαι καὶ ἀδημονεῖν· λύπη δὲ καὶ ἀδημονία καὶ θάμβος, ἴδιά εἰσι ψυχῆς λογικῆς φυσικῶς προσόντα αὐτῇ· μόνης γὰρ ἁμαρτίας ἦν ἀπηλλαγμένη ἡ νοερὰ τοῦ σωτῆρος ψυχή. Καὶ μεθ' ἕτερα. Εἰπὼν δὲ ἐν τῇ προσευχῇ, μὴ τὸ ἐμὸν θέλημα γενέσθω, ὡς ἄνθρωπος ἀληθῶς χρηματίσας, τὸ ἀνθρώπινον αὐτοῦ διὰ τῆς φωνῆς ἐσήμανε θέλημα· καὶ μὴ θαμβηθῇς ὁρῶν αὐτὸν συγχωροῦντα τῇ ἰδίᾳ σαρκὶ ἀγωνιᾷν τὸν θάνατον· τῆς γὰρ ἀγωνίας πτωχότερόν τι ἐστι τὸ μετὰ τὴν ἀνάστασιν αὐτοῦ τραυματίζειν τὰς χεῖρας καὶ τὴν πλευρὰν, καὶ τεσσαράκοντα ἡμέρας σωματικῆς καὶ φθαρτῆς μεταλαμβάνειν τροφῆς.

Ἀμφιλοχίου ἐπισκόπου Ἰκονίου ἐκ τοῦ εἰς τὰ γενέθλια λόγου.

Πάντων μὲν γὰρ τῶν ἐκ παρακοῆς ἡμῖν προσγινομένων ἀπήλλαξε, καὶ ἐκαθάρισε τὴν ἡμετέραν φύσιν ὁ λόγος· ἅπερ δὲ αὐτὸς κατ' εἰκόνα τὴν οἰκείαν ἐποίησε, ταῦτα παραλλαγῆς οὐκ ἔχρῃζεν, οἷαν τὸ φθαρτὸν σῶμα δεῖ τὸ μὴ συμφθαρῆναι, ἀλλὰ φθαρτὸν διαμεῖναι ὡς εἰκόνα θεοῦ τὴν ψυχήν.

Ὀλυμπιοδώρου τοῦ μεγάλου φιλοσόφου διακόνου Ἀλεξανδρείας ἐκ τοῦ δευτέρου λόγου τοῦ κατὰ Σεβήρου, ἐν ᾧ παραγαγὼν τὴν χρῆσιν τοῦ ἁγίου Ἀθανασίου τὴν λέγουσαν τὰ δύο θελήματα ἐπὶ Χριστοῦ, οὕτω πως διεξέρχεται λέγων.

Καὶ γοῦν οὐκ οἶδ' ὅπως οὐκ ἐξευθισμένος κατὰ σαυτὸν εὐθύτητα διαριθμίζει καινοῖ τοὺς ἄλλους ὁ Σεβῆρος, τὸ παρὸν οὐκ ἀπεικὸς τοῦ διδασκάλου διαπτύθειν οὐκ ἐθέλοντες θεώρημα φάσκων κατὰ τὰ προλεγόμενα καὶ ἑπόμενα εὐαγγελικὰ ῥήματα, ἃ ταυτότητι κανόνος ὁ Ἀθανάσιος ταλαντεύσας, τῷ ἀνθρωπίνῳ τοῦ σωτῆρος τὰ μὴ πρὸς ὕψει ὁρῶντα προσνέμωσι, δῆλός ἐστι καὶ τὸ μὴ θέλων ἀποθανεῖν θέλημα ἐπὶ τὸν ἐν μορφῇ ἀνθρώπου τυγχάνοντα ἀναπεμπόμενος.

Ἑρμηνεία τῆς χρήσεως.

Ἐν τῷ λόγῳ τῷ κατὰ Ἀρειανῶν ἐν ᾧ τὰ δύο θελήματα ὁ ἅγιος Ἀθανάσιος εἶπε, πολλὰς χρήσεις εὐαγγελικὰς πτωχοπρεπεῖς εἰς τὴν ἀνθρωπότητα τοῦ Χριστοῦ ἁρμοζούσας παρήγαγεν, οἷον τὸ, ὁ πατήρ μου μείζων μού ἐστι· καὶ δόξασόν με, πάτερ· καὶ ἐλήλυθεν ἡ ὥρα ἵνα δοξασθῇ ὁ υἱὸς τοῦ ἀνθρώπου· καὶ προέκοπτεν ὁ Ἰησοῦς σοφίᾳ καὶ ἡλικίᾳ· καὶ πάντα τὰ τοιαῦτα παραγαγὼν, εἰς τὴν σάρκα τοῦ κυρίου ταῦτα ἐξέλαβε καὶ ἡρμήνευσεν· ἐξ ὧν ἐστι καὶ τὸ, πάτερ παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτή-

ρειν τοῦτο, πλὴν μὴ τὸ ἐμὸν θέλημα γινέσθω ἀλλὰ τὸ σόν· ἐπειδὴ οὖν τινές φασιν ὅτι περὶ ἰδίου θελήματος λέγει ὁ Χριστὸς μὴ τὸ ἐμὸν, ἀλλὰ περὶ τοῦ θελήματος τῶν ἀνθρώπων τοῦ ἐμπαθοῦς, ἐβούλετο παραστῆσαι ὁ 'Ολυμπιόδωρος ὅτι ἐκ τῶν προειρημένων φαίνεται 'Αθανάσιος καὶ ἐκ τῶν ἑρμηνευμένων, ὅτι εἰς τὸ ἀνθρώπινον τοῦ Χριστοῦ ἐνέκειτο τὸ μὴ τὸ ἐμὸν θέλημα· διὸ καὶ ἐπάγει λέγων, ὅτι τὸ πνεῦμα πρόθυμον ἡ δὲ σὰρξ ἀσθενής· ὥσπερ οὖν τὸ πνεῦμα τὸ τοῦ Χριστοῦ πνεῦμα, οὕτω καὶ τὴν σάρκα εἰς τὸ προφητικὸν ῥητὸν τὸ περὶ τοῦ ἀνθρώπου πρὸς θεὸν φάσκον, ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους· ὅπερ ὁ ἀπόστολος εἰς Χριστὸν ἀναφέρων φησί· τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν 'Ιησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου.

Sequuntur in codice prolixa aliquot capita, quorum nunc exscribendorum, nedum divulgandorum, otium non est, videlicet 1. Κεφάλαιον πέμπτον ἀποδεικτικὸν διὰ πραγμάτων ὅτι ἄλλο τὸ φυσικὸν, ἄλλο τὸ σαρκικὸν, καὶ ἕτερον πάλιν τὸ θεϊκὸν θέλημα. 2. Κεφάλαιον ἕκτον ἐν ᾧ αἱ ἀντιθέσεις τῶν ἐναντίων εὐσεβῶς σαφηνίζονται ὑφ' ἡμῶν. 3. Τοῦ ἁγίου Διονυσίου τοῦ ἀρεοπαγίτου χρῆσις δηλοῦσα ὅτι καὶ χωρὶς τῆς ἁμαρτίας ὁ Χριστὸς διαφόρους ἐνεργείας ἔχει κατὰ τὴν τοῦ λόγου θεότητα. *Subsequitur Anastasii copiosa dionysianorum dictorum explicatio.* 4. Περὶ τῆς θεανδρικῆς ἐν Χριστῷ ἐνεργείας. Διονυσίου. 5. Κεφάλαιον δεικνύοντα σαφῶς ὅτι εἰ καὶ καθ' ὑπόστασιν ἀδιαίρετος ἦν ὁ θεῖος λόγος ἐν τῇ οἰκείᾳ σαρκὶ καὶ ψυχῇ, ἀλλ' ὅμως οὐ πάντως ὅτι ἔπαθεν εἰς ἰδίαν φύσιν τὰ τῆς σαρκὸς ἴδια, εἰ καὶ τὰ μάλιστα ὑπ' αὐτοῦ ταῦτα αὐτῇ προσεγίνοντο. οὔτε θεωρητικὰ ἐγνωρίζοντο ὅλα, καθὼς οἱ κενολόγοι φαντάζονται. 6. Κεφάλαιον δι' οὗ ἐλέγχονται οἱ δι' ἐναντίας μίαν ἁπλῆν φύσιν ὁμολογοῦντες ἐν Χριστῷ, ὡς οἱ Μανέντος νόμοι.

In alio codice vaticano legebam Anastasii presbyteri et apocrisiarii Romae ad monachos ascalonenses opusculum contra Monophysitas ac Monothelitas. Initium est huiusmodi. 'Αναστασίου πρεσβυτέρου καὶ ἀποκρισιαρίου Ῥώμης πρὸς μοναχοὺς ἀσκαλωνίτας. Πρὸς μάθησιν τῶν θείων δογμάτων ὀρεκτικῶς διακειμένου τὴν εὐλαβῆ ὑμῶν ἀδελφικὴν ἀγαπῶν καταληφὼς *etc. Sequuntur* ὅροι δογματικοὶ διάφοροι. *Deinde* 'Ιωάννου . . . περὶ τῶν φυσικῶν καὶ ἀδιαβλήτων παθῶν. 'Ομολογοῦμεν δὲ ὅτι πάντα τὰ φυσικὰ καὶ ἀδιάβλητα πάθη τοῦ ἀνθρώπου ἀνέλαβεν ὁ κύριος ἡμῶν 'Ιησοῦς Χριστὸς, πλὴν τῆς ἁμαρτίας· αὕτη γὰρ οὐ φυσική ἐστιν οὐδὲ ὑπὸ τοῦ δημιουργοῦ ἡμῖν ἐνσπαρεῖσα, ἀλλ' ἐκ τῆς τοῦ διαβόλου ἐπισπορᾶς ἐν τῇ ἡμετέρᾳ αὐτεξουσίῳ προαιρέσει ἑκουσίως συνισταμένη, οὐ βίᾳ ἡμῶν κρατοῦσα *etc.* 'Επίλυσις ἤτοι ἀνατροπὴ τῆς τῶν μονοφυσιτῶν προτάσεως τῆς λεγούσης ὅτι ἡ τελεία θεότης σαρκωθεῖσα τοῦ θεοῦ λόγου ὑπόστασις. καὶ ἐν αὐτῇ ὁρᾶται πᾶν τὸ πλήρωμα τῆς τριάδος *etc.* 'Απορίαι καὶ συνεξετάσεις κατὰ πεῦσιν καὶ ἀπόκρισιν, ὅτι οὐ ταυτὸν πρόγνωσις καὶ θέλησις, καὶ ὅτι ἡ κατὰ θέλησιν πρόγνωσις οὐκ αἰτία τῶν προεγνωσμένων περὶ κακίαν καὶ ἀρετήν. 'Ερώτησις τῶν ἐναντίων — 'Απόκρισις ὀρθοδόξου *etc. Multis interiectis sequitur in codice* 'Αναστασίου μοναχοῦ τοῦ Σινᾶ ὄρους περὶ βλασφημίας ἔθει ἐγγίται. *Incipit.* 'Αδελφοί, ὅτι πολλάκις ἡ ψυχὴ τοῦ ἀνθρώπου λαλεῖ τινὰς ἔσωθεν λογισμοὺς αἰσχροὺς καὶ ἀκαθάρτους καὶ βλασφημίας ἀθέους καὶ ῥήματα ἀπρεπῆ κατά τε τοῦ θεοῦ καὶ ἁγίων καὶ ζωοποιῶν καὶ φρικτῶν μυστηρίων *etc. Sermo videlicet haud valde prolixus.*

Digitized by Google

ΑΝΑΣΤΑΣΙΟΥ ΑΒΒΑ

ΔΙΑΛΕΞΙΣ ΚΑΤΑ ΙΟΥΔΑΙΩΝ (1).

Ὁ χριστιανὸς πρὸ πάντων τοῦτο θέλει ἐρωτῆσαι τὸν ἰουδαῖον. Διὰ τί ἀκούεις ἰουδαῖος καὶ ἑβραῖος καὶ ἰσραηλίτης; καὶ τίς ἐστιν ἡ ἑρμηνεία τῶν τριῶν ὀνομάτων; Καὶ ὅταν ἀποκριθῇ ὁ ἰουδαῖος, ἑβραῖος μὲν ἀκούω ἐκ τοῦ Ἀβραάμ, ἰουδαῖος δὲ ἐκ τοῦ Ἰούδα, ἰσραηλίτης δὲ ἐκ τοῦ κληθῆναι τὸν Ἰακὼβ ἐκ τοῦ θεοῦ Ἰσραήλ, εἰπὲ αὐτῷ· οὐκ ἠρώτησά σε οὕτως. ἀλλ' ἵνα μοι εἴπῃς τί ἑρμηνεύεται ἰουδαῖος καὶ ἑβραῖος καὶ ἰσραηλίτης· εἰ μὲν εὕροι εἰπεῖν, εἰπὲ αὐτῷ, διὰ τοῦτο ἰουδαῖος ἐστὶ τὸ ὄνομά σου· καὶ εἶθ' οὕτως ἄπαρξον τὰ μέλλοντα κάτωθεν λεχθῆναι ἀπὸ τῶν μαρτυριῶν τῶν προφητῶν· εἰ δὲ μὴ εὕροι εἰπεῖν, μὴ λαλήσῃς αὐτῷ ῥῆμα, ἀλλ' εἰπὲ αὐτῷ, ὕπαγε, μαθητεύου τί καλεῖ σε, καὶ τότε ἐλθὲ καὶ λαλῶ μετὰ σοῦ περὶ τῆς πίστεώς σου. Ἔστι δὲ ἡ ἑρμηνεία τῶν τριῶν ὀνομάτων αὕτη· ἑβραῖος ἑρμηνεύεται περάτης, τουτέστι διαβάτης, διότι ἐπέρασε τὸν Ἰορδάνην καὶ τὴν θάλασσαν· ἰουδαῖος ἑρμηνεύεται ἐξομολόγησις· ἰσραηλίτης ἑρμηνεύεται νοῦς ὁρῶν τὸν θεόν, ἐπειδὴ αὐτοὶ πρὸ ὅλων τῶν ἐθνῶν, τὸν θεὸν ἐγνώρισαν· καὶ Ἀβραὰμ δὲ περάτης ἑρμηνεύεται, ἐπειδὴ ἐπέρασεν ἀπὸ Μεσοποταμίας τὸν Ἰορδάνην. Ἱερουσαλὴμ ἑρμηνεύεται ὅρασις εἰρήνης, καὶ σαβαὼθ ἑρμηνεύεται εἰρηνευτής, κύριος στρατιῶν. Ὄρος τὸ Σινὰ ἑρμηνεύεται ὄρος βάτου. Σινὰ ἑρμηνεύεται βάτος. Μωϋσῆς δὲ αἰγυπτιακὴ θίβη, ὕδωρ, καὶ ξύλον, ἐπειδὴ εἰς τὸ ὕδωρ εὑρέθη ἐν ξυλίνῃ θίβῃ. Ἀαρὼν ἑρμηνεύεται ὀρεινός. Σελὴμ ἑρμηνεύεται τόπος θεοῦ. Ῥαιθοῦ ἑρμηνεύεται σαρακηνιστὶ εἶδον αὐτόν. Ἰωάννης ἑρμηνεύεται ἐν ᾧ ἡ χάρις, καὶ κυρίῳ ἐπήκοος, ἐπειδὴ αὐτὸς ἔμελλε προτρέχειν καὶ κηρύσσειν τὸν κύριον. Ἰησοῦς ἑρμηνεύεται σωτήρ. Βηθλεὲμ, οἶκος ἄρτου, ἐπειδὴ ἐκεῖ ἐγεννήθη ὁ οὐράνιος ἄρτος Χριστὸς ὁ κύριος ἡμῶν. Ἰορδάνης συγκατάβασις αὐτοῦ, ἐπειδὴ κατῆλθεν ὁ κύριος, καὶ ἐβαπτίσθη αὐτὸς ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ ζῶντος, χριστιανῶν σωτηρία, ἰουδαίων τε καὶ ἑλλήνων κατάλυσις, εἰδώλων καθαίρεσις.

Εἶτα μετὰ τὸ ὁμολογῆσαι τὸν ἰουδαῖον εἰδέναι τὰ προερωτηθέντα, ἄρξον πρὸς αὐτὸν εἰπεῖν οὕτως· ὅτι, ὦ ἰουδαῖε, ἅπερ σοι μέλλω εἰπεῖν, οὐχ ἡμεῖς μόνον αὐτὰ λέγομεν, ἀλλὰ καὶ αἱ γραφαὶ ὑμῶν τὰ αὐτὰ μαρτυροῦσι καὶ λέγουσι. Πρὸς τίνα οὖν εἶπεν ὁ θεὸς ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν; Καὶ εἰ μὲν εἴποι ὅτι πρὸς τοὺς ἀγγέλους, εἰπὲ αὐτῷ, ὅτι πῶς; ἐγὼ γὰρ λέγω

(1) Hoc Anastasii abbatis opusculum latine tantummodo, et quidem aliquot paginis initio mutilum, passim insuper hians, extabat F. Turriano interprete apud Canisium antiq. lect. T. II. part. III. p. 12. ed. Basnagii. Nunc demum graecus textus lucem aspicit.

σοι, ὅτι πρὸς τὸν υἱὸν τοῦτο εἶπε· σὺ δὲ τὸ ἵνα μὴ θέλων παραδέξασθαι, μυρίους εἰσάγεις· καὶ τὸν υἱὸν ἀθετῶν, οἰκέταις τὸ τῆς συμβουλῆς ἀξίωμα περιάπτῃ· καὶ τοὺς ὁμοδούλους ἡμῶν, κυρίους ποιεῖς τῆς ἡμετέρας δημιουργίας. Εἰπὲ, οὐχὶ ὁ ἄνθρωπος τελειούμενος διὰ πολιτείας ἀγαθῆς πρὸς τὴν τῶν ἀγγέλων ἀξίαν ἀνάγεται; καὶ ποῖον δημιούργημα ἴσον εἶναι τῷ κτίσαντι δύναται; Σκόπει δὲ καὶ τὰ ἐφεξῆς, κατ' εἰκόνα ἡμετέραν· τί λέγεις πρὸς τοῦτο; μὴ εἰκὼν μία Θεοῦ καὶ ἀγγέλων; οὐδαμῶς· ἡ οὐ μὲν γὰρ υἱοῦ καὶ πατρὸς πᾶσα ἀνάγκη τὴν αὐτὴν εἶναι μορφὴν, θεοπρεπῶς δηλονότι τῆς μορφῆς νοουμένης, οὐκ ἐν σχήματι σωματικῷ ἀλλ' ἐν τῷ ἰδιώματι τῆς θεότητος; Ἄκουε δὲ τί λέγει κατ' εἰκόνα ἡμετέραν, τίνι ἄλλῳ γε ἢ τῷ ἀπαυγάσματι τῆς δόξης, καὶ χαρακτῆρι τῆς ὑποστάσεως αὐτοῦ, τῷ υἱῷ καὶ λόγῳ αὐτοῦ, ὅς ἐστιν εἰκὼν τοῦ ἀοράτου Θεοῦ; τῇ ἰδίᾳ τοίνυν εἰκόνι τῇ ζώσῃ, τῇ εἰπούσῃ ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν, καὶ ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν πατέρα, ταύτῃ λέγει ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν· ὅπου μία εἰκὼν, ποῦ τὸ ἀνόμοιον; Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, οὐχὶ ἐποίησαν· ἔφυγε ταῦτα τὸν πληθυσμὸν τῶν προσώπων· διὰ μὲν τοῦ εἰπεῖν ποιήσωμεν ἄνθρωπον, σὲ τὸν ἰουδαῖον παιδεύων· διὰ δὲ τοῦ εἰπεῖν καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, τὸν ἑλληνισμὸν ἀποκλείων· ἀσφαλῶς ἀνέδραμε πρὸς τὴν μόναδα, ἵνα καὶ υἱὸν νοῇς μετὰ πατρὸς, καὶ τῆς πολυθείας ἐκφύγῃ τὸ ἐπικίνδυνον.

Τὸ δὲ εἰπεῖν καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν, οὐ φανερόν ἐστιν, ὅτι τοῦ ἁγίου πνεύματος τὴν θείαν ἐνέργειαν ἐδήλωσε; Τοῦτο καὶ διὰ τῶν προφητῶν ἐκηρύχθη. ὡς ἐν τῷ, πνεῦμα κυρίου ἐπ' ἐμὲ, καὶ πνεῦμα κυρίου ὡδήγησεν αὐτοὺς, καὶ πνεῦμα ἐπιστήμης ἐνέπλησεν τὸν Βεσελεὴλ τὸν ἀρχιτέκτονα τῆς σκηνῆς, καὶ πνεῦμα παροξυνόμενον, καὶ πνεῦμα ὀξᾶραν Ἠλίαν ἐν ἅρματι καὶ ζητηθὲν παρὰ Ἐλισσαίου διπλάσιον, καὶ πνεύματι ἀγαθῷ καὶ ἡγεμονικῷ Δαβὶδ ὁδηγούμενός τε καὶ στηριζόμενος. Ἐπηγγέλθη δὲ ὑπὸ μὲν Ἰωὴλ πρότερον, καὶ ἐν ταῖς ἐσχάταις ἡμέραις, λέγοντος, ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, δηλαδὴ τὴν πιστεύσασαν, καὶ ἐπὶ τοὺς υἱοὺς ὑμῶν, καὶ ἐπὶ τὰς θυγατέρας ὑμῶν, καὶ τὰ ἑξῆς. Καὶ πνεῦμα τὸ θεῖον τὸ ποιῆσαν με, πνοὴ δὲ παντοκράτορος ἡ διδάσκουσά με. Καὶ πάλιν, ἐξαποστελεῖς τὸ πνεῦμα σου καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. Ὁμοίως δὲ καὶ τὸ εἰπεῖν τὸν Θεὸν περὶ τοῦ Ἀδὰμ, ὅτι ἰδοὺ γέγονεν Ἀδὰμ ὡς εἷς ἐξ ἡμῶν, πατέρα υἱὸν καὶ ἅγιον πνεῦμα δηλοῖ. Ἀρίθμησον δὲ καὶ τοῦτο καὶ ἴδε, τὸ ὑπὸ τοῦ Θεοῦ εἰρημένον διὰ τοῦ νόμου λέγοντος· ἄκουε Ἰσραὴλ, κύριος ὁ Θεός σου, κύριος εἷς ἐστιν· οὐχὶ φανερὸν ὑπάρχει διὰ τῆς τρισαρίθμου λέξεως ταύτης ὅτι ἡ ἁγία τριὰς Θεὸς εἷς ἐστιν; Ὅτι δὲ πατὴρ καὶ υἱὸς καὶ ἅγιον πνεῦμα Θεὸς εἷς ἐστι, καὶ ἀπὸ τῶν ῥηθέντων καὶ ὧν ὀφείλομεν λέγειν, δῆλον. Καὶ ἐντεῦ-

θεν καὶ πρόσχες. ἐκεῖνον γὰρ καλοῦμεν υἱὸν, περὶ οὗ ὁ προφήτης εἶπε, τῷ λόγῳ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν· εἰς ὃ δὲ λέγομεν πνεῦμα ἅγιον; καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτῶν· οὕτω γὰρ ἡμεῖς ἐν τριάδι θεὸν ἕνα σέβομεν. Εἰπὲ δὲ σὺ, ὦ ἰουδαῖε, πρὸς τίνα ἡ γραφὴ ἡμῶν λέγει, ὅτι κύριος εἶπε πρός με υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε; Καὶ εἰ μὲν εἴπῃ ὅτι περὶ Σολομῶντος λέγει ὁ ψαλμὸς, εἰπὲ αὐτῷ καὶ πόσον μέρος τοῦ κόσμου ἐκυρίευσεν ὁ Σολομῶν; δηλονότι οὐδὲ τὸ ἥμισυ, οὐδὲ τὸ τρίτον τοῦ κόσμου, ἀλλ' ἢ μόνον τὴν Ἰουδαίαν. Καὶ ἄκουσον νουνεχῶς, ὦ ἰουδαῖε, καὶ μάθε ὅτι περὶ τοῦ Χριστοῦ ὁ ψαλμὸς λέγει, καὶ οὐχὶ περὶ Σολομῶντος. Λέγει γάρ· κύριος εἶπε πρός με, υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε· αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς· ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, ὡς σκεύη κεραμέως συντρίψεις αὐτούς. Εἰπέ μοι οὖν σὺ ἄρτι, ἰουδαῖε, πάντως δῆλον καὶ ὁμολογούμενόν ἐστιν, ὡς εἴπομεν, ὅτι ἥμισυ τῆς γῆς Σολομῶν οὐ κατέσχεν, οὐδὲ τὸ τρίτον, ἐκτὸς καὶ μόνον τὴν Ἰουδαίαν γῆν· λοιπὸν, πότε κατέσχεν ὁ Σολομῶν τὰ πέρατα τῆς γῆς; πότε δὲ ἐποίμανεν αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ; πότε δὲ ὡς σκεύη κεραμέως συνέτριψε τοὺς ἐχθροὺς αὐτοῦ; πάντως οὐδέποτε.

Εἰ δὲ εἴπῃ ὁ ἰουδαῖος, εἰ υἱός ἐστι τοῦ θεοῦ, ὡς λέγετε, πῶς εἶπεν ὁ θεὸς ὡς πρὸς δοῦλον, αἴτησαι παρ' ἐμοῦ καὶ δώσω σοι; Καὶ πάλιν· ἐγὼ σήμερον γεγέννηκά σε, τάχα ὡς πρὸς δοῦλον, διὰ τὸ αἰτεῖν καὶ λαμβάνειν· καὶ ὡς ἐφήμερον, διὰ τὸ ἐγὼ σήμερον γεγέννηκά σε· καὶ γὰρ ὑμεῖς οἱ χριστιανοὶ πρὸ τοῦ κόσμου ὅλου λέγετε ὅτι ἐγεννήθη. Εἰπὲ αὐτῷ οὕτως· περὶ τοῦ εἰπεῖν τὸν πατέρα πρὸς τὸν υἱὸν ὅτι αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι, μὴ σκανδαλίζου· πολλὰ γὰρ καὶ βασιλεὺς πρὸς τὸν αὐτοῦ υἱὸν λέγει ἀπὸ πολλῆς ἀγάπης, αἴτησαί μοι καὶ παρέχω σοι ὅ τι θέλεις. Καὶ πάλιν περὶ τοῦ εἰπεῖν ἐγὼ σήμερον γεγέννηκά σε, περὶ τῆς κατὰ σάρκα γεννήσεως αὐτοῦ λέγει· εὐδοκίᾳ γὰρ τοῦ πατρὸς ἐτέχθη ἐκ τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· τίνι γὰρ εἶπέ ποτε τῶν ἀγγέλων, υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε; οὐχὶ πάντες εἰσὶ λειτουργικὰ πνεύματα εἰς διακονίαν ἀποστελλόμενα; Καὶ πάλιν ἀλλαχοῦ, ἐγὼ ἔσομαι εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν; ταῦτα γὰρ κατὰ τὸ ἀνθρώπινον καὶ τὴν ἔνσαρκον αὐτοῦ οἰκονομίαν εἴρηκεν, οὐ τὴν αἰώνιον γέννησιν δηλοῖ, ἀλλὰ τὴν τῶν χρόνων συνεζευγμένην· ὁ γὰρ φύσει υἱὸς θεοῦ γέγονε καὶ φύσει ἄνθρωπος διὰ τὴν ἡμῶν σωτηρίαν, οὐ κατὰ χάριν τοῦτο λαμβάνων· εἶχε γὰρ αὐτὸ κατὰ φύσιν· καὶ λαμβάνει τοῦτο πάλιν ὡς ἄνθρωπος, ὅπερ εἶχεν, ὡς θεός· ὕψιστος γὰρ ὢν, θεὸς ἐγένετο· ἀλλ' ὡς μὲν θεὸς, δεσπότης ἦν τῶν ὅλων ἀεὶ, ὡς δὲ ἄνθρωπος προσελάβετο δόξαν ἥνπερ εἶχεν ὡς θεός· καὶ ᾔτησεν οὐ λαβεῖν ἅπερ οὐκ εἶχεν, ἀλλ' ἅπερ εἶχε δειχθῆναι, καθὼς γέγρα-

Digitized by Google

πται ὅτι ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, ἥτις ἐστὶν ἡ τῶν Ῥωμαίων βασιλεία· ταύτην γὰρ πιστοῖς καὶ χριστιανοῖς βασιλεῦσι δοὺς Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ, ἐπιστατεύει καὶ συμβασιλεύει αὐτοῖς· δι' αὐτοῦ τὰ πιστὰ ἔθνη εἰς κατάσχεσιν κληρωθέντα πιστεύειν ποιμαίνονται αὐτόν· ὅθεν καὶ πάντα τὰ ἔθνη συγκρούοντα μετὰ τῆς τῶν χριστιανῶν βασιλείας, εἰ καὶ ἡττηθῶσιν πλὴν ταύτην οὐ μετέστησαν, οὔτε μὴν μεταστήσωσι, καθὼς γέγραπται ἐν βίβλῳ ψαλμῶν περὶ τῆς βασιλείας τοῦ Χριστοῦ, ὅτι ἡ ἀλήθειά μου, καὶ τὸ ἔλεός μου μετ' αὐτοῦ· καὶ ἐν τῷ ὀνόματί μου ὑψωθήσεται τὸ κέρας αὐτοῦ· καὶ θήσομαι ἐν θαλάσσῃ χεῖρα αὐτοῦ καὶ ἐν ποταμοῖς δεξιὰν αὐτοῦ· αὐτὸς ἐπικαλέσεταί με πατήρ μου εἶ σύ, θεός μου, καὶ ἀντιλήπτωρ τῆς σωτηρίας μου· κἀγὼ πρωτότοκον θήσομαι αὐτόν, ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς· εἰς τὸν αἰῶνα φυλάξω αὐτῷ τὸ ἔλεός μου, καὶ ἡ διαθήκη μου πιστὴ αὐτῷ· καὶ θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ, καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ· ἐὰν ἐγκαταλείπωσιν οἱ υἱοὶ αὐτοῦ τὸν νόμον μου, ἤτοι οἱ χριστιανοί, καὶ τοῖς κρίμασί μου οὐ πορευθῶσιν· ἐὰν τὰ δικαιώματά μου βεβηλώσωσι, καὶ τὰς ἐντολάς μου μὴ φυλάξωσι, ἐπισκέψομαι ἐν ῥάβδῳ τὰς ἀνομίας αὐτῶν, καὶ ἐν μάστιξι τὰς ἀδικίας αὐτῶν· τὸ δὲ ἔλεός μου οὐ μὴ διασκεδάσω ἀπ' αὐτῶν, οὐδ' οὐ μὴ ἀδικήσω τὴν διαθήκην μου· ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου, ἢ τῷ Δαβὶδ ψεύσομαι· τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μένει, ὅς ἐστι Χριστὸς τὸ κατὰ σάρκα σπέρμα τοῦ Δαβίδ· καὶ ὁ θρόνος αὐτοῦ ὡς ἥλιος ἐναντίον μου, καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα. καὶ ὁ μάρτυς ἐν οὐρανῷ πιστός.

Διὰ δὲ τὸ μὴ ὑπολαβεῖν σε ἰουδαῖον ὅτι διὰ Δαβὶδ ταῦτα ἐῤῥέθη καὶ τὴν αὐτοῦ βασιλείαν, ἤγουν τῶν ἰουδαίων. καὶ οὐχὶ διὰ τὸν Χριστὸν ἐπάγει τὸ γεγονὸς διὰ τὸ ἀποθανεῖν μὲν τὸν Δαβίδ, καὶ παρελθεῖν τὴν βασιλείαν τῶν ἰουδαίων. καὶ τὴν παλαιὰν διαθήκην βεβηλῶσθαι, λέγει οὕτως· σὺ δὲ ἀπώσω καὶ ἐξουδενώσας ἀνεβάλλου τὸν χριστόν σου, κατέστρεψας τὴν διαθήκην τοῦ δούλου σου· ἐβεβήλωσας εἰς τὴν γῆν τὸ ἁγίασμα αὐτοῦ· καθεῖλες πάντας τοὺς φραγμοὺς αὐτοῦ, σὺν τοῖς λοιποῖς. καὶ τὸ κατέχεας αὐτῷ αἰσχύνην. Καὶ ἀληθῶς καλῶς πνεῦμα τὸ ἅγιον διὰ τοῦ προφήτου ταῦτα εἶπεν· ἀδύνατον γὰρ τὸν θεὸν ψεύσασθαι, ἀλλὰ δι' ὅρκου ἐμεσίτευσε τὸ ἀμετάθετον τῆς ἀληθείας, καθὼς εἴρηται, ὅτι ἅπαξ ὤμοσα ἐν τῇ ἀληθείᾳ μου, ἢ τῷ Δαβὶδ ψεύσομαι· σπέρμα γὰρ τοῦ Δαβὶδ τὸ κατὰ σάρκα ἐστὶν ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ· ἐκ γένους γὰρ τοῦ Δαβὶδ τὸ κατὰ σάρκα ὑπῆρχεν ἡ θεοτόκος ἀειπαρθένος μήτηρ Χριστοῦ τοῦ θεοῦ ἡμῶν· καὶ ἣν βασιλείαν ὡς ἄνθρωπος ἔλαβεν, μένει διηνεκῶς· ὁ γὰρ Δαβὶδ καὶ ἐτελεύτησε καὶ ἐτάφη, καὶ ἡ βασιλεία αὐτοῦ, ἡ τῶν ἰουδαίων ἀφῃρέθη (1)· ἣν δὲ ὁ θεὸς βασιλείαν ὑπέσχετο δοῦναι κατὰ τὸ ἀνθρώπινον τῷ σαρκωθέντι Χριστῷ τῷ θεῷ

(1) Hinc incipiunt edita latine tantummodo, et quidem acephala, mutila, et saepe deficientia, apud Canisium Basnag. loc. cit.

ἡμῶν, μένει διηνεκῶς, ἣν καὶ παρέθετο πιστοῖς βασιλεῦσι, καὶ συμβασιλεύει αὐτοῖς ὡς εἴπομεν· οὐ γάρ ἐστι τίς ἑτέρα βασιλεία ἢ δυναστεία ταύτης περιφανεστέρα· καὶ εἰ βούλει σκοπῆσαι τὸ ἀκριβὲς, λάβε μοι τὸν τοῦ Μωσέως λαὸν τὸν τοσαύτοις σημείοις καὶ βυθῷ θαλάσσης τοὺς αἰγυπτίους ἐκστείλαντα· ἴδε μοι Ἰησοῦν τὸν Ναυῆ ἀφ' οὗ καὶ ὁ ἥλιος κατὰ Γαβαὼβ ἵσταται, καὶ ἡ σελήνη κατὰ φάραγγα, καὶ ἄλλα τινὰ ἐξαίσια θαύματα· καὶ ἁπλῶς ἅπαν τὸ τῶν ἑβραίων νόησον κράτος· οὐ χίλια ἔτη ἐβασίλευσαν, καὶ ἐξεκόπη ἡ βασιλεία αὐτῶν; πῶς ὑπὸ τῆς τῶν Ῥωμαίων βασιλείας ἐξέλιπε; οὐ Τίτος καὶ Οὐεσπασιανὸς κατέκοψαν ἅπαντας; οὐκ ἀρότρῳ τὸν ναὸν ἐκπορθήσαντες; οὐχὶ τῶν βαβυλωνίων, καὶ οὐχὶ τῶν μήδων, οὐχὶ τῶν περσῶν βασιλεία κατεπόθη ὑπὸ τῶν βαρβάρων τούτων τῶν τουρκῶν; ἀλλὰ καὶ αὐτοὶ ἐκκοπήσονται· οὐχὶ τῶν μακεδόνων παρῆλθεν; ἡ δὲ τῶν ῥωμαίων βασιλεία, ἤτοι τῶν χριστιανῶν, ὡς συμβασιλευομένη παρὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, ἕως τῆς συντελείας τοῦ κόσμου οὐ παρελεύσεται, ἀλλ' ὡς βασιλεὺς τῶν βασιλευόντων καὶ κύριος τῶν κυριευόντων, δι' αὐτῆς ποιμαίνει τὸν λαὸν αὐτοῦ, μέχρι τῆς δευτέρας αὐτοῦ παρουσίας, ἥτις λαῷ ἑτέρῳ οὐχ ὑπολειφθήσεται· καὶ τότε ταύτην ὡς πατὴρ τοῦ μέλλοντος αἰῶνος καθέξει, ὅτε πάντες ἀναστησόμεθα, καθὼς γέγραπται, ἀναστήσονται οἱ νεκροὶ καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, καὶ παραστησόμεθα τῷ βήματι τῆς ἀδεκάστου κρίσεως αὐτοῦ· καὶ τοὺς ἐχθροὺς αὐτοῦ, ἤγουν τοὺς μὴ θελήσαντας νῦν πιστεῦσαι αὐτῷ καὶ βασιλεῦσαι αὐτὸν ἐπ' αὐτῶν, σκορπίσει ἐν τῷ ᾅδῃ αἰωνίῳ κολασθησομένους, καὶ συμβασιλεύσουσιν αὐτῷ εἰς αἰῶνας οἱ πιστεύσαντες καὶ γνησίως τὰς ἐντολὰς αὐτοῦ τηρήσαντες· καθὰ Σολομῶν λέγει ἐν παροιμίαις, καὶ βασιλεύσει αὐτῶν κύριος εἰς τοὺς αἰῶνας· καὶ ἰδοὺ μετὰ τῶν νεφελῶν τοῦ οὐρανοῦ ἐρχόμενος ἦν, καὶ ἕως τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασε· καὶ αὐτῷ προσηνέχθη ἡ τιμὴ καὶ ἡ βασιλεία, καὶ πᾶσαι αἱ φυλαὶ αὐτῷ δουλεύσουσιν· ἡ βασιλεία αὐτοῦ βασιλεία διηνεκὴς, καὶ ἐξουσία αὐτοῦ εἰς γενεὰς καὶ γενεὰς καὶ ἔτη, ἥτις οὐ παρελεύσεται.

Εἰ δὲ λέγεις, ὦ ἰουδαῖε, ἀκμὴν οὐ παραγέγονεν ὁ Χριστὸς, ἀλλὰ περὶ τὰ τελευταῖα τοῦ χρόνου αὐτὸν ἔρχεσθαι, τί ἔτι ἵνα ποιήσῃ ἀφανιζομένων τῶν χρειῶν; Ἀλλ' ἴσως ἐρεῖς ὅτι τὰ ἐξαφανιζόμενα ἵνα ἀνακτήσηται, ἤγουν τὰ ἔθνη τῶν ἰουδαίων· καὶ πῶς ἔχει τοῦτο λόγον, ἃ τῇ προστάξει αὐτοῦ καὶ βουλῇ ἀφανίζεται, ταῦτα πάλιν ἀνακτίζειν; οὕτως ἀσύστατον τὸ διήγημα τὸ τοιοῦτον· οὐδαμῶς γὰρ εἴρηται, ὅτι μετὰ τὴν τοῦ κόσμου τούτου κατάλυσιν, ἑτέρα τις πάλιν τῶν ἰουδαίων τοιαύτη κατασκευὴ ἀνίσταται· τοῦτο γὰρ ὁ προφήτης ὑμῖν λέγει· πέμψω ὑμῖν Ἠλίαν τὸν Θεσβίτην, πρὶν ἐλθεῖν τὴν ἡμέραν κυρίου τὴν μεγάλην, καὶ ἐλθὼν πατάξω τὴν γῆν ἄρδην. Εἰ μὲν οὗτος ὃν προσδοκᾶτε Χριστὸν Ἠλίας ἐστὶν ὁ μὴ ἀνακτῆσαι ἐρχόμενος ἀλλὰ πατάξαι, λοιπὸν νοήσατε πῶς οὐ λέγεται Χριστὸς, ἀλλὰ Ἠλίας· καὶ οὐκ ἐκ Βηθλεὲμ γεννᾶται, ὡς προφήτης

ὑμῖν ἐμήνυσεν, ἀλλ' ἐκ Θεσβῶν γεννηθείς· ὁ γὰρ εἰπὼν πέμψω ὑμῖν Ἠλίαν, ἕτερός ἐστι παρὰ τὸ πεμπόμενον· καὶ ὅτι εἶπε μὴ ἐλθὼν πατάξω τὴν γῆν ἄρδην, δι' ἐκείνου πρῶτον διαμαρτύρεται ἤγουν τοῦ Ἠλίου, καὶ τότε ἐξαίρει πᾶν τὸ συνεστηκός· τοῦτο ἤγουν ποιεῖ τὴν συντέλειαν· τί οὖν τῷ Χριστῷ λοιπὸν ὄφελος γεννᾶσθαι τότε; ἵνα τίνι ἀρέσῃ ἢ χρησιμεύσῃ τῆς συντελείας γενομένης; καὶ γὰρ ἄλλος ἐστὶν ὁ Χριστὸς καὶ ἄλλος Ἠλίας· ὁ γὰρ προφήτης Δανιὴλ λίθον αὐτὸν ἐθεώρησε τῷ βασιλεῖ τῶν βαβυλωνίων, ὃς καὶ ἐγένετο ὄρος μέγα. λέγει γὰρ οὕτως· καὶ ἐν ταῖς ἡμέραις ἐκείναις τῶν βασιλέων ἐκείνων ἀναστήσει ὁ θεὸς βασιλείαν, ἥτις εἰς τὸν αἰῶνα οὐ διαφθαρήσεται· καὶ αὕτη φησὶν ἀναστήσεται εἰς τοὺς αἰῶνας· καὶ ὅτι εἶδεν ὁ βασιλεὺς ὅτι ἐξ ὄρους ἐτμήθη λίθος ἄνευ χειρῶν καὶ ἐπάταξε τὴν εἰκόνα· ἐγενήθη δὲ ὁ λίθος εἰς ὄρος μέγα, καὶ ἐπλήρωσε πᾶσαν τὴν γῆν. Τέσσαρας δὲ βασιλεῖς λέγει τὰ ἔνδοξά τε καὶ ἐπίσημα βαβυλωνίων, μήδων, καὶ τὸ τρίτον ληστρικὸν καὶ δυσεπιχείρητον τὸ μακεδονικὸν Ἀλεξάνδρου, ἤγουν τῶν ἑλλήνων· ταῦτα τὰ τρία τὰ δυνατά· καὶ τὸ τέταρτον τοῦτο τὸ θρασὺ συναριθμένον τοῖς τρισί· μετὰ γὰρ ταύτας τὰς βασιλείας ἀνεφύη αὕτη, ἤγουν ἡ Χριστοῦ βασιλεία, ἣν ὁ Δανιὴλ ἄφθαρτον καὶ ἀδιάδοχον ἔφησεν. Εἰ δὲ εἴπῃς τὴν σιδηρὰν Αὐγούστου Καίσαρος, τίνα ἐλέπτυνεν ἢ ἐδάμασεν ἡ Αὐγούστου καὶ τῶν λοιπῶν βασιλέων, οἵτινες καὶ ἐνίκησαν καὶ ἡττήθησαν; εἰ γὰρ ὑμᾶς τοὺς ἰουδαίους καὶ ἄλλα πολλὰ ἔθνη ἐνίκησαν, ἀλλὰ πάλιν ἡττήθησαν· καὶ παρῆλθεν ἡ τοῦ Αὐγούστου Καίσαρος ἀρχή· ἡ δὲ τοῦ Χριστοῦ βασιλεία εἰς τὸν αἰῶνα τέλος οὐχ ἕξει· τὸ γὰρ λεπτῦνον, ἀήττητον καὶ ἀδάμαστον μένει καὶ ἀδιάδοχον, ὅπερ ἐστὶ τὸ ὄνομα καὶ ἡ βασιλεία τοῦ κυρίου ἡμῶν Ἰησοῦ χριστοῦ, καὶ ἡ πίστις ἡμῶν ἡ εἰς αὐτόν. Πόσοι ἕλληνες καὶ κακόδοξοι βασιλεῖς καὶ ἔθνη ἐπολέμησαν τὴν πίστιν ἡμῶν τῶν χριστιανῶν, καὶ οὐκ ἠδυνήθησαν ταύτην σβέσαι; ἀλλ' ἐκεῖνοι μὲν ἀπώλοντο καὶ παρῆλθον, αὕτη δὲ καθ' ἑκάστην λάμπει καὶ πλατύνεται. Καὶ εἰ μὲν βούλει τὸ ἀκριβὲς τοῦ οὐρανοῦ μαθεῖν, τὸ ἐν ταῖς ἡμέραις ἐκείναις ἀναστήσει ὁ θεὸς βασιλείαν τὴν μεταξὺ αὐτῶν τῶν δηλωθεισῶν τεσσάρων βασιλειῶν ἀναδειχθεῖσαν, λάμβανε· μετέπειτα γὰρ, οὐχ εὑρήσεται· ὡς γὰρ οἱ πατέρες ὑμῶν τὴν παρελθοῦσαν προσδοκίαν κρατοῦντες, τῆς εὐκαιρίας ταύτης ἐξέπεσαν, οὕτως καὶ ὑμεῖς· εἰ οὖν πιστεύεται εἶναι Χριστὸν, ἀπεντεῦθεν ζητεῖτε· μετέπειτα γὰρ οὐχ εὑρίσκεται.

Ἤδη ἔδειξα, ἰουδαῖε, ἀπὸ τῶν γραφῶν καὶ αὐτῆς τῆς ἀληθείας τὸ κύριος εἶπε πρός με, υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε· καὶ αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὰ ἑξῆς, ὅτι περὶ τῆς ἐνσάρκου οἰκονομίας τοῦ υἱοῦ τοῦ θεοῦ εἴρηται, ἅπερ καὶ ἐγένοντο καὶ μαρτυροῦνται ὑπὸ αὐτῆς τῆς ἀληθείας καὶ τῶν προφητῶν ὑμῶν. Εἰ δὲ θέλεις, δείξω σοι ὅτι καὶ πρὸ τοῦ κόσμου ἐγεννήθη, καὶ ὅτι θεὸς ἐστιν ὁ Χριστός· πλὴν πρῶτον θέλω μαθεῖν ἐξ ὑμῶν· ὁ Δαβὶδ βασιλεὺς ὢν καὶ προφήτης, τίνα κύριον καὶ

δεσπότην εἶχε; πάντως δῆλον καὶ ὁμολογούμενον, οὐδένα κύριον εἶχε, εἰ μὴ τὸν ποιήσαντα τὸν οὐρανὸν καὶ τὴν γῆν. ἰδοὺ οὖν αὐτὸς ὁ Δαβὶδ λέγει περὶ τοῦ Χριστοῦ ὅτι κύριος αὐτοῦ ἐστὶ, καὶ ὅτι καὶ πρὸ τῶν αἰώνων ἐγεννήθη· καὶ Δαβὶδ μὲν οὐκ ἀνέβη εἰς τὸν οὐρανόν· λέγει δὲ ὁ αὐτὸς ἐν βίβλῳ τῶν ψαλμῶν, ἤγουν ρθ, οὕτως· εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου· ἰδοὺ οὖν τὸν υἱὸν τοῦ θεοῦ, κύριον ἑαυτοῦ καλεῖ· πρὸς αὐτὸν γὰρ εἶπεν ὁ πατὴρ μετὰ τὴν ἁγίαν αὐτοῦ ἐκ παρθένου κατὰ σάρκα γέννησιν, καὶ τὸ σωτήριον πάθος, καὶ τὴν ἐκ νεκρῶν αὐτοῦ ἀνάστασιν, καὶ τὴν ἀνάληψιν, κάθου ἐκ δεξιῶν μου ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου. Ἀλλ' ἴσως ἐρεῖς, ὦ ἰουδαῖε, ὅτι Χριστὸς κάθηται ἐν δεξιᾷ τοῦ θεοῦ, ἄχρις ἂν τὴν ἐσχάτην καιρίαν ἔλευσιν ποιήσεται ἣν διὰ τῶν προφητῶν ἐπηγγείλατο, ὡς δῆθεν ἀκμὴν μὴ ἐλθόντος· καὶ πῶς ἔχει τοῦτο λόγον εἰπέ· τί τῷ καθημένῳ λέγει πάλιν κάθου; τίνι δὲ ἤχθρευσαν οἱ ἐχθράναντες τῷ μήπω ἐθέλοντι; καὶ γὰρ τοῦτο ὃ λέγει κάθου, τῷ ἀπὸ τῆς γῆς ἐπὶ τοὺς οὐρανοὺς ἀνελθόντι, καθίσαι πάλιν λέγει, καθὼς πρὶν ἐπάνω ἦν τῶν ἐχθρῶν αὐτοῦ· ὡς εἶναι ὑμᾶς τοὺς ἰουδαίους ἐχθροὺς αὐτοῦ καὶ πατουμένους ὑπὸ τοὺς πόδας τοῦ χριστιανικοῦ φύλου ἕως τελευταίας ὥρας· ὅθεν καὶ δικαίως πατεῖσθε, καὶ τὸ ἀποβησόμενον ὑμῖν δίκαιον· τὸν γὰρ καιρὸν ὃν λέγετε καὶ ἐκδέχεσθε φθάνει ὑμᾶς βλέμματος γοργοτέρου παρέχεται· μεθ' οὗ καὶ ὑμεῖς καὶ ᾧ πιστεύετε πλάνῳ, εἰς αἰωνίαν πυρὸς ἐκδοχὴν δέξεσθε.

Καὶ πάλιν ὁ αὐτὸς προφήτης καὶ βασιλεὺς ἐν τῷ αὐτῷ ψαλμῷ ὡς ἐκ προσώπου τοῦ θεοῦ καὶ πατρὸς περὶ τοῦ υἱοῦ καὶ λόγου τοῦ θεοῦ οὕτως λέγει, ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέννησά σε· ὁ γὰρ ἑωσφόρος τῇ τετάρτῃ ἡμέρᾳ ἐγένετο· ὁ δὲ Ἀδὰμ τῇ ἕκτῃ ἡμέρᾳ ἐπλάσθη. Λοιπὸν, ὦ ἰουδαῖε, εἰπὲ, τίνα πρὸ παρασκευῆς τῆς κτίσεως ἐγέννησεν ὁ θεός· ἆρα περὶ τοῦ Ἀδὰμ λέγει; οὐδαμῶς· μετὰ γὰρ δύο ἡμέρας τοῦ ἑωσφόρου καὶ τῶν ἀστέρων ἐπλάσθη· ἀλλὰ περὶ τοῦ εἰλημμένου ὑμῖν λέγει; ἀλλὰ υἱὸν Δαβὶδ αὐτὸν οὐ λέγεται εἶναι· ὁ δὲ Δαβὶδ μετὰ πολλοὺς χρόνους τοῦ Ἀδὰμ ἐγεννήθη· ὁ γὰρ Ἀδὰμ τῇ ἕκτῃ ἡμέρᾳ ἐπλάσθη, ὡς εἴρηται, καὶ οἱ ἑωσφόροι τῇ τετάρτῃ ἡμέρᾳ ἐγένοντο· ὁ δὲ θεὸς περὶ τοῦ ἰδίου υἱοῦ λέγει ὅτι πρὸ ἑωσφόρου ἐγέννησά σε· σὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδὲκ, τουτέστιν ἱερεὺς τῶν ἐθνῶν· ὁ γὰρ Μελχισεδὲκ οἶνον καὶ ἄρτον προσέφερε τῷ θεῷ· καθὼς καὶ ὁ Χριστὸς ὁ ἀρχιερεὺς ἡμῶν παρέδωκεν ἡμᾶς θύειν αὐτῷ ἀναιμάκτους θυσίας κατὰ τὴν τάξιν Μελχισεδέκ. Ἄκουσον δὲ καὶ Σολομῶντος λέγοντος περὶ τῆς πρὸ αἰώνων γεννήσεως τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ, πρὸ τοῦ τὰ ὄρη ἑδρασθῆναι, πρὸ τοῦ τὰς πηγὰς προελθεῖν, πρὸ δὲ πάντων βουνῶν, γεννᾷ με. Δεῖξον μοι οὖν τίνα ὁ θεὸς πρὸ πάσης τῆς κτίσεως ἐγέννησεν· ὡσαύτως δὲ καὶ πάλιν ὁ Δαβὶδ ἐν βίβλῳ ψαλμῶν, οζ, λέγει· ὁ θεὸς τὸ κρίμα σου τῷ βασιλεῖ δὸς, καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως· καὶ μὴ εἴπῃς περὶ Σολομῶντος λέ-

γειν· εἶπε γὰρ μετ' ὀλίγου στίχου, ὅτι κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ πρὸ τοῦ ἡλίου διαμένει τὸ ὄνομα αὐτοῦ, καὶ πρὸ τῆς σελήνης, γενεὰς γενεῶν. Ἰδοὺ ἔδειξά σοι σαφῶς καὶ διὰ Δαβὶδ καὶ διὰ Σολομῶντος ὅτι πρὸ πάσης τῆς κτίσεως ἐγεννήθη ὁ υἱὸς ἐκ τοῦ πατρὸς ὡς οἶδεν αὐτὸς μόνος.

Πάλιν ἐκεῖνο μοι εἴπατε ὑμεῖς, καὶ εὐθὺς φαίνεται ἡ ἀλήθεια, τὸν εἰλημμένον ὃν ἐκδέχεσθε ὑμεῖς, τίνα λέγετε αὐτόν; Θεὸν ἢ ἄνθρωπον ψιλόν, ὡς τὸν Δαβὶδ καὶ τοὺς λοιποὺς ἀνθρώπους; ἔχει εἰπεῖν ὁ ἰουδαῖος, ἄνθρωπον αὐτὸν λέγομεν καὶ οὐ Θεὸν ἀλλ' ὡς ἕνα τῶν προφητῶν· οὐκ ἔστι γὰρ εἰ μὴ εἷς καὶ μόνος ὁ Θεός, καὶ οὐχὶ δύο καθάπερ οἱ χριστιανοὶ λέγετε· καὶ ἐπεὶ οὕτως λέγετε ὅτι ἄνθρωπος ἐστὶ ψιλὸς ὁ ἐρχόμενος Χριστὸς ὑμῶν, ἐλέγχομεν ἄρτι τὰς φωνὰς τῶν προφητῶν, καὶ ἐὰν Θεὸν ἐκήρυξαν τὸν ἐρχόμενον δηλονότι, καὶ ὁ ἐλθὼν καὶ παρ' ἡμῶν τῶν χριστιανῶν προσκυνούμενος καὶ πιστευόμενος αὐτός ἐστιν ἀληθῶς ὄντως ὁ ἀληθὴς Χριστός· ὃν δὲ ἐκδέχεσθε ὑμεῖς οἱ ἰουδαῖοι, πλάνος ἐστὶ καὶ ἀντίχριστος. Εἰ δὲ πάλιν μὴ παραστήσωμεν τοὺς προφήτας λέγοντας αὐτὸν Θεόν, δηλονότι ἡμεῖς πλανώμεθα, ἰουδαῖοι δὲ ἀληθεύουσιν. Εἴπατε περὶ τίνος ὁ προφήτης λέγει εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου, Θεὸς κύριος καὶ ἐπέφανεν ἡμῖν· προσέχετε μετ' ἀκριβείας· πάντως Θεὸν καὶ κύριον λέγει εἰπὼν Θεὸς καὶ κύριος καὶ ἐπέφανεν ἡμῖν· εἴτε οὖν ἐπέφανεν ἡμῖν, εἴτε ἐπιφανῆναι μέλλει, οὐκ ἔστιν ὁ Χριστὸς ὑμῶν τῶν ἰουδαίων, ἀλλ' ἡμέτερος τῶν χριστιανῶν· ὑμεῖς γὰρ ἄνθρωπον τὸν ἐρχόμενον ἐκδέχεσθε καὶ οὐ Θεόν, ὁ δὲ Δαβὶδ Θεὸν καὶ κύριον τὸν ἐρχόμενον καὶ ἐλθόντα ἐκήρυξε. Καὶ ὁ Ἠσαΐας μὲν λέγει, οὐκ ἄγγελος οὐ πρέσβυς. ἀλλ' αὐτὸς ὁ κύριος ἥξει καὶ σώσει ἡμᾶς· καὶ ὅτι παιδίον ἐγεννήθη ἡμῖν καὶ υἱὸς ἐδόθη ἡμῖν, καὶ καλεῖται τῆς μεγάλης βουλῆς ἄγγελος θαυμαστὸς σύμβουλος, Θεὸς ἰσχυρός. ἐξουσιαστής, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος· ποῖος ἄνθρωπος, καθὼς ὑμεῖς λέγετε, δύναται εἶναι Θεὸς ἰσχυρός, ἐξουσιαστής, ἄρχων εἰρήνης, πατὴρ τοῦ μέλλοντος αἰῶνος;

Ὡσαύτως καὶ ὁ Ἀββακοὺμ φησί· ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει. Ἄκουσον καὶ Ἱερεμίου κεκραγότος μέγα· οὗτος ὁ Θεὸς ἡμῶν. οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν· ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ· μετὰ τοῦτο ἐπὶ γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη. Βλέπεις ὅτι Θεὸν ἐκήρυξαν ἀληθινὸν τὸν ἐπὶ γῆς ὀφθέντα καὶ τοῖς ἀνθρώποις συναναστραφέντα; Καὶ ὁ Δαβὶδ λέγει περὶ αὐτοῦ ὅτι ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη, τουτέστι διὰ τὸ ἐπισπάσασθαι αὐτοὺς τὸν Θεὸν διὰ τῆς πίστεως τοῦ υἱοῦ αὐτοῦ· διὰ τί οὐκ εἶπεν ὅτι ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τοὺς ἰουδαίους; Καὶ πάλιν· ἴδωσαν πάντα τὰ ἔθνη τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν. Καὶ εἴπατε ἐν τοῖς ἔθνεσιν ὅτι κύριος ἐβασίλευσε, τουτέστι διὰ τῆς πίστεως. Καὶ ὁ Ἠσαΐας· ὅτι ἀπὸ ἀνατολῶν ἡλίου καὶ

ἕως δυσμῶν δεδοξασμένον τὸ ὄνομά μου ἐν τοῖς ἔθνεσι· καὶ πάλιν Ὠσηὲ· φησὶ ὁ Θεὸς, καλέσω τὸν οὐ λαόν μου, τουτέστι τὰ ἔθνη· καὶ τὴν ἠλεημένην, οὐκ ἠλεημένην, τουτέστι τὴν συναγωγὴν τῶν ἰουδαίων. Ὡσαύτως καὶ ὁ πατριάρχης Ἰακὼβ εὐλογῶν τοὺς υἱοὺς αὐτοῦ καὶ διατασσόμενος, εἶπε περὶ τοῦ Χριστοῦ οὕτως· οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως οὗ ἔλθῃ ᾧ ἀπόκειται, τουτέστιν ὁ Χριστὸς· καὶ αὐτὸς προσδοκία ἐθνῶν· ὡς γινώσκων τὴν τῶν ἰουδαίων πώρωσιν· ὥστε μάτην προσδοκῶσιν οἱ ἰουδαῖοι ὃν προσδοκῶσιν· ὃν γὰρ τὰ ἔθνη προσδοκοῦσι Χριστὸν, ἦλθε· διὰ τοῦτο καὶ ἐξέλιπεν ἄρχων ἐξ Ἰούδα καὶ ἡγούμενος.

Ὅτι δὲ ἀληθής ἐστι καὶ οὐ πλάνος ὁ Χριστὸς ὡς ὑμεῖς οἱ ἰουδαῖοι λέγετε καὶ νομίζετε, παραστήσωμεν ὑμῖν καὶ τοῦτο οὐ διὰ ῥημάτων μόνον ἀλλὰ καὶ διὰ πραγμάτων μέχρι τῶν νῦν κραζόντων καὶ μαρτυρούντων ὡς ἐν πάσῃ τῇ οἰκουμένῃ, καὶ ὅτι πάντα τὰ ὑπ' αὐτοῦ λεχθέντα γεγόνασι. Εἶπε γὰρ ὅτι ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσιν· ποίους δὲ λόγους, νουνεχῶς ἄκουσον· εἶπε γὰρ περὶ τοῦ ὑμετέρου ναοῦ, τουτέστι τῶν ἰουδαίων, ὅτι ἀμὴν λέγω ὑμῖν οὐ μὴ μείνῃ λίθος ἐπὶ λίθον ἐπ' αὐτόν· ἆρα γέγονεν ἐπ' αὐτὸν ὁ αὐτοῦ λόγος, ἢ οὐ γέγονεν; Εἶπεν ὅτι ἐλεύσονται οἱ ῥωμαῖοι καὶ ἀροῦσιν ὑμῶν τὸ ἔθνος καὶ τὴν πόλιν καὶ τὸ βασίλειον· ἆρα γέγονεν τοῦτο ὑπὸ Οὐεσπασιανοῦ καὶ Τίτου, ἢ οὐ γέγονεν; Εἶπεν ὅτι ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου τοῦ βαπτιστοῦ, καὶ παύσονται· ἆρα οὐ γέγονε τοῦτο; τίς προφήτης παρ' ὑμῖν μετὰ Ἰωάννην τὸν βαπτιστήν; Ἐπίδειξόν μοι λοιπὸν ἀφ' οὗ ἐσταυρώσατε τὸν Χριστὸν, ποῖος προφήτης παρ' ὑμῖν εὑρέθη; ποῖον βασίλειον ἔχετε σήμερον; ποῦ εἰσὶν οἱ κριταὶ ὑμῶν; ποῦ οἱ ἄρχοντες; πάντες ἐξέλιπον· ποῦ ὁ ναὸς ὑμῶν; ἰδοὺ κεῖται ἔρημος· ποῦ εἰσὶν αἱ πλάκες ἃς ἐλάβετε; ἰδοὺ οὐκ εἰσί· ποῦ αἱ θυσίαι ὑμῶν; ἰδοὺ ἐξέλιπον· ποῦ ἡ κιβωτὸς τῆς διαθήκης; ἰδοὺ οὐ φαίνεται· ποῦ τὸ θυσιαστήριον ὃ ἐποίησε Μωσῆς; ποῦ ἡ ῥάβδος ἡ βλαστήσασα; ποῦ ἡ στάμνος καὶ τὸ μάννα; ποῦ ἡ σκηνοπηγία ἐν τῷ ναῷ καὶ ὁ καθαρισμὸς τοῦ ἁγιάσματος; ποῦ τὸ πῦρ τὸ κατερχόμενον ἐκ τοῦ οὐρανοῦ; ποῦ ἕνα προφήτην ἔχετε σήμερον; οὐδένα ἀληθῶς ἔχετε, μετὰ τὴν φωνὴν τῶν τριῶν παίδων τὴν ὑπὲρ ὑμῶν λέγουσαν, ὅτι οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων καὶ προφήτης καὶ ἡγούμενος καὶ τὰ ἑξῆς ἐνώπιον τοῦ Θεοῦ, καὶ εὑρεῖν ἔλεος· ποῖον γὰρ τόπον, ἐξ ὧν ἔδωκεν ὑμῖν ὁ Θεὸς, ἔχετε σήμερον; ἀλλὰ πάντας ἐξ ὑμῶν ἐπῆρε, καὶ ἡμῖν αὐτὸν ἔδωκε· κἂν τὸ Σινᾶ εἴπῃς ὅπου τὸν νόμον ἐδέξω καὶ οὐ κατεδέξω, ἀλλ' ὁ Χριστὸς ἐκεῖ δοξάζεται σήμερον· κἂν τὸν Ἰορδάνην ὅπου ἐπέρασεν ὁ τότε λαὸς ὑμῶν εἴπῃς, ἀλλὰ Χριστοῦ ἐκεῖ βαπτισθέντος, αὐτὸς παρ' ἡμῶν ἐκεῖ δοξάζεται· κἂν τὴν Ἱερουσαλὴμ καὶ τὴν Σιὼν εἴπῃς, ἀλλὰ Χριστοῦ ἐκεῖ σταυρωθέντος, τὰ αὐτοῦ παθήματα ἐκεῖ προσκυνοῦνται σήμερον· εἴτε τὸ ὄρος τῶν ἐλαιῶν εἴπῃς, ἀλλὰ Χριστοῦ ἐκεῖθεν ἀναληφθέντος, αὐτὸς ἐκεῖ δοξάζεται· κἂν τὴν Βηθλεὲμ πόλιν

Δαβὶδ εἴπῃς, ἀλλὰ Χριστοῦ ἐκεῖθεν γεννηθέντος, ὡς ἐν οὐρανῷ κἀκεῖ δοξάζεται πάντοτε· καὶ τί λέγω Βηθλεὲμ, καὶ Σιὼν, καὶ Ἰορδάνην; πάρελθε δύσιν, ἐπισκόπησον ἀνατολὴν, ἐκζήτησον τὴν ὑπ' οὐρανὸν, αὐτὰς τὰς βρεττανικὰς νήσους, αὐτὰ τὰ ἑσπέρια καὶ ἔσχατα τοῦ κόσμου· τὰ μὲν ἰουδαίων καὶ ἑλλήνων παλαιωθέντα καὶ ἀφανισθέντα, τὰ δὲ Χριστοῦ πάντα πιστευόμενα καὶ τιμώμενα καὶ βεβαιούμενα.

Καὶ μὴ εἴπῃς ὅτι σήμερον καταπονούμεθα οἱ χριστιανοὶ καὶ αἰχμαλωτιζόμεθα· τοῦτο γάρ ἐστι τὸ μέγα ὅτι καὶ ὑπὸ τοσούτων διωκομένη καὶ πολεμουμένη ἡ πίστις ἡμῶν, ἵσταται καὶ οὐ παύεται, οὐδὲ τὸ βασίλειον ἡμῶν καταργεῖται, οὐδὲ αἱ ἐκκλησίαι ἡμῶν κλείονται, ἀλλὰ ἀναμέσον τῶν ἐθνῶν τῶν κρατούντων καὶ διωκόντων ἡμᾶς, ἐκκλησίας ἔχομεν, καὶ σταυροὺς πήσσομεν, καὶ ἐκκλησίας οἰκοδομοῦμεν, θυσίας ἐπιτελοῦμεν. Εἶπεν ὅτι κηρυχθήσεται τὸ εὐαγγέλιον ἐν ὅλῳ τῷ κόσμῳ· ἆρα γέγονεν, ἢ οὔ; Εἶπε, πύλαι ᾅδου οὐ κατισχύσουσι τῆς αὐτοῦ ἐκκλησίας, ἤγουν τῆς πίστεως ἡμῶν· ἆρα ἐψεύσατο; οὐκ ἐγένοντο ἕλληνες καὶ αἱρεσιάρχαι πολλοὶ, καὶ τύραννοι ἰσχυροὶ, καὶ ἀσεβεῖς βασιλεῖς πολεμήσαντες τὴν πίστιν ἡμῶν, καὶ οὐκ ἠδυνήθησαν ταύτην σβέσαι; Εἶπεν ἡμῖν τοῖς εἰς αὐτὸν πιστεύουσιν ὅτι ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· ἄρτι ὑμεῖς εἴπατε, ἰουδαῖοι, οὐ διὰ τὸ ὄνομα τοῦ Χριστοῦ πάντα ὑμᾶς τὰ ἔθνη μισεῖ καὶ βδελύσσεται· κἂν οὖν ὑμεῖς ταῦτα ἅπαντα παρασιωπήσετε, οἱ λίθοι κεκράξονται· καὶ βλέπομεν ὅτι οὐχ εὕρηται ἀπ' ἀρχῆς αἰῶνος ἔθνος ὑπὸ πάντων πολεμηθὲν ἐπὶ χρόνους τοσούτους καὶ μὴ ἐξαλειφθὲν, εἰ μὴ μόνον τὸ τῶν χριστιανῶν ἔθνος, ὅπερ οὐκ ἂν ἔμεινεν ἀνεξάλειπτον οὕτως ὑπὸ πάντων ἐθνῶν πολεμούμενον, εἰ μὴ χεὶρ κυρίου διεφύλαττε, καὶ διαφυλάττει αὐτὸ ἀνεξάλειπτον· καὶ ἄλλο, ὅτι οὐδεὶς χριστιανῶν βασιλεὺς βαρβάροις ποτὲ παρεδόθη εἰς θάνατον, καίτοι γε τοσούτων ἐθνῶν τὸ βασίλειον πολεμησάντων· οὐ μόνον δὲ τὴν βασιλέα, ἀλλ' οὐδὲ τὴν ἑαυτοῦ εἰκόνα ἐκ τοῦ νομίσματος καταργῆσαι σὺν τῷ σταυρῷ ἴσχυσαν, καίπερ τινῶν τυράννων τοῦτο δοκιμασάντων· μὴ γὰρ ψιλόν τε καὶ εὐτελές σοι πρᾶγμα τοῦτο εἶναι νομισθῇ, ὅτι πάντοτε οὐκ ἐπαύσατο ἡ πίστις ἡμῶν πολεμουμένη καὶ ἱσταμένη καὶ μὴ ἐξαλειφομένη· εἰ γὰρ μὴ ὑπὲρ πάσας τὰς πίστεις τὴν ἡμετέραν ὁ Θεὸς ἐξελέξατο καὶ ἠγάπησεν, οὐκ ἂν ἀναμέσον τῶν ἐθνῶν ὡς λύκων ὄντων ἐφύλαττεν ἀνάλωτον.

Πλὴν οὐδὶ ἔμελλεν συγχωρεῖν ὁ θεὸς πεπλανημένην πίστιν κατακυριεύειν ἐπὶ πάντα τὰ πέρατα τῆς γῆς, εἰ μὴ ἦν ἡ οἰκονομία τῆς ἐνσάρκου παρουσίας Χριστοῦ τοῦ υἱοῦ αὐτοῦ καὶ Θεοῦ καὶ σωτῆρος ἡμῶν· ὅθεν καὶ αὐτὸ τοῦτο τὸ ἐν πᾶσι τοῖς ἔθνεσι πιστευθῆναι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ, μαρτυρίας ἐστὶν ἀψευδεστάτης, ὅτι οὐκ ἔστιν ἄλλη πίστις εὐσεβεστέρα ἐν τῇ ὑπ' οὐρανόν· ἆρα τοιοῦτος ἄδικος ὁ Θεός; μὴ γένοιτο· ὅτι ἐγίνωσκεν ὅτι πλανώμεθα οἱ χριστιανοὶ, ἤφιεν ἡμᾶς οὕτως· ἰδοὺ λοιπὸν πόσοι χρόνοι ἀπὸ Χριστοῦ ἀπολέσθαι τῇ πλά-

Digitized by Google

νη τοσοῦτον γένος καὶ πλῆθος ἀνθρώπων· μὴ γὰρ τοῦτο σκεπήσηται ἢ εἴπηται ὅτι ἄρτι εἰς τοσαῦτα ἔτη παιδευόμεθα ἀπὸ τῶν ἰσραηλιτῶν ἐθνῶν· ἀλλ' ἐκεῖνο μοι ἑρμήνευσαι, πῶς ἡμῖν τοῖς πλανωμένοις, ὡς λέγεται, τὴν βασιλείαν ὁ Θεὸς πάσης τῆς γῆς ἐπίστευσε; πῶς δὲ τὴν χρυσίου σφραγῖδα οὐδεὶς καταργῆσαι ἢ ἐπάραι ἐξ ἡμῶν ἴσχυσε; πόσοι βασιλεῖς ἐθνῶν περσῶν ἀρράβων τοῦτο ἐδοκίμασαν, καὶ οὐδ' ἀμῶς ἴσχυσαν; ἵνα δείξῃ ὁ Θεὸς ὅτι κἂν διωκόμεθα οἱ χριστιανοὶ, ἀλλ' ἡμεῖς πάντων βασιλεύομεν· τὸ γὰρ σημεῖον τοῦ χρυσίου τῆς βασιλείας ἡμῶν, σημεῖον τοῦ Χριστοῦ αὐτοῦ ἐστιν· ἐπεὶ εἰπέ μοι, εἰ μὴ σημεῖον ἦν ὅτι αἰώνιος καὶ ἀνίκητος καὶ ἀνεξάλειπτος ἦν ἡ πίστις καὶ ἡ βασιλεία τῶν χριστιανῶν, πῶς τὸν σταυρὸν τοῦ Χριστοῦ πάντες ὑμεῖς μισοῦντες καὶ βλασφημοῦντες, ἐκπεπτώκατε; πῶς τὸν σταυρὸν ἐκ τοῦ χρυσίου ἀπαλεῖψαι οὐ δύνασθε, ἀλλὰ καὶ τοῦτον προθύμως δέχεσθε; ἀλλὰ καὶ ἐὰν χρυσοῦν χωρὶς σταυροῦ ἴδητε, βδελύσσεσθε αὐτὸ καὶ ἀποστρέφεσθε; οὕτω καλῶς ὁ Δαβὶδ περὶ ὑμῶν εἶπεν, ὀφθαλμοὺς ἔχουσι καὶ οὐκ ὄψονται, καρδίας ἔχουσι καὶ οὐ συνιοῦσι· πῶς ὅπερ πολεμεῖτε, τοῦτο ποθεῖτε; καὶ ὅπερ βδελύσσεσθε, τοῦτο προθύμως δέχεσθε παραδόξως νικώμενοι· καὶ εἰ ἄρα νοῦν καὶ φρόνησιν εἴχετε, ἤρκει ὑμῖν καὶ πᾶσι τοῦτο τὸ σημεῖον εἰς τὸ δεῖξαι καὶ πεῖσαι ὑμᾶς, ὅτι ἡ πίστις καὶ ὁ σταυρὸς τοῦ Χριστοῦ εἰς αἰῶνας πάντοτε βασιλεύει· πόσοι τὴν πίστιν ἡμῶν καὶ τὴν ἐκκλησίαν καταλῦσαι ἐδοκίμασαν καὶ οὐκ ἴσχυσαν; ἀλλ' αὐτοὶ μὲν παρῆλθον, ὁ δὲ θεμέλιος τῆς ἐκκλησίας καὶ ἡ πίστις ἵσταται ἀσάλευτος διὰ Χριστὸν τὸν οὕτως ὁρίσαντα, ὅτι πύλαι ᾅδου οὐ κατισχύσουσιν αὐτήν.

Ποῦ ἐστὶν ὁ Διοκλητιανός; ποῦ ἐστὶν ὁ Νέρων; ποῦ ὁ Οὐεσπασιανός; ποῦ Ἡρώδης; ποῦ ὁ Μαξιμιανὸς, καὶ πάντες οἱ τῶν Χριστοῦ μάρτυρας ἀποκτείναντες, τὴν δὲ πίστιν ἡμῶν μὴ παύσαντες μηδὲ κλείσαντες; αὐτοὶ δὲ ἀπώλοντο καὶ διελύθησαν· ὁ δὲ Χριστὸς οὐκ ἐψεύσατο ἡμῖν εἰπὼν ὅτι ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου. Καὶ πάλιν· ὅτι ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἀχθήσεσθε ἕνεκεν ἐμοῦ. Ἐν οὖν ἐπιλέξασθε· ἢ μισεῖτε ἡμᾶς, ὄντως δεικνύετε Χριστὸν ἀληθεύοντα εἰπόντα ἡμῖν ὅτι ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου. Οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ἄλλα πολλὰ εἶπεν, ἅτινα καθ' ἡμέραν θεωροῦμεν γινόμενα, καὶ ἐπὶ πλεῖον αὐτὸν ὡς Θεὸν προσκυνοῦμεν· εἶπε, κηρυχθήσεται τὸ εὐαγγέλιον αὐτοῦ ἐν ὅλῳ τῷ κόσμῳ· εἶπεν, οὐ μὴ μείνῃ λίθος ἐπὶ λίθον εἰς τὸν ναὸν ὑμῶν· εἶπεν ὅτι ὁ μὴ ἀφίων πατέρα καὶ ἀδελφοὺς καὶ ἀδελφὰς οὐ δύναται ἀκολουθῆσαι μοι· εἶπεν ἡμῖν περὶ ἐλεημοσύνης κρυπτῶς αὐτὴν ποιεῖν· εἶπεν ἡμῖν, βαπτίζεσθε εἰς τὸ ὄνομα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· εἶπεν ἡμῖν μεθ' ὑμῶν εἰμι πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος· τίς οὖν ἐστὶν ὁ δυνάμενος ἐλέγξαι αὐτὸν ὅτι ἐψεύσατο ταῦτα εἰπόντα τὸν Χριστόν; οὐδεὶς πάντως· ἀλλὰ πάντα γεγόνασιν, ὡς προείπομεν καὶ γίνονται· ἄρα οὐκ ἐπισεν

ὁ ναὸς ὑμῶν καὶ ἐκάη; ἆρα οὐκ ἐκηρύχθη τὸ εὐαγγέλιον αὐτοῦ ἐν ὅλῳ τῷ κόσμῳ; ἆρα οὐ μισούμεθα οἱ χριστιανοὶ ὑπὸ πάντων τῶν ἐθνῶν διὰ τὸ ὄνομα αὐτοῦ; ἆρα οὐ θεωροῦμεν μυρίους ἀφιόντας πατέρας καὶ μητέρας, καὶ ἀκολουθοῦντας τῷ Χριστῷ; ἆρα οὐ βλέπομεν ἢ οὐ νοοῦμεν ὅτι μεθ' ἡμῶν ἐστιν ὁ Χριστὸς πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος, μὴ συγχωρῶν καταργηθῆναι τὴν πίστιν ἡμῶν; τίς οὖν βλέπων τὰ τοιαῦτα καὶ τὰ τοσαῦτα αὐτοῦ ῥήματα καὶ πράγματα ἅπερ πρὸ χρόνων ὀκτακοσίων ἢ καὶ ἐπέκεινα προεῖπεν, σήμερον καὶ καθ' ἡμέραν γινόμενα καὶ λάμποντα, δύναται ἀπιστῆσαι ἢ σκανδαλισθῆναι εἰς αὐτόν; μὴ γένοιτο· ὥστε τῷ βουλομένῳ ἐντεῦθεν ἔστι μαθεῖν ὅτι οὐχ ὑπάρχει ἑτέρα πίστις εὐσεβεστέρα ἐπὶ τῆς γῆς, ἀλλ' ἡ μόνη ἡ εἰς Χριστόν. Αὐτῷ ἡ δόξα καὶ τὸ κράτος. Ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ ΔΕΥΤΕΡΑ ΕΡΩΤΗΣΙΣ.

Καὶ γὰρ ἅπαντα τὰ περὶ αὐτοῦ οἱ προφῆται προεκήρυξαν, ἀλλ' ὑμεῖς οὐκ ἐμβλέπετε· εἰ δὲ λέγετε ὅτι ἐὰν οἱ προφῆται ὑμῶν Χριστοῦ εἰπόντες διὰ τί μὴ φανερῶς καὶ διαρρήδην εἶπον ἡμῖν; ὅτι ἵνα εἰδῆτε, ἰουδαῖοι, ὅτι ὁ Χριστὸς μέλλει ἐλθεῖν καὶ παῦσαι τὸν νόμον καὶ τὰς θυσίας τοῦ νόμου· καὶ λέγω σοι ὅτι εἰ εἶπον οὕτως γυμνὸν τὸ πρᾶγμα, εὐθέως ἐλιθάζετε αὐτοὺς καὶ τὰς βίβλους αὐτῶν ἐκαίετε· καὶ ἡμεῖς λοιπὸν εἰς τοῦτο ἐβλεπόμεθα· ἄρτι γὰρ ἐκ τῶν προφητῶν ὑμῶν ὑμᾶς καταισχύνομεν, ὅλα τὰ τοῦ Χριστοῦ ἐξ αὐτῶν ὑμᾶς ἐλέγχοντες καὶ παριστῶντες· ὁ Δαβὶδ μὲν γὰρ λέγει, ἔκλινεν οὐρανοὺς καὶ κατέβη. Ἡσαΐας λέγει, ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱόν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ· ἰδοὺ ἡ γέννησις. Καὶ πάλιν ὁ αὐτὸς προφήτης λέγει, οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν· καὶ μετὰ ταῦτα ἐπὶ γῆς ὤφθη καὶ τοῖς ἀνθρώποις συνανεστράφη· ἰδοὺ μετὰ τῶν ἀνθρώπων αὐτοῦ συναναστροφή· καὶ οὐκ ἦν δυνατὸν ἄλλως πῶς αὐτὸν τοῖς ἀνθρώποις ὀφθῆναι, γυμνῇ τῇ θεότητι συναναστραφῆναι, εἰ μὴ τὴν ἀνθρωπείαν φύσιν καὶ σάρκα ἐφόρεσε καὶ ἐνεδύσατο. Καὶ ὁ Μωϋσῆς μετὰ τὸ ἰδεῖν τὴν δόξαν τοῦ Θεοῦ, ὥστε μὴ δύνασθαι τοὺς υἱοὺς Ἰσραὴλ ὁρᾷν τὸ πρόσωπον αὐτοῦ ἀνακεκαλυμμένον, εἰ μὴ ἐπετίθετο τὸ κάλυμμα, εἶπε πρὸς αὐτοὺς οὕτως " ὅτι προφήτην ὑμῖν ἀναστήσει κύριος ὁ Θεὸς ἡμῶν ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμέ ". Τί ἐστι τὸ ὡς ἐμέ; ὥσπερ γὰρ τὸ πρόσωπον Μωϋσέως ἐδοξάσθη, καὶ διὰ τὸ μὴ δύνασθαι τοὺς υἱοὺς Ἰσραὴλ ἀτενίζειν τὴν δόξαν αὐτοῦ, ἐτίθει κάλυμμα τῷ προσώπῳ, εἶθ' οὕτως αὐτοῖς ὡμίλει· οὕτως καὶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ ἀντὶ περιβολῆς ἴσχει τὸν ναὸν τοῦ σώματος, κρύπτων αὐτοῦ τὴν θεότητα, μεσίτης γενόμενος Θεοῦ καὶ ἀνθρώπων· ὁ μεσιτεύων κρεῖττον ἢ παρὰ Μωϋσεῖ, ἀνθρώπους μὲν πρὸς Θεόν, Θεὸν δὲ πρὸς ἀνθρώπους· καὶ γὰρ κρείττων ἐστὶ μείζων δεσπότης παρὰ δούλου· ὁ

γὰρ Μωϋσῆς δοῦλος ὑπῆρχεν· ὁ δὲ Χριστὸς καθ' ὃ Θεός, δεσπότης· καὶ διὰ τοῦτο, ὡς ἐμέ, διὰ τὸ ἔνδυμα καὶ τὴν μεσιτείαν· καὶ ὅτι ὅστις οὐκ ἀκούσῃ τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται ἡ ψυχὴ αὐτοῦ ἐκ τοῦ λαοῦ αὐτοῦ· καὶ ὅτι αὐτός ἐστιν ὁ λυτρούμενος τὸν Ἰσραήλ, ὁ ἐνανθρωπήσας κύριος, καὶ συναναστραφεὶς ἡμῖν τοῖς ἀνθρώποις, καὶ οὐκ ἄλλος.

Ἄνωθεν Ἱερεμίας εἴρηκεν εἰπών, ὅτι οὗτος ὁ Θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν, καὶ τὰ ἑξῆς. Καὶ ὁ προφήτης Ἡσαΐας λέγει. οὐκ ἄγγελος, οὐ πρέσβυς, ἀλλ' αὐτὸς ὁ κύριος ἥξει καὶ σώσει ἡμᾶς· καὶ ὅτι ἔμελλον τὰ ἔθνη πιστεῦσαι καὶ ἀποστῆναι ὑμᾶς τῶν ἰουδαίων διὰ τὴν ὑμῶν ἀπιστίαν. Ὁ προφήτης Ὠσηὲ λέγει, καλέσω τὸν οὐ λαόν μου, λαόν μου, ἤγουν τὰ πιστεύσαντα εἰς αὐτὸν ἔθνη. Καὶ ὁ Δαβὶδ δεικνὺς ὅτι ὁ Θεὸς διὰ τὰ ἔθνη σαρκοῦσθαι ἔμελλεν, εἶπεν· ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη· διὰ τί οὐκ εἶπεν ἐβασίλευσεν ἐπὶ τῶν ἰουδαίων; Ὅτι μὲν βασιλεύς ἐστιν ὁ Θεὸς ἐπὶ πάντας, δῆλον ἦν· ἀλλ' οὐκ ἦν τοῖς ἔθνεσι πρὸ τοῦ πιστεῦσαι ἐν ἐπιγνώσει, διὰ τὸ ὑπὸ τῆς εἰδωλολατρείας κατέχεσθαι αὐτῶν, καὶ ὑπὸ τῶν δαιμόνων δεσποζομένους τυραννικῶς· διὰ δὲ τῆς ἐνσάρκου αὐτοῦ οἰκονομίας ἠλευθέρωσεν ἡμᾶς ἀπὸ τῶν εἰδώλων διὰ τοῦ ἰδίου αἵματος αὐτοῦ, οὗ ἐξέχεεν ἐπὶ τοῦ σταυροῦ, καὶ ἐβασίλευσεν εἰς ἡμᾶς, διότι ἐπιστεύσαμεν εἰς αὐτόν. Διὸ καὶ πάλιν λέγει. « πάντα ἔθνη ὅσα ἐποίησας, ἥξουσι καὶ προσκυνήσουσιν ἐνώπιόν „ σου κύριε »· ὅσοι μὲν ἐν τῷ νῦν αἰῶνι προσέλθωσιν αὐτῷ διὰ τοῦ ἁγίου βαπτίσματος· καθάπερ ὁ αὐτὸς προφήτης ἡμῖν παρῄνεσε, λέγων· « προσέλθατε πρὸς αὐτόν, καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ ». Καὶ ἄλλος προφήτης λέγει « λούσασθε, καθαροὶ γίνεσθε, „ ἀφέλετε τὰς πονηρίας ὑμῶν ἀπὸ τῶν καρδιῶν ὑμῶν ». Καὶ εἰ οὕτως αὐτῷ προσέλθωσι, μισθὸν λήψονται τῆς πίστεως, τὸ χωρὶς λατρείας νόμου διὰ τῆς πίστεως σωθῆναι· ὅσοι δὲ νῦν μὴ θελήσωσιν αὐτῷ προσελθεῖν ἐν τῷ μέλλοντι αἰῶνι καὶ μὴ βουλόμενοι, αὐτὸν μετ' αἰσχύνης μεγάλης καὶ φόβου καὶ τρόμου πολλοῦ προσκυνήσουσι· καθὼς ὁ προφήτης εἶπε « κύριε ὑψηλός σου ὁ βραχίων. καὶ οὐκ ᾔδεσαν »· ἤγουν νῦν ἠπίστησαν. γνόντες δὲ αἰσχυνθήτωσαν, τουτέστιν ἐν τῷ μέλλοντι ὃν νῦν ἠπίστησαν Χριστόν, τότε γνώσονται καὶ αἰσχυνθήσονται, καὶ τῷ ἀσβέστῳ πυρὶ παρ' αὐτοῦ παραπεμφθήσονται αἰωνίως κολαζόμενοι· ὅτι ἐκ Σιὼν ἔμελλε φανεροῦσθαι ὁ Χριστός, καὶ ὅτι ὕψιστός ἐστι, καὶ αὐτὸς τὴν Σιὼν ἐθεμελίωσεν. Εἶπεν ὁ Δαβὶδ « μήτηρ Σιὼν ἐρεῖ ἄνθρωπος, καὶ „ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ, καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ ὕψιστος ».

Ὅτι δὲ βαπτισθῆναι ἐν τῷ Ἰορδάνῃ, καὶ μαρτυρηθῆναι αὐτὸν ἄνωθεν παρὰ τοῦ Θεοῦ καὶ πατρός, εἶπε « φωνὴ κυρίου ἐπὶ ὑδάτων· ὁ Θεὸς τῆς δόξης ἐβρόντησε· κύριος ἐπὶ ὑδάτων πολλῶν ». Ὅτι δὲ διὰ τοῦ ἁγίου αὐτοῦ βαπτίσματος συνέτριψε τὸν διάβολον καὶ τὰς δυνάμεις αὐτοῦ, λέγει· « σὺ συνέτριψας „ τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος » τουτέστι τῶν δαιμόνων· συνέθλα-

σας τὴν κεφαλὴν τοῦ δράκοντος, τουτέστι τοῦ διαβόλου. Τὸ δὲ, ποιητὴς οὐρανοῦ καὶ καὶ γῆς καὶ θαλάσσης, αὐτός ἐστιν ὁ Χριστὸς, καὶ ἐν τῇ θαλάσσῃ περιπατῆσαι αὐτὸν ὡς ἐπ' ἐδάφους· καὶ ὅτι ἰάσεις πολλὰς ποιῆσαι ἐν τῷ λαῷ, καὶ ὅτι ὑπὲρ τοῦ κόσμου ἔμελλε παθεῖν, ἡ βίβλος Ἰὼβ οὕτως λέγει “ ὁ τανύσας τὸν οὐ-
,, ρανὸν μόνος, ὁ περιπατήσας ἐπ' θαλάσσης ὡς ἐπ' ἐδάφους ,,. Καὶ ὁ προφήτης λέγει· “ τότε ὀφθαλμοὶ τυφλῶν ἀνοιχθήσονται, καὶ τρανὴ ἔσται γλῶσσα
,, μογγιλάλων· τότε ὁ χωλὸς ὡς ἔλαφος ἁλεῖται ,,. Ὅτι δὲ ἐλθεῖν ἔμελλε ὁ κύριος ἡμῶν Ἰησοῦς χριστὸς τοῦ παθεῖν ἐν Ἱερουσαλὴμ καθεζόμενος ἐπὶ πώλου ὄνου ὑποζυγίου ὡς βασιλεὺς παρὼν, ὁ προφήτης Ζαχαρίας λέγει “ χαῖρε
,, σφόδρα θύγατερ Σιὼν, κήρυσσε θύγατερ Ἱερουσαλήμ· ἰδοὺ ὁ βασιλεύς σου
,, ἔρχεται δίκαιος καὶ σώζων, αὐτὸς πρᾳῢς καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζυγίου καὶ
,, πῶλον ,,. Ὅτι δὲ καὶ ὑπὸ τῶν παίδων ὑμῶν τῶν ἰουδαίων τὸ ὡσαννὰ εὐφημίσθη ὑπὸ θεοῦ τοῦτο διδαχθέντες, ὁ Δαβὶδ προανεφώνησεν “ ἐκ στόματος νηπίων
,, καὶ θηλαζόντων κατηρτίσω αἶνον ,,. Ὁ δὲ Ἡσαΐας “ αὐτὸς τὰς ἀσθενείας
,, ἡμῶν ἦρε καὶ τὰς νόσους ἐβάστασε, καὶ ὑπὲρ ἡμῶν ὀδυνᾶται ,,.

Οὐχ ὁρᾷς, ὦ ἰουδαῖε, πῶς ἤδη πληρωθῆναι εἰς αὐτὸν τὰς γραφὰς τῶν προφητῶν; περὶ γὰρ τοῦ προδοῦναι αὐτὸν παρὰ τοῦ Ἰούδα ἑνὸς τῶν ιβ΄ μαθητῶν αὐτοῦ, ὁ ψαλμὸς λέγει “ ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; παρέστησαν οἱ
,, βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτό ,,. Συνήχθησαν γὰρ ἐπ' ἀληθείας ἐπὶ τὸν ἅγιον παῖδα τοῦ θεοῦ Ἰησοῦν, ὅς ἐστι Χριστὸς, Ἡρώδης τε καὶ Πόντιος Πιλᾶτος σὺν ἔθνεσι καὶ λαοῖς Ἰσραὴλ ,,. Καὶ ὁ Δαβὶδ λέγει περὶ αὐτοῦ “ ὤρυξαν χεῖράς μου καὶ πόδας μου, καὶ διεμερίσαντο τὰ ἱμάτιά μου
,, ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλλον κλῆρον· ἐξηρίθμησαν πάντα τὰ
,, ὀστᾶ μου ,,. Ἰδοὺ καὶ ἡ σταύρωσις, καὶ ὅτι ὄξος μετὰ χολῆς αὐτὸν ἐπότισαν. Ὁ αὐτὸς Δαβὶδ πάλιν εἶπεν “ ἔδωκαν εἰς τὸ βρῶμά μου χολὴν, καὶ εἰς τὴν
,, δίψαν μου ἐπότισάν με ὄξος ,,. Ἆρα ἐψεύσαντο οἱ προφῆται καὶ οἱ εὐαγγελισταὶ ἡμῶν τῶν χριστιανῶν, τὰ ἴσα τούτων εἰπόντες, ὅτι ταῦτα ἔπαθεν ὁ Χριστός; καὶ εἰ οἱ εὐαγγελισταὶ ἡμῶν ἐψεύσαντο, καὶ οἱ προφῆται λοιπὸν ἐψεύσαντο τὰ ὅμοια τούτων εἰπόντες. Θέλεις ἀκοῦσαι καὶ περὶ τῆς ταφῆς αὐτοῦ; ὁ προφήτης λέγει ἐν βίβλῳ ψαλμῶν “ ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου, καὶ ἐγυμνώθη ὡσεὶ ἄνθρωπος ἀβοήθητος, ἐν νεκροῖς ἐλεύθερος, τουτέστιν ἀναμάρτητος. Καὶ ἐν τῷ Ἰὼβ λέγει “ ἀνοίγονταί σοι φόβῳ
,, πύλαι θανάτου, πυλωροὶ δὲ ᾅδου ἰδόντες σε ἔπτηξαν ,, δηλονότι αἱ τῶν ἐναντίων δαιμόνων δυνάμεις αἱ ἐν τῷ ᾅδῃ. Ὅτι δὲ πολλὰ σώματα τῶν κεκοιμημένων ἀπ' αἰῶνος ἁγίων ὁ Χριστὸς ἐν τῷ σταυρῷ κρεμάμενος ἤγειρεν ἐκ τῶν νεκρῶν, ὁ ψαλμῳδὸς εἶπεν “ ὁ ἐξάγων πεπεδημένους ἐν ἀνδρείᾳ· ὁμοίως τοὺς παραπικραίνοντας τοὺς κατοικοῦντας ἐν τάφοις. Ἀλλὰ καὶ περὶ τῆς τριημέρου αὐτοῦ ταφῆς καὶ τῆς ἀναστάσεως ὁ προφήτης Ὠσηὲ λέγει οὕτως “ ζητήσωμεν τὸν κύριον, καὶ ἀ-

Digitized by Google

„ γιάσει ἡμᾶς μεθ' ἡμέρας δύο, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσομαι „. Ὅτι δὲ ἡ ψυχὴ αὐτοῦ ἐν ᾅδῃ οὐ καταλέλειπται, οὐδὲ ἡ σὰρξ αὐτοῦ εἶδε διαφθορὰν, ὁ Δαβὶδ λέγει· " οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώ- „ σεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν „. Μὴ νομίσῃς δὲ ὅτι περὶ ἑαυτοῦ εἶπεν ὁ Δαβὶδ καὶ οὐ περὶ Χριστοῦ· ὁ δὲ Δαβὶδ μὲν τῇ ἰδίᾳ γενεᾷ ὑπηρετήσας τῇ τοῦ Θεοῦ βουλῇ, ἐκοιμήθη καὶ προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ, καὶ οἶδε διαφθοράν· αὐτὸς γὰρ ὁ Θεὸς τὴν ἀνθρωπίνην φύσιν ἣν ἀνέλαβεν ἀνέστησε. Καὶ ἀλλαχοῦ γέγραπται " καὶ ἔσται ἡ ἀνάπαυσις αὐτοῦ, τιμὴ „ τουτέστιν ἡ μὲν ἀνάπαυσις, ταφή· ἡ δὲ τιμὴ, ἀνάστασις.

Λοιπὸν τίς ταῦτα ἀκούων ἐκ τῶν προφητῶν περὶ τοῦ Χριστοῦ, οὐχ ὁμολογεῖ αὐτὸν Θεὸν ἀληθινὸν διὰ τὴν τοῦ κόσμου σωτηρίαν ἐνανθρωπήσαντα, εἴδωλά τε καταργήσαντα, θυσίας δαιμόνων καταστρέψαντα; Ποῦ εἰσὶν αἱ θυσίαι Αἰγύπτου; ποῦ αἱ μαντεῖαι Μέμφεως; ποῦ Σεβέννυτος ἡ τὸν Σίμωνα σεβομένη; ποῦ Νοῦφις ἡ τὸν οἶνον προσκυνοῦσα; ποῦ εἰσὶ σήμερον οἱ τὸν ἥλιον σεβόμενοι; ποῦ τῆς Ἀρτέμιδος ὁ ναός; ποῦ τοῦ ναοῦ Κυζίκου αἱ μαντεῖαι Ἀπόλλωνος καὶ πάντων τῶν δαιμόνων; τοῦ γὰρ Χριστοῦ φανέντος καὶ σταυροῦ παγέντος, ὁ Θεὸς πανταχοῦ προσκυνεῖται καὶ δοξάζεται. Καὶ οὐκ αἰσχύνεσθε, ἰουδαῖοι, εἰδωλοθύτας ἡμᾶς καὶ εἰδωλολάτρας ὀνομάζοντες; Ὅμως οὐδὲν ξένον· πᾶσα γὰρ πόρνη τῇ ἐλευθέρᾳ γυναικὶ τὸ ἴδιον ὄνομα περιτίθησι κράζουσα αὐτῇ πεπορνευμένη. Καὶ γὰρ Ἡσαΐου καὶ Ἱερεμίου καὶ τῶν λοιπῶν προφητῶν, οὐ μὴν ἀλλὰ καὶ αὐτοῦ τοῦ Χριστοῦ, οὐκ ἐφείσασθε, καὶ πῶς ἡμῖν τοῖς χριστιανοῖς ἔχετε φείσασθαι; Ἀλλ' εἰ καὶ εἴχετε ὑμεῖς ἐξουσίαν, καὶ ἡμεῖς σήμερον ἔχομεν, οὐκ ἂν ἐάσατε ἕνα ἐξ ἡμῶν μέσον ὑμῶν ζῆσαι, καθάπερ ἡμεῖς ὑμᾶς ἀνεχόμεθα. Ἐπειδὴ δὲ εἴπατε, διὰ τί οὐκ εἶπαν οἱ προφῆται φανερῶς καὶ γυμνῷ τῷ πράγματι περὶ τοῦ Χριστοῦ, ἐρωτῶ κἀγὼ ὑμᾶς τοῦτο δὲ, πῶς οὐκ εἶπον οἱ προφῆται περὶ τοῦ Χριστοῦ ὑμῖν τοῖς ἰουδαίοις, ὅτε βλέπετε, ἐλθεῖν ἔχει ἄνθρωπος καλούμενος Ἰησοῦς, μὴ πιστεύσατε αὐτῷ ὅτι πλάνος ἐστίν; ἀλλ' οὕτως τὸν ἀληθινὸν Χριστὸν καὶ Θεὸν, ὃν οἱ προφῆται προεκήρυξαν, μὴ θελήσαντες πιστεῦσαι, πλάνον καὶ οὐ Χριστὸν ἐκδέχεσθε.

Εἰ δὲ εἴπῃ ὁ ἰουδαῖος ὅτι πῶς τοῦ Θεοῦ παραγγείλαντος μὴ προσκυνεῖν ξύλα ἢ λίθον καὶ ἔργα χειρῶν ἀνθρώπων, πῶς ὑμεῖς οἱ χριστιανοὶ, αὐτὰ προσκυνεῖτε καὶ σέβεσθε, ποιοῦντες αὐτῶν σταυροὺς καὶ εἰκόνας, εἰπὲ αὐτῷ· λέγε μοι καὶ σὺ, ἰουδαῖε, διὰ τί καὶ σὺ προσκυνεῖς τὸ βιβλίον τοῦ νόμου, ἐπειδὴ ἐκ δερμάτων τυγχάνει καὶ ἐν ἀκαθαρσίᾳ βεβυρσευμένον; διὰ τί δὲ καὶ ὁ Ἰακὼβ ὁ πατριάρχης προσεκύνησεν ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου τοῦ Ἰωσήφ. Καὶ εἰ μὲν ἔχεις εἰπεῖν ὅτι κἀγὼ προσκυνῶ τοῦ νόμου τὸ βιβλίον, οὐ τὴν φύσιν τῶν δερμάτων προσκυνῶ, ἀλλὰ τὴν δύναμιν τῶν ῥημάτων· καὶ ὁ Ἰακὼβ προσκυνήσας τὴν ῥάβδον, οὐ τὸ ξύλον προσεκύνησεν, ἀλλὰ τὸν κρατοῦντα αὐτὴν Ἰωσὴφ, εἰπὲ αὐτῷ, ὅτι οὕτως καὶ ἡμεῖς

οἱ χριστιανοὶ προσκυνοῦντες τὸν Χριστοῦ σταυρὸν, οὐ τὴν φύσιν τοῦ ξύλου προσκυνοῦμεθα, μὴ γένοιτο, ἀλλὰ Χριστὸν τὸν σταυρωθέντα ἐν αὐτῷ. Καὶ ὥσπερ ὑμεῖς ἐὰν εὕρατε ἄρτι τὰς δύο πλάκας καὶ τὰ δύο χερουβὶμ τὰ χρυσᾶ ἅπερ ἐποίησε Μωϋσῆς καὶ τὴν κιβωτὸν, προσκυνήσατε ἂν αὐτὰ τιμῶντες τὸν ἐπιτάξαντα ταῦτα, τῷ αὐτῷ τρόπῳ καὶ ἡμεῖς τὰς εἰκόνας προσκυνοῦντες, οὐ τὸ ξύλον προσκυνοῦμεθα, μὴ γένοιτο, ἀλλὰ Χριστὸν τιμῶντες, καὶ τῶν ἁγίους αὐτοῦ· καὶ οὔτε τὸ ξύλον οὔτε τὴν ζωγραφίαν προσκυνοῦμεθα, ἐπεὶ πολλάκις τὰς εἰκόνας παλαιωμένας ἀπαλείφομεθα καὶ ἀνακαινίζομεθα, ἢ καὶ σαθρωθείσας καίομεθα, καὶ ἄλλας καινουργίας ποιοῦμεθα, πρὸς ὑπόμνησιν ἀγαθὸν μόνον. Ὑμεῖς δὲ ἐκεῖνο μοι εἴπατε διὰ τί τὴν εἰκόνα τὴν ἐν Βαβυλῶνι Ναβουχοδονόσορ προσκυνήσατε; καί τοι γε ἔχοντες ἐκεῖ τὸν Δανιὴλ καὶ ἄλλους προφήτας διδάσκοντας ὑμᾶς; κἀγὼ μὲν ὁ χριστιανὸς προσκυνῶν εἰκόνα τοῦ Χριστοῦ, λέγω δόξα ὁ Θεὸς τῶν ἁγίων, οὐ λέγω δόξα ξύλου ἢ ζωγραφίας· σὺ δὲ προσκυνήσας τὴν εἰκόνα, εἶπας δόξα Ναβουχοδονόσορ· ἐγὼ προσκυνῶ τὸν σταυρὸν, οὐ λέγω δόξα ξύλου, μὴ γένοιτο· σὺ δὲ προσκυνεῖς τὸν μόσχον, λέγεις οὗτοι οἱ θεοί σου Ἰσραὴλ οἱ ἐξαγαγόντες σε ἐκ γῆς Αἰγύπτου· ἡμεῖς δὲ οἱ χριστιανοὶ αἰχμαλωτιζόμενοι πολλὰ ἔτη καὶ καταπονούμενοι, τὸν Θεὸν οὐκ ἀρνούμεθα.

Εἰ δὲ καί τινες χριστιανοὶ ἠρνήσαντο, ἀλλ' οὐ τοσοῦτοι ὡς ὑμεῖς ἐν Βαβυλῶνι, μήτε τυφθέντες μήτε διαρέντες, ἀλλ' ἀπὸ ψιλοῦ ῥήματος πάντες ἠρνήσασθε, καὶ εἰκόνα προσεκυνήσατε ἀνθρώπου· καὶ εἰ μὴ οἱ τρεῖς παῖδες πίστιν τῷ Θεῷ ἐφύλαξαν, ποῦ εἰπέ μοι πίστιν ἐφυλάξατε τῷ Θεῷ; καίτοι γε τοσαῦτα σημεῖα θεωρήσαντες ἐν παντὶ τόπῳ, ἐν Αἰγύπτῳ ὑπὸ Μωϋσέως, ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ, ἐν τῇ ἐρήμῳ, ἐν στύλῳ πυρὸς, ἐν νεφέλῃ φωτὸς, ἐν τῷ ὄρει Σινᾶ· πότε ὁ Θεὸς τοιαῦτα ἀγαθὰ τινὶ ἐποίησεν; πότε ὁ Θεὸς τινὶ ἐλάλησεν οὕτως διὰ νόμων καὶ σαλπίγγων, ἀγγελικῶν καὶ σημείων τοιούτων νόμον δώσας ὑμῖν, μάννα βρέξας, προφήτας ἐν ὑμῖν ἀποστείλας, τὰ ἔθνη ὑποτάξας, ἀλλοφύλους ἐξολοθρεύσας, τὰς πλάκας ἐπιδώσας, τὴν σκηνὴν ὑμῶν αὐτὸς διατυπώσας, Μωϋσέα δεύτερον θεὸν τοποποιοῦντα αὐτὸν πρὸς ὑμᾶς καταστήσας; ὢ τῆς πολλῆς ὑμῶν πωρώσεως, ὢ τῆς κακῆς γνώμης. ὢ τῆς ἀχαρίστου ὑμῶν προαιρέσεως καὶ ἐθελουσίου τυφλώσεως· ἄνω ἐν τῷ ὄρει Μωϋσῆς ὑπὲρ ὑμῶν ἠγωνίζετο, καὶ κάτω ὑμεῖς τὸν μόσχον ἐχωνεύετε· ἄνω ἐκεῖνος τὸν Θεὸν παρεκάλει, καὶ κάτω σὺ τὸν Θεὸν παρώργιζες, καὶ τὸν μόσχον προσεκύνεις· τὸ μάννα ἤσθιες, καὶ τὸν Θεὸν ὠνείδιζες· λέγει γὰρ ὁ Δαβὶδ ὅτι ἔτι τῆς βρώσεως οὔσης ἐν τῷ στόματι αὐτῶν, καὶ ὀργὴ τοῦ Θεοῦ ἀνέβη ἐπ' αὐτούς. Καὶ ἡμᾶς τῶν χριστιανοὺς τί ὑμεῖς ἔχετε εἰπεῖν, ὅτι τὸν υἱὸν τοῦ Θεοῦ προσκυνοῦμεθα; Ἀλλ' εἴπατε, διὰ τί ὑμεῖς τῶν υἱοὺς ὑμῶν καὶ τὰς θυγατέρας, ὡς λέγει Δαβὶδ, ἐθύσατε τοῖς δαιμονίοις τῷ Βεελφεγώρ; τί γάρ; ὑμεῖς ὅλως πίστιν ἔχετε; μὴ γένοιτο· ἄκουσον Μωϋσέως λέγοντος πρὸς τὸν λαὸν (καίτοι γε τότε θεοσεβὴς

ἦν ὁ λαὸς τῶν Ἑβραίων) ἀλλ' ἄκουσον τί λέγει Μωϋσῆς· „ὅτι γενεὰ ἐξεστραμμένη εἰσὶν, ᾗ οὐκ ἔστι πίστις ἐν αὐτῇ. Καὶ πάλιν, γενεὰ σκολιὰ καὶ διεστραμμένη, ταῦτα κυρίῳ ἀνταποδίδοται„; καὶ ἄλλαι μυρίαι μαρτυρίαι περὶ ὑμῶν πονηραί εἰσιν ἐν ταῖς προφητείαις ὑμῶν ἐκ τοῦ Θεοῦ εἰρημέναι· „υἱοὺς γάρ φησιν ἐγέννησα καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν· ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ, Ἰσραὴλ δέ με οὐκ ἔγνω, καὶ ὁ λαός μου οὐ συνῆκεν· οὐαὶ ἔθνος ἁμαρτωλὸν, λαὸς πλήρης ἁμαρτιῶν." Καὶ πάλιν ὁ αὐτὸς προφήτης Ἡσαΐας πρὸς ὑμᾶς „ἀκούσατε λόγον κυρίου, οἶκος Σοδόμων· προσέχετε νόμον Θεοῦ, λαὸς Γομόῤῥας ..." Ὁρᾶτε ὅτι καὶ Σοδομίτας καὶ ἀπίστους, καὶ λαὸν μωρὸν τοὺς Ἰουδαίους λέγει ὁ Θεὸς, καὶ εἰδωλοθύτας, καὶ ἀχαρίστους, καὶ γενεὰν πονηρὰν καὶ διεστραμμένην, καὶ τέκνα μωμητά; „Καὶ ἔθυσαν δαιμονίοις καὶ οὐ Θεῷ, καὶ ἐγκατέλιπεν Θεὸν τὸν ποιήσαντα αὐτοὺς, καὶ ἀπέστησαν ἀπὸ Θεοῦ σωτῆρος αὐτῶν ..."

Ἐρευνήσωμεν οὖν τὰς γραφὰς λοιπὸν, ἐὰν περὶ ἄλλου οἱουδήποτε ἔθνους τοσαῦτα ὁ Θεὸς κατήγγειλεν· καὶ γὰρ ἐν Ἱεροσολύμοις πεντήκοντα δύο ἔτη ἐποιήσατε θύοντες ἐν τῷ ναῷ τοῦ Θεοῦ τοῖς εἰδώλοις ἐπὶ Μανασσῆ τοῦ βασιλέως ὑμῶν, βεβηλώσαντες τὸν ναὸν καὶ τὴν πόλιν τοῦ Θεοῦ· διὰ τοῦτο ἐν Βαβυλῶνι καὶ ἅπαξ καὶ δὶς παρέδωκεν ὑμᾶς ὁ Θεὸς τοῖς Χαλδαίοις εἰς αἰχμαλωσίαν· εἶτα πάλιν ὑμᾶς μεθ' ἑβδομήκοντα ἔτη ἀνεκαλέσατο. Ἄρτι οὖν τοῦτο θέλω μαθεῖν ἐξ ὑμῶν· μετὰ τὸ ἀνελθεῖν ὑμᾶς ἐκ τῆς Βαβυλῶνος, καὶ κτισθῆναι ἐκ δευτέρου τὸν ναὸν ὑμῶν ἐν Ἱεροσολύμοις, καὶ ὑμᾶς ἐν αὐτῷ τῷ Θεῷ προσκυνοῦντας οὐκέτι τοῖς εἰδώλοις ἐθύσατε; ποίαν ἁμαρτίαν ἐποιήσατε ἐνώπιον τοῦ Θεοῦ; ὅτι ἰδοὺ ὀκτακόσια καὶ πλείονα ἔτη ἐν πάσῃ τῇ γῇ διεσκόρπισεν ὑμᾶς ὁ Θεὸς καὶ ἤγαγε Τίτον καὶ Οὐεσπασιανὸν ἀπὸ Ῥώμης, καὶ ἔσφαξαν ἐξ ὑμῶν κατὰ ἑκατὸν μυριάδας ἐν Ἱεροσολύμοις, ὡς λέγει ὁ Ἰώσηππος ὁ ὑμῶν συγγραφεὺς μόνος ταῦτα ἐκθέμενος· καὶ ἐνεπύρισαν τὸν ναὸν ὑμῶν, καὶ ἠρήμωσαν τὸ θυσιαστήριον καὶ τὰ ἅγια, καὶ τὴν πόλιν πᾶσαν καὶ τὴν Σιὼν, καὶ ᾐχμαλώτευσαν ὑμᾶς· καὶ ἐστὲ ἐν πάσῃ τῇ γῇ διεσπαρμένοι καὶ παρανομοῦντες ἕως τῆς σήμερον. Καὶ ἰδοὺ ὀκτακόσια καὶ πλείονα ἔτη, ὡς εἴπομεν, οὐ θυσιαστήριον, οὐ κιβωτὸν, οὐ τόπον τοῦ πάσχα φυλάττοντες· εἶπε γὰρ ὁ Θεὸς ὑμῖν, μηδαμοῦ ποιήσετε τὸ πάσχα εἰ μὴ ἐν Ἱερουσαλήμ· μηδὲ εἰς Αἴγυπτον εἰσελθεῖν· ἰδοὺ οἱ πατέρες ὑμῶν ἁμαρτήσαντες ἀπέλαβον δεύτερον ἐν Βαβυλῶνι αἰχμαλωτευθέντες ἐκ δευτέρου, καὶ δευτέρου τοῦ ναοῦ ἐρημωθέντος, καὶ διαλλαγῆναι αὐτοῖς τὸν Θεὸν καὶ οἰκοδομηθῆναι τὸν ναόν· ὑμεῖς ἣ ποίαν ἁμαρτίαν ἐποιήσατε, ἐν τοιαύτῃ μεγάλῃ, ὅτι οὐκέτι ἤγειρεν ὑμῖν τὸν ναὸν ὁ Θεός; οὐκέτι ἀνήγαγεν ὑμᾶς ἐκ τῶν ἐχθρῶν; ἆρα εἰδώλοις ἐθύσατε ὑμεῖς, ὡς οἱ πατέρες ὑμῶν, τοὺς υἱοὺς ὑμῶν καὶ τὰς θυγατέρας; ἆρα εἰκόνι προσεκυνήσατε ὡς ἐκεῖνοι; οὐδαμῶς· ἆρα εἰς τὸν ναὸν εἴδωλον ἐστήσατε, ὡς ὁ Μανασσῆς; ἆρα προφήτας ἀπεκτείνατε; οὐδαμῶς· τίνος ἕνεκεν ὑπὸ Θεοῦ

οὕτως ἐγκατελείφθητε; ἀληθῶς κἂν ὑμεῖς μὴ εἴπατε, οἱ λίθοι κεκράξονται· ὅτι ἀφ' οὗπερ τὸν Χριστὸν ἐσταυρώσατε, ἐγκατελείφθητε· διὰ τοῦτο μέχρι καὶ νῦν καὶ εἰς τὸν αἰῶνα ἐγκατελείφθητε, διεσκορπίσθητε, ἐγυμνώθητε ἀπερρίφητε τοῦ ναοῦ καὶ τῆς Σιών· οἱ γὰρ πατέρες ὑμῶν οἱ μοσχοποιήσαντες, οἱ πολλὰ παρανομήσαντες, καὶ τῇ εἰκόνι τῇ χρυσῇ προσκυνήσαντες, καὶ τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας τῷ διαβόλῳ θύσαντες, ἑβδομήκοντα ἔτη καὶ ἑκατὸν ἐν Βαβυλῶνι Περσίδος παιδευθέντες, ἀνεκλήθησαν· ὑμεῖς δὲ οἱ ἐν Χριστῷ ἁμαρτήσαντες, οὐχ ἑβδομήκοντα οὐδὲ ἑκατὸν ἔτη μόνα, ἀλλ' ἕως τῆς συντελείας τοῦ αἰῶνος ἐξεβλήθητε· ἡμεῖς δὲ τὰ ἔθνη, υἱοὶ Χριστοῦ ἐκλήθημεν, καὶ αὐτῷ δουλεύομεν, καὶ αὐτῷ δοξάζομεν ἅμα τῷ πατρὶ σὺν τῷ ἁγίῳ αὐτοῦ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ ΤΡΙΤΗ ΕΡΩΤΗΣΙΣ.

Εἴπατέ μοι τὸν εἰλημμένον ὃν ἐκδέχεσθε ὑμεῖς οἱ ἰουδαῖοι τί μέλλει εἶναι; ἰουδαῖος ἄρα ἐξακολουθῶν τὸν νόμον Μωϋσέως, ἢ χριστιανὸς καταφρονῶν καὶ παραβαίνων τὸν νόμον καὶ τὰς θυσίας καταλύων; οἶδα γὰρ εἰπεῖν ἔχετε, ὅτι ἰουδαῖός ἐστιν ἐξ ἰουδαίων, ὁ υἱὸς Δαβὶδ τοῦ πατρὸς ὑμῶν, φυλάττων τὸν νόμον, ἀνακαινίζων τὰς θυσίας καὶ τὸ γένος ὑμῶν· καὶ εἰπέ μοι πόσοι χρόνοι εἰσὶν ἀπὸ τῆς πρώτης αἰχμαλωσίας τῶν ἰουδαίων ἐπὶ Ναβουχοδόνοσορ τοῦ πέρσου; ἔχουσιν εἰπεῖν χίλια ἔτη καὶ πλεῖον· καὶ οὕτως ἔχει· καὶ εἰπὲ αὐτοῖς· βλέπετε τί εἴπατε ὅτι ὁ ἐρχόμενος Χριστὸς ὑμῶν ἰουδαῖος ἐστί. καὶ ὅτι τὰς θυσίας τὰς μωσαικὰς ἀνακαινίζει καὶ θύει, καὶ ὅτι ἀκμὴν οὐκ ἦλθε, καὶ ὅτι Ναβουχοδονόσορ ὅτε ἦν Δανιὴλ ἐν Βαβυλῶνι, χίλια ἔτη εἰσὶ ἢ πλεῖον· καὶ ἀλήθειαν εἴπατε· ἄκουσον οὖν ἄρτι συνεχῶς· καὶ ἐάν, ὡς λέγεις, ἰουδαῖός ἐστιν ὁ ἐρχόμενος Χριστὸς καὶ θυσίας μέλλει νομικὰς ποιῆσαι. καὶ ὅτι ἀκμὴν οὐκ ἦλθε, πῶς Δανιὴλ ὁ προφήτης λέγει ἐν τῇ αὐτοῦ ὁράσει ὡς ὁ ἀρχάγγελος Γαβριὴλ συντίζων οὕτως· "ἕως Χριστοῦ ἡγεμένος ἑβδομάδες ἐτῶν ἑβδομήκοντα συνετμήθη ἐπὶ τὸν λαόν σου καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν τοῦ συντελεσθῆναι ἁμαρτίαν." Καὶ μετ' ὀλίγα· "καὶ τοῦ σφραγίσαι ὅρασιν καὶ προφήτας, καὶ τοῦ χρίσαι ἅγια ἁγίων, τοῦ καταργῆσαι τὴν θυσίαν καὶ τὴν σπονδὴν τὴν νομικήν." Δείξατε οὖν ἡμῖν ἄρτι, ποῖος Χριστὸς ἦλθε χρισθεὶς ἅγιος ἁγίων μετὰ τὰς ἑβδομήκοντα ἑβδομάδας. τουτέστι μετὰ τετρακόσια ἐννενήκοντα ἔτη ἀπὸ Δανιήλ. καταργήσας τὴν θυσίαν καὶ τὴν νομικήν; καὶ πότε ἤρθη ἡ σπονδὴ καὶ ἡ θυσία τοῦ νόμου; εἰ οὖν οὐ ψεύδεσθε λέγοντες ὅτι οὔπω ἦλθεν ὁ Χριστός, ἀλλὰ μέλλει, δείξατε ἡμῖν ποῖος Χριστὸς ἦλθε μετὰ τετρακόσια ἐννενήκοντα ἔτη τοῦ Δανιὴλ ἅγιος ἁγίων; ἀλλ' οὐκ ἔχεις ἄλλον τινὰ δεῖξαι τοῦτο ποιήσαντα, εἰ μὴ Ἰησοῦν χριστὸν τὸν υἱὸν τοῦ θεοῦ. Καὶ πάλιν εἰ ἀληθεύοντες λέγετε ὅτι θυσίας μέλλει ποιεῖν νομικὰς ὁ ἐρχόμενος Χριστὸς ὁ

θεὸς ἡμῶν, λοιπὸν Δανιὴλ ψεύδεται λέγων ὅτι Χριστοῦ ἐρχομένου ἀρθήσεται θυσία καὶ σπονδή. Καὶ εἰ ἄρα ἡμεῖς παρανομοῦμεν τὴν νέαν διαθήκην τοῦ Χριστοῦ κατέχοντες, καὶ ὁ ἐρχόμενος Χριστὸς ὑμῶν τὴν παλαιὰν καὶ τὸν νόμον Μωϋσέως ἀνακαινίζει, ὡς λέγετε, ποῦ λοιπὸν ζητοῦμεν τὴν διαθήκην ἐκείνην τὴν περὶ ἧς εἶπεν ὁ θεὸς δι' Ἱερεμίου τοῦ προφήτου, ἰδοὺ ἡμέραι ἔρχονται, καὶ διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ διαθήκην καινὴν, οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν ἡνίκα ἐξήγαγον αὐτοὺς ἐκ γῆς Αἰγύπτου; μετὰ γὰρ τὸ δοθῆναι αὐτοῖς τὸν νόμον, εἶπεν ὁ θεὸς διὰ Ἡσαΐου καὶ Μιχαίου τῶν προφητῶν "ὅτι ἐκ „ Σιὼν ἐξελεύσεται νόμος καὶ λόγος κυρίου ἐξ Ἱερουσαλήμ· „ ὥστε τοῦ Χριστοῦ ἐλθόντος αὐτὸς τὸν νέον νόμον ἤγαγε καὶ τὸν παλαιὸν ἐπλήρωσεν.

Ὁ ἰουδαῖος. Εἰς ἄνθρωπον πεφημισμένον καὶ κατάδικον ἐλπίζετε οἱ χριστιανοί.
Ὁ χριστιανός. Τί ἐστι τιμιώτερον παρὰ τῷ θεῷ, ἄνθρωπος ἢ ὄφις χαλκὸς ὃν ὑμεῖς προσκυνεῖτε κρεμαμένον; πλὴν ἄκουσον μετὰ συνέσεως· ἀλλ' ὅμως εἴπατέ μοι, ἐσταύρωσαν οἱ πατέρες ὑμῶν τινὰ λεγόμενον Ἰησοῦν χριστόν; ναὶ ἢ οὔ; καὶ διὰ ποίαν αἰτίαν ἐσταυρώσατε αὐτόν; Διότι παράνομος ἦν, καὶ κατέλυε τὸν νόμον καὶ τὸ σάββατον. Καὶ περὶ ποῖον ἐκήρυξαν οἱ προφῆται ἐλθεῖν ἐπ' ἐσχάτων τῶν ἡμερῶν, τὸ πραθῆναι, καὶ τὸ πόσου ἔχει πραθῆναι, καὶ ὅτι ἔχει ἀχθῆναι εἰς θάνατον καὶ τῷ ξύλῳ ἥλοις χεῖρας καὶ πόδας προσηλωθήσεται, καὶ ὄξους καὶ χολῆς γεύσεσθαι, καὶ ὅτι λόγχῃ κεντηθήσεται, καὶ ὁ οὐρανὸς σκοτισθήσεται, καὶ ἀδύνατον ἦν μὴ πληρωθῆναι τοὺς λόγους τῶν προφητῶν· τί λέγεις ταῦτα πάντα; εἰς τὸν Χριστὸν ἡμῶν ἐγένοντο, ἢ εἰς τὸν εἰλημμένον ὑμῶν μέλλουσι γίνεσθαι; καὶ εἰ μὲν εἰς τὸν εἰλημμένον ὑμῶν μέλλουσι γίνεσθαι, ἰδοὺ καὶ ὑμεῖς εἰς ἄνθρωπον κατάδικον ἐλπίζετε· εἰ δὲ εἰς τὸν Χριστὸν ἡμῶν πάντα ἐπληρώθησαν, συγκαταθέντες εἴπατε τὴν ἀλήθειαν· εἰ δὲ οὔτε εἰς τὸν ἡμέτερον Χριστὸν, οὔτε εἰς τὸν εἰλημμένον ὑμῶν, πάντως οἱ προφῆται ψεύδονται· εἰ δὲ συνούμενοι ἄκοντες ὁμολογεῖτε ὅτι τὸν Χριστὸν ἡμῶν κακῷ θανάτῳ οἱ πατέρες ὑμῶν ἐφόνευσαν ὡς κακοῦργον τὸν καὶ νόμον καταλύοντα, ἐλέγχωμεν τοὺς προφήτας καὶ ἴδωμεν ἐὰν κακοῦργον λέγωσι τὸν ὑφ' ὑμῶν σταυρωθέντα.

Εἴπατε δέ μοι τίς ἐστιν ἐπὶ γῆς ἀναμάρτητος; καὶ, ὡς ἡ γραφὴ λέγει, οὐδεὶς καθαρὸς ἀπὸ ῥύπου, οὐδ' ἂν μίαν ἡμέραν ἡ ζωὴ αὐτοῦ, καὶ δῆλον ὅτι οὐδεὶς εἰ μόνος ὁ θεός. Καὶ ἀκούσωμεν τί περὶ τοῦ παθόντος Χριστοῦ ἡμῶν ὁ Ἡσαΐας λέγει· ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος· ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἤχθη εἰς θάνατον· καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ. καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ· ὅτι ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. Ἆρα οὐκ αἰσχύνεσθε λοιπόν; ἰδοὺ προφανῶς ἠσχημονήσατε· εἴπατε γὰρ ὅτι διὰ τὸ παρανομεῖν ἐσταυρώσατε αὐτὸν, ὁ δὲ προφήτης λέγει ὅτι ἁμαρτίαν οὐκ ἐποίησε. Καὶ ἐπεὶ οὐδεὶς ἀναμάρτητος εἰ μὴ μό-

Digitized by Google

νος ὁ Θεὸς, δῆλον ὅτι καὶ Θεὸς ἐστὶν ἀληθινὸς ὁ σταυρωθεὶς ὑφ' ὑμῶν· ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. Ἴδωμεν δὲ τί καὶ οἱ λοιποὶ προφῆται περὶ τοῦ παθόντος Χριστοῦ ὁμοῦ λέγουσιν· ἐὰν ὡς κακοῦργον, ἢ ἐὰν ὡς κύριον αὐτὸν ὁμολογοῦσι· τάχα γὰρ τὸ πλῆθος τῶν προφητῶν ἐντρέπεσθε, καὶ φιμοῦσθε λοιπὸν τοῦ λέγειν κατὰ Χριστοῦ καὶ χριστιανῶν· ἰδοὺ γὰρ ὡσαύτως περὶ τῆς πράσεως τοῦ Χριστοῦ καὶ τῶν τριάκοντα ἀργυρίων τῆς τιμῆς αὐτοῦ Ζαχαρίας καὶ Ἱερεμίας οἱ προφῆται λέγουσι· καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια τὴν τιμὴν τοῦ τετιμημένου ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραὴλ, καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως εἰς ταφὴν τοῖς ξένοις. Ὅτι δὲ καὶ ψευδομαρτυρίαν δεδώκασι κατ' αὐτοῦ οἱ ἰουδαῖοι ἐν τῷ καιρῷ τοῦ πάθους, ὁ ψαλμὸς λέγει, ἀναστάντες μοι μάρτυρες ἄδικοι, ἃ οὐκ ἐγίνωσκον ἠρώτων με· ἀνταπεδίδωσάν μοι πονηρὰ ἀντὶ ἀγαθῶν.

Καὶ ὅτι ἑκουσίως ταῦτα ἠνέσχετο παθεῖν καὶ οὐκ ἀκουσίως, ὁ προφήτης λέγει· τὸν νῶτόν μου ἔδωκα εἰς μάστιγας, καὶ τὰς σιαγόνας μου εἰς ῥαπίσματα· τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων, καὶ ἐμπτύσμασι μιαροῖς αὐτῶν ἐνέπτυσάν με. Περὶ δὲ τοῦ ἐξ ἀκανθῶν στέφανον φορέσαι, ὁ Ἱερεμίας λέγει· ταῖς ἀκάνθαις τῶν ἀνομιῶν αὐτῶν ἐστέψαν με. Καὶ ὅτι τὴν ἀρχὴν τῆς σωτηρίας ἡμῶν τουτέστι τὸν σταυρὸν ἐν τοῖς ἰδίοις ὤμοις ἐβάσταξεν ὁ ὑψωθεὶς ἐν αὐτῷ, Ἡσαΐας λέγει, ὅτι παιδίον ἐγεννήθη ἡμῖν, υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐπὶ τοῦ ὤμου αὐτοῦ, τουτέστιν ὁ σταυρός. Ὅτι Θεὸς καὶ βασιλεὺς πρὸ αἰώνων ἦν ὁ Χριστὸς, καὶ ἐν μέσῳ γῆς σταυροῦσθαι αὐτὸν ἔμελλε πρὸς σωτηρίαν αὐτοῦ κόσμου, ὁ Δαβὶδ λέγει· ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν προαιώνιος εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς. Καὶ ὅτι προσήλωσαν αὐτοῦ χεῖρας καὶ πόδας, Ὁμοῦ Ζαχαρίας λέγει, ὅτι αἱ πληγαὶ αὐτῶν ἀνὰ μέσον τῶν χειρῶν μου· καὶ ἐρεῖ, ὡς ἐπλήγην ἐν τῷ οἴκῳ τοῦ ἀγαπητοῦ μου. Ἴδε πῶς καὶ μετὰ τὰ παθήματα ταῦτα ἀγαπητοὺς ὑμᾶς καλεῖ, καὶ οὐκ ἐπιστρέφετε πρὸς αὐτόν· ὄντως ἀχάριστοι ὑμεῖς. Περὶ δὲ τοῦ θανόντα αὐτὸν λόγχῃ κεντηθῆναι τὴν ἁγίαν αὐτοῦ πλευρὰν καὶ βλύσαι ἐξ αὐτῆς αἷμα καὶ ὕδωρ, ὁ προφήτης Ζαχαρίας εἶπεν, ἐπιβλέψονται πρός με εἰς ὃν ἐξεκέντησαν. Καὶ ὁ Μωϋσῆς σαφῶς ταύτην προεικονίζει διὰ τῆς ἀκροτόμου πέτρας, ἣν διὰ τῆς ῥάβδου αὐτοῦ πλήξας, ἔβλυσεν ὕδωρ πρὸς σωτηρίαν τοῦ λαοῦ· ἡ δὲ πέτρα ἦν εἰκονικῶς ὁ Χριστός· ὡς γὰρ ἡ ἀκρότομος πέτρα ἄψυχος, οὖσα καὶ ἀναίσθητος κρουσθεῖσα ὑπὸ τῆς ῥάβδου Μωϋσέως εὐθὺς ἔβλυσεν ὕδωρ εἰς ζωὴν πρόσκαιρον τῷ τότε λαῷ, οὕτω καὶ τὸ ἄχραντον σῶμα Χριστοῦ τοῦ Θεοῦ νεκρωθὲν τῇ ἁγίᾳ αὐτοῦ πλευρᾷ εὐθὺς ἔβλυσεν αἷμα καὶ ὕδωρ πρὸς σωτηρίαν τῶν πιστευόντων εἰς ζωὴν αἰώνιον εἰς αὐτὸν καὶ οὐ πρόσκαιρον.

Καὶ πάλιν ὁ αὐτὸς προφήτης Μωϋσῆς λέγει περὶ τῆς τοῦ Χριστοῦ σταύρωσιν καὶ τὴν ὑμῶν ἀπιστίαν ὅτι ὄψεσθε τὴν ζωὴν ὑμῶν κρεμαμένην, καὶ οὐ μὴ πιστεύσετε· ἰδοὺ καὶ οὗτος ζωὴν αἰώνιον ὀνομάζει τὸν ἐπὶ ξύλου κρεμασθέντα. Καὶ μὴ εἴπῃς ὅτι περὶ

τοῦ ὄφεως τοῦ χαλκοῦ εἶπε τοῦτο· εἰς τὸν ὄφιν γὰρ ἐπίστευσαν, εἰς δὲ τὴν ζωὴν, τουτέστι τὸν Χριστὸν, εἶπεν ὅτι οὐ μὴ πιστεύσετε· καὶ γὰρ τὴν ἡμετέραν ἀρὰν ἣν διὰ τῆς παραβάσεως καὶ παρακοῆς ἐπεσπασάμεθα, αὐτὸς ἀνέλαβε, καθὼς γέγραπται, ἐπικατάρατος ὁ κρεμαμένος ἐπὶ ξύλου· καὶ κατάρα ὑπὲρ ἡμῶν γέγονεν ὁ ἀναμάρτητος, ἵνα κατάρας ἡμᾶς ἐλευθερώσῃ, καὶ ζωὴν αἰώνιον χαρίσηται τοῖς πιστεύουσιν εἰς αὐτόν· ὥσπερ γὰρ ὑμεῖς οἱ Ἰουδαῖοι ἐπιστεύσατε τῷ ὄφει τῷ χαλκῷ κρεμαμένῳ ἐπὶ ξύλου, ἐπικαταραμένου ὄντος ἀπὸ παντὸς θηρίου οὗ τινος εἰκὼν παρεῖχε τοῖς προγόνοις ὑμῶν· ὡς γὰρ ὁ ὄφις ὁ μὴ δάκνων ὑπὲρ τῶν δακνόντων ὄφεων ζωὴν ἔφερεν, οὕτω καὶ ὁ Χριστὸς ἀναμάρτητος ὢν ὑπὲρ ἁμαρτωλῶν κρεμασθεὶς, ζωὴν τῷ κόσμῳ ἐχαρίσατο. Καὶ περὶ τοῦ σκοτάσαι τὴν ἡμέραν ἐκείνην σταυρουμένου Χριστοῦ, καὶ φωνὴν αὐτοῦ ἀφιέντος ὅταν ἐξέπνευσεν, καὶ σεισθῆναι τὸν οὐρανὸν καὶ πᾶσαν τὴν γῆν διὰ τὴν τόλμαν ταύτην τῶν ἰουδαίων, ὁ προφήτης Ὠσηὲ λέγει· ἥλιος καὶ ἡ σελήνη συσκοτάσουσι, καὶ οἱ ἀστέρες οὐ δώσουσι τὸ φέγγος αὐτῶν· ὁ δὲ κύριος ἐκ Σιὼν ἀνακράξεται, καὶ σεισθήσεται ὁ οὐρανὸς καὶ ἡ γῆ.

Καὶ ὁ Δαβὶδ λέγει, ἔδωκε φωνὴν αὐτοῦ ὁ ὕψιστος, ἐσαλεύθη ἡ γῆ. Ἰδοὺ καὶ αὐτοὶ κύριον ὕψιστον τὸν ἐσταυρωμένον ὀνομάζουσι. Καὶ Ζαχαρίας ὁ προφήτης λέγει· καὶ ἥξει κύριος ὁ θεὸς, καὶ πάντες οἱ ἅγιοι μετ' αὐτοῦ· καὶ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ οὐκ ἔσται φῶς, καὶ οὐχ ἡμέρα οὐχὶ νὺξ, καὶ πρὸς ἑσπέραν ἔσται φῶς, καὶ ἡμέρα ἐκείνη γνωστὴ τῷ κυρίῳ· ἀπὸ γὰρ ὥρας ἕκτης ἕως ὥρας ἐννάτης σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν. Ἰδοὺ καὶ Ζαχαρίας κύριον καὶ θεὸν τὸν σταυρωθέντα ὠνόμασε. Καὶ ἐὰν μὲν εἴπητε ὅτι ταῦτα περὶ τῶν εἰλημμένων ὑμῶν λέγουσιν, ἰδοὺ λοιπὸν καὶ ὑμεῖς εἰς ἄνθρωπον μέλλοντα σταυρωθῆναι ὡς κατάδικον σκώπτετε· ἀλλ' οὐκ ἔστιν ἄλλος ὁ προφητευθεὶς, εἰ μὴ ὁ κύριος ἡμῶν Ἰησοῦς χριστὸς ὁ υἱὸς τοῦ θεοῦ, ὁ ἐκ τῶν οὐρανῶν κατελθὼν, καὶ σαρκωθεὶς ἐκ πνεύματος ἁγίου ἐκ τῆς ἀειπαρθένου Μαρίας, καὶ ταῦτα παθὼν διὰ τὴν τοῦ κόσμου σωτηρίαν, καθάπερ προηγγείλαντο περὶ αὐτοῦ οἱ προφῆται, ὡς διαλεχθέντες τὰς περὶ Χριστοῦ μαρτυρίας τε καὶ προφητείας αὐτῶν παρηγάγομεν. Καὶ περὶ τοῦ ἀναληφθῆναι αὐτὸν ἐν τοῖς οὐρανοῖς καὶ καθίσαι ἐκ δεξιῶν τοῦ θεοῦ, καὶ πρὸς Ζαχαρίαν εἶπεν· „ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ στήσονται οἱ πόδες κυρίου εἰς „ τὸ ὄρος τῶν ἐλαιῶν τὸ κατέναντι Ἱερουσαλὴμ κατὰ ἀνατολάς „. Καὶ ψαλμῳδὸς λέγει· „ ἐπέβη ἐπὶ Χερουβὶμ καὶ ἐπετάσθη, ἐπὶ πτερύγων ἀνέμων· καὶ ἀνέβη „ θεὸς ἐν ἀλαλαγμῷ· καὶ εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, καὶ „ τὰ ἑξῆς. Τὸ δὲ ἀνέβη τί ἐστιν, εἰ μὴ ὅτι κατέβη πρότερον; „

Ὅμως σὺν πᾶσι τοῖς ῥηθεῖσιν, οὐ προφήτας ἀλλὰ καὶ μάρτυρας ὑμῖν ἄλλως προβαλλόμεθα, οἵτινες παρηκολούθησαν τὴν τοῦ Χριστοῦ ἔνσαρκον παρουσίαν. Καὶ γὰρ καὶ ἡμεῖς ἅπερ μέλλομεν λέγειν, ἐν ὑπομνήμασιν ἔχετε· οἱ γὰρ πατέρες ὑμῶν οἱ τότε λίαν ἡττηθέντες, καὶ τὴν ἧτταν εἰς νίκην ἀνίκητον ἀνακαλούμενοι, ἐκέλευσαν μηδένα τῶν ἰουδαίων κατέχειν αὐτὰ ἐγγράφως τὰ περὶ τοῦ Χριστοῦ πρακτέα,

Digitized by Google

ἢ ὅλως ζητεῖν ἢ ἀναγινώσκειν, ἵνα μὴ ἡ φιλοπονία τοῖς πολλοῖς γνῶσιν παράσχῃ· ἀλλ' εἰδόσιν ὑμῖν ταῦτα λέγομεν, κἂν κρύβειν τὴν ἀλήθειαν ὑπὸ τῆς συνηθείας ἀναγκάζεσθε· τοὺς ἀπὸ τῆς Περσίδος ἐπὶ τὴν Παλαιστίνην περάσαντας μάγους οὐκ ἠκούσατε ἐκ θείας χρησμῳδίας μετὰ ἀστέρος ἀγομένους, οἱ τῷ Χριστῷ προσκυνήσαντες δῶρα προσήνεγκαν; μεθ' ὧν οἱ τότε ὑμῶν ἀρχιερεῖς τῷ τότε βασιλεῖ Ἡρώδῃ συντυχόντες, εἶπε, ποῦ ὁ Χριστὸς γεννᾶται· καὶ εἶπον αὐτῷ, ἐν Βηθλεὲμ τῇ πόλει τῆς Ἰουδαίας καθὼς οἱ προφῆται λέγουσιν, ὡς καὶ ζηλώσαντα τὸν Ἡρώδην τὴν ἀναφυεῖσαν βασιλείαν, τὴν τοσαύτην παιδοσφαγίαν ποιήσασθαι· Ἰωάννης ὁ βαπτιστὴς οὐκ ἐξ ἰουδαίων κατάγεται; πρὸς ὃν ἀπεστάλκαν τότε οἱ πατέρες ὑμῶν ἐρωτῶντες εἰ αὐτὸς ὁ Χριστὸς, καὶ εἶπεν· οὐκ εἰμὶ ἐγώ· ἀλλὰ δείξας αὐτοῖς τὸν Χριστὸν εἶπεν· οὗτός ἐστιν ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.

Λοιπὸν Νικόδημος ὁ ἄρχων ὑμῶν, καὶ Ναθαναὴλ, καὶ Ἰωσὴφ ὁ ἀπ' Ἀριματθίας, καὶ Βιζῦς ἐ ὁ Ἀλέξανδρος, οἱ καὶ συνέφαγον αὐτῷ ἐν τῷ γάμῳ Σίμωνος τοῦ γαλιλαίου, ἐν ᾧ καὶ τὸ ὕδωρ εἰς οἶνον μετέβαλεν. Οἱ πρεσβύτεροι οἱ ἐπὶ πρεσβείαν διὰ τὸν παῖδα τοῦ ἑκατοντάρχου ὑπ' αὐτοῦ σταλέντες σκυλλῆναι αὐτὸν διὰ τὴν σωτηρίαν αὐτοῦ, ἄξιος γάρ ἐστι φησὶν ᾧ παρέξῃ τοῦτο, ἀγαπᾷ γὰρ τὸ ἔθνος καὶ τὴν συναγωγὴν αὐτὸς ᾠκοδόμησεν ὑμῖν. Ὁ βασιλικὸς ὁ ἀνθύπατος ὁ ἀδελφὸς Ἰαείρου τοῦ ἀρχισυναγώγου οὗ τὸν υἱὸν ὑγιῆ ἐποίησε, ὁ τούτου ἀδελφὸς Ἰάειρος παρακαλέσας αὐτὸν καὶ τὴν θυγατέρα ἤγειρεν ἐκ νεκρῶν· Καΐαφας ὁ τότε ἀρχιερεὺς ὑμῶν ὁ συμβουλεύσας ἕνα ἄνθρωπον ἀποθανεῖν καὶ μὴ ὅλον τὸ ἔθνος ἀπολέσθαι. Οἱ παῖδες ὑμῶν οἱ τότε βοήσαντες ὡσαννὰ τῷ υἱῷ Δαβὶδ εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου βασιλεὺς τοῦ Ἰσραήλ. Ὁ μαθητὴς Ἰούδας ὁ ἐστήσατο τριάκοντα ἀργύρια ἵνα αὐτὸν παραδώσει ὑμῖν. Οἱ στρατιῶται οἷς ἐδώκατε τὰ ἀργύρια ὥστε εἰπεῖν ὅτι οἱ μαθηταὶ αὐτοῦ νυκτὸς ἐλθόντες ἔκλεψαν αὐτὸν ἡμῶν κοιμωμένων. Ἰώσηπος ὁ συγγραφεὺς ὑμῶν ὃς εἴρηκε περὶ Χριστοῦ λέγων, ἀνδρὸς δικαίου καὶ ἀγαθοῦ ἐκ θείας χάριτος ἀναδειχθέντος, σημείοις καὶ τέρασιν εὐεργετοῦντος πολλούς. Τίνος κατὰ τὸν προφήτην διεμερίσαντο τὰ ἱμάτια καὶ ἔβαλον κλῆρον; τίνος χεῖρας καὶ πόδας ὤρυξαν; τίνα ὄξος καὶ χολὴν ἐπότισαν εἰς τὴν δίψαν αὐτοῦ ἐπὶ σταυροῦ κρεμαμένου;

Περὶ τίνος δὲ εἶπε Μωϋσῆς ὅτι ὄψεσθε τὴν ζωὴν ὑμῶν κρεμαμένην ἀπέναντι τῶν ὀφθαλμῶν ὑμῶν, καὶ οὐ μὴ πιστεύσιτε; ὥστε εἰ ἐπιστεύετε Μωϋσῇ, ἐπιστεύετε ἂν καὶ τῷ Χριστῷ· ἀλλ' ὥσπερ οὐκ ἠθέλησαν αὐτῷ ὑπήκοοι γενέσθαι οἱ πατέρες ὑμῶν ἀλλὰ ἀπώσαντο καὶ ἀπεστράφησαν τῇ καρδίᾳ αὐτῶν εἰς Αἴγυπτον, εἰπόντες τῷ Ἀαρὼν ποίησον ἡμῖν θεοὺς οἳ προπορεύσονται ἡμῶν· ὁ γὰρ Μωϋσῆς οὗτος ὃς ἐξήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου, οὐκ οἴδαμεν τί γέγονεν αὐτῷ· καὶ ἐμοσχοποίησαν ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἀνήγαγον θυσίαν τῷ εἰδώλῳ, καὶ εὐφραίνοντο ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν· ἔστρεψε δὲ ὁ θεὸς καὶ παρ-

Digitized by Google

ἔδωκεν αὐτοὺς λατρεύειν τῇ στρατιᾷ τοῦ οὐρανοῦ· καθὼς γέγραπται ἐν τῇ βίβλῳ τῶν προφητῶν, μὴ σφαγὰς καὶ θυσίας προσηνέγκατέ μοι ἔτη τεσσαράκοντα ἐν τῇ ἐρήμῳ, οἶκος Ἰσραὴλ καὶ ἀνελάβετε τὴν σκηνὴν τοῦ Μολὸχ, καὶ τὸ ἄστρον τοῦ θεοῦ ὑμῶν ῥεφὰν, τοὺς τύπους οὓς ἐποιήσατε προσκυνεῖν αὐτοῖς; καὶ μετοικιῶ ὑμᾶς ἐπέκεινα Βαβυλῶνος. εἰς σκηνὴν τοῦ μαρτυρίου, ἦν τοῖς πατράσιν ὑμῶν ἐν τῇ ἐρήμῳ καθὼς διετάξατο ὁ λαλῶν τῷ Μωϋσῇ ποιῆσαι αὐτὴν κατὰ τὸν τύπον ὃν ἑωράκει· ἣν καὶ εἰσήγαγον διαδεξάμενοι οἱ πατέρες ὑμῶν μετὰ Ἰησοῦ ἐν τῇ κατασχέσει τῶν ἐθνῶν ὧν ἐξῶσεν ὁ θεὸς ἀπὸ προσώπου τῶν πατέρων ὑμῶν ἕως τῶν ἡμερῶν Δαβὶδ, ὃς εὗρε χάριν ἐνώπιον τοῦ θεοῦ, καὶ ᾐτήσατο εὑρεῖν σκήνωμα τῷ θεῷ Ἰακώβ· Σολομὼν δὲ ᾠκοδόμησεν ἑαυτῷ οἶκον· ἀλλ' οὐχ ὁ ὕψιστος ἐν χειροποιήτοις ναοῖς κατοικεῖ, καθὼς ὁ προφήτης λέγει· ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου· ποῖον οἶκον οἰκοδομήσετέ μοι, λέγει κύριος, ἢ τίς τόπος τῆς καταπαύσεώς μου; οὐχὶ ἡ χείρ μου ἐποίησε ταῦτα πάντα, ὦ ἰουδαῖοι σκληροτράχηλοι καὶ ἀπερίτμητοι τῇ καρδίᾳ καὶ τοῖς ὠσίν; ὑμεῖς ἀεὶ τῷ πνεύματι τῷ ἁγίῳ ἀντιπίπτετε, ὡς καὶ οἱ πατέρες ὑμῶν· καὶ ἀπέκτειναν τοὺς προκαταγγείλαντας περὶ τῆς ἐλεύσεως τοῦ δικαίου· οὗ φονεῖς καὶ προδόται γεγόνασιν οἱ ἐν Ἱερουσαλὴμ πατέρες ὑμῶν; οὕτω καὶ ὑμεῖς οἱ ἐκείνων παῖδες τούτους μιμούμενοι τὰς φωνὰς τῶν προφητῶν ἀπιστοῦντες μισόχριστοι διαμένετε, οἵτινες ἐλάβετε τὸν νόμον εἰς διαταγὰς ἀγγέλων, καὶ οὐκ ἐφυλάξατε.

Λέγει δὲ τὸ πνεῦμα τὸ ἅγιον διὰ στόματος Δαβὶδ τοῦ προφήτου· σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν ὡς ἐν τῷ παραπικρασμῷ κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ ἐν τῇ ἐρήμῳ, οὗ ἐπείρασάν με οἱ πατέρες ὑμῶν, ἐδοκίμασάν με καὶ εἶδον τὰ ἔργα μου· τεσσαράκοντα ἔτη προσώχθισα τῇ γενεᾷ ἐκείνῃ, καὶ εἶπα ἀεὶ πλανῶνται τῇ καρδίᾳ· αὐτοὶ δὲ οὐκ ἔγνωσαν τὰς ὁδούς μου· ὡς ὤμοσα ἐν τῇ ὀργῇ μου εἰ εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου· ἀλλ' οὐ πάντες οἱ ἐξελθόντες ἀπ' Αἰγύπτου εἰσῆλθον· παρεπίκραναν γὰρ οἱ παρακούσαντες καὶ ἀπιστήσαντες· τίσι δὲ προσώχθισε τεσσαράκοντα ἔτη, εἰ μὴ τοῖς ἁμαρτήσασι καὶ παρακούσασιν, ὧν τὰ κῶλα ἔπεσον ἐν τῇ ἐρήμῳ; τίσι δὲ ὤμοσε μὴ εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ, εἰ μὴ τοῖς ἀπειθήσασι; Καὶ βλέπομεν ὅτι οὐκ ἠδυνήθησαν εἰσελθεῖν δι' ἀπιστίαν, πλὴν Χαλὲβ τοῦ Ἰεφωνῆ, καὶ Ἰησοῦ τοῦ Ναυῆ· ἑξακόσιαι διεφθάρησαν χιλιάδες, ταύτας γὰρ τὰς χιλιάδας εἶπεν ἐξεληλυθότας ἐξ Αἰγύπτου· τοῦ γὰρ θεοῦ παρεγγυήσαντος εἰς τὴν ἐπηγγελμένην ἀπᾶραι γῆν, ἀντεῖπον ἐκεῖνοι, προβαλλόμενοι τὸν φόβον καὶ τὸ μέγεθος τῶν πολεμίων· οὗ δὴ χάριν ὁ τῶν ὅλων θεὸς ἅπαντας κατὰ μέρος ἐν τῇ ἐρήμῳ καταναλώσεν, τοὺς ἐκείνων παῖδας ἀντ' ἐκείνων εἰσήγαγεν, ἦγουν τοὺς περὶ Χαλὲβ τοῦ Ἰεχωνίου καὶ Ἰησοῦ τοῦ Ναυῆ αὐτοὺς κατέπαυσεν· καὶ εἰ περὶ τῆς γῆς αὐτῆς κατάπαυσιν ὁ προφήτης εἴρηκε Δαβίδ· εἰς

ἐκείνην γὰρ Ἰησοῦς αὐτοὺς κατέπαυσεν· ἐν αὐτῇ δὲ ἦν καὶ θεῖος Δαβὶδ, ὅτε ταῦτα εἰρηκὼς ἐπηγγείλατο τὴν κατάπαυσιν· τὸ, σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσετε, καὶ τὰ ἑξῆς.

Ἄρα οὖν ἀπολείπεται ἕτερος σαββατισμὸς καὶ ἑτέρα κατάπαυσις, ἥτις ἐστὶν ἡ εἰς Χριστὸν πίστις, καθὼς λέγει κύριος διὰ Ἱερεμίου τοῦ προφήτου· ἰδοὺ ἡμέραι ἔρχονται καὶ διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ καὶ τῷ οἴκῳ Ἰούδα διαθήκην καινήν· ἐν τῷ λέγειν καινὴν, πεπαλαίωκε τὴν πρώτην· οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτοῦ ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου, ὅτι αὐτοὶ οὐκ ἐνέμειναν τὴν διαθήκην μου· καὶ ἐγὼ ἠμέλησα αὐτῶν, φησὶ κύριος, ὅτι αὕτη ἡ διαθήκη ἣν διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ, διδοὺς νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίαν αὐτῶν ἐπιγράψω αὐτούς· καὶ ἔσομαι αὐτοῖς εἰς θεὸν, καὶ αὐτοὶ ἔσονται μοι εἰς λαόν· ἄρα οὖν ἡ πίστις ἐξ ἀκοῆς, ἡ δ' ἀκοὴ διὰ ῥήματος θεοῦ· δεῖ γὰρ πρῶτον ἀκοῦσαι, εἶτα ἐν διανοίᾳ καὶ ἐν τῇ καρδίᾳ δέξασθαι τὰ τοῦ θεοῦ ῥήματα καὶ πιστεῦσαι· καθάπερ καὶ Ἀβραὰμ ἐπίστευσε τῷ θεῷ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην· διότι οὐ δικαιωθήσεται ἐξ ἔργων νόμου πᾶσα σάρξ· ὅσοι γὰρ ἐξ ἔργων νόμου εἰσὶν, ὑπὸ κατάραν εἰσί· γέγραπται γὰρ, ἐπικατάρατος ὃς οὐκ ἐμμένει ἐν πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου τοῦ ποιῆσαι αὐτά· ὅτι δὲ ἐν νόμῳ οὐδεὶς δικαιοῦται παρὰ τῷ θεῷ, δῆλον ὅτι ὁ δίκαιος ἐκ πίστεως ζήσεται ἐν αὐτοῖς· ὁ δὲ Ἀβραὰμ ἐπίστευσε τῷ θεῷ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην· προϊδοῦσα δὲ ἡ γραφὴ ὅτι ἐκ πίστεως δικαιοῖ τὰ ἔθνη ὁ θεὸς, προευηγγελίσατο τῷ Ἀβραάμ.

Γινώσκετε οὖν ἄρα ὅτι οἱ ἐκ πίστεως, οὗτοι εἰσὶν υἱοὶ Ἀβραάμ· τῷ δὲ Ἀβραὰμ ἐρρέθησαν αἱ ἐπαγγελίαι καὶ τῷ σπέρματι αὐτοῦ· οὐ λέγει ἐν τοῖς σπέρμασιν ὡς ἐπὶ πολλῶν, ἀλλ' ὡς ἐφ' ἑνὸς ἐν τῷ σπέρματί σου· τοῦτο γάρ ἐστι, διαθήκη προκεκυρωμένη ὑπὸ τοῦ θεοῦ εἰς Χριστὸν, ὁ μετὰ τετρακόσια τριάκοντα ἔτη γεγονὼς νόμος οὐκ ἀκυροῖ εἰς τὸ καταργῆσαι τὴν ἐπαγγελίαν· καὶ ἡ παλαιὰ γραφὴ διαθήκην τοῦ θεοῦ καλεῖ τὴν πρὸς τὸν Ἀβραὰμ γεγενημένην ἐπαγγελίαν· ἐπηγγείλατο δὲ διὰ σπέρματος τοῦ Ἀβραὰμ εὐλογεῖν τὰ ἔθνη ὁ τῶν ὅλων θεός· τοῦτο δὲ τὸ σπέρμα αὐτός ἐστιν ὁ δεσπότης Χριστὸς· δι' αὐτοῦ γὰρ πέρας ἡ ὑπόσχεσις ἔλαβεν· εἰ γὰρ ἐκ νόμου ἡ κληρονομία, οὐκ ἔστιν ἐξ ἐπαγγελίας· τῷ δὲ Ἀβραὰμ δι' ἐπαγγελίας κεχάρισται ὁ θεὸς τὸ σπέρμα. Τί οὖν; ὁ νόμος τῶν παραβάσεων χάριν προσετέθη, ἄχρις οὗ ἦλθε τὸ σπέρμα ὃ ἐπήγγελται, εἰς ἐπιμέλειαν ἐτέθη ὁ νόμος τοῦ γένους, ἐξ οὗ τὸ σπέρμα ἔμελλεν ἐκεῖνο κατὰ σάρκα βλαστάνειν· ἐτέθη δὲ ἀγγέλων ὑπουργούντων, καὶ τῇ τούτου θέσει Μωϋσέως διακονοῦντος. Εἰ δὲ ἰουδαῖος ὀνομάζῃ καὶ ἐπαναπαύῃ τῷ νόμῳ, ὡς ἐν νόμῳ καυχᾶσαι διὰ τῆς παραβάσεως τοῦ νόμου, τὸν θεὸν ἀτιμάζεις· περιτομὴ μὲν ὠφελεῖ, ἐὰν νόμον πράσῃς· ἐὰν δὲ παραβάτης νόμου ᾖς, ἡ περιτομή σου ἀκροβυστία γέγονε, καθά φησιν Ἱερεμίας, ὅτι πάν-

τα τὰ ἔθνη ἀπερίτμητα τῇ σαρκὶ, ὁ δὲ οἶκος Ἰσραὴλ ἀπερίτμητος τῇ καρδίᾳ· περιτμηθῆναι τῷ θεῷ καὶ περιτμηθῆναι τὴν ἀκροβυστίαν τῆς καρδίας ὑμῶν· διὰ γὰρ νόμου ἐπίγνωσις ἁμαρτίας· νῦν γὰρ δικαιοσύνη θεοῦ πεφανέρωται μαρτυρουμένη ὑπὸ νόμου καὶ τῶν προφητῶν· δικαιοσύνη δὲ θεοῦ διὰ πίστεως Ἰησοῦ Χριστοῦ εἰς πάντας καὶ ἐπὶ πάντας τοὺς πιστεύοντας, δικαιούμεθα δωρεὰν τῇ αὐτοῦ χάριτι διὰ τῆς ἀπολυτρώσεως τῆς ἐν Χριστῷ Ἰησοῦ.

Λογιζόμεθα οὖν πίστει δικαιοῦσθαι ἄνθρωπον χωρὶς ἔργων νόμου. Τί; ἰουδαίων ὁ θεὸς μόνον, οὐχὶ καὶ ἐθνῶν; ναὶ καὶ ἐθνῶν· ἐπείπερ εἷς ὁ θεὸς ὃς δικαιώσει περιτομὴν ἐκ πίστεως καὶ ἀκροβυστίαν διὰ πίστεως· ὡς νόμον οὖν καταργοῦμεν διὰ τῆς πίστεως; μὴ γένοιτο, ἀλλὰ νόμον ἱστῶμεν· τί γὰρ ἡ γραφὴ λέγει; ἐπίστευσε δὲ Ἀβραὰμ τῷ θεῷ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην· λέγει γὰρ ὁ Δαβὶδ, μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι, καὶ ὧν ἀπεκαλύφθησαν αἱ ἁμαρτίαι· μακάριος ἀνὴρ, ᾧ οὐ μὴ λογίσηται κύριος ἁμαρτίαν· ὁ νόμος φησὶ τοῖς ἁμαρτάνουσι τὴν τιμωρίαν. ἐπάγει· ὁ δὲ προφήτης μακαρίζει τοὺς τῶν ἁμαρτημάτων δεξαμένους τὴν ἄφεσιν· ὁ μακαρισμὸς οὖν οὗτος ἐπὶ τὴν περιτομὴν ἢ ἐπὶ τὴν ἀκροβυστίαν; λέγομεν ὅτι ἐλογίσθη τῷ Ἀβραὰμ ἡ πίστις εἰς δικαιοσύνην· πῶς οὖν ἐλογίσθη, ἐν περιτομῇ ὄντι, ἢ ἐν ἀκροβυστίᾳ; δῆλον οὐκ ἐν περιτομῇ, ἀλλ' ἐν ἀκροβυστίᾳ· καὶ σημεῖον ἔλαβε περιτομῆς σφραγῖδα τῆς δικαιοσύνης τῆς πίστεως τῆς ἐν τῇ ἀκροβυστίᾳ εἰς τὸ εἶναι αὐτὸν πατέρα πάντων τῶν πιστευόντων δι' ἀκροβυστίας, εἰς τὸ λογισθῆναι καὶ αὐτοῖς τὴν δικαιοσύνην· καὶ πατέρα περιτομῆς οὐ τοῖς ἐκ περιτομῆς μόνον, ἀλλὰ καὶ τοῖς στοιχοῦσι τοῖς ἴχνεσι τῆς πίστεως, τοῖς ἐν τῇ ἀκροβυστίᾳ τοῦ πατρὸς ὑμῶν Ἀβραάμ· οὐ γὰρ διὰ νόμου ἡ ἐπαγγελία τῷ Ἀβραὰμ, ἢ τῷ σπέρματι αὐτοῦ τὸ κληρονόμος εἶναι κόσμου, ἀλλὰ δικαιοσύνης πίστεως· ὁ γὰρ νόμος ὀργὴν κατεργάζεται· ἔθος γὰρ τῷ νόμῳ κολάζειν τοὺς παραβαίνοντας· οὐκ γὰρ οὐκ ἔστι νόμος, οὐδὲ παράβασις διὰ τοῦτο ἐκ πίστεως ἵνα κατὰ χάριν ᾖ, εἰς τὸ εἶναι βεβαίαν τὴν ἐπαγγελίαν παντὶ τῷ σπέρματι, οὐ τῷ ἐκ νόμου μόνον, ἀλλὰ καὶ τῷ ἐκ πίστεως Ἀβραὰμ, ὅς ἐστι πατὴρ πάντων ἡμῶν, καθὼς γέγραπται, ὅτι πατέρα πολλῶν ἐθνῶν τέθεικά σε· κατέναντι οὗ ἐπίστευσε θεοῦ τοῦ ζωοποιοῦντος τοὺς νεκροὺς καὶ καλοῦντος τὰ μὴ ὄντα ὡς ὄντα· ὃς παρ' ἐλπίδα, ἐπ' ἐλπίδι ἐπίστευσεν, εἰς τὸ γενέσθαι αὐτὸν πατέρα πολλῶν ἐθνῶν, κατὰ τὸ εἰρημένον, οὕτως ἔσται τὸ σπέρμα σου· καὶ μὴ ἀσθενήσας τῇ πίστει, οὐ κατενόησε τὸ αὐτοῦ σῶμα ἤδη νενεκρωμένον, ἑκατονταέτης που τυγχάνων, καὶ τὴν νέκρωσιν τῆς μήτρας Σάῤῥας· εἰς δὲ τὴν ἐπαγγελίαν τοῦ θεοῦ οὐ διεκρίθη τῇ ἀπιστίᾳ, ἀλλ' ἐνεδυναμώθη τῇ πίστει δοὺς δόξαν τῷ θεῷ· καὶ πληροφορηθεὶς ὅτι ὃ ἐπήγγελται δυνατός ἐστι καὶ ποιῆσαι· διὸ καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.

Οὐκ ἐγράφη δὲ εἰς αὐτὸν μόνον, ὅτι ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην, ἀλλὰ καὶ δι' ἡμᾶς, οἷς μέλλει λογίζεσθαι τοῖς πιστεύουσιν ἐπὶ τὸν ἐγείραντα τὸν

κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐκ νεκρῶν· οὐ γὰρ πάντες οἱ ἐξ Ἰσραὴλ σπέρμα Ἀβραάμ, ἀλλὰ τῆς ἀρετῆς ἐπιζητεῖ τὴν συγγένειαν· οὐδ' ὅτι εἰσὶ σπέρμα Ἀβραάμ, πάντες τέκνα θεοῦ, ἀλλ' ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα. τουτέστιν οὐ τὰ τέκνα τῆς σαρκὸς, ταῦτα τέκνα τοῦ θεοῦ, ἀλλὰ τὰ τέκνα τῆς ἐπαγγελίας λογίζεται εἰς σπέρμα. Σάῤῥας δὲ τέκνα καλεῖ τὰ κατὰ τὴν τῆς φύσεως ἀκολουθίαν γεγεννημένα· ἐπαγγελίας δὲ, τὰ κατὰ χάριν παρεσχημένα τῆς πίστεως· ἐπαγγελίας γὰρ ὁ καιρὸς οὗτος, κατὰ τὸν καιρὸν τοῦτον ἐλεύσομαι, καὶ ἔσται τῇ Σάῤῥᾳ υἱός· τῆς φύσεως ἀπειρηκυίας κατὰ θείαν φιλοτιμίαν ἀπεφάνθη πατήρ. Διὰ τί οὖν τοίνυν μεγαλοφρονεῖς, ὦ ἰουδαῖε, ὡς μόνος σπέρμα Ἀβραὰμ προσαγορευόμενος; καὶ ὁ Ἰσμαὴλ τοῦ Ἀβραὰμ ἦν υἱὸς καὶ πρωτότοκος. Εἰ δὲ νομίζεις ἐκεῖνον ὡς ἡμίδουλον ἐκβεβλῆσθαι τῆς συγγενείας, ἀλλ' ἐκ πατέρων καὶ οὐκ ἐκ μητέρων γενεαλογεῖν ἔθος τῇ γραφῇ, καὶ οἱ ἐκ τῆς Χετούρας γεγεννημένοι, ἐλευθέρα γὰρ αὕτη, ἀλλὰ σπέρμα Ἀβραὰμ μὴ καλούμενοι· καὶ τοὺς ιβ παῖδας τοῦ Ἰακὼβ ἐκ διαφόρων μητέρων γεγεννημένους, καὶ τοὺς τέσσαρας ἡμιδούλους, καὶ ὅλους Ἰσραὴλ χρηματίζοντας, καὶ μηδὲν ἐκ τῆς τῶν μητέρων παραβλαβέντας δουλείας· οὐ μόνον δὲ οὗτοι, ἀλλὰ καὶ Ῥεβέκκα ἐξ ἑνὸς κοίτην ἔχουσα Ἰσαὰκ τοῦ πατρὸς ἡμῶν· μήπω γὰρ γεννηθέντων αὐτῶν μηδὲ πραξάντων τὶ ἀγαθὸν ἢ κακὸν· ἵνα ἡ κατ' ἐκλογὴν πρόθεσις τοῦ θεοῦ μείνῃ οὐκ ἐξ ἔργων ἀλλ' ἐκ τοῦ καλοῦντος· ἐῤῥέθη δὲ αὐτῇ, ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι.

Ἢ νομίζεις, ὦ ἰουδαῖε, διὰ τὴν Σάῤῥαν προτιμηθῆναι τὸν Ἰσαὰκ τοῦ Ἰσμαὴλ καὶ τῶν ἀπὸ τῆς Χετούρας γεννωμένων παίδων τῷ Ἀβραάμ; τί ἂν εἴποις περὶ τῆς Ῥεβέκκας; ἐνταῦθα γὰρ καὶ μία μήτηρ, καὶ μία σύλληψις, δίδυμοι γὰρ οἱ παῖδες· τοῦτο γάρ ἐστι τὸ ἐξ ἑνὸς κοίτην ἔχουσα, κατ' αὐτὸν τὸν καιρὸν ἀμφοτέρους συνέλαβεν· ἀλλ' ὁ μὲν θεοφιλὴς, ὁ δὲ τῆς θείας κηδεμονίας ἀνάξιος· καὶ οὐκ ἂν ἔμεινεν ὁ θεὸς τῶν πραγμάτων τὴν πεῖραν, ἀλλ' ἐκ τῶν κυϊσκομένων τὴν τούτων διαφορὰν προηγόρευσεν· προηγόρευσε δὲ τὴν ἑκάστου πρόθεσιν προμηθῶν· οὐ γὰρ ἄδικος ἡ ἐκλογὴ, ἀλλὰ τῇ προθέσει τῶν ἀνθρώπων συμβαίνουσα, καθὼς γέγραπται, τὸν Ἰακὼβ ἠγάπησα, τὸν δὲ Ἠσαῦ ἐμίσησα· τὸ γὰρ ὑπὸ τοῦ θεοῦ πρὸς τὸν Ἀβραὰμ εἰρημένον ὅτι ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα, δείκνυσιν ὡς οὐδὲ τὸ τοῦ γένους ἅπαν τῆς εὐλογίας μετειληφώς· οὐ γὰρ τῇ φύσει προσέχει ὁ θεός. ἀλλὰ πίστιν καὶ ἀρετὴν ἐπιζητεῖ. ὡς καὶ ἐν τῷ Ὠσηὲ λέγει· καλέσω τὸν οὐ λαόν μου, λαόν μου· καὶ τὴν οὐκ ἠγαπημένην, ἠγαπημένην· καὶ ἔσται ἐν τῷ τόπῳ οὗ ἐῤῥέθη αὐτοῖς ὁ λαός μου, ἡμεῖς αὐτοὶ κληθήσονται υἱοὶ θεοῦ ζῶντος· διότι τὰ ἔθνη τὰ μὴ γινώσκοντα δικαιοσύνην, κατέλαβον δικαιοσύνην· δικαιοσύνην δὲ λέγει τὴν ἐκ πίστεως. Ἰσραὴλ δὲ διώκων νόμον ἰδίας δικαιοσύνης, δικαιοσύνην οὐκ ἔφθασεν. Διὰ τί; διότι οὐκ ἐκ πίστεως ἀλλ' ἐξ ἔργων νόμου· ἐνόμισαν γὰρ ἐπαρκεῖν αὐτοῖς τὴν κατὰ νόμον πολιτείαν εἰς κτῆσιν δικαιοσύνης, καὶ πίστεως κατεφρόνησαν·

οὐ δὴ χάριν καὶ τῶν τῆς πίστεως οὐ μετέσχον δωρεῶν· προσέκοψαν γὰρ τῷ λίθῳ τοῦ προσκόμματος, καθὼς γέγραπται· ἰδοὺ τίθημι ἐν Σιὼν λίθον προσκόμματος καὶ πέτραν σκανδάλου, καὶ πᾶς ὁ πιστεύων ἐπ' αὐτὸν οὐ καταισχυνθήσεται· προσπταίειν εἰώθασιν οἱ ἑτέρωσε τὴν διάνοιαν τῶν γραφῶν τῶν προφητειῶν ἔχοντες καὶ τὴν ὁδὸν προκόπτειν οὐκ ἐθέλοντες· τοῦτο πεπόνθασιν οἱ ἰουδαῖοι· περὶ γὰρ δὴ τὰ περιττὰ τοῦ νόμου ἔχοντες, τὸν ὑπὸ τῶν προφητῶν προσαγορευθέντα λίθον ἰδεῖν οὐκ ἠθέλησαν· καίτοι σαφῶς οἱ προφῆται, προεθέσπισαν, ὡς ὁ τούτῳ πιστεύων, μεγίστων τεύξεται ἀγαθῶν· ζῆλον γὰρ θεοῦ ἔχουσιν. ἀλλ' οὐ κατ' ἐπίγνωσιν· ἀγνοοῦντες γὰρ τὴν τοῦ θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν δικαιοσύνην ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ θεοῦ οὐχ ὑποτάσσονται· τέλος γὰρ νόμου Χριστὸς εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι· ὁ γὰρ νόμος πάντας ἡμᾶς, ἤγουν πᾶσαν φύσιν ἀνθρώπων, πρὸς τὸν δεσπότην Χριστὸν ἐπωδήγησεν.

Τὸν τοῦ νόμου τοίνυν πληροῦντα σκοπὸν ὁ πιστεύων τῷ σωτῆρι Χριστῷ· διότι περιέχει ἐν τῇ γραφῇ. ἰδοὺ τίθημι ἐν Σιὼν λίθον ἀκρογωνιαῖον ἐκλεκτὸν ἔντιμον, καὶ ὁ πιστεύων εἰς αὐτὸν οὐ μὴ καταισχυνθῇ· ὑμῖν οὖν ἡ τιμὴ τοῖς πιστεύουσιν, ἀπειθοῦσι δὲ λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας καὶ λίθος προσκόμματος καὶ πέτρα σκανδάλου, οἳ προσκόπτουσι τῷ λόγῳ ἀπειθοῦντες εἰς ὃ καὶ ἐτέθησαν· ἡμεῖς δὲ οἱ πιστεύοντες καὶ βαπτισθέντες, γένος ἐκλεκτὸν, βασίλειον ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησιν· ὅπως τὰς ἀρετὰς ἐξαγγείλωμεν τοῦ ἐκ σκότους ἡμᾶς καλέσαντος εἰς τὸ θαυμαστὸν αὐτοῦ φῶς· οἱ ποτὲ οὐ λαὸς, νῦν δὲ λαὸς θεοῦ, οἱ οὐκ ἠλεημένοι, νῦν δὲ ἐλεηθέντες· ὃς καὶ ἐκάλεσεν ἡμᾶς οὐ μόνον ἐξ ἰουδαίων ἀλλὰ καὶ ἐξ ἐθνῶν· ὡς καὶ ἐν τῷ Ὠσηὲ λέγει, καλέσω τὸν οὐ λαόν μου. λαόν μου· καὶ τὴν οὐκ ἠγαπημένην, ἠγαπημένην· καὶ ἔσται ἐν τῷ τόπῳ οὗ ἐῤῥέθη αὐτοῖς οὐ λαός μου ὑμεῖς, ἐκεῖ κληθήσονται υἱοὶ θεοῦ ζῶντος· ὅσοι γὰρ πνεύματι θεοῦ ἄγονται, οὗτοι εἰσὶν υἱοὶ θεοῦ· τέλος γὰρ νόμου Χριστὸς εἰς δικαιοσύνην παντὶ τῷ πιστεύοντι. Μωϋσῆς γὰρ γράφει τὴν δικαιοσύνην τὴν ἐκ τοῦ νόμου. ὅτι ὁ ποιήσας αὐτὰ ἄνθρωπος, ζήσεται ἐν αὐτοῖς· ἡ δὲ ἐκ πίστεως δικαιοσύνη οὕτως λέγει· μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου, τίς ἀναβήσεται εἰς τὸν οὐρανὸν, τουτέστι Χριστὸν καταγαγεῖν; ἢ τίς καταβήσεται εἰς τὴν ἄβυσσον, τουτέστι Χριστὸν ἐκ νεκρῶν ἀναγαγεῖν; Ἀλλὰ τί λέγει; ἐγγύς σου τὸ ῥῆμα ἐστὶν ἐν τῷ στόματί σου, ἐν τῇ καρδίᾳ σου, τουτέστι τὸ ῥῆμα τῆς πίστεως ὃ κηρύσσομεν· ὅτι ἐὰν ὁμολογήσῃς ἐν τῷ στόματί σου κύριον Ἰησοῦν Χριστὸν καὶ πιστεύσῃς ἐν τῇ καρδίᾳ σου, ὅτι ὁ θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ· καρδίᾳ γὰρ πιστεύεται εἰς δικαιοσύνην, στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν· λέγει γὰρ ἡ γραφὴ ὅτι ὁ πιστεύων εἰς αὐτὸν, οὐκ αἰσχυνθήσεται· ὁ γὰρ αὐτὸς κύριος πάντων καὶ εἰς πάντας πλούσιος τοὺς ἐπικαλουμένους αὐτόν· καὶ ἔσται πᾶς ὃς ἂν ἐπικαλέσηται τὸ ὄνομα κυρίου, σωθήσεται· πῶς οὖν ἐπικαλέσονται εἰς ὃν οὐκ ἐπίστευσαν; πῶς δὲ πιστεύσωσιν, οὗ

οὐκ ἤκουσαν; πῶς δὲ ἀκούσωσι χωρὶς κηρύσσοντος; πῶς δὲ κηρύξωσι ἂν μὴ ἀποσταλῶσι; καθὼς γέγραπται, ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων τὰ ἀγαθά· μενοῦν γε εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.

Ἀλλὰ μὴν οὐκ ἔγνω Ἰσραήλ. Ἡσαΐας λέγει, κύριε τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν, καὶ ὁ βραχίων κυρίου τίνι ἀπεκαλύφθη; ὁ δὲ Μωϋσῆς πρῶτος λέγει, ἐγὼ παραζηλώσω ὑμᾶς ἐπ' οὐκ ἔθνη, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ ὑμᾶς. Ἔθνη ἀσύνετα ὑμᾶς προσηγόρευσε· πρό γε τῆς πίστεως ἀφροσύνην ἐπεδεικνύμεθα· ἦμεν γάρ ποτε, εἶπεν πρὸ τοῦ πιστεῦσαι, ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι. Διαφερόντως ἰουδαίους ἠνίασεν ὁ θεὸς, ἤγουν ἐλύπησεν· οὐ γὰρ οὕτως ἀλγεινὸν ἡ διασπορὰ καὶ ἡ τοῦ ναοῦ ἐρήμωσις, ὡς ἡ τῶν ἐθνῶν εὐσέβειά τε καὶ περιφάνεια. Ἡσαΐας δὲ ἀποτολμᾷ καὶ λέγει, εὑρέθην τοῖς ἐμὲ μὴ ζητοῦσιν, ἐμφανὴς ἐγενόμην τοῖς ἐμὲ μὴ ἐπερωτῶσιν· ἔδειξε κατ' αὐτὸ καὶ τῆς τῶν ἐθνῶν θεογνωσίας τὴν πρόσρησιν, καὶ τὴν τῶν ἰουδαίων μιαιφονίαν· τὸ γὰρ ἀποτολμᾷ τοῦτο δηλοῖ, οὐκ ἐδειλίασε, φησὶ, φονοῦντας ἰουδαίους καὶ μεμηνότας, ἀλλὰ σὺν παῤῥησίᾳ πολλῇ τὴν τῶν ἐθνῶν προεκήρυξε σωτηρίαν· προεθέσπισε δὲ καὶ τῶν ἰουδαίων τὴν ἀπιστίαν· τοῦτο γὰρ δηλοῖ τὰ ἑξῆς· πρὸς δὲ τὸν Ἰσραὴλ λέγει ὁ Μωϋσῆς, ὅλην τὴν ἡμέραν ἐξεπέτασα τὰς χεῖρας πρὸς λαὸν ἀπειθοῦντα καὶ ἀντιλέγοντα· οὕτω γὰρ οἱ θαυμάσιοι προφῆται καὶ ἰουδαίοις κατηγοροῦσι καὶ τὴν τῶν ἐθνῶν προκηρύττουσι πίστιν, λέγω δὲ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν διάκονον γεγενῆσθαι περιτομῆς ὑπὲρ ἀληθείας θεοῦ εἰς τὸ βεβαιῶσαι τὰς ἐπαγγελίας τῶν πατέρων· τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν θεόν· τῷ γὰρ Ἀβραὰμ ὁ τῶν ὅλων θεὸς ὑπέσχετο ἐν τῷ σπέρματι αὐτοῦ εὐλογῆσαι τὰ ἔθνη· ἐδέξατο δὲ καὶ αὐτὸς ὁ πατριάρχης καὶ πᾶν τὸ ἐκείνου γένος τῆς περιτομῆς τὸ σημεῖον· ἔδει τοίνυν καὶ τὸ ἐκείνου σπέρμα κατὰ σάρκα προσαγορευόμενον καὶ τοῖς ἔθνεσι τὴν εὐλογίαν πηγάζον, ἔχειν τὸ σημεῖον τῆς συγγενείας, ἵνα δειχθῇ σαφῶς τῆς θείας ἐπαγγελίας ἡ ἀλήθεια· καὶ τὰ ἔθνη τὴν χάριν δεξάμενα ὑμνήσει τῆς φιλανθρωπίας τὸν χορηγὸν τὸν διὰ τῶν θείων προφητῶν αὐτοῦ προσαγορεύσαντα τὴν τῶν ἐθνῶν πίστιν καὶ σωτηρίαν, καθὼς γέγραπται "διὰ τοῦτο ἐξομολογησόμεθά σοι ἐν ἔθνεσι, κύριε, καὶ τῷ ὀνόματί σου ψαλλομεν". Καὶ πάλιν λέγει "αἰνεῖτε τὸν κύριον πάντα ἔθνη, καὶ ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί". Καὶ πάλιν Ἡσαΐας λέγει. Καὶ ἔσται ῥίζα τοῦ Ἰεσσαὶ, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτὸν ἔθνη ἐλπιοῦσι, καθὼς γέγραπται, ὄψονται οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, καὶ οἳ οὐκ ἀκηκόασι συνήσουσι.

Ὅταν δὲ πάλιν εἰσάγει τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην λέγει, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι θεοῦ. Οὕτω καὶ ὁ θεὸς διὰ τοῦ στόματος τοῦ μακαρίου Δαβὶδ λέγει· ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου, εἰ τῷ Δαβὶδ ψεύσομαι· τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μένει, καὶ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου, καὶ ὡς σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα, καὶ ὁ μάρτυς ἐν οὐρανῷ

Digitized by Google

πιστός „. Καὶ πάλιν· “ Θήσομαι ἐν θαλάσσῃ χεῖρα αὐτοῦ, καὶ ἐν ποταμοῖς δεξιὰν αὐτοῦ· αὐτὸς ἐπικαλέσεταί με, πατήρ μου εἶ σὺ Θεός μου καὶ ἀντιλήπτωρ τῆς σωτηρίας μου· κἀγὼ πρωτότοκον θήσομαι αὐτὸν ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς „· ὅς ἐστιν ὁ τοῦ Θεοῦ λόγος καὶ υἱὸς μονογενὴς, καὶ τῶν αἰώνων ποιητὴς, καὶ δημιουργὸς πάντων. Πόθεν δὲ εἰς τὴν οἰκουμένην εἰσέρχεται; πῶς δὲ πρωτότοκος ὁ μονογενής; πῶς; διὰ τῆς οἰκονομίας τῆς αὐτοῦ ἐνανθρωπήσεως; Εἰ δὲ καὶ μετὰ τὴν ἐνανθρώπησιν αὐτὸν οἱ ἄγγελοι προσεκύνησαν, πρὸ τῆς ἐνανθρωπήσεως ταύτην αὐτῷ τὴν τιμὴν οὐ προσέφερον ἐκ παντός; Καὶ πανταχοῦ ἦν ὁ Θεὸς, καὶ εἰς τὴν οἰκουμένην εἰσῆλθεν ὡς ἄνθρωπος· ἐν τῷ κόσμῳ ἦν, καὶ ὁ κόσμος δι᾽ αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω· εἰς τὰ ἴδια ἦλθεν, καὶ οἱ ἴδιοι αὐτὸν οὐ παρέλαβον· εἰ γὰρ ἐν τῷ κόσμῳ ἦν, πῶς ἦλθεν; εἰ δὲ ἦλθε, πῶς ἐν τῷ κόσμῳ ἦν; ἀλλὰ καὶ ἐν τῷ κόσμῳ ἦν ὡς Θεὸς, καὶ ἦλθεν ὡς ἄνθρωπος· οὕτω καὶ μονογενής ἐστιν ὡς Θεὸς, καὶ πρωτότοκος ὡς ἄνθρωπος ἐν πολλοῖς ἀδελφοῖς· οὗτος ἀεὶ τὸ σέβας παρὰ τῶν ἀγγέλων ἐδέχετο· ἦν γὰρ Θεὸς ἀεί· προσεκύνησαν δὲ αὐτὸν καὶ ὡς ἄνθρωπον. Καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει· ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα· πρὸς δὲ τὸν υἱὸν, ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου· ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου· διὰ τοῦτο σαφῶς ἔδειξε τοὺς μὲν ἀγγέλους κτιστὴν ἔχοντας φύσιν, τὴν δὲ μονογενοῦς υἱοῦ ἄκτιστον καὶ ἀΐδιον· ὡς γὰρ Θεὸς αἰώνιον ἔχει τὸν θρόνον, ἄναρχον τὴν βασιλείαν καὶ ἀτελεύτητον· τὸ δὲ ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν καὶ τὰ ἑξῆς, κατὰ τὸ ἀνθρώπινον εἴρηται· καὶ γὰρ ὁ προφήτης Ἡσαΐας τὰ περὶ τοῦ Ἐμμανουὴλ προθεσπίσας, καὶ ταῦτα προστέθεικε, πρὶν γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακὸν, ἀπειθεῖ πονηρίαν τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν· καὶ ἡ χρίσις δὲ οὐ τῆς θεότητος ἀλλὰ τῆς ἀνθρωπότητος· ἔλαιον γάρ φησι ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου· μέτοχοι δὲ καὶ ἡμεῖς καὶ κοινωνοὶ, οὐ τῆς θεότητος ἀλλὰ τῆς ἀνθρωπότητος, καθὼς γέγραπται, ὅ τε ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι, ἐξ ἑνὸς πάντες· καὶ τοῦτο ἀνθρώπινον· κτιστὴ γὰρ ἡ ληφθεῖσα φύσις, εἰς δέ γε καὶ ἡμῶν καὶ αὐτὸς ὁ ποιητής· ἀλλὰ δι᾽ ἐκείνης ἁγιαζόμεθα, δι᾽ ἣν αἰτίαν οὐκ ἐπαισχύνεται αὐτοὺς ἀδελφοὺς καλεῖν λέγων· ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε. Καὶ πάλιν· ἔσομαι ἐγὼ πεποιθὼς ἐπ᾽ αὐτῷ. Καὶ πάλιν· ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ Θεός.

Εἰ δὲ καὶ δεσπότης καὶ ποιητὴς πάντων, καὶ διὰ τὴν τῶν δούλων αὐτοῦ σωτηρίαν σάρκα ἀνέλαβε καὶ ἄνθρωπος γέγονε κατὰ πάντα χωρὶς ἁμαρτίας ἐξ ἁγίας ἀειπαρθένου, καὶ μετὰ τῶν δούλων αὐτοῦ ἐσθίων καὶ πίνων καὶ συγκαταβαινόμενος, καὶ τοὺς τούτων ἀρρώστους δι᾽ ἑαυτοῦ θεραπεύων, καὶ τὸ ὑπὲρ ἡμῶν καταδεξάμενος

πάθος, οὐκ ἐπαισχύνεται καλεῖν καὶ ἀδελφοὺς τούτους ὑπὲρ ὧν τὸ πάθος ὑπέμεινε, δηλονότι τῶν πιστῶν· οὐ μόνον δὲ ἀδελφούς, ἀλλὰ καὶ παιδία· ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου αὐτοῦ καταργήσει τοῦτο κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον, καὶ ἀπαλλάξῃ τούτους ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. Καὶ πῶς οἷόν τε αὐτὸν ἀδελφὸν ἡμῶν χρηματίσαι, ἢ παιδία ἡμᾶς γνησίως καλέσαι, μὴ τὴν αὐτὴν ὑποκειμένην φύσιν; οὗ δὴ χάριν ταύτην ἀναλαβὼν, τὴν τοῦ θανάτου κατέλυσε δυναστείαν, καὶ τὸν ἐπικείμενον ἡμῖν διέλυσε φόβον· φοβούμενοι γὰρ ἀεὶ διετελοῦμεν τὸν θάνατον· οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρμα Ἀβραὰμ ἐπιλαμβάνεται· εἰ γὰρ ἀγγέλων ἂν εἰλήφει φύσιν, κρείττων ἂν ἐγεγόνει θανάτου· ἐπεὶ δὲ ἀνθρώπινον ἦν ὃ ἀνέλαβε σῶμα, διὰ μὲν τοῦ πάθους τὸ τῶν ἀνθρώπων ἀπέδωκε χρέος· διὰ δὲ τοῦ πεπονθότος σώματος, ἀναστὰς τὴν οἰκείαν ἐπεδείξατο δύναμιν· ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι· ὁμοίως γὰρ ἡμῖν καὶ τροφῆς μετέλαβε, καὶ πόνον ὑπέμεινε, καὶ ἠθύμησε καὶ ἐδάκρυσε, καὶ θάνατον κατεδέξατο, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν Θεὸν εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ· ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθεὶς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι· καὶ ταῦτα κατὰ τὸ ἀνθρώπινον εἴρηται· οὔτε γὰρ ἀρχιερεὺς ἡμῶν ὡς Θεὸς, ἀλλ' ὡς ἄνθρωπος· οὔτε ὡς Θεὸς πέπονθεν, ἀλλ' ὡς ἄνθρωπος· οὔτε διὰ τῆς πείρας μεμάθηκε τὰ ἡμέτερα, ἀλλ' ὡς Θεὸς καὶ δημιουργὸς γινώσκει πάντα σαφῶς.

Πρὸς τίνα δὲ τῶν ἀγγέλων εἶπε ποτὲ, κάθου ἐκ δεξιῶν ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου; οὐ γὰρ ὡς Θεῷ μόνον λέγει κάθου ἐκ δεξιῶν μου· πῶς γὰρ ὁ θρόνος αὐτοῦ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος; ἀλλ' ὡς ἄνθρωπος τοίνυν ταύτης μετέλαχε τῆς τιμῆς· ὡς δὲ Θεὸς, αἰώνιον ἔχει τὸν θρόνον. Καὶ πάλιν τίς ἐστιν ἄνθρωπος ὅτι μιμνήσκῃ αὐτόν; ἢ υἱὸς ἀνθρώπου ὅτι ἐπισκέπτῃ αὐτόν; ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτὸν, καὶ κατέστησας αὐτὸν ἐπὶ τὰ ἔργα χειρῶν σου· πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ. Τὸ δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου, ὅπως χωρὶς Θεοῦ, ὑπὲρ παντὸς γεύσηται θανάτου, δόξῃ καὶ τιμῇ ἐστεφανωμένος· οὐ τῇ φύσει τῆς θεότητος τῶν ἀγγέλων ἠλάττωται, ἀλλὰ τῷ πάθει τῆς ἀνθρωπότητος· ὥσπερ τοίνυν ἐλάττων ἦν ἀγγέλων ὡς ἄνθρωπος διὰ τὸ πάθημα τοῦ θανάτου· ἐπειδὴ μὲν οἱ ἄγγελοι ἀθάνατον ἔχουσι φύσιν, αὐτὸς δὲ ὡς ἄνθρωπος τὸ πάθος ὑπέμεινε χωρὶς θεοῦ διὰ τὴν πάντων σωτηρίαν· πάντα γὰρ ὅσα θνητὴν ἔχουσι φύσιν, ταύτης ἐδεῖτο τῆς θεραπείας, τῆς τῆς ἐνανθρωπήσεως φαρμάκου· μόνη γὰρ ἡ θεία φύσις ἀνενδεής· τοῦτο γὰρ εἶπε χωρὶς θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου· δόξῃ δὲ καὶ τιμῇ ἐστεφανωμένον ὡς ἄνθρωπον· μετὰ γὰρ τὴν ἀνάστασιν καὶ τὴν εἰς οὐ-

Digitized by Google

ρανοὺς ἀνάβασιν τῆς θείας μετέλαχε δόξης, καὶ κρείττων ἀγγέλων ἐγένετο· ἐκάθισε γὰρ ἐπάνω ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως καὶ κυριότητος καὶ παντὸς ὀνόματος ὀνομαζομένου οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ ἀλλὰ καὶ ἐν τῷ μέλλοντι· ἐν γὰρ τῷ ὑποτάξαι αὐτῷ τὰ πάντα, οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον.

Νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ πάντα ὑποτεταγμένα, ἐν δ' ἐκείνῳ τῷ αἰῶνι ἤγουν τῷ μέλλοντι πάντων κρατήσει· ὑποταγήσονται γὰρ τότε καὶ οἱ νῦν ἀντιλέγοντες· ἐνανθρωπήσας γὰρ ὁ Θεὸς λόγος, κατέλυσε τοῦ θανάτου τὸ κράτος· καταλύσας δὲ ἐπηγγείλατο ἡμῖν τὴν ἀνάστασιν· τῇ δὲ ἀναστάσει ἀφθαρσία καὶ ἀθανασία συνέζευκται, ἐν ᾗ ὑπάρχει καὶ ἡ τῶν πατέρων ἡμῶν ἐπαγγελθεῖσα διὰ πίστεως ἀτελευτήτου κατάπαυσις καὶ ζωὴ αἰώνιος, καὶ πάντων τῶν διὰ τῆς ὁμοίας πίστεως ἐλπιζόντων εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν χριστὸν τὸν υἱὸν τοῦ Θεοῦ· εἰ γὰρ ἦν ἐν Ἱερουσαλὴμ ἡ τελεία κατάπαυσις, εἰς ἐκείνην Ἰησοῦς τοῦ Ναυῆ ἡμᾶς κατέπαυσεν· ἀλλ' οὐκ ἔδωκεν ὁ Θεὸς τῷ Ἀβραὰμ ἐν αὐτῇ κληρονομίαν οὐδὲ βῆμα ποδὸς, οὐδὲ τοῖς ἐκείνου τέκνοις τοῖς διὰ πίστεως αὐτῷ ὡμοιωμένοις δέδωκεν ἐν αὐτῇ κληρονομίαν εἰς αἰῶνα· ἀλλὰ παροικοῦντες ἐν αὐτῇ καὶ ἐπὶ πᾶσι δὲ πρόσκαιρως τῶν ὧδε μετερχόμεθα· ἐκεῖ δὲ ὑπάρχει ἡ ἀτελεύτητος κατάπαυσις. ἣν τινα καὶ κληρονομήσαντες οἱ ἀκούσαντες τῇ πίστει σήμερον, κατὰ τὸν θεῖον Δαβὶδ, καὶ μὴ σκληρυνθῶσι τῇ καρδίᾳ, ὡς οἱ πονηροὶ πατέρες ἐν τῷ παραπικρασμῷ κατὰ τὴν ἡμέραν τοῦ πειρασμοῦ· ὥσπερ γὰρ ἐκεῖνοι ἐν τῇ παρούσῃ προσκαίρῳ καταπαύσει οὐκ εἰσῆλθον δι' ἀπιστίας, ἀλλὰ τὰ κῶλα αὐτῶν ἔπεσον ἐν τῇ ἐρήμῳ, ἀντ' ἐκείνων δὲ εἰσῆλθον ἐν αὐτῇ οἱ ἐκείνων παῖδες, οὕτως ἐν τῇ αἰωνίᾳ καταπαύσει τῇ ἐπαγγελθείσῃ διὰ στόματος Δαβὶδ παρὰ τοῦ Θεοῦ, ἐκεῖνοι ὀφείλουσιν ἐν τῇ ἀναστάσει εἰσελθεῖν ἐν αὐτῇ, οἱ ἀκούσαντες νῦν τὸν λόγον τῆς πίστεως, ὃν δεξάμενοι φωτισθῶσιν· οἱ δὲ ἀπιστήσαντες καὶ τὸν Θεὸν πειράζοντες, εἰς πῦρ αἰώνιον ἀποπεμφθήσονται αἰωνίως κολαζόμενοι.

Τοῦτο δὲ μὴ ἀγνοεῖτε ὅτι οἱ πατέρες ὑμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον, καὶ πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ, καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον· ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας, ἡ δὲ πέτρα ἦν ὁ Χριστός· ταῦτα δὲ τύπος, φησὶ, τῶν ὑμετέρων ἐκεῖνα· ἡ θάλασσα γὰρ ἐμιμεῖτο τὴν κολυμβήθραν, ἡ δὲ νεφέλη τὴν χάριν τοῦ πνεύματος, ὁ Μωϋσῆς δὲ τὸν ἱερέα, ἡ ῥάβδος δὲ τὸν σταυρὸν, ὁ δὲ διελθὼν καὶ περάσας Ἰσραὴλ τῶν βαπτιζομένους μιμούμενος, οἱ δὲ διώκοντες Αἰγύπτιοι τύπον τῶν δαιμόνων ἐπλήρουν, αὐτὸς δὲ ὁ Φαραὼ εἰκὼν ἦν τοῦ διαβόλου· μετὰ γὰρ τὴν διάβασιν οἱ Ἰσραηλῖται τῆς τῶν Αἰγυπτίων δυναστείας ἠλευθερώθησαν· καὶ τὸ μάννα οὐρανόθεν ὡς ἐν τύπῳ τινὶ τοῦ οὐρανίου ἄρτου τοῦ σώματος τοῦ Χριστοῦ ἐδέξαντο· ἐμιμεῖτο δὲ καὶ ἡ πέτρα τὴν τοῦ δεσπότου πλευράν· ἀνέ-

βλυσε γὰρ εὐθὺς παρ' ἐλπίδα τὰ νάματα· καὶ τοῦτο ἦν ἐκείνοις ἡ πέτρα ὅπερ ἡμῖν ὁ Χριστός· ἠκολούθει δὲ καὶ αὐτοῖς οὐχ ἡ πέτρα, ἀλλ' ἡ θεία χάρις Χριστοῦ τοῦ υἱοῦ καὶ λόγου τοῦ Θεοῦ, ἡ καὶ τὴν πέτραν ἐκείνην παρ' ἐλπίδα πᾶσαν ἀναδεῖξαι τὰ ῥεῖθρα τῶν ὑδάτων παρασκευάσασα· εἰ γὰρ ἡ πέτρα αὐτοῖς ἠκολούθει, ἢ τὰ τῆς πέτρας νάματα, πῶς αὖθις ἐδεήθησαν ὑδάτων τὴν θείαν χάριν;

Ἄνδρες Ἰσραηλῖται καὶ οἱ φοβούμενοι τὸν Θεὸν ἀκούσατε· ὁ Θεὸς ἐξελέξατο τοὺς πατέρας ὑμῶν, καὶ τὸν λαὸν ὕψωσεν ἐν τῇ παροικίᾳ ἐν τῇ Αἰγύπτῳ, καὶ μετὰ βραχίονος ὑψηλοῦ ἐξήγαγεν αὐτοὺς, καὶ ὡς τεσσαρακονταετῆ χρόνον ἐτροποφόρησεν αὐτοὺς ἐν τῇ ἐρήμῳ, καὶ καθελὼν ἔθνη ἑπτὰ ἐν γῇ Χαναὰν κατεκληρονόμησεν αὐτοῖς τὴν γῆν αὐτῶν· καὶ μετὰ ταῦτα ὡς ἔτεσι τετρακοσίοις καὶ πεντήκοντα, ἔδωκεν κριτὰς ἕως Σαμουὴλ τοῦ προφήτου· καὶ ἐκεῖθεν ᾐτήσαντο βασιλέα, καὶ ἔδωκεν αὐτοῖς ὁ Θεὸς τὸν Σαοὺλ υἱὸν Κὶς, ἄνδρα ἐκ φυλῆς Βενιαμὶν ἔτη τεσσαράκοντα· καὶ μεταστήσας αὐτὸν, ἤγειρεν ἀντ' αὐτοῦ τὸν Δαβὶδ εἰς βασιλέα, ᾧ καὶ εἶπε μαρτυρήσας, εὗρον Δαβὶδ τὸν τοῦ Ἰεσσαὶ, ἄνδρα κατὰ τὴν καρδίαν μου, ὃς ποιήσει πάντα τὰ θελήματά μου· τούτου ὁ Θεὸς ἀπὸ τοῦ σπέρματος κατ' ἐπαγγελίαν ἤγαγε τῷ Ἰσραὴλ σωτηρίαν, προκηρύξαντος Ἰωάννου πρὸ προσώπου τῆς εἰσόδου αὐτοῦ βάπτισμα μετανοοίας τῷ Ἰσραήλ· ὡς δὲ ἐπλήρου Ἰωάννης τὸν δρόμον, ἔλεγε· τίνα με ὑπονοεῖτε εἶναι; οὐκ εἰμὶ ἐγώ· ἀλλ' ἰδοὺ ἔρχεται μετ' ἐμὲ οὗ οὐκ εἰμὶ ἄξιος τὸ ὑπόδημα τῶν ποδῶν λῦσαι. Ἄνδρες ἀδελφοὶ υἱοὶ γένους Ἀβραὰμ καὶ οἱ ἐν ὑμῖν φοβούμενοι τὸν Θεὸν, ὑμῖν ὁ λόγος τῆς σωτηρίας ταύτης ἀπεστάλη· οἱ γὰρ κατοικήσαντες Ἰσραὴλ καὶ οἱ ἄρχοντες αὐτῶν, τοῦτον ἀγνοήσαντες καὶ τὰς φωνὰς τῶν προφητῶν κατὰ πᾶν σάββατον ἀναγινωσκομένας, κρίναντες ἐπλήρωσαν· καὶ μηδεμίαν αἰτίαν θανάτου εὑρόντες, ᾐτήσαντο Πιλάτου ἀναιρεθῆναι αὐτόν· ὡς δὲ ἐτέλεσαν πάντα τὰ περὶ αὐτοῦ γεγραμμένα, καθελόντες ἀπὸ τοῦ ξύλου ἔθηκαν εἰς μνημεῖον· ὁ δὲ Θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν, ὃς ὤφθη ἐπὶ ἡμέρας πλείους τοῖς σάββασιν αὐτῶν ἀπὸ τῆς Γαλιλαίας εἰς Ἱερουσαλήμ. οἵτινες μάρτυρες αὐτοῦ γεγόνασιν ἐν τῷ λαῷ καὶ τοῖς μαθηταῖς αὐτοῦ καὶ ἀποστόλοις μετὰ τὴν ἀνάστασιν αὐτοῦ ὀπτανόμενος ἐπὶ ἡμέρας τεσσαράκοντα. ὁμιλῶν αὐτοῖς τὰ περὶ τῆς βασιλείας τῶν οὐρανῶν· οἵτινες καὶ ὑμῖν εὐηγγελίσαντο καὶ ἡμῖν ὁμοίως εὐαγγελίζονται τὴν πρὸς τοὺς πατέρας ἐπαγγελίαν γενομένην, ὅτι ταύτην ὁ Θεὸς ἐκπεπλήρωκε τοῖς τέκνοις αὐτῶν, ἡμῖν ἀναστήσας Ἰησοῦν· ὡς καὶ ἐν τῷ ψαλμῷ γέγραπται, υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε.

Ὅτι δὲ ἀνέστησεν αὐτὸν ἐκ νεκρῶν μηκέτι μέλλοντα ὑποστρέφειν εἰς διαφθοράν, οὕτως εἰρήκασιν· ὅτι δώσω ὑμῖν τὰ ὅσια Δαβὶδ τὰ πιστά· διὸ καὶ ἐν ἑτέρῳ λέγει, οὐ δώσεις τὸν ὅσιόν σου ἰδεῖν διαφθοράν. Δαβὶδ μὲν γὰρ τῇ ἰδίᾳ γενεᾷ ὑπηρετήσας τῇ τοῦ Θεοῦ βουλῇ, ἐκοιμήθη καὶ προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ, καὶ οἶδε διαφθοράν· ὃν δὲ ὁ Θεὸς ἤγειρεν, οὐκ οἶδε διαφθοράν· γνωστὸν ἔστω ὑμῖν. ἄνδρες ἀδελφοὶ, ὅτι διὰ τοῦτο ὑμῖν ἄφεσις ἁμαρτιῶν καταγγέλλεται,

καὶ ἀπὸ πάντων ὧν οὐκ ἠδυνήθητε ἐν τῷ νόμῳ Μωϋσέως δικαιωθῆναι, ἐν τούτῳ πᾶς ὁ πιστεύων δικαιοῦται· βλέπετε οὖν μὴ ἐπέλθῃ ἐφ' ὑμῖν τὸ εἰρημένον ἐν τοῖς προφήταις, ἴδετε οἱ καταφρονηταὶ καὶ θαυμάσατε καὶ ἀφανίσθητε, ὅτι ἔργον ἐγὼ ἐργάζομαι ἐν ταῖς ἡμέραις ὑμῶν, ὃ οὐ μὴ πιστεύσητε ἐάν τις ἐκδιηγῆται ὑμῖν. Ἡσαΐας δὲ κράζει ὑπὲρ τοῦ Ἰσραὴλ λέγων, ἐὰν ᾖ ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡσεὶ ἄμμος τῆς θαλάσσης, τὸ κατάλημμα σωθήσεται· λόγον γὰρ συντετμημένον ποιήσει κύριος ἐπὶ τῆς γῆς, ὡς ἄνωθεν προεῖδεν ὁ τῶν ὅλων θεὸς, καὶ τοὺς τῇ πίστει προσελθόντας, καὶ τοὺς τῇ ἀπιστίᾳ νενοσηκότας· ἐπειδὴ γὰρ λέγουσιν ὀλίγους ἐξ αὐτῶν δεχθῆναι τὸ κήρυγμα, τοὺς δὲ ἄλλους ἅπαντας ἐξ ἀπάτης φεύγειν, ἔδειξεν ἄνωθεν ταῦτα προρρηθέντα· οὐκ ἂν ὑπερβάλλωσι τῷ πλήθει τὸν ἀριθμὸν καὶ μιμοῦνται τῆς θαλάσσης τὴν ψάμμον· οὐχ ἅπαντες τεύξονται τῆς σωτηρίας, ἀλλ' οἱ τῇ πίστει κοσμούμενοι· τοῦ γὰρ συντετμημένου λόγου ὃν ποιήσει κύριος, τὴν πίστιν ἐκάλεσε· καὶ οἱ τῇ πίστει προσελθόντες, οὗτοι ὑπάρχουσιν οἱ ὑπὸ τοῦ προφήτου ἐγκατάλημμα καλούμενοι, οἵτινες διὰ πίστεως σωθήσονται.

Ἢ οὐκ οἴδατε καὶ ἐν Ἠλίᾳ τί λέγει ἡ γραφή; ὡς ἐντυγχάνει τῷ θεῷ κατὰ τοῦ Ἰσραὴλ λέγων· κύριε, τοὺς προφήτας σου ἀπέκτειναν, καὶ τὰ θυσιαστήριά σου κατέσκαψαν, κἀγὼ ὑπελείφθην μόνος, καὶ ζητοῦσι τὴν ψυχήν μου ἀπ' ἐμοῦ· ἀλλὰ τί λέγει αὐτῷ ὁ χρηματισμός; κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ· κατ' ἐκεῖνον, φησὶ, τὸν καιρὸν πολλαὶ μυριάδες ἦσαν τῷ Ἰσραὴλ, καὶ πάντες Ἰσραηλῖται ὠνομάζοντο· ἀλλ' ὁ τῶν ὅλων θεὸς τῶν ἑπτακισχιλίων ἑαυτὸν θεὸν προσηγόρευσε, τοὺς δὲ ἄλλους ἀπεδοκίμασεν ἅπαντας· ὁ μέντοι προφήτης καὶ τοῦτο ἠγνόει, καὶ ἐν αὐτῷ μόνῳ τὰ λείψανα σώζεσθαι τῆς εὐσεβείας ἐνόμιζεν· οὐδὲν οὖν καινὸν καὶ παράδοξον, εἰ καὶ ὑμεῖς ἀγνοεῖτε, τοὺς ἐξ ὑμῶν τῷ σωτῆρι πεπιστευκότας οὓς λαὸν ὁ τῶν ὅλων προσαγορεύει θεός· οὕτως οὖν καὶ ἐν τῷ νῦν καιρῷ λεῖμμα κατ' ἐκλογὴν χάριτος γέγονεν· ἡ δὲ χάρις οὐκέτι ἐξ ἔργων· ἐπεὶ καὶ ἡ ἐξ ἔργων, οὐκ ἔστι χάρις· καθάπερ τότε φησὶν ἀπὸ μυριάδων ἀπείρων ἑπτακισχίλιοι κατελείφθησαν μόνοι τῆς ἀσεβείας ἐλεύθεροι· οὕτω καὶ νῦν πλείους μὲν οἱ ἀπιστεύσαντες καὶ τῆς θείας χάριτος ἀπολαύσαντες· οὐ γὰρ ἡ κατὰ νόμον αὐτοὺς ἐδικαίωσε πολιτεία, τοῦτο γὰρ λέγει τὸ ἐξ ἔργων νόμου· ἀλλ' ἡ θεοῦ διέσωσε χάρις· διὰ τοῦτο καὶ χάρις ἡ σωτηρία καλεῖται, ἐπειδὴ κατὰ θείαν φιλανθρωπίαν γεγένηται, καθὼς γέγραπται, ἥξει ἐκ Σιὼν ὁ ῥυόμενος, καὶ ἀποστρέψει ἀσεβείας ἀπὸ Ἰακώβ· καὶ αὕτη αὐτοῖς ἡ παρ' ἐμοῦ διαθήκη, ὅταν ἀφέλωμαι τὰς ἁμαρτίας αὐτῶν, εἰ ἡ κατὰ νόμον πολιτεία· δωρεῖται τῶν ἁμαρτημάτων αὐτῶν τὴν ἄφεσιν· αὐτὴν ἂν ὁ προφητικὸς προεθέσπισε λόγος· εἰ δὲ κολάζει μὲν ὁ νόμος τοὺς ἁμαρτάνοντας, ἀεὶ δὲ παράνομοι ἐκλήθησαν οἱ ἰουδαῖοι, εὔδηλον ὡς τὴν διὰ τοῦ βαπτίσματος χορηγουμένην ἄφεσιν ὁ προφητικὸς λόγος δηλοῖ· πάντας καὶ Ἰσραὴλ καλεῖ τοὺς πιστεύοντας, εἴτε ἐξ ἐθνῶν εἴτε ἐξ ἰουδαίων κατὰ τὸν τῆς πίστεως

Digitized by Google

εὐγένειαν αὐτῷ συνηγμένης· τί οὖν ἐπιζητεῖ ὁ κατὰ σάρκα Ἰσραὴλ, τούτου οὐκ ἐπέτυχε· δηλαδὴ τί οὐκ ἐπέτυχε; διότι οὐκ ἐκ πίστεως ἐπιζητεῖ, ἀλλ' ἐξ ἔργων νόμου· ἡ δὲ ἐκλογὴ ἐπέτυχε δηλαδὴ τῆς πίστεως, οἱ δὲ λοιποὶ ἐπωρώθησαν, ἤγουν κατελείφθησαν τῇ ἀπιστίᾳ, καθὼς γέγραπται, ἔδωκεν αὐτοῖς ὁ Θεὸς πνεῦμα κατανύξεως, ὀφθαλμοὺς τοῦ μὴ βλέπειν, καὶ ὦτα τοῦ μὴ ἀκούειν, ἕως τῆς σήμερον ἡμέρας· οὐ γὰρ ὁ Θεὸς αὐτοὺς ἀπιστῆσαι παρεσκεύασεν, ἀλλ' ἐσυγχώρησεν, ἤγουν παρεχώρησε· πνεῦμα κατανύξεως τὸ ἀμετάβλητον ἐκάλεσε γνώμην· ὥσπερ ὁ τὴν ἐπαινουμένην ἔχων κατάγνωσιν τὴν ἐπὶ τὸ χεῖρον ῥοπὴν οὐκ εἰσδέχεται, οὕτως ὁ παντελῶς ἑαυτὸν ἐκδοὺς τῇ πονηρίᾳ, τὴν ἐπὶ τὸ κρεῖττον οὐχ αἱρεῖται μεταβολήν. Καὶ ἄλλος προφήτης λέγει, ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶ βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς ἔμυσαν, καὶ τὸ φῶς ἰδεῖν οὐκ ἠθέλησαν. Καὶ Δαβὶδ λέγει, γενηθήτω ἡ τράπεζα αὐτῶν εἰς παγίδα καὶ εἰς θήραν καὶ εἰς σκάνδαλον καὶ εἰς ἀνταπόδομα αὐτῶν· σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν δηλαδὴ παντὸς σύγκαμψον.

ΔΙΑΛΟΓΟΣ ΜΙΚΡΟΣ ΠΡΟΣ ΙΟΥΔΑΙΟΥΣ (1).

Ἠρώτησεν ὁ ἰουδαῖος δηλαδὴ τί τρώγεται παρ' ὑμῶν τῶν χριστιανῶν τὸ χοίρειον κρέας. Ὁ χριστιανὸς εἶπε· δηλαδὴ τί ὑμεῖς οὐ τρώγετε αὐτό; Ὁ ἰουδαῖος, ὅτι ἀκάθαρτόν ἐστιν. Ὁ χριστιανός. Καὶ δηλαδὴ τί τρώγετε τὸ ὀρνίθιον, ὃ ἀκαθαρτότατον πάντων ἐστί; ποντικὸν καὶ ὄφεις ἐσθίει καὶ πᾶσαν ἀκαθαρσίαν· τὴν δὲ χελιδόνα οὐ τρώγετε καθαρωτέραν οὖσαν τοῦ ὄρνιθος· οὔτε τὸ σίπιον καθαρὸν καὶ αὐτὸ ὂν καὶ ἀναίμακτον καὶ καθαρώτερον τοῦ ὄρνιθος, καὶ σκηνώματα καὶ θυσιμαῖα ἐσθίει, αὐτὰ δὲ οὐδαμῶς· θέλεις μαθεῖν δι' ἣν αἰτίαν εἶπεν ὁ Θεὸς δηλαδὴ Μωϋσέως τοῖς ἰουδαίοις μὴ τρώγειν τὸ χοιρίδιον; ὅτι ἐν Αἰγύπτῳ ὄντες μετὰ τῶν αἰγυπτίων, ἤσθιον τὸν χοῖρον, τὸν δὲ βοῦν καὶ τὸν τράγον καὶ τὸν κύνα ἐσέβοντο οἱ αἰγύπτιοι ὡς θεούς· ἐκ τούτου καὶ βοσορεῖς, δηλαδὴ τὸ τὸν βοῦν σέβεσθαι· καὶ κυνῖται δηλαδὴ τὸ τὸν κύνα σέβεσθαι· διὸ καὶ ἰουδαῖοι μετ' αὐτῶν ὄντες, τὰ ἔθη αὐτῶν ἐκράτησαν· ἐξαγαγὼν οὖν αὐτοὺς ὁ Θεὸς ἐξ Αἰγύπτου, θέλων ἀποστῆσαι τὰς καρδίας αὐτῶν ἐξ ὧν τετραπόδων ἐσέβοντο ἐν Αἰγύπτῳ, ἐνομοθέτησεν αὐτοῖς τὰ ἅπερ εἶχεν ἐκεῖ σεπτὰ καὶ προσκυνητὰ σφάττειν ἐνταῦθα καὶ ἐσθίειν· ἵνα ὡς σφάζοντες αὐτὰ καὶ ἐσθίοντες, μηκέτι λοιπὸν τιμῶσιν αὐτά· τὸν δὲ χοῖρον ὅνπερ ἤσθιον εἰς Αἴγυπτον, παρήγγειλεν αὐτοῖς τούτου μὴ γεύεσθαι, οὐχ ὡς ἀκαθάρτου αὐτοῦ ὄντος, ἀλλ' ἵνα μὴ στρέφωνται τὰς καρδίας αὐτῶν ἐν Αἰ-

(1) Hic quidem dialogus statim subtexitur in eodem codice vaticano. Ast aliud colloquium breve Anastasii abbatis aeque cum Iudaeis in alio vat. codice, non est fere nisi compendium operis longioris a me supra scripti; neque id edere magnopere interest.

γύπτῳ· καὶ ὅπως ἀναγκαζόμενοι τούτῳ μὴ ἐσθίειν, τῶν ἄλλων ζώων λοιπὸν καθαπτόμενοι, σφάζοντες τρώγωσιν, οἷον τὸν βοῦν τὸν τράγον τὸ πρόβατον, ἅπερ ὡς θεοὺς ἐν τῇ Αἰγύπτῳ ὄντες ἐσέβοντο· καὶ διὰ τὴν τοιαύτην αἰτίαν ἐνομοθετήθη τοῖς ἰουδαίοις μὴ ἐσθίειν τὸν χοῖρον, οὐχὶ δὲ δι' ἀκαθαρσίαν· ἐπεὶ εἰσὶν ἄλλα ἀκαθαρτότερα, ὡς εἴπομεν, καὶ βιβρωσκόμενα καὶ παρὰ ἰουδαίοις· ἀλλ' οὐχ ὁ θεὸς ταῦτα ἀκάθαρτα ἐποίησεν, ἢ ὠνόμασεν, ἀλλὰ καὶ λίαν ἡμῖν αὐτὰ ἐδωρήσατο ἐσθίειν, καὶ εἰς ἑτέρας ἀναγκαίας χρήσεις ταῦτα ἔδωκεν ἔχειν· καὶ γὰρ χωρὶς τοῦ σφαγῆναι καὶ βρωθῆναι καὶ ἄλλην χρῆσιν καὶ δουλείαν ἡμῖν ποιεῖν δύναται ὁ βοῦς, τὸ ἀροτριᾷν καὶ τὰ λοιπὰ μετακομίζειν, καὶ τῶν λοιπῶν γεωργικῶν συμπονούμενος ἡμῖν· τὸ πρόβατον, τὸ ἔριον πρὸς ἔνδυσιν ἡμῶν· ὁμοίως καὶ τὸ αἰγίδιον, τὸ γάλα καὶ τὸν τυρὸν καὶ τὰς τρίχας· ὡσαύτως καὶ ὁ κύων, διὰ τὸ φυλάσσειν ἐστίν· ἡ κάτα, διὰ τὸ καθαρίζειν· τὸ ὀρνίθιον, διὰ τὸ ὠόν· οὐδὲ χοῖρος οὐδεμίαν ἄλλην χρῆσιν ἔχει, εἰ μὴ διὰ τὸ βρωθῆναι, ἐπεὶ ἄκαιρός ἐστιν καὶ ἄχρηστος ἐπὶ τῆς γῆς· ἀκάθαρτον δὲ ὑμεῖς οἱ ἰουδαῖοι αὐτὸν ποιεῖτε, διὰ τὴν νηπίαν ὑμῶν, μὴ θέλων τοῦτον ἀνήσασθαι καὶ τρέφειν· ἐπεὶ ἐὰν θέλῃς θρέψειν αὐτὸν, εἴτε τρώγει τὸ πρόβατον καὶ τὸ αἰγίδιον, αὕτη ἐστὶν καὶ ἡ κατὰ φύσιν τροφὴ τοῦ χοίρου· ἄκουσον δὲ τῆς γραφῆς λεγούσης, καὶ εἶδεν ὁ θεὸς πάντα ὅσα ἐποίησεν, καὶ ἰδοὺ καλὰ λίαν.

ΕΤΕΡΑ ΕΡΩΤΗΣΙΣ.

Ἐὰν εἴπῃ σοι ἑβραῖος, πῶς εἶ σὺ, χριστιανὲ, τέκνον τοῦ Ἀβραὰμ, ἐθνικὸς ὤν; ἐρεῖς αὐτῷ, κατὰ τὴν πίστιν, καθὰ εἴρηται αὐτῷ ὅτι πατέρα πολλῶν ἐθνῶν τέθεικά σε· σὺ δὲ, ὦ ἰουδαῖε, πῶς εἶ τέκνον τοῦ Ἀβραάμ; οὐχ Ἡσαΐας εἶπε πρὸς τὸν λαόν σου, ὅτι ὁ πατὴρ ἀμορραῖος ἐστὶν, ἡ δὲ μήτηρ χετταία; διὸ ἐγὼ μὲν κατὰ τὴν πίστιν εἰμὶ τέκνον τοῦ Ἀβραὰμ, σὺ δὲ ἀμορραῖος καὶ χετταῖος κατὰ τὸν τρόπον.

Ἐρώτησις. Ἐὰν εἴπῃ σοι ἑβραῖος, πῶς πιστεύεις εἰς τὸν ἐσταυρωμένον; ἄκουσον τῆς γραφῆς λεγούσης, ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου. Εἰπὲ πῶς πιστεύεις, ὦ ἰουδαῖε, τῷ ὄφει τῷ χαλκῷ, ἐπεὶ κατηραμένου αὐτοῦ ὄντος ἀπὸ παντὸς θηρίου, οὗ τινος ἡ εἰκὼν, ζωὴν παρεῖχε τοῖς σοῖς προγόνοις· εἰ γὰρ ὁ ὄφις ὁ μὴ δάκνων, ὑπὲρ τῶν δακνόντων ὄφεων ζωὴν ἔφερεν, οὕτω καὶ ὁ Χριστὸς ἀναμάρτητος ὢν, ὑπὲρ ἁμαρτωλῶν κρεμασθεὶς, ζωὴν τῷ κόσμῳ ἐχαρίσατο.

Ἐρώτησις. Εἰ χρὴ ἀποκριθῆναι ἰουδαίοις λέγουσιν ἡμῖν, ὅτι ἰδοὺ κατὰ τὴν ὑμῶν δόξαν οὐκ ἦν ὁ ἐκ Μαρίας τεχθεὶς ὁ θεὸς, λέγεται ὅτι Μωϋσῆς περὶ αὐτοῦ προεφήτευσεν εἰπὼν, ὅτι προφήτην ὑμῖν ἀναστήσει κύριος ὁ θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν ὡς ἐμὲ, αὐτοῦ ἀκούσατε· φαίνεται δὲ Μωϋσῆς ἄνθρωπος ὢν καὶ θεός; Ἀπόκρισις. Οἱ ἰουδαῖοι, πότε ὑμῖν τοῦτο εἶπε Μωϋ-

σῆς; πρὸ τοῦ ἀνελθεῖν αὐτὸν ἐν τῷ ὄρει, ὅτε ἐνηλλάγη ἡ ὄψις τοῦ χρωτὸς αὐτοῦ ὥστε μὴ δύνασθαι ὑμᾶς ἀτενίζειν αὐτῷ διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ, εἰ μὴ εἶχε τὸ κάλυμμα, ἢ μετὰ τὸ γενέσθαι τοιοῦτον τὸ πρόσωπον αὐτοῦ; σύνθεσθε δὲ καὶ μὴ βουλόμενοι, ὅτι μετὰ τὸ γενέσθαι τὸ πρόσωπον αὐτοῦ δεδοξασμένον· οὕτω καὶ ὁ υἱὸς τοῦ Θεοῦ σκηνώσας ἐν ἡμῖν ἀντὶ περιβολαίου ἔσχε τὸν ναὸν τοῦ σώματος αὐτοῦ, κρύπτων αὐτοῦ τὴν θεότητα· ὃν τρόπον τὸν Μωϋσῆν οὐκ ἠδύναντο ἀπὸ τῆς δόξης τοῦ προσώπου αὐτοῦ θεάσασθαι γυμνὸν τῇ ὄψει, οὕτω καὶ ὁ υἱὸς τοῦ Θεοῦ τῇ ἀνθρωπότητι ἔκρυψε τὴν θεότητα.

Ὁ Θεὸς προειδὼς τὸ γένος ὑμῶν ὅτι σκληρόν ἐστι καὶ πονηρὸν, καὶ ὅτι ἐκβληθήσεται μὲν ὁ πρωτότοκος υἱὸς Ἰσραὴλ, ἀντεισαχθήσεται δὲ ὁ ἐξ ἐθνῶν λαὸς, ἀσαφῶς ταῦτα καὶ μετ' ἐπικρύψεως διὰ στόματος τῶν προφητῶν προηγόρευσεν· εἰ γὰρ ἔγνω τὴν ἑαυτοῦ ἔκπτωσιν τὸ φθόνου μεστὸν καὶ πλῆρες ἁμαρτίας γένος ὑμῶν, πυρικαύστους ἂν τὰς βίβλους πάσας πεποίηκεν, ἅτε δὴ μὴ γράμματα φέρειν καθ' ἑαυτοῦ ἀνεχόμενον, κἀντεῦθεν ζημίαν οὐ τὴν τυχοῦσαν τοῖς μετὰ ταῦτα ἐπήνεγκεν· αὕτη μὲν οὖν ἡ αἰτία δι' ἣν ἀσαφῶς αἱ προφητικαὶ συνετέθησαν βίβλοι· καὶ εἰ μὴ πείθῃ τοῖς λεγομένοις, τῷ λέγοντι πείθου προφήτῃ, οὔτε ἔγνως, οὔτε ἠπίστασο, οὔτε ἀπ' ἀρχῆς ἀνέῳξά σου ὦτα· ᾔδειν γὰρ ὅτι ἀπειθῶν ἀπειθήσεις· καὶ νῦν μὲν ὅτι Θεὸς ἐκ γυναικὸς γεννᾶται, σκανδαλίζῃ καὶ ἀποπηδᾷς· κατὰ δὲ τὴν ἔρημον, ὅτε σοι ἀοράτως καὶ οὐ διὰ σαρκὸς συνανεστρέφετο ὁ Θεὸς, καὶ τὰ παράδοξα ἐκεῖνα διὰ σὲ ἐτερατούργει, τίνος ἕνεκεν ἐφρόνεις κατὰ Θεοῦ; πῶς ἠγρίαινες κατὰ Μωϋσέως, ὡς μικροῦ καὶ λιθολευθῆσαι αὐτὸν; πῶς τὸν εὐεργέτην ἀπολιμπάνων, ἐπὶ τὴν Αἴγυπτον παλινδρομῆσαι ἐφιλονείκεις; ἀπόκριναι· εὔδηλον οὖν, ὅτι ὁ αὐτὸς εἶ καὶ οὐκ ἠλλοίωσαι ὁ τότε σκληροκάρδιος καὶ περὶ τὸν εὐεργέτην ἀγνώμων, ὁ αὐτὸς δηλονότι καὶ νῦν ὁ ἐκπικράζων τὸν Θεόν· τότε καὶ λέγων εἰ ἔστιν ἐν ἡμῖν κύριος ἢ οὔ· τὰ αὐτὰ ποιεῖς ἐπ' αὐτῷ καὶ νῦν ὅτι δι' ἡμᾶς ἐνηνθρώπησεν· ὀφείλων ὁλοσχερῶς εὐχαριστεῖν αὐτῷ τούτου ἕνεκεν· καθά που πάντως καὶ ἐπὶ τῷ τῶν σωματικῶν παθῶν ἰατρῷ ποιεῖν εἰώθαμεν, ἡνίκα καὶ μᾶλλον ἐπὶ τὸν νοσοῦντα βαδίζῃ συχνῶς, καὶ μὴ πρὸς τὸ ἑαυτοῦ ἀφορῶν ἀξίωμα συγκύπτει ἐπὶ τὰ πάθη καὶ δυσωδίας ἀνέχεται, ἵνα δῷ τὴν ὑγείαν τῷ κάμνοντι.

Εἰ δὲ ταῦτα οὕτως ἔχει, πῶς ἀμφιβάλλεις ἔτι περὶ τῆς τρισυποστάτου θεότητος; πῶς οὐ προσκυνεῖς τὸν υἱόν; πῶς οὐ πιστεύεις τῷ πνεύματι; Ἀλλ' ἵνα κηρύσσῃ Θεὸν ἡ γραφή. Καὶ τί χρὴ πολλὰ λέγειν; ἄφες τὸν Ἡσαΐαν, παράδραμε τὸν Δαβὶδ, καὶ πᾶσαν ἑτέραν γραφὴν, δι' ὧν ἡ ζωαρχικὴ τριὰς μεγαλοφώνως κηρύσσεται· ἐπὶ τὴν σκηνὴν ἄνελθε τοῦ Ἀβραὰμ, καὶ σκόπησον ἀκριβῶς, τίνες τε ἦσαν οἱ ὀφθέντες αὐτῷ, καὶ πόσοι τὸν ἀριθμὸν, ὅσα τε καὶ οἷα πρὸς αὐτοὺς ὁ πατριάρχης λελάληκε· καθάπερ γὰρ τελείαν τὴν γνῶσιν ὄντι τῷ Ἀβραὰμ, καὶ ὡς τρεῖς ἐφαίνοντο, καὶ ὡς εἷς διελέγοντο, οὕτω κἀκεῖνος ἐποιεῖτο πρὸς αὐτοὺς τὴν διάλεξιν· ἐκκλίνατε, κύριε, λέγων πρός με· τί τούτου γὰρ παραδοξότερον; τί δὲ

Digitized by Google

ὁμοτίμως τριάδος ἐμφαντικώτερον; ἐκκλίνατε μὲν οὖν πληθυντικῶς εἰπὼν, τὸ διάφορον τῶν προσώπων ᾐνίξατο· κύριος δ' αὖ ἑνικῶς, τὴν μίαν αὐτῶν ἐνέφηνε φύσιν καὶ κυριότητα· εἰ δὲ θεὸν μὲν εἶναι τὸν ἕνα λέγεις, ἀγγέλους δὲ τοὺς λοιποὺς, μέμηνας ἀτεχνῶς, καὶ γελοῖος μοι φαίνῃ παντάπασι· πότε γὰρ οἱ δοῦλοι τῷ δεσπότῃ συγκαθίσαι ἠνέσχοντο; πότε δ' αὖ θεοῦ ὀπτανομένου, δύο καὶ μόνους ἀγγέλους δορυφοροῦντας ἠκούσαμεν; ἵνα τότε γοῦν ὁμότιμός τε καὶ σύνθρονος ἁγία τριὰς τῷ Ἀβραὰμ ἐγνωρίζετο. Τί πρὸς ταῦτα φῇς; ὡς κύων καὶ αὖθις κατὰ τῆς ἀληθείας λυττᾷς; εἰ ἐν τριάδι λέγων ὁ θεὸς προσκυνεῖται, ἵνα τί μὴ παρὰ τῶν προφητῶν ἀριδήλως τὰ περὶ τούτου διεμηνύθη τῷ Ἰσραήλ; Καὶ ἄκουε· ἐν Αἰγύπτῳ πάλαι τὸν Ἰσραὴλ πλεῖστον ἐνδιατρίψαντα χρόνον, καὶ τὴν πολύθεον τῶν αἰγυπτίων μεμαθηκότα θρησκείαν, οὐκ ἐναργῶς τὰ περὶ τῆς τριάδος ὁ πάντα πρὸς τὸ συμφέρον οἰκονομῶν θεὸς ἐξεπαίδευσε δόγματα, ἵνα μὴ πρόφασιν ἐντεῦθεν πολυθείας λαβὼν, εἰς τὴν τῶν αἰγυπτίων καὶ αὖθις ἐπαναζεύξῃ πλάνην· ἐφ' ᾧ τὸ τῆς τριάδος μυστήριον σοφῶς πάντη καὶ οἰκονομικῶς συνεσκίασεν· εἰ γὰρ ἐξ ἀρχῆς αὐτῆς τῶν τελείως προσενήνοχε λόγους πάντως ἂν ὁ δυσκάθεκτος ἀπεσκίρτησεν Ἰσραὴλ καὶ πρὸς τὴν πρώην ἐπαλινδρόμησεν ὄλεθρον· εἰ γὰρ καὶ τοιοῦτον ἀκούων οὐδὲν, αὐτοῦ μὲν τοῦ ἑνὸς ἐπελανθάνετο καθ' ἡμέραν θεοῦ, ὁλοσχερῶς δὲ τῆς αἰγυπτιακῆς ἀσεβείας ἐξήρτητο. τί οὐκ ἂν ἐποίησεν, εἴ γε παραχρῆμα κατήκοος τριάδος ἐγένετο; αὐτῶν ἂν ἐκείνους ἐδέχετο διὰ τὸ πλῆθος ὁρᾶν τῶν ἐν Αἰγύπτῳ προσκυνουμένων παμπόλλους θεούς.

Ἔχω δέ σοι καὶ ἕτερον ἐπὶ τούτοις εἰπεῖν· ἐπειδὴ ὁ Χριστὸς ἄνθρωπον ἑαυτὸν, οὐ μέντοι θεὸν, ὡς σὺ μαρτυρεῖς, ἔλεγεν εἶναι. πῶς αὐτὸν ἐσταύρωσας; ἀλλ' οὐ διὰ τοῦτο; καὶ τίνος ἕνεκεν; ὡς παρανομοῦντα καὶ τὰ σάββατα λύοντα. καὶ πῶς καὶ τίνα τρόπον. εἰπέ· ὅτι τὸν παράλυτον ἐν σαββάτῳ βαδίζειν ἐποίησεν; ὅτι τὴν συγκύπτουσαν ὤρθωσεν; ὅτι νεκρὸν τετραήμερον ἤγειρε; καὶ ποία τοῦτο παρανομία; ὁ τὸ κτῆνος ἀνάγων ἐκ βόθρου κατὰ τὸ σάββατον παρανομεῖν οὐ λέγεται, καὶ ὁ νεκρὸν ὀδωδότα ζωώσας παρανομεῖ; ὢ τῆς ἀδίκου κρίσεως· ὢ τῆς παραπληξίας ὑμῶν· ὅτι τὸ κτῆνος κρεῖσσον ἀνθρώπου παρ' ὑμῖν τοῖς κτήνεσι κρίνεται· ἀλλὰ τί τοσοῦτον ἀντέχῃ τῆς τοῦ σαββάτου τιμῆς, ὦ ἄθλιε σὺ καὶ ἀνόητε; πάλαι ὁ θεὸς ἐντειλάμενος τιμᾶσθαι τὸ σάββατον καὶ ἐν αὐτῷ μηδὲν ὑμᾶς ἐργάζεσθαι, παιδίον δὲ εἰ τύχοι ὀκταήμερον λύειν σάββατον καὶ ἀκωλύτως αὐτὸ περιτέμνειν, σαφῶς ἐδήλωσεν, ὡς ἐλθούσης ὀψέ ποτε τῆς ὄντως ὀγδόης περιτομῆς, ἥ τίς ἐστιν ἁγία κυριακὴ μετὰ γὰρ ἑβδόμην αὕτη ἐφ' ᾧ καὶ ὀγδόη καλεῖται, ἡ τοῦ σαββάτου τιμὴ καταλυθήσεται· περιτομὴ δὲ λέγοιτ' ἂν καὶ μάλα εἰκότως· ἐν αὐτῇ γὰρ ἐκ νεκρῶν ἐγερθέντος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἁμαρτία περιετμήθη, καὶ ἡ τῶν δαιμόνων ὀφρὺς καθῃρέθη· καὶ τί χρὴ πολλὰ λέγειν; πάλαι ὁ θεὸς τὴν τοῦ σαββάτου κατάλυσιν ᾐνίξατο μεταβολὴν, καὶ διὰ τῆς ὀκταημέρου περιτομῆς, ὡς ἤδη φθάσαντες εἴπομεν· οὐχ ἧτ-

τον δὲ καὶ διὰ τοῦ Ἱερεμίου ὕστερον, ἡνίκα διαθεῖναι διαθήκην καινὴν ἐπηγγείλατο· μὴ οὖν δυσχέραινε, μηδὲ καθ' ἡμῶν ἐριστικῶς διαμάχου, εἴ γε πρὸς τοῖς ἄλλοις καὶ ἡ τοῦ σαββάτου τιμὴ μετατίθεται· καινῆς γὰρ οὔσης τῆς διαθήκης, καινά τινα εἶναι ὀφείλουσι καὶ τὰ ταύτης θεσπίσματα· καινὸν δὲ πάντως ἐκεῖνό ἐστι τὸ νῦν προτιθέμενον, καὶ μὴ ταυτὸν τῷ παρεληλυθότι, καὶ ὂν καὶ φαινόμενον· καὶ τοῦτο δηλῶν ὁ κύριος ἔλεγε· διαθήσομαι διαθήκην καινήν, οὐχ οἵαν διεθέμην τοῖς πατράσιν ὑμῶν, ἐξάγων αὐτοὺς ἐξ Αἰγύπτου.

Ἆρ' οὐ δοκεῖ σοι μετὰ τὴν σύνθεσιν, ἤγουν ἕνωσιν, δύο καὶ εἰδέναι καὶ ὀνομάζειν φύσεις ἐπὶ Χριστοῦ, καὶ ταῦτα ἀνυποστάτους; ὡς ϗ διαιρεῖ ὅτε βούλεται ὡς δύο, ϗ συνάγει εἰς μίαν, ὡς ἐπ' ἐξουσίας ἔχων ϗ λέγειν ϗ πράττειν ὃ ἐν πᾶσιν ἑαυτῷ ἐναντιούμενος, ὁ διὰ τὴν κατασκευὴν ἀναπτύσσων· ὁ δι' ὧν βούλεται μίαν φύσιν συνιστῶν, δι' αὐτῶν δύο φύσεις παριστῶν· καὶ ἐν αὐταῖς μὲν στῆναι μὴ βουλόμενος, ὡς δ' ἂν εἴποι τις δι' αὐτῶν τὴν πάροδον ποιούμενος· ᾧ μόνῳ καὶ οὐκ ἄλλῳ τινὶ, ἀλλὰ τὴν προσοῦσαν αὐτῷ χαμόθεν εἰπεῖν ἀρετὴν, ἐδόθη ἡ χάρις αὕτη, ἵνα ὅταν βούληται, διασχίζηται αὐτῷ ἡ μία φύσις, ϗ ἀναφαίνωνται αὐτῷ δύο· ϗ μετὰ τὴν φαντασίαν τῶν δύο, συγκλείηται πάλιν καὶ συνάγηται εἰς ἑαυτήν.

Αὐτὸς οὖν ἄρα πρῶτος πάσης ἀναιδείας ἀνάμεστος, ἐπειδὴ καὶ δύο φύσεις ὁμολογεῖ· οὐ γὰρ εἶπε ἐννοίᾳ διαιρουμένης τῆς φύσεως, ἀλλὰ διαιρουμέναις ταῖς φύσεσιν· καὶ ἐν τῇ συνθέσει, οὐχ ὑφισταμένης τῆς φύσεως, ἀλλ' ὑφισταμέναις ταῖς φύσεσιν ϗ μὴ μόνον σκοπῶν ϗ λέγων ταύτας, ἀλλὰ ϗ ἐγγράφως ἀποτυπούμενος· καὶ ταῦτα μετὰ Νεστόριον, μετὰ π̄ ϗ πρὸς ἔτη· ὁ ἄλλους μὲν ἀποτρέπων δύο φύσεις λέγειν, αὐτὸς δὲ μὴ δυνάμενος παντελῶς ταύτας ἀρνεῖσθαι· ὁ διὰ μὲν τῶν παρατιθεμένων αὐτῷ λέξεων ἀμυδρότερον ϗ χειροδέστερον ταύτας ὁμολογῶν· ἐν δὲ ἑτέρῳ τόπῳ τοῦ αὐτοῦ συγγράμματος, φανερώτερον βοῶν, « μάτην ἐγράψατο τὴν ἐν Χαλκηδόνι σύνοδον δύο φύσεις εἰποῦσαν τὸν Χριστὸν μὴ γένοιτο· ἀλλ' ὅτι τὴν καθ' ὑπόστασιν ἕνωσιν, ϗ τὴν ἐκ δύο φωνὴν εἰπεῖν παρῃτήσατο. » Ἐν δὲ τῷ πρὸς Σέργιον, ταῦτά φησιν. « Ἴδε τοίνυν διὰ τῆς αὐ-τῆς διανοίας, ϗ τῆς ἐπίδοσιν ἄγου, τῶν μὲν ὄπισθεν ἐπιλανθανόμενος, πρὸς δὲ τὰ ἔμπροσθεν ἐκτεινόμενος, ϗ τῆς ἐσφαλμένης δόξης ἐκείνης τῆς εἰς μίαν ἀγούσης τὰ ἐξ ὧν ἀσυγχύτως ἐστὶν ὁ Χριστός· φήσαντος γὰρ οὐ συνομολογοῦν ἰδιότητα τῶν φύσεων, ἐξ ὧν ἀσυγχύτως ἐστὶν ὁ Χριστὸς, ϗ πάλιν εἰς μίαν οὐσίαν ϗ ἰδίωμα τὸ πᾶν συναλείφοντας ϗ συγχέοντας, εὑρέθη κομιζόμενος ἀπὸ τῆς ὁμολογίας δράγμα μὴ ἔχον ἰσχὺν ποιῆσαι ἄλευρον. » Φύσις ϗ οὐσία ϗ παρὰ Σευήρῳ ταυτόν ἐστιν· ὁ οὖν μεμφόμενος τὸν εἰς μίαν οὐσίαν ὅτε φύσιν συνάγοντα τὰ ἐξ ὧν ὁ Χριστὸς, οὐχὶ φανερῶς ἀποδέχεται τοὺς δύο ϗ μετὰ τὴν ἕνωσιν ὁμολογοῦντας;

Καὶ ἐν τῷ δευτέρῳ δὲ λόγῳ τῷ πρὸς αὐτὸν Σέργιον, οὗτος δὲ ἦν γραμματικὸς εὐτυχιανιστὴς, λέγει. « Πῶς οὐ καταγέλαστον ϗ τὸ λέγειν δύο ἰδιότητας ἢ δύο ἐνεργείας; πολλὰ γάρ ἐστι καὶ οὐ δύο μόνον ἑκάστης φύσεως· οἷον τῆς ἀνθρωπότητος τὸ κτιστὸν, τὸ ὁρατὸν, τὸ θνητὸν, τὸ ὑποκεῖσθαι πείνῃ ϗ δίψῃ ϗ τοῖς ἄλλοις ὁμοίως· ϗ τῆς θείας δὲ φύσεως πολλὰ τὰ ἴδια, τὸ ἀόρατον, τὸ ἀναφὲς, τὸ προαιώνιον, τὸ ἀπερίγραπτον· ὁμοίως καὶ τὰ ἐνεργήματα πολλὰ ϗ διάφορα· ϗ τοσαῦτα, ὅσα ἄν τις εἴποι πράξεις θείας τε ϗ ἀνθρωπίνας. » Ἰδοὺ οἶδεν ϗ μετὰ τὴν ἕνωσιν λέγων ἑκάστην φύσιν· ἐπὶ μιᾶς δὲ φύσεως ἑκάστη φύσις οὐ λέγεται, ἀλλ' ἐπὶ δύο· ϗ ὁ λέγων ἐπὶ Χριστοῦ θείαν φύσιν, παραδηλοῖ ϗ τὴν ἀντιδιαστελλομένην ἀνθρωπίνην φύσιν εἰδέναι· ϗ τούτων ἰδιότητας ϗ ἐνεργείας φησὶν ὁ ἐν πολλοῖς αὐτοῦ συντάγμασιν ἀναθεματίζων τοὺς λέγοντας ἐπὶ Χριστοῦ ἰδιότητας ϗ ἐνεργείας· ὁ διὰ πολλῶν σοφίαν πάσης δόξης μαθητὰς ϗ πάσαις μαχόμενος, ἑκάστῃ δὲ τῇ ἀντιθέτῳ.

Τοῖς μὲν γὰρ εὐτυχιανισταῖς ὅταν φαντασιασταῖς τοῖς τῆς ἐκκλησίας δόγμασιν ἀνθίστατο· φύσιν δὲ φύσιν λέγων, ϗ ἑκάστην ϗ θείαν καὶ ἀνθρωπίνην, ϗ τούτων ἰδιότητας ϗ ἐνεργείας· ὅτε δὲ τῇ ἐκκλησίᾳ μάχεται, ἀναθεμα-

τίζει ταῦτα, ἅπερ κατὰ τῆς φαντασίας προεβάλετο· τοῖς δὲ ἐκείνης συστατικοῖς ἐπιχειρήμασι κέχρηται κατὰ τῆς ἀληθείας, ἵνα ᾖ ὁ λεγόμενος δοξοκαθαιρέτης, ὁ καὶ ἑαυτῷ καὶ πᾶσι τοῖς ἁγίοις πατράσι μαχόμενος· πῶς γὰρ οὐ μάχεται τοῖς πατράσιν ὁ εἰπὼν ἐν τῇ ἐκθέσει τῆς πίστεως αὐτοῦ, ὅτι εἰρήκασιν οἱ ἅγιοι πατέρες δύο φύσεις; ἐν δὲ τῇ συνοδικῇ αὐτοῦ ἐπιστολῇ τῇ πρὸς τὸν Νικαιώτην ἀναθεματίζων αὐτοὺς ἐν τῷ γράφειν « ἀναθεματίζομεν οὖν τοὺς δύο λέγοντας ἢ εἰπόντας φύσεις μετὰ τὴν ἄφραστον ἕνωσιν τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστόν » διὰ τὸ εἰπόντας, τοὺς ἁγίους πατέρας ἀναθεμάτισεν, τοὺς ἀδιαβλήτως τὴν φωνὴν εἰρηκότας μετὰ τὴν αὐτοῦ μαρτυρίαν· οὐ γὰρ προσδιωρίσατο καὶ εἶπεν τοὺς κακῶς χρησαμένους τῇ λέξει· ἀλλ' ἀπολύτως ἔφη τοὺς εἰρηκότας δύο φύσεις· διὰ δὲ τὸ λέγοντας, ἑαυτὸν ἀναθεματίζει· εἶπεν γὰρ καὶ αὐτὸς, ὡς προαποδέδεικται.

Ἀξιοθαύμαστος δὲ καὶ ὅταν ἀποφαίνηται « τὰ γὰρ δύο μὴ ἐν δύο προσώποις φαίνεσθαι, τῶν ἀδυνάτων ἐστίν ». Ἵνα πάντα παρῶμεν, πανταχοῦ δύο φύσεις λέγων αὐτὸς σκοπεῖν ἐν τῷ Χριστῷ, δύο πάντως καὶ πρόσωπα λέγει ἐν αὐτῷ, κατὰ τὴν ἀπόφασιν αὐτοῦ. Καὶ εἰ μὲν φαντασιωδῶς θεωρεῖ τὰς φύσεις ἐν τῷ Χριστῷ ἀκολούθως φαντασιωδῶς θεωρεῖ καὶ τὰ πρόσωπα· εἰ δὲ οὐσιωδῶς κατὰ ἀλήθειαν, ἀληθῶς ἐνυπόστατα καὶ τὰ πρόσωπα θεωρεῖ· δύο οὖν φύσεις λέγων ἐν τῷ Χριστῷ, καὶ δύο πρόσωπα, πῶς οὐχὶ καὶ δύο Χριστοὺς λέγει; Ὥσπερ δὲ ἐκ δύο φύσεων, οὕτως καὶ ἐκ δύο προσώπων ῥητῶς λέγει τὸν Χριστὸν ἐν τῷ κατὰ τοῦ γραμματικοῦ Ἰωάννου βιβλίῳ, ὡς δὲ νομίζει καὶ ἀποδεικτικῶς· τοῦτο δὲ δηλοῖ, καὶ τὸ λέγειν αὐτὸν ἐν πολλοῖς, μὴ εἶναι φύσιν ἀπρόσωπον.

Ἡμεῖς δὲ ταύτην αὐτοῦ τὴν ἀπόφασιν παρωσάμενοι, ἐκ δύο μὲν φύσεων λέγομεν τὸν Χριστὸν, ὥσπερ καὶ ἐκ πολλῶν μελῶν καὶ μερῶν τὸ ἓν σῶμα, οὐχὶ δὲ καὶ ἐκ δύο προσώπων· μὴ γένοιτο· ἐπεὶ μὴ ἰδιοσυστάτως ὑπάρξαν ποτὲ, οὐκ ἂν ἴδιον ἐπιγράψεται πρόσωπον, ὡς καὶ αὐτῷ Σευήρῳ δοκεῖ. « Ἔστιν ὅτε ἐκ δύο οὖν φύσεων λέγοντες τὸν Χριστὸν, καὶ δύο φύσεις, καὶ ἐν δυσὶ φύσεσι λέγομεν εἶναι αὐτὸν, τὸν τῆς ἀσυγχύτου καὶ ἀμειώτου φυλάττοντες λόγον· εἰ γὰρ ἀποτελεστικαί εἰσι τοῦ ἑνὸς προσώπου αἱ φύσεις, καθ' ὃ καὶ ἐκ δύο λέγεται, πῶς οὐχὶ καὶ αὐτὸ τὸ ἀποτέλεσμα. » Ταῦτά ἐστι τὰ ἐξ ὧν συνέστη αὐτὸ τὸ ἀποτέλεσμα· εἰ δὲ μὴ ἔστι ταῦτα, ἄρα γε ὡς ἄλλα ἐν ἄλλῳ εἰσὶ, καὶ τοῦτο· σκόπει σὺ τὰ ἀνακύπτοντα ἄτοπα καὶ μωρά· ὁ δὲ ἀναθεματίζων τοὺς ἐν δυσὶ φύσεσι λέγοντας εἶναι τὸν Χριστὸν, ἆρ' οὐχὶ ἑαυτὸν ἀναθεματίζει; δύο γὰρ φύσεις ἐν τῷ Χριστῷ καὶ σκοπῶν καὶ λέγων καὶ γράφων, ἐν δυσὶ φύσεσιν ἀναγκάζεται ὁμολογῶν αὐτὸν· καὶ οὐ μόνον ἐν δυσὶ φύσεσιν, ἀλλὰ καὶ ἐν δυσὶ προσώποις κατὰ τὴν καινοφωνίαν αὐτοῦ· ἀπεφήνατο γὰρ τὰ δύο μὴ ἐν δύο φαίνεσθαι, ἀδύνατον εἶναι.

Εἰ δὲ ἀληθεύων λέγει ἐν τῷ λόγῳ αὐτοῦ τῷ εἰς τὰ γενέθλια ὁ ἐναντιωματάρχης « τὸ γὰρ ἐκ δύο τινῶν συνενηνεγμένον, ἐστὶ τὰ ἐξ ὧν συνετέθη συνέχειν » καὶ ἐμπαγίως μόνην τὴν δυάδα ἠρνήσατο, πῶς πάλιν σκοπεῖ ἐν τῷ Χριστῷ δύο φύσεις, καὶ ταύτας ὑφισταμένας ἐν τῇ συνθέσει; καὶ οὕτως δύο, ὡς καὶ διαιρεῖν αὐτὰς νῷ καὶ φαντασίᾳ καὶ ἐννοίᾳ καὶ λόγῳ· εἰπάτω ἡμῖν· τὴν μίαν φύσιν διαιρεῖ, ἢ τὰς δύο; τὰ ὄντα, ἢ τὰ μὴ ὄντα; τὰ ἐνυπόστατα, ἢ τὰ ἀνυπόστατα; εἰ οὖν τῶν ὁποτέρων ἀληθές· ἢ ἐμπαγίως μένει ἡ δυὰς καὶ μετὰ τὴν ἕνωσιν, ἵνα καὶ σκοπῇ ταύτην ἢ εἰ μὴ μένει, οὐδὲν σκοπεῖ, καὶ ψεύδεται λέγων σκοπεῖν τὰ μὴ ὄντα· ψεύδεται δὲ καὶ ὁ λέγων, μένει δὲ ἑκάτερον ὅπερ ἐστι τῇ φύσει.

Ἀλλὰ καὶ αὐτὸς φάσκων ἐν τῷ κατὰ τοῦ γραμματικοῦ « τῇ μὲν ἐξ ὧν ἐστιν ὁ Χριστὸς μενόντων ἀμειώτων καὶ ἀναλλοιώτων, ἐν συνθέσει δὲ ὑφεστώτων. » Εἰ δὲ αἱ δύο φύσεις μία γεγόνασι, πῶς μετὰ τὴν ἕνωσιν δύο νοεῖ καὶ οὐχὶ μίαν; καὶ ὡς περὶ μιᾶς διαλέγεται λοιπὸν ἀναιρῶν τὸ ἑκάστης φύσεως· καὶ αἱ φύσεις, καὶ ἡ τῆς σαρκὸς φύσις, καὶ ἡ τῆς θεο-

Digitized by Google

τητος φύσις, καὶ ἡ ἀνθρωπότης, καὶ ἡ θεότης, τούτων γὰρ πλήρη τὰ συγγράμματα αὐτοῦ. Εἰ αἱ δύο φύσεις, τουτέστιν ἡ θεότης καὶ ἡ ἀνθρωπότης, μία φύσις γεγόνασιν, εἰπάτω τί τὸ ὄνομα ταύτης; ἓν γὰρ ὀφείλει εἶναι, ὡς μιᾶς φύσεως σημαντικόν· καὶ μὴ μίαν μὲν φύσιν λεγέτω, τῶν δὲ δύο φύσεων τὰ ὀνόματα ἐπιτιθέτω αὐτῇ, ἵνα μὴ πάλιν ἀναλύῃ τὴν μίαν εἰς τὰ ἐξ ὧν, ὅπερ ἀπαγορεύει· ἢ τὰ μὲν ὀνόματα μόνα τῶν ἀποτελεσασῶν φύσεων μένει, αὐτὸ δὲ τὸ ἀποτέλεσμα ἀνώνυμον· ἢ οἷον δ' ἂν ὄνομα ἐπινοήσῃ, τούτῳ καὶ ἡ τεκοῦσα παρθένος συμπονηθήσεται.

Οἶδα δὲ τοὺς αὐτοῦ διὰ ταύτην τὴν αἰτίαν λέγοντας τὸν Χριστὸν, ᾗ Χριστός ἐστι, μηδενὶ εἶναι ὁμοούσιον, καὶ μήτε θεὸν εἶναι μήτε ἄνθρωπον· εἰ δὲ τοῦτο ἀληθὲς, οὔτε θεός ἐστιν ὁ Χριστὸς, οὔτε θεοτόκος ἡ παρθένος, ἀλλ' ὡς λέγουσι χριστοτόκος κατὰ Νεστόριον, οὗ τὰ χείρονα φρονοῦσι πολύ· ἀλλ' οὐδὲ πάντως τὸ ἐκ δύο τινῶν συναχθέν ἀσύγχυτα ἐφύλαξεν τὰ ἐξ ὧν· καὶ γὰρ οἶνος καὶ ὕδωρ συναχθέντα συγχέονται· ὁμοίως καὶ χρυσὸς καὶ ἄργυρος ἐν τῇ χωνείᾳ· ἀλλ' οὐδὲ τὸ ἐκ δύο γνωσθήσεται ποτὲ ὅτι ἐστὶν ἐκ δύο, εἰ μὴ μετὰ τὴν ἕνωσιν καὶ τὸ ἀποτέλεσμα. Περὶ δὲ ἐνεργειῶν καὶ ἰδιοτήτων ὅπως διαθωνεῖ, ποτὲ μὲν ἀναθεματίζων τοὺς λέγοντας, ποτὲ δὲ ὁμολογῶν αὐτὰς ὁ αὐτὸς πολύμορφος Σευῆρος, γινώσκουσιν οἱ φιλαλήθως ἀναγινώσκοντες τὰ αὐτοῦ. Εἶδε γοῦν πῶς λέγει τοὺς πατέρας χρήσασθαι τῇ φωνῇ τῶν δύο φύσεων ἀδιαβλήτως τε καὶ ἀμέμπτως· οὐκ οἶδα τίνος καταγελάσει πλέον, αὐτοῦ ἢ τῶν ἀπατωμένων ὑπ' αὐτοῦ· διεστραμμένως γὰρ ἐκλαβὼν αὐτὸς τὴν φωνὴν, ἐσυκοφάντησε τοὺς πατέρας οὕτως νοῆσαι αὐτοὺς ταύτην, ὥσπερ καὶ αὐτός.

Ἰωάννη τῷ γραμματικῷ παραθεμένῳ χρῆσιν τοῦ μακαρίου Ἀμφιλοχίου κειμένην ἐν τῷ λόγῳ αὐτοῦ τῷ ὁ πατὴρ ὁ πέμψας με, μείζων μου ἐστὶν, ἔχουσαν οὕτως· « διάκρινον λοιπὸν τὰς » φύσεις τήν τε τοῦ θεοῦ τήν τε τοῦ ἀνθρώπου· » οὔτε γὰρ κατ' ἔκπτωσιν ἐκ θεοῦ γέγονεν » ἄνθρωπος, οὔτε κατὰ προκοπὴν ἐξ ἀνθρώπου θεός· θεὸν δὲ καὶ ἄνθρωπον λέγω, ὅ» ταν τὰ παθήματα τῇ σαρκὶ, καὶ τὰ θαύ» ματα τῷ θεῷ δῷς, ἀνάγκη καὶ μὴ θέλων » δίδως τοὺς μὲν ταπεινοὺς λόγους τῷ ἐκ » Μαρίας ἀνθρώπῳ, τοὺς δὲ ἀνηγμένους καὶ » θεοπρεπεῖς τῷ ἐν ἀρχῇ ὄντι λόγῳ. » Αὐτὸς δοκεῖ ταύτην ἑρμηνεύων καταγινώσκειν τοῦ γραμματικοῦ ὡς κακῶς νενοηκότος τὴν χρῆσιν, καὶ φησίν. « Ταῦτα καὶ ἐν τοῖς ἤδη προγεγυμνασ» μένοις ἀπεδείξαμεν, ὡς ἅπαντες οἱ τῆς εὐ» σεβείας διδάσκαλοι πρὸς τοὺς ἀθέους Ἀ» ρειανοὺς τοὺς λόγους ποιούμενοι, βιαζομένους » παρὰ τὴν ἀλήθειαν τοὺς τῇ ἐνανθρωπήσει » καὶ τῇ ἑκουσίῳ πτωχείᾳ πρέποντας ταπεινοὺς » λόγους καὶ πάθη πρὸς τὴν προαιώνιον ὕπαρ» ξιν ἄγειν τοῦ μονογενοῦς, καὶ γυμνὴν καὶ ἄσαρ» κον τὴν θεότητα, διέλεγχον αὐτῶν τὴν » ἀσέβειαν διαιροῦντες τοὺς χρόνους εὐσεβῶς, » τούς τε πρὸ τῆς ἐνανθρωπήσεως καὶ τοὺς μετὰ » τὴν ἐνανθρώπησιν, δεικνύντες μηδαμῶς ἁρ» μόττειν τῷ θεῷ λόγῳ τά τε πάθη καὶ τὰ » ταπεινὰ ῥήματα, δίχα σαρκὸς σκοπουμέ» νῳ· τὰ μέντοι γε θαύματα πρεσβεύειν αὐτῷ » κατὰ φύσιν ὄντι θεῷ καὶ σεσαρκωμένῳ· διακρίνειν γὰρ ἐδίδασκον τὰς φύσεις τῇ τῶν χρό» νων διαστολῇ, τίς τε φύσις ἀσάρκου θεοῦ, » τίς τε φύσις κατ' οἰκονομίαν ἀτρέπτως ἀν» θρώπῳ γενομένου. »

Ἔργον τῆς ἀσεβείας καὶ τῆς ἀπάτης τοῦ σοφοῦ· ἢ γὰρ αὐτὸς οὐ συνῆκεν ἅπερ εἶπεν, ἢ ἀπατῆσαι ἐβουλήθη τοὺς ἀκροατὰς, καὶ πεποίηκεν ὅμοιόν τι τοῖς λαγωοῖς, οἱ ὅταν φεύγοντες αἴσθωνται ὅτι καταλαμβάνονται ὑπὸ τῶν διωκόντων, συγκινήσαντες τὸν ὑποκείμενον χοῦν καὶ κονιορτοῦ πληρώσαντες τὸν περικεχυμένον ἀέρα, εἰς τοὐπίσω ἀναστρέφουσι, τῇ μηχανῇ ταύτῃ τοὺς μὲν ἐχηλατοῦντας ἐπισκοτίσαι βουλόμενοι, αὐτοὶ δὲ διαδρᾶσαι ἐπινοήσαντες· ἀλλ' οἱ ἔμπειροι τῶν διωκόντων οὔτε τὸν δόλον ἀγνοήσουσι, καὶ τὰ ἴχνη ἀνιχνεύσαντες, τὸν φεύγοντα συλλήψονται· ἁπλοῦς ὁ λόγος τῆς ἀληθείας· τί μακρὰν πρὸς γρίφους καὶ ὕθλους ἀποτρέχεις, ἄνθρωπε, πάντα συγχέων καὶ συνταράσσων, ἵνα τοὺς

Digitized by Google

ἀκροατὰς εἰς σκοτοδινίαν ἐκβαλὼν, ταῖς ἀλλοκότοις σε ἑρμηνείαις διαλάθοις, ἐξ ὧν τῶν ῥημάτων τῆς ἀληθείας τὴν ἀλήθειαν ἀποφύγων;

Ὁ ἅγιος διδοὺς τὰ παθήματα τῇ σαρκὶ, καὶ τὰ θαύματα τῷ Θεῷ, χωρὶς πάσης περιεργολογίας, τὰς φύσεις τὴν σάρκα καὶ τὴν θεότητα λέγων, καὶ ταύτας εἰπεν διακρίνειν δηλονότι τῇ ἐπινοίᾳ· οὐ γὰρ χρόνους καὶ τῇ τοῦ χρόνου διαστολῇ συνδιαστέλλειν τὴν μίαν σε φύσιν εἰς δύο φύσεις, καὶ φύσεις οὐκ οὐσιώδεις· τὴν μὲν γὰρ μίαν φύσιν οὐσιώδη καὶ ἐνυπόστατον λέγεις· ὅταν δὲ ταύτην τὴν μίαν, δύο ἀριθμῇς, οὐ τῇ μιᾷ τῇ τῆς θεότητος προστιθεὶς τὴν φύσιν τῆς σαρκὸς ἣν ἀνείληφεν ὁ Θεὸς λόγος, δι' ἣν καὶ τὸ ἐκ δύο φύσεων λέγεται δύο φύσεις, ἀλλ' αὐτὴν τὴν μίαν θεϊκὴν οὐσίαν, ἤτοι φύσιν, εἰς δύο διαιρουμένην χρονικῶς· εἰ δὲ κατὰ τοῦτο μία φύσις ἐστιν ὁ Χριστὸς παρὰ σοὶ, μὴ γὰρ εἴποι ὁ ἀλήθεια παρὰ τοῖς πατράσιν, ἀκολούθως καὶ τὸ ἐκ δύο φύσεων, οὐκ ἐκ θεότητος καὶ ἀνθρωπότητος ἐστὶ, τουτέστιν ἐξ ἀσάρκου φύσεως, καὶ πάλιν ἐξ αὐτῆς σεσαρκωμένης, τῆς σαρκὸς μηδὲν συντελούσης εἰς ὄνομα φύσεως, ἀλλὰ τῆς διαστολῆς τοῦ χρόνου τοῦτο χαριζομένης τῇ μιᾷ φύσει τῇ θεϊκῇ, τὸ καὶ γνῶναι καὶ λέγεσθαι δύο φύσεις.

Εἶτα, ὦ πάντα σοφὲ, εἰ γυμνὴν σαρκὸς οὖσαν τὴν θεότητα μίαν φύσιν ὀνομάζεις, προσλαβοῦσαν τὴν φύσιν τῆς σαρκὸς, πῶς πάλιν μίαν ἀποκαλεῖς; εἰ σώζεται, ὥσπερ καὶ σὺ ποιεῖς, ὅσπερ ὅτι σαρκὸς φύσιν, καὶ ἀνθρωπότητος φύσιν λέγων προσειλῆφθαι, καὶ ἐν τῇ συνθέσει ὑφεσταμένας φύσεις ὁρᾶν, οὐχὶ μίαν μόνον φύσιν· εἰ δὲ προσληφθεῖσα ἡ ἀνθρωπίνη φύσις πάντα μὲν τὰ ἄλλα ἔσωσεν ὀνόματα, τὸ λέγεσθαι ἀνθρωπότης, ψυχὴ, σῶμα, σὰρξ, τοῦτο δὲ μόνον ἀπώλεσεν τὸ λέγεσθαι φύσις, φεῦ τῆς ἀτόπου ἀκολουθίας, τῆς ἐπινενομένης τοῖς φιλοδοξοῦσιν· ἡμεῖς δὲ τοῦτο φαμὲν, ὥσπερ τὰ ἄλλα πάντα σώζεται καὶ λέγεται τῆς προσλήψεως, μὴ ἀποβεβλημένα τὰ ἴδια ὀνόματα διὰ τὴν ἕνωσιν, οὕτως καὶ ἡ φύσις λέγεται μὴ συναλειφομένη καὶ ἀφανιζομένη διὰ τὴν σύνθεσιν· μένει γὰρ ἑκατέρα φύσις, οὐ μόνον ὅπερ ἔστι τῇ φύσει, ἀλλὰ καὶ ἔχουσα ὅπερ ἔχει ὄνομα τῇ φύσει, ὥσπερ καὶ σοὶ Σευήρῳ δοκεῖ, ὅταν περὶ ἑκάστης ἰδίως διαλέγῃ· ἅμα γὰρ τὰς δύο φύσεις ὀνομάσαι, τὰ πολλὰ παραιτῇ, ἵνα μὴ λυπήσῃς τοὺς δοκοῦντας ἐν πᾶσιν.

Ἄρα οὖν ἡ μία τοῦ Θεοῦ λόγου φύσις, καὶ ἡ προσληφθεῖσα τῆς σαρκὸς φύσις, δύο φύσεις εἰσὶν καὶ λέγονται· σὺ δὲ τὴν μίαν μὲν παρασιωπᾷς τὴν τῆς σαρκὸς, μὴ συναριθμῶν ταύτην τῇ θεότητι, ἀλλ' ἐφελκόμενος μὲν καὶ παρασύρων αὐτὴν, εἰ μή πως ἰδιαζόντως, ὥσπερ ὁ ἔφην· τὴν δὲ τῆς θεότητος μόνον ὀνομάζων φύσιν, καὶ ταύτην ὡς σὺ φῇς τῷ χρόνῳ συνδιαστέλλων, καινὴν ἡμῖν θεολογίαν, μᾶλλον δὲ ματαιολογίαν τερατεύῃ, τὴν μίαν φύσιν δύο φύσεις ἀποκαλῶν· ὡς εἰ σαφέστερον εἴποις ὅπερ εἴρηκας, πρώτην καὶ δευτέραν, καὶ ὁ μὴ βουλόμενος τὰς δύο φύσεις τοῦ Χριστοῦ, δύο ὁμολογῆσαι, τὴν μίαν δύο λέγων οὐκ αἰσχύνῃ· πλὴν πολλὰ στριφθεὶς, παντελῶς φυγεῖν τὴν ἀλήθειαν οὐκ ἠδυνήθης· εἰπὼν γὰρ τοὺς τῇ ἐνανθρωπήσει πρέποντας ταπεινοὺς λόγους ὑπὸ τὴν θεότητα ἄγειν τοὺς ἀρειανοὺς, ἔδειξας καὶ ἄκων μὴ τῇ μιᾷ φύσει, τουτέστιν τῇ θεϊκῇ, ἣν καὶ μόνην φύσιν ὀνομάζειν ἐνταῦθα βιάζῃ, ἐκ τοῦ Αἰλούρου παραλαβὼν ἀλλ' ἑτέρᾳ τινὶ δηλονότι τῇ τῆς ἀνθρωπότητος τὰς οὐσιωδῶς ἡνωμένας τῷ Θεῷ λόγῳ ἁρμόζειν τούτους· τί γὰρ ἕτερόν ἐστιν τὸ ἐνανθρωπῆσαι τὸν Θεὸν λόγον, ἢ τὸ ἐν ἀνθρωπότητι γενέσθαι αὐτόν; Εἰ δὲ κατὰ φύσιν οὐχ ἁρμόζει τῷ Θεῷ λόγῳ τά τε πάθη καὶ τὰ ταπεινὰ ῥήματα, ἄρα γε κατὰ φύσιν ἁρμόζει τῇ ἀνθρωπότητι αὐτοῦ, κατὰ δὲ οἰκονομικὴν οἰκείωσιν καὶ αὐτῷ τῷ Θεῷ λόγῳ, τῷ κατ' οὐσίαν ἑνώσαντι ἑαυτῷ τὴν ἀνθρωπότητα, ἣν καὶ σάρκα ἐψυχωμένην ψυχῇ λογικῇ φαμὲν, καὶ ἑνωθέντι αὐτῇ κατ' οὐσίαν· οὕτω γὰρ καὶ ἀπαθής ἐστιν ὁ Χριστὸς τῇ θεότητι, καὶ παθητὸς τῇ οὐσιωδῶς ἡνωμένῃ αὐτῷ σαρκί.

Τί δὲ καὶ συκοφαντεῖς ἀρειανεύς; οὐδὲ γὰρ αὐτοὶ τὰ τῆς σαρκὸς πάθη, τουτέστι σταυρὸν καὶ μάστιγας καὶ διατρήσεις ἥλων καὶ θάνατον ἔλεγον τὸν θεὸν λόγον ὑποδέχεσθαι πρὸ τῆς ἐνανθρωπήσεως, ἀλλ' οὐδὲ μετὰ τὴν ἐνανθρώπησιν· ἀλλ' ἐὰν ἄρα τὰ τῇ ψυχῇ ἁρμόζοντα κατὰ φύσιν, λύπην καὶ ἀγωνίαν καὶ τὰ τούτοις ὅμοια· πρὸς οὓς ἀποτεινόμενος Ἀμφιλόχιος, τὰ πάθη καὶ τὰ ταπεινὰ ῥήματα τῇ φύσει τῆς σαρκὸς, ἤγουν τῆς ἀνθρωπότητος ἀπένειμεν, τὰ δὲ θαύματα τῇ φύσει τῆς θεότητος· καὶ ταύτας διακρίνων ἤδη τὰς φύσεις· οὐκ ἄρα σὺν φύρεις τὴν μίαν φύσιν ἑνώσεων Ἀμφιλόχιος, ἢ ἄλλος τις τῶν ὀρθοδόξων πατέρων ὁ δὲ χρόνων εἴσω διακρίνων, καὶ τούτῳ συνδιακρίνων καὶ συνδιαστέλλων τὴν μίαν φύσιν εἰς δύο φύσεις· ἀλλὰ μόνος σὺ Σευῆρος ὁ τὰ ὀρθὰ διαστρέφων διὰ τὸν ἴδιον σκοπὸν, καὶ οἱ πειθόμενοί σοι, ὁ τὴν ψηφοπαικτικήν σου φυσιολογίαν, μᾶλλον δὲ τερατολογίαν, διδάξας τοὺς ἀποσχίζεσθαι βουλομένους τῆς ἀληθείας.

Ἐπαναλαβόντες δὲ πάλιν φαμέν· εἰ διὰ τὴν διαστολὴν τοῦ χρόνου ἡ μία φύσις δύο λέγεται, καὶ οὐχὶ διὰ τὴν ἕνωσιν τῆς θεϊκῆς φύσεως καὶ τῆς ἀνθρωπίνης, δύο φύσεις ἐστὶν ὁ Χριστὸς, οὐδὲ ἐκ δύο φύσεων ἐστὶν ὁ Χριστός· ἀλλ' εἰ ἄρα ἐκ μιᾶς μία ἐστιν, ἐκ δύο δὲ λέγεται μὲν, οὐκ ἔστιν δὲ, τῆς διαστολῆς τοῦ χρόνου τὴν μίαν φύσιν δύο λέγεσθαι ποιούσης, κατὰ τὴν πολυποίκιλον σοφίαν Σευήρου· εἰ δὲ ἡ διαστολὴ τοῦ χρόνου τὴν μίαν φύσιν δύο λέγεσθαι πεποίηκεν, ἡ δὲ διαστολὴ γέγονεν διὰ τὴν ἐξ οὐρανοῦ κάθοδον, καὶ πρὸς ἡμᾶς ἐπιδημίαν τῆς μιᾶς φύσεως, ἆρά γε ἐπιδημησάσης αὐτῆς τοῖς ἐν φυλακῇ πνεύμασι, τρεῖς φύσεις λεχθήσεται ἡ μία φύσις· καὶ πάλιν ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ θεοῦ, τέσσαρες φύσεις ἔσται· καὶ διὰ τοῦτο οὐ μόνον ἐρωτήσωμεν τίς φύσις ἀσάρκου θεοῦ, καὶ τίς σεσαρκωμένου, ἀλλὰ καὶ τίς φύσις ἐμψύχου μόνον θεοῦ· ἄσαρκος γὰρ ἐπιδήμησεν τοῖς ἐν ᾅδου· καὶ τίς φύσις θεοῦ, σεσαρκωμένου μὲν, σαρκὶ δὲ ἀφθάρτῳ καὶ ἀθανάτῳ· εἰς ταύτην γὰρ τὴν φλυαρίαν τοιαύτην ἡμᾶς τὰ τερατόμορφα δόγματα Σευήρου.

Καὶ τοῦτο δὲ ἰστέον, ὅτι ἐν τῷ φιλαλήθει εἰρηκὼς « μάταιον τὸ ἐπερωτᾶν τίς τοῦ Χριστοῦ ποία » φύσις· τοῦτο γὰρ οὐδὲν ἕτερόν ἐστιν, ἢ κυρίως » λῦσαι τὴν ἕνωσιν· » ἐνταῦθα ἐδίδαξεν ἡμᾶς καὶ αὐτὸς, ὡς ὁ πάντας λύων, διὰ τὸ εἰπεῖν τίς καὶ τίς, ἐπερωτῶν ποία φύσις ἐν τῷ σταυροῦ ξύλῳ κεκρέμαστο· ἐρωτήσουσιν δὲ οἱ βουλόμενοι καὶ τίς ὁ ἀποθανὼν, ὁ ἄσαρκος θεὸς, ἢ ὁ σεσαρκωμένος; καὶ τίς ὁ πορευθεὶς κηρύξαι τοῖς ἐν ᾅδῃ, ὁ σεσαρκωμένος θεὸς, ἢ ὁ ἔμψυχος; καὶ τίς ὁ ὀφθεὶς τοῖς ἀγγέλοις; διὰ πάντων τῶν εἰρημένων εὑρίσκεται Σευῆρος οὐ μόνον τοῖς πατράσιν ἐναντιούμενος, ἀλλὰ καὶ ἑαυτῷ ἀσύμφωνος· ὅτε μὲν γὰρ βούλεται, τὴν μίαν διαστέλλων φύσιν, δύο φύσεις καὶ ποιεῖ καὶ λέγει· ὅταν δὲ δοκῇ αὐτῷ, διὰ τὴν ἕνωσιν, τὰς δύο μίαν ἀποτελεῖ καὶ ὀνομάζει· καὶ ταῦτα ὁ μετὰ ἑξακόσια σχεδὸν ἔτη τῆς ἑνώσεως, δύο φύσεις ὁμολογῶν σκοπεῖν ἐν τῷ Χριστῷ, καὶ ταύτας ὑφεσταμένας. Καὶ πάλιν ἀναθεματίζων τοὺς δύο λέγοντας μετὰ τὴν ἕνωσιν. Εἰ διὰ τὴν ἕνωσιν αἱ δύο μία γεγόνασιν, πῶς αὐτὸς μετὰ τοσαῦτα ἔτη τῆς ἑνώσεως, δύο φύσεις σκοπεῖ ἐν τῷ Χριστῷ; ἃ δὲ σκοπεῖ καὶ λέγει καὶ γράφει, πῶς ἀρνεῖται; καὶ καθάπερ οἱ ψηφοπαῖκται ἅμα μὲν δεικνύουσι τὰς ψήφους, ἅμα δὲ ἀφανίζουσι ταύτας· παραπλησίως καὶ αὐτὸς ἅμα μὲν ὁμολογεῖ δύο σκοπεῖν, ἅμα δὲ ἀρνεῖται, τὰς δύο εἰς μίαν συναλείφων· ἔοικε τῆς ἀστάτου γνώμης· δέον ἢ μὴ ὁμολογεῖν ἅπερ ἀρνεῖται, ἢ μὴ ἀρνεῖσθαι ἅπερ ὁμολογεῖ.

Παραθήσομαι δὲ καὶ ἑτέρας χρήσεις ἐκ διαφόρων αὐτοῦ συνταγμάτων, δι' ὧν ἀκριβέστερον τὸ ἀλλόκοτον καὶ ἐθελοκακοῦργον ἐπιγνωσθήσεται τοῦ ἀνδρὸς, ἐν γνώσει μαχομένου τῇ ἀληθείᾳ· γράφει ἐν τῷ κατὰ τοῦ γραμματικοῦ βιβλίῳ. « Τῇ διαιρέσει συνίζηται καὶ ἡ κατὰ φύ- » σιν διαίρεσις. » Εἶτα ἐναντιούμενος ἑαυτῷ ἐν ἑτέρῳ τόπῳ τοῦ αὐτοῦ βιβλίου λέγει. « Οὐ » γὰρ ἐπειδὴ σῶμα οὐκ ἦν ὁ λόγος οὔτε μὴν » τὸ ἐκ Μαρίας σῶμα μετεφοίτησεν τοῦ εἶναι

λόγος· ἄρα τοῦτο διὰ τῇ διαφορᾷ τῆς οὐσίας ἀκολουθήσει πάντως καὶ ἡ διαίρεσις.» Καὶ πάλιν ἐν τῷ αὐτῷ βιβλίῳ φησίν. « Ἡμεῖς ἐκ δύο φύσεων λέγοντες τὸν Ἐμμανουὴλ, οὐκ οὐσίας νοοῦμεν τὰς φύσεις, τὰς τοῦ κοινοῦ ὄντος δηλωτικὰς, καὶ πολλῶν ὑποστάσεων περιεκτικὰς, ἀλλὰ τὴν μίαν ὑπόστασιν τοῦ λόγου, καὶ τὴν μίαν σάρκα τὴν ἐψυχωμένην νοερῶς, ἐξ ὧν ἀτρέπτως συνήνεκται οἷς ἓν καὶ συντέθειται· καὶ ἔστι μία φύσις τε καὶ ὑπόστασις ἡ τοῦ λόγου σεσαρκωμένη· καὶ οὐκ ἐκ τούτου περικλειόμεθα, πρὸς τὸ καὶ ἐκ δύο προσώπων λέγειν τὴν ἕνωσιν.» Πρῶτον ἐκεῖνο ἐρῶμεν, μία καὶ μία, μίαν οὐ ποιεῖ, ἀλλὰ δύο· ὡς γὰρ μίαν καὶ μίαν θεωρεῖς καὶ λέγεις, δύο καὶ θεωρεῖς καὶ λέγεις. Εἰ δὲ κατά γε τὸν ὅρον οὐκ ἔστι φύσις ἀπρόσωπος, πῶς ἐκ δύο φύσεων ὢν ὁ Χριστὸς, οὐχὶ καὶ ἐκ δύο προσώπων ἐστὶ παρὰ σοί;

Καὶ ἐν αὐτῷ δὲ πάλιν τῷ συντάγματι ἔφη. « Ἀλλ' εἴ τις τὰ ἐξ ὧν ἐστι σκοπεῖσθαι ζητήσειεν, νῷ μόνῃ φαντασίᾳ καὶ λεπτῇ θεωρίᾳ καὶ ἐπινοίᾳ διαιρῶν, ὁμοροῦ δύο φύσεων, ἤγουν ὑποστάσεων, σύνοδον· καὶ τὸ ἑκάστης πρῶτον τινὰ φαντάζεται πρόσωπον ἐν ἐπινοίᾳ λαβεῖν· συνεισιοῦσα δὲ τῇ διανοίᾳ καὶ ἡ τῆς ἑνώσεως δύναμις, καὶ τὴν ἐξ ἀμφοῖν δείξασα μίαν ὑπόστασιν, τὰ ἐπινοίᾳ σκεπασθέντα δύο τῇ ὑποστάσει, δύο μένειν οὐ συγχωρεῖ, μετὰ γὰρ τὴν τῆς ἑνώσεως ἔννοιαν, ἀναφαινομένης μιᾶς φύσεως τῆς τοῦ λόγου σεσαρκωμένης, ἡ ἐπίνοια τῶν φαντασθεισῶν δύο προσώπων ἢ φύσεων ἢ ὑποστάσεων ὑπεξίσταται.» Τούτοις ἐπιφέρει μαρτυρίαν τινὰς πολύστιχον ἔχουσαν ἐν τῷ τέλει οὕτως. « Συγκατατεθεῖσα φαμὲν ἀναγκαίως τῇ τῶν ὑποστάσεων πρὸς ἑνότητα συνδρομῇ, καὶ αὐτῶν τῶν προσώπων τὴν ἕνωσιν.» Ἐχρῆν μὲν μὴ λέγειν σε προσώπων ἕνωσιν· λέγων δὲ, τί ἀρνῇ; εἰ προσώπων ἕνωσις γέγονεν, πρῶτον ὑπέστη ὁ ἄνθρωπος, καὶ τότε ἡνώθη τῷ προϋφεσταμένῳ θεῷ λόγῳ· προσώπων δὲ ἕνωσιν, οὐδὲ Νεστόριος εἰπεῖν ἐτόλμησεν, πρόσωπον δὲ μόνον.

Θαυμάζω δέ σε, τῆς ἑνώσεως γνωμόνος καὶ ἀναφανείσης τῆς μιᾶς φύσεως πῶς αὐτὸς ταύτην διαιρεῖν δύναται πάλιν, καὶ ἀναλύειν εἰς τὰ ἐξ ὧν, καὶ τὴν μίαν δύο θεωρεῖν οὐ μόνον φύσεις, ἀλλὰ καὶ πρόσωπα· ἢ τάχα ἐν σοί ἐστι καὶ λύειν τὴν ἕνωσιν καὶ συνάγειν αὐτήν; καὶ ὅταν μὲν βούλῃ, θεωρεῖς τὰς φύσεις, ὅτε δὲ θέλεις, ὑπεξίστανται· εἰ δὲ ὑπεξίστανται, ἀφανεῖς γενόμεναι, οὔτε δύο οὔτε μία ἢ εἰσὶν ἢ θεωροῦνται, τοῖς ἀποτελεστικοῖς συναφανισθέντες τοῦ ἀποτελέσματος· εἰ δὲ τῆς μιᾶς ἀναφανείσης, ἡ ἐπίνοια μόνη ὑπεξίσταται, οὐκ ἔξεστίν σοι ἐπινοεῖν ἔτι· γίνωσκε δὲ ὅτι τὸ κατ' ἐπίνοιαν ἐστὶν ὅτε πρὸς ἀντιδιαστολὴν τοῦ κατ' ἐνέργειαν εἴρηται· τῇ μὲν οὖν ἐνεργείᾳ, καὶ ὡς ἄν τις εἴποι πραγματικῶς, οὐδ' ἡμεῖς διαιροῦμεν τὰς φύσεις· τῇ δ' ἐπινοίᾳ διΐστανται· εἰ δὲ ἐπίνοια καὶ ἐνέργεια ταυτόν ἐστιν, ἄρα καὶ τὴν μίαν φύσιν ἐπινοίᾳ λέγεις γεγενῆσθαι, ἢ καὶ τὰς δύο φύσεις ἐνεργείᾳ καὶ οὐσιωδῶς εἶναι φύσεις μετὰ τὴν ἕνωσιν· εἰ δὲ ἐπινοίᾳ μόνῃ γνωρίζεις τὰς φύσεις, τὸ ἀνύπαρκτον αὐτῶν καὶ ἀνούσιον, ἤ τε συγκεχυμένον καὶ ἠφανισμένον κατασκευάζεις· ὅπερ καὶ μᾶλλον ἀθέτεις μὲν, οὐκ ἐκφαίνεις δέ· ἐπινοίᾳ γὰρ οὐ μόνον ἔφης διαιρεῖν, ἀλλὰ καὶ σκοπεῖν τὰς φύσεις, ἃς οὐδὲ μένειν καθ' ὕπαρξιν συγχωρεῖς νῦν, ὁ ἐν πολλοῖς λέγων μένειν αὐτὰς ἐν τῇ συνθέσει, ἄρα τὴν προσοῦσάν σοι ἀστασίαν.

Ὅτι δὲ ἐκ διῃρημένων τῶν φύσεων ἀναγκάζῃ λέγειν τὴν ἕνωσιν, ἐκ τῶν σῶν λόγων ἐλέγξομέν σε τὸν διδάσκαλον τῶν διπροσωπιτῶν. Ἔφης « ὅπου διαίρεσις, ἐκεῖ καὶ δυάς· καὶ ὅπου δυάς, ἐκεῖ καὶ διαίρεσις ἀκολουθεῖ.» Εἰ τῇ δύο φωνῇ πάντως καὶ διαίρεσις ἀκολουθεῖ, καὶ τῇ ἐκ δύο πάντως ἕψεται τὸ ἐκ διῃρημένων καὶ προϋφεστώτων τὴν ἕνωσιν γεγενῆσθαι· διὸ καὶ τὴν ἐκ δύο προσώπων οὐ παραιτῇ λέγειν. Πλὴν τρανώτερον καὶ σαφέστερον ἐκδειχθήσεται τὸ λεγόμενον. Ἐν αὐτῷ τῷ κατὰ τοῦ γραμματικοῦ βιβλίῳ φησίν. « Νοοῖντ' ἂν οὖν οὕτως, ὡς τέλειαι αἱ ὑποστάσεις, διῃρημένως μὲν ὑφεστῶσαι, διῄρηνται καὶ εἰς πρόσωπα

Digitized by Google

δύο, ἰδίου ἑκάστης πρόσωπον ἐπιγραφομένας, ὡς ἰδιοσυστάτως ὑφεστώσας. » Καὶ πάλιν. « Οὐ δύο κύριοι, οὐ δύο υἱοὶ, οὐ δύο χριστοὶ, ἀλλὰ τὸ μηδὲ τὰς οὐσίας ἤγουν ὑποστάσεις ἢ φύσεις ἰδιοσυστάτως ὑφεστηκέναι καὶ κεχωρισμένως καὶ ἀνὰ μέρος. » Καὶ πάλιν. « Ἐν τῇ ἐπινοίᾳ διαιρουμέναις ταῖς φύσεσιν, ἤγουν ὑποστάσεσι, συνεπινοεῖται καὶ τὰ πρόσωπα· θάτερον γὰρ θατέρου διαιρούμενον, εὐθὺς ἰδίου ἐπιγράφεται πρόσωπον. » Εἶτα ἰδιοϋποστάτως ὑφεστῶτα, ἴδια ἐπιγράφεται πρόσωπα, καὶ τὰ διῃρημένως καὶ κεχωρισμένως καὶ ἀνὰ μέρος ὑφεστῶτα διῄρηται εἰς πρόσωπα· ὁ δὲ Χριστὸς οὐ μόνον ἐκ δύο φύσεών ἐστιν, ἀλλὰ καὶ ἐκ δύο προσώπων κατὰ Σευῆρον· ἄρα γε πρῶτον διῃρημένως καὶ κεχωρισμένως καὶ ἀνὰ μέρος καὶ ἰδιοσυστάτως ὑπέστησαν αἱ φύσεις, ἵνα καὶ ἴδιον ἑκάστη ἐπιγράψηται πρόσωπον· καὶ τότε ἡνώθησαν καὶ οὕτως ἀπετελέσθη ὁ Σευήρου Χριστὸς ἐκ δύο φύσεων καὶ ἐκ δύο προσώπων· ὅπερ εἰ οὕτως ἔχει, οὐ μόνον ἐστὶν Νεστορίου νεστοριανώτερον, ἀλλὰ καὶ αὐτοῦ Σευήρου ἀνοητότερον. Φύγωμεν οὖν τὸν διπρόσωπον ὄφιν.

Ἐν τῷ λόγῳ αὐτοῦ τῷ εἰς τὰ γενέθλια, οὗ ἡ ἀρχὴ, ὥσπερ τὸ τῆς ἡμέρας φῶς ἀνατέλλει, λέγει. « Ποίας οὖν φύσεως ἰδίαν ἐνέργειαν εἴπωμεν τὸ βαδίζειν ἐπὶ τοῦ ὕδατος, ἀποκρινάσθωσαν οἱ μὴ τὴν ἕνωσιν ἡμῖν τὰς δύο φύσεις εἰσάγοντες· τῆς θείας; καὶ πῶς θεότητος ἴδιον, τὸ σωματικῶς ἰέναι πεζόν; ἀλλὰ τῆς ἀνθρωπίνης· καὶ πῶς οὐκ ἀλλότριον ἀνθρώπῳ τὸ ἐπὶ τῆς ὑγρᾶς οὐσίας περιπατεῖν; ὁρᾷς ὁ τὰς δύο φύσεις ἐπιζητῶν, εἰ τοιαύτην ἐπιγράψεις ἐνέργειαν, τὰς γὰρ τὰς φύσεις, ὡς ὁρᾷς, διαπέφευγεν· ἀλλὰ πρόδηλον καὶ οὐδαμῶς ἀμφίβολον, εἰ μὴ ἑκόντες μεθύομεν, ὡς τοῦ θεοῦ λόγου τοῦ δι' ἡμᾶς σαρκωθέντος, ἑνὸς καὶ ἀμερίστου τυγχάνοντος, ἀμέριστος ὑπάρχει καὶ ἡ ἐνέργεια καὶ ἴδιον ἦν αὐτοῦ τὸ πεζεύειν ἐπὶ τοῦ ὕδατος, ἐν ταυτῷ τὸ θεοπρεπὲς ἔχον καὶ τὸ ἀνθρώπινον. » Ὅτι ταῦτα διελέγετο Σευῆρος, οἶμαι αὐτὸν φαντασιοκοπεῦντα παίζειν τοὺς ἀκροατάς· εἰ μήτε τῆς θείας μήτε τῆς ἀνθρωπίνης φύσεως ἦν τὸ περιπατεῖν ἐπὶ τοῦ ὕδατος, ἢ φαντασία ἦν, ἢ φύσεως οὔτε θεϊκῆς οὔτε ἀνθρωπίνης καθαρῶς, ἀλλ' ἐκ τούτων μίγμα οὔσης, καὶ διὰ συγχύσεως ἀποτελεσθείσης· ὡς μηδ' ὁποτέραν ἀκραιφνῶς σώζεσθαι, διὰ δὲ τῆς μιᾶς φύσεως, τῆς οἱασδηποτοῦν εἶναι τὸν ἐπὶ τοῦ ὕδατος περίπατον, ἵνα καὶ ἡ ἐνέργεια μία καὶ ἀμέριστος ᾖ· τὸ ἐπὶ τῆς ξηρᾶς περιπατεῖν, θείας φύσεως ἦν, ἢ ἀνθρωπίνης; οὐδὲν γὰρ θεοπρεπὲς ὁρᾶται νόμοις ἀνθρωπίνης φύσεως ποδῶν περιπατούντων ἐπὶ τῆς γῆς· ἢ τότε ἐμερίσθη ἡ μία φύσις, καὶ τὴν οἰκείαν ἐνέργειαν καθ' ἑαυτὴν ἐπεδείκνυτο ἡ ἀνθρωπότης ἀπομερισθεῖσα τῆς θεϊκῆς.

Ἀλλὰ πρόδηλον καὶ οὐδαμῶς ἀμφίβολον, εἰ μὴ ἑκόντες μεθύομεν, καὶ παίζομεν τὰ ἄπαικτα, ὅσαι ταπειναὶ λέξεις καὶ ἔργα εἰς τὸ σῶμα τοῦ κυρίου γεγραμμένα νοεῖν χρὴ· καὶ ὅσα ἔνδοξα πράγματα εἰς τὴν τοῦ λόγου θεότητα· ὅταν πεινᾷ μετὰ τὸ νηστεῦσαι, τοῦ σώματος ἐλάττωμα ἦν· ἡνίκα δὲ ἐκ πέντε ἄρτων πεντακισχιλίους ἄνδρας χωρὶς γυναικῶν τρέφῃ, καὶ δώδεκα κοφίνους κλασμάτων περισσεύῃ, τῆς θεότητος τοῦ λόγου ἔργον· ὅταν ἐπὶ τὸ προσκεφάλαιον ἐν τῷ πλοίῳ καθεύδῃ, ἀναπαύσεως σωματικῆς ἔργον· ὅταν δὲ περιπατῶν ἐπὶ τῆς θαλάσσης ἀπειλῇ τοῖς κύμασι καὶ τοῖς ἀνέμοις, εὐθὺς ἀκούει παρὰ τῶν ἐν τῷ πλοίῳ μετ' ἔργου ὁμολογούντων, ἀληθῶς θεοῦ υἱὸς ἐστιν· ἀκόλουθον γὰρ ἦν, ἀναλαβόντα αὐτὸν σῶμα, δεικνῦναι τὰ ἴδια τοῦ σώματος, ἵνα μὴ ἡ φαντασία τοῦ ἀθέου Μανιχαίου κρατήσῃ· ἀκόλουθον δὲ πάλιν ἦν, σωματικῶς αὐτὸν ἐλθόντα, μὴ κρύψαι τὰ τῆς θεότητος· ἀλλ' οὐχ ἅμα πάντα ἐπεδείκνυτο, ἑκάστῳ δὲ καιρῷ καὶ πράγματι ἁρμοζόντως καὶ καταλλήλως· ὁ μὲν οὖν περίπατος, τῶν τοῦ σώματος ἦν ποδῶν· τὸ δὲ ἐπὶ τῶν ὑδάτων τῆς θεϊκῆς δυνάμεως ἔργον· ὡς γὰρ οὐκέτι τὰ τῆς σαρκὸς ἰδιώματα, τῷ ἐν ἀρχῇ ὄντι ἐπιθεωρηθῶσι λόγῳ, οὕτως πάλιν οὐδὲ τὰ τῆς θεότητος ἴδια, ἐν τῇ τῆς σαρ-

πὸς φύσει κατανοῆσαι· ἀλλ' ἑκάστου τὸ ἴδιον γινώσκοντες, καὶ ἀμφότερα ἐξ ἑνὸς πραττόμενα βλέποντες, ὀρθῶς πιστεύομεν.

Πάλιν ἐν τῷ λόγῳ αὐτοῦ τῷ ἐπιγεγραμμένῳ Φιλαλήθει γράφει· „Εἰ ὁ λόγος κατεργάζεται τὰ τοῦ λόγου, τὸ δὲ σῶμα ἐκτελεῖ τὰ τοῦ σώματος, καὶ τὸ μὲν διαλάμπει τοῖς θαύμασι, τὸ δὲ τοῖς πάθεσιν ὑποπέπτωκεν, ἡ κοινωνία τῶν μορφῶν σχετική τίς ἐστι, καὶ ἴση ὁμοίως διαθέσεως, καθὼς ὁ παραπλὴξ ἔφη Νεστόριος· εἰ δὲ, ὅπερ ἐστὶν ἀληθὲς, ὁ λόγος τὴν σάρκα μεταποιήσας εἰς τὴν ἑαυτοῦ δόξαν τε καὶ ἐνέργειαν, πῶς πάλιν κατὰ τὸν τόμον Λέοντος εἴπωμεν· φυλάττει γὰρ ἑκατέρα φύσις ἀνελλειπῶς τὴν ἑαυτῆς ἰδιότητα; φαίνεται γὰρ ἐν πολλοῖς ὁ λόγος μὴ συγχωρῶν τῇ ἰδίᾳ σαρκὶ, διὰ τῶν τῆς σαρκὸς ἔρχεσθαι νόμων· τοῦ γὰρ ἰδίου σώματος, βαδίζειν ἐφ' ὕδατος, ὁ μετὰ τὴν ἐκκέντησιν τῇ πλευρᾷ τοῦ δόρατος, αἵματος καὶ ὕδατος ἀναβλύζειν πηγήν;"

Βαβαὶ τῆς κακονοίας τοῦ συκοφάντου καὶ φιλοψεύστου, μηδὲν βουλομένου τῶν τοῦ πάπα Λέοντος κατὰ τὸν σκοπὸν αὐτοῦ καὶ ὡς ἔχει ἀληθείας ὁ [illegible], πάντα δὲ τὰ αὐτοῦ πρὸς διαβολὴν αὐτοῦ καὶ νοοῦντος καὶ λέγοντος. Τοῦ μακαρίου Ἀθανασίου ἐν τῇ πρὸς Ἐπίκτητον λέγοντος· „μᾶλλον γὰρ αὐτὸ τὸ ἀνθρώπινον προςθήκη μεγάλη γέγονεν ἐκ τῆς τοῦ λόγου πρὸς αὐτὸ κοινωνίας τε καὶ ἑνώσεως." Ματαία ἡ ὑπόληψις τοῦ μεμψιμοίρου, ἡ περὶ τῆς κοινωνίας τῶν μορφῶν. Ὡς δὲ ὁ μακάριος Κύριλλος ἐν τῇ πρὸς Σούκενσον γράφει· „ἐν ἰδιότητι τῇ κατὰ φύσιν ἑκατέρας μενούσης καὶ νοουμένης." Οὕτως καὶ ὁ πάπας Λέων ἔφη· „φυλάττει γὰρ ἑκατέρα φύσις ἀνελλειπῶς τὴν ἑαυτῆς ἰδιότητα." Ἰδιότητα δὲ σώματος ἀνθρωπίνου εἶπεν, ὡς καὶ Σευήρῳ δοκεῖ ἐν τοῖς πρὸς Σέργιον, τὸ παχυμερὲς, τὸ ἁπτὸν, τὸ ὁρατὸν, τὸ περιγραπτόν· τοῦτο γὰρ καὶ δι' ὅλου τοῦ τόμου παρίστησιν, ὡς πρὸς Εὐτυχέα ἀποτεινόμενος, νοσοῦντα τὴν φαντασίαν, καὶ διὰ τοῦτο ἀρνούμενον, σῶμα ἀληθινὸν ἀνειληφέναι τὸν κύριον· διὸ καὶ τὸ ἐκ δύο φύσεων παρῃτεῖτο, βεβιασμένως δὲ ἐδέξατο τὴν φωνὴν, ὡς ἡ ἐπὶ Φλαβιανοῦ ἐν Κωνσταντινουπόλει σύνοδος δηλοῖ.

Ὁ οὖν πάπας Λέων θέλων δεῖξαι ὅτι οὐ μορφὴν σώματος μόνον, ἀλλὰ σῶμα ἀληθὲς ἀνείληφεν ὁ θεὸς λόγος, καὶ οὕτως ἀληθὲς, ὡς καὶ σώζειν τὴν ἰδιότητα ἵνα καὶ πάσχειν δύνηται, εἶπεν· „ἐν ἀκεραίᾳ τοιγαροῦν καὶ ἀληθεῖ ἀνθρώπου καὶ τελείᾳ τῇ φύσει, θεὸς ἀληθὴς ἐτέχθη, ὅλος ἐν τοῖς αὐτοῦ, καὶ ὅλος ἐν τοῖς ἡμῶν." Εἶτα ἐπάγει· „φυλάττει γὰρ ἑκατέρα φύσις ἀνελλειπῶς τὴν ἑαυτῆς ἰδιότητα." Καὶ ἵνα νοήσωμεν τί ἐστι τὸ ἀνελλειπῶς, ἐπισυνάπτει· „καὶ ὥσπερ οὐκ ἀναιρεῖ τὴν τοῦ δούλου μορφὴν ἡ μορφὴ τοῦ θεοῦ, οὕτως τὴν τοῦ θεοῦ μορφὴν, ἡ τοῦ δούλου μορφὴ οὐκ ἐμείωσεν." Τὸ οὖν ὅλος ἐν τοῖς ἡμῶν, καὶ τὸ ἀνελλειπῶς, μετὰ τῆς μειώσεως κεῖται καὶ τῆς ἀτελοῦς· οὐ μόνον γὰρ, φησὶν, οὐδετέρα ἤτοι φύσεων γέγονεν ἕνωσις, ἀλλὰ καὶ ἀσύγχυτοι ἔμειναν καὶ ἀμείωτοι, αὗταί τε καὶ αἱ ἰδιότητες αὐτῶν αἱ ἐπιθεωρούμεναι αὐταῖς· εἶχεν οὖν ἑκάστη φύσις ἀνελλειπῶς τὴν ἑαυτῆς ἰδιότητα καὶ μετὰ τὴν ἕνωσιν. Καὶ κατὰ τὸν μακάριον Ἀμβρόσιον· „ὡς οὐδὲν ἔλειπεν τοῦ θεοῦ, οὕτως οὐδὲ τῷ καταρτισμῷ τῷ κατὰ τὸν ἄνθρωπον, ἵνα τέλειος ἐν ἑκατέρᾳ φύσει τυγχάνῃ." Εἰ δὲ καὶ τὰ τῆς σαρκὸς ἴδια κατὰ φύσιν, τοῦ θεοῦ λόγου γέγονεν ἴδια, ἀλλ' οὐ κατὰ φύσιν κατὰ δὲ τὸν τῆς οἰκονομίας λόγον.

Εἰ δὲ διὰ τὸ περιπατεῖν ἐπάνω τοῦ ὕδατος τὸν κύριον, ἔλλειψιν λέγει Σευῆρος φυσικῆς ἰδιότητος τοῦ σώματος, φιλαλλογοῦντες ἐροῦμεν· ὅτε ἐπὶ τῆς ξηρᾶς περιπάτει, ἄρα ἔλλειψις ἦν τῆς φυσικῆς ἰδιότητος τοῦ θεοῦ λόγου; οὐδὲν γὰρ θεοπρεπὲς, πόδας βαδίζειν ἐπὶ γῆς· ὁμοίως καὶ ὅτε ἐπείνασεν μετὰ τὸ νηστεῦσαι, νόμῳ φύσεως σώματος, ἐπεὶ μὴ ἐποίησεν τοὺς λίθους ἄρτους· καὶ ἐκοπίασεν δὲ ἐκ τῆς ὁδοιπορίας τῶν μυῶν καὶ τῶν νεύρων ὑπερταθέντων· ἀδημονῶν δὲ καὶ ἐκθαμβούμενος καὶ ἀγωνιῶν, ἐπεὶ μὴ κατὰ ταυτὸν τὰ ὑπὲρ φύσιν τῆς θεότητος ὑπεδείκνυτο· καὶ κρατούμενος δὲ ὑπὸ τῶν ἰουδαίων, ἐπεὶ μὴ ἄφαντος ἐκ μέσου αὐτῶν ἐγίνετο, ἄρα οὐκ ἐφύλαττεν ἀνελλει-

Digitized by Google

πῶς ἡ θεία φύσις τὴν ἑαυτῆς ἰδιότητα; Ἐρρέτω ἡ ἀνθρωπαρέσκος σοφία Σευήρου· πλὴν οὐδὲ ἐπὶ τῶν ὑδάτων ἐκώλυσεν τὴν ἰδίαν σάρκα ὁ θεὸς λόγος ἐπὶ τῶν τῆς σαρκὸς εἶναι νόμων, ὡς ὁ περίπατος τῶν ποδῶν δηλοῖ· τὸ δὲ ἐπὶ τῶν ὑδάτων περιπατεῖν, οὐκ ἀφαιρέσεως ἰδιότητος τοῦ σώματος ἦν, ἀλλὰ προσθήκη δυνάμεως ἐξ ἐνεργείας θεϊκῆς· τὸ οὖν σῶμα ἐξετέλει τὰ τοῦ σώματος, ὁ δὲ λόγος ἐχειρίζετο τὰ τοῦ λόγου, ὡς τὸ θαῦμα βοᾷ.

Ἢ οὐχὶ καὶ αὐτὸς τὰ αὐτὰ λέγει ἐν τῷ λόγῳ αὐτοῦ τῷ εἰς τὰ γενέθλια ὁ μυριόμορφος, « Θαρσεῖτε, ἐγώ εἰμι, μὴ φοβεῖσθε· τὸ δὲ ἐγώ » εἰμι, τῆς ἀληθείας ἐστὶ παραστατικὸν, καὶ » πᾶσαν φαντασίαν ἀποσκευάζεται· ἐγὼ γάρ » εἰμι ὁ μὴ τρέψας ἢ ἀλλοιώσας ἑαυτὸν, ἀλ- » λὰ μείνας θεὸς, ὡς τὸ θαῦμα βοᾷ· καὶ ὁ » αὐτὸς κατὰ ἀλήθειαν καὶ γενόμενος καὶ φαινό- » μενος ἄνθρωπος, ὡς ὁ περίπατος τῶν πο- » δῶν δηλοῖ. » Καὶ ἐν τῇ πρὸς Ἰουλιανὸν δὲ ἐπιστολῇ, ἧς ἡ ἀρχὴ ἐδεξάμην τὴν ὡς παρὰ σοῦ μοι γεγραμμένην ἐπιστολὴν λέγει, « Ὥσ- » περ ὁ θάνατος αὐτοῦ βουλομένου συνέβαινε » φυσικῶς, ἐπηκολούθει δὲ ὑπὲρ φύσιν τὸ θεο- » πρεπὲς θαῦμα τῆς ἀναστάσεως, οὕτω καὶ μετὰ » τὴν ἐκπνευσιν, ὡς ὁ εὐαγγελιστὴς Ἰωάν- » νης φησὶ, φυσικῶς τρωθεὶς τῇ λόγχῃ τῆς » πλευρᾶς· ἴδιον γὰρ σώματος εἰ καὶ ἀψύχου » τέμνεσθαι, θεϊκὸν δὲ ἐνέργημα καὶ τῶν θεο- » σημιῶν τὸ μέγιστον συνέπιπτε ῥύσις πα- » ράδοξος τοῦ θείου αἵματος, ὕδατι ζωτικῷ » συμμιγής. » Καὶ πάλιν, « Ἰδοὺ πανταχοῦ » περὶ τὴν σάρκα τὴν αἰσθανομένην καὶ » ἀλγοῦσαν, ὡς πέφυκεν σῶμα ἔμψυχον αἰσ- » θάνεσθαι, καὶ ἀλγεῖν τῶν παθῶν ἡ ἐνέργεια » κατὰ ἀλήθειαν. » Καὶ μετ' ὀλίγα, « Καθ' » ὃ θεὸς ἦν ἀπαθὴς μένων τὸ παράπαν συν- » αισθανόμενος τῇ σαρκὶ, ὥστε εἰ καὶ τῆς σαρ- » κὸς ἦν τὰ πάθη, καὶ τῆς ψυχῆς κατὰ φύσιν, » ἀλλ' ἴδια τοῦ λόγου τοῦ σαρκωθέντος τὴν ἐψυ- » χωμένην νοερῶς σάρκα τὴν καὶ πεφυκυῖαν, » ταῦτα παθεῖν λέγεται. »

Εἰ μία φύσις τοῦ λόγου καὶ τῆς σαρκὸς, μὴ διάστελλε· ἀλλ' ὡς λέγεις κατὰ φύσιν εἶναι τῆς σαρκὸς καὶ τῆς ψυχῆς τὰ πάθη, δηλονότι ἴδια εἰσὶ καὶ τοῦ λόγου· εἰ δὲ οὐ τολμᾷς ὁ πάντα τολμῶν, ἄρα ἑτέρῳ τρόπῳ ἴδια τοῦ λόγου τὰ πάθη καὶ οὐ κατὰ φύσιν εἰσίν· πῶς οὖν οὐ δύο φύσεις ὁ Χριστός; τῇ γὰρ μιᾷ φύσει εἴ τι συμβαίνει φυσικῶς, τοῦτο ἴδιον αὐτῆς κατὰ φύσιν λέγεται· εἰ τι δὲ ὑπὲρ φύσιν, ἐξ ἐνεργείας ἐστὶν ἑτέρας φύσεως· ὁ δὲ ἀμέριστον εἰπὼν τὴν ἐνέργειαν, ἵνα μίαν φύσιν παραστήσῃ, τὴν μὲν τρῶσιν τῇ πλευρᾷ ἀφώρισεν, φυσικῶς αὐτὴν λέγων τρωθῆναι, καὶ ἴδιον εἶναι τοῦτο σώματος οὐ θεότητος· θεϊκὸν δὲ ἐνέργημα οὐ σωματικὸν, τὴν τοῦ αἵματος καὶ ὕδατος ῥύσιν· τὸ οὖν τρωθὲν σῶμα καὶ πεφυκὸς ἀλγεῖν καὶ παθῶν δεκτικὸν, καλῶς εἶπεν ὁ πάπας Λέων ὑποπεπτωκέναι τοῖς πάθεσι καὶ ταῖς ὕβρεσι, διαλάμπουσαν δὲ τοῖς θαύμασι τὴν θεότητα, τὴν ἀναστήσασαν ὑπὲρ φύσιν τὸ ἴδιον σῶμα. Εἰ δὲ ἡ σὰρξ ἔχει φύσιν δεκτικὴν παθῶν, ἡ δὲ θεότης ἐνεργοῦσαν τὰ ὑπὲρ τὴν φύσιν τοῦ σώματος, οὕτως φυλάττει ἑκατέρα φύσις τὴν ἑαυτῆς ἰδιότητα, καὶ καλῶς ὁμολογοῦντες δύο φύσεις εἶναι τοῦ Χριστοῦ, καὶ τούτων φυσικὰς ἰδιότητας, ἃς καὶ εἰδέναι ὁμολογεῖ Σευῆρος ἐν τοῖς κατὰ τοῦ Γραμματικοῦ λέγων οὕτως « Ἴσμεν γὰρ καὶ » ὁμολογοῦμεν, ὡς ἤδη προείρηται, τῶν φύ- » σεων, ἐξ ὧν ἀπορρήτως εἷς Χριστὸς συνενή- » νεκται, καὶ ἰδιότητα καὶ διαφορὰν καὶ ἑτερότη- » τα ὡς ἐν ποιότητι φυσικῇ, καὶ διεστῶσας » ἀπ' ἀλλήλων τὰς φύσεις· καὶ πάλιν τῆς συν- » ούσης ἑτερότητος καὶ διαφορᾶς μὴ συγχυθείσης, » ἀλλὰ τὸ ἀσύγχυτον τῆς ἑνώσεως. » Πρόσχες ὅτι διίστασθαι λέγει, καὶ οὐ τὴν φύσιν ἀλλὰ τὰς φύσεις.

Ὁ δὲ ὁμολογῶν ἐνταῦθα καὶ ἰδιότητα καὶ ἑτερότητα τῶν φύσεων, ἐν πολλοῖς αὐτοῦ λόγοις ἀναθεματίζει τοὺς ὁμολογοῦντας ταῦτα· καὶ ὁ λέγων τῆς σαρκὸς εἶναι καὶ τῆς ψυχῆς κατὰ φύσιν τὰ πάθη καὶ φυσικῶς συμβῆναι τῷ σώματι τὸν θάνατον, ἀπαθῆ δὲ τὴν θεότητα, καὶ θεοπρεπῆ τὴν ἀνάστασιν, ἐν τῷ λόγῳ αὐτοῦ τῷ εἰς τὸ τρισάγιον, οὗ ἡ ἀρχὴ

ὑμεῖς ἴσως εἴωθέ με γεγενῆσθαι, φησίν "εἰ δὲ μετὰ τὴν ἕνωσιν ἐν δυσὶ φύσεσι γνωρισθήσεται, λύεται μὲν ἡ ἕνωσις, τῇ δυάδι διαιρεθεῖσα· μερισθήσεται δὲ τὸ μυστήριον· καὶ τῇ μὲν θείᾳ φύσει τὴν ἀθανασίαν, τῇ δὲ ἀνθρωπίνῃ τὸν θάνατον ἀποκληρώσομεν." Ὁ πάντα παίζων καὶ ἐπὶ μηδενὸς ἱστάμενος, ἔθρυψεν πάντα τά τε τῆς θεότητος ἴδια κατὰ φύσιν, καὶ τὰ τῆς ἀνθρωπότητος ἴδια κατὰ φύσιν, παρασκευάζων τὰ κατὰ φύσιν ἴδια, ὡς τὰ κατ' οἰκονομίαν ἴδια θεωρῶν· ὡς μηκέτι σώζεσθαι ἑκάστῃ φύσει τῶν οἰκείων αὐτῆς ἰδιωμάτων· ἡμεῖς δὲ ὑπομνήσωμεν αὐτὸν τὸ γεγραμμένον τῷ Νυσσαεῖ ἐν τῷ κατ' Εὐνομίου τετάρτῳ λόγῳ. "Εἰ γὰρ αἰτιῶνται τοὺς τὸ πάθος τῇ ἀνθρωπίνῃ φύσει ἀνατεθέντας, βούλονται πάντως αὐτὸν τῷ πάθει ὑπαγαγεῖν τὴν θεότητα."

Ἴσως ἐντραπέντες οἱ αὐτοῦ βεβαιώσουσι μᾶλλον τὸ λεχθὲν αὐτῷ κατὰ Ἰουλιανοῦ "οὐκ ἐροῦμεν αὐτὸν πάθη περιάπτειν τῇ οὐσίᾳ τῇ ἀπαθεῖ τῆς θεότητος." Οὕτως ὁ φύρτης πάντα συγχέει, τοὺς δοκοῦντας δῆθεν ἀντιλέγων, τὰ ἴδια τῶν φύσεων προβάλλεται τοῖς τὰ ἴδια τῶν φύσεων πρεσβεύουσι, μαχόμενος τὰ ὡς ἐφ' ἑνὸς καὶ ἀπὸ ἑνὸς προσώπου λεγόμενα, ὡς ἐπὶ μιᾶς καὶ ἀπὸ μιᾶς φύσεως ἀντικαθιστῶν· ἔστιν γὰρ ὅτε φύσεως καὶ προσώπου οὐκ οἶδεν διαφοράν, ἵνα ἔχῃ ἄδειαν πάντοτε πᾶσι μάχεσθαι, ὡς φιλοτάραχος καὶ φιλοσκώπτης· εἰ δὲ οὐκ ἔτι φύσεως καὶ προσώπου διαφορὰ, ὁσάκις ἐὰν λέγῃ φύσεις πληθυντικῶς, ἢ φύσιν καὶ φύσιν, καὶ πρόσωπα λέγει. Ἐν τῷ λόγῳ τῷ εἰς τὴν χειροτονίαν αὐτοῦ, οὗ ἡ ἀρχή, ἐπαίροντί ποτε πρὸς τὴν μέσην τῶν ποταμῶν, λέγει. "Ἡνίκα δ' ἂν ἐπιλάμψῃ τοῖς ἐπὶ γῆς καὶ τὴν ἑκούσιον κένωσιν δι' ἡμᾶς καταδέξηται, αὐτὸς ἡμῖν κλίμαξ γενήσεται, τοὺς χαμαὶ κειμένους ὑπὸ τῆς ἁμαρτίας καὶ τῆς τοῦ Ἀδὰμ παραβάσεως ἀνάγων εἰς οὐρανόν, καὶ πύλη προφανὴς οὐράνιος, ἀποκαλύπτων ἡμῖν τὸν πατέρα καὶ ἑαυτὸν καὶ τὸ ἅγιον πνεῦμα, καὶ τὴν ἐν τῇ ἁγίᾳ τριάδι κυριότητα."

Ταῦτα ἔφη ὁ τῆς ἁγίας συνόδου ἐπιλαβόμενος εἰπούσης, περί τε γὰρ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος ἐκδιδάσκει τὸ τέλειον, καὶ τὴν τοῦ κυρίου ἐνανθρώπησιν τοῖς πιστῶς δεχομένοις παρίστησιν. Εἰ οὖν ἡ σύνοδος τετράδα εἶπεν, Σευῆρος ἑξάδα λέγει ἐν τῷ λόγῳ αὐτοῦ τῷ εἰς τὸ Θεέ μου, οὗ ἡ ἀρχή, ἴσως τινὲς τῶν διατεμνόντων, ἔφη· "πλὴν οὐχ ὡς ἐγὼ θέλω, ἀλλ' ὡς σύ· ἔτι γὰρ διδασκαλίας ἦν ταῦτα καὶ οὐ δειλίας, μαρτυρήσει σαφῶς ἡ τῶν εὐαγγελίων γραφή· πῶς γὰρ ἔμελλεν δεδιέναι τὸν θάνατον ὁ μετὰ ἐπιθυμίας ἄκρας ἐπὶ τοῦτον ἐρχόμενος καὶ λέγων, ἐπιθυμίᾳ ἐπεθύμησα φαγεῖν τὸ πάσχα τοῦτο." Εἶτα συνήθως ἀντιφθεγγόμενος ἑαυτῷ ἐν τῷ πρὸς Σέργιον δευτέρῳ λόγῳ, γράφει. "Ὁ γὰρ Ἐμμανουὴλ καθ' ὃ μὲν θεὸς, δοκήσει πέπονθεν· καθ' ὃ δὲ ἄνθρωπος, ἀληθείᾳ." Καὶ ἐν τῷ δευτέρῳ δὲ τῷ κατὰ Ἰωάννου τοῦ γραμματικοῦ, λέγει "τὸν αὐτὸν μὲν καθ' ὃ θεὸς ἦν, μὴ δεδιέναι τὸν θάνατον· καθ' ὃ δὲ ἄνθρωπος ἦν, εἰκονισάμενον καὶ τὸ μὴ θέλειν ἀποθανεῖν, καὶ ἑκουσίως ἀφέντα τῇ σαρκὶ τὸ φυσικὸν καταδέξασθαι πάθος." Ὀλίγα ἀπὸ πολλῶν παρεθέμην, παραστῆσαι βουλόμενος τό τε καὶ πρὸς ἑαυτὸν ἀσύμφωνον τοῦ ἀνδρός· καὶ ὅτι τὰ φυσικὰ τῆς σαρκός, ἀλλὰ λέγων παρὰ τὰ φυσικὰ τῆς θεότητος ἀναθεματίζει τοὺς δύο φύσεις λέγοντας, μᾶλλον δὲ ἑαυτόν· καὶ αὐτὸς γὰρ δύο φύσεις οἶδεν ἐν τῷ Χριστῷ, καὶ ταύτας ὑφισταμένας καὶ μενούσας· καὶ πάλιν οὐκ οἶδα ὅπως εἰς μίαν συναλείφει αὐτάς, καὶ καταγινώσκει πάλιν τῶν εἰς μίαν συναγόντων καὶ συναλειφόντων αὐτάς, ὡς προαποδέδεικται. Εἰ δὲ μία φύσις ὁ Χριστός, περιττὸν τὸ λέγειν καθ' ὃ καὶ καθ' ὃ, καὶ σαρκὸς φύσιν καὶ θεότητος φύσιν, καὶ τῷ πεφυκότι πάσχειν, καὶ τῷ μὴ πεφυκότι πάσχειν· ταῦτα γὰρ ἐπὶ δύο φύσεων λέγεται.

Ἐπεὶ λεγέτω ὁ σοφιζόμενος περιττά, εἰ φυσικὸν, ἢ πεφυκός τί ἐστιν ἄνευ φύσεως, ὁ λέγων μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην καὶ ἐψυχωμένην ψυχῇ λογικῇ καὶ νοερᾷ, καὶ μὴ ὁμολογῶν δύο

Digitized by Google

φύσεις, ὅμοιός ἐστι τῷ λέγοντι ἓν ἥμισυ, τρίτον ἕκτον· ταῦτα δὲ ἐν ὁμάδι μὴ θέλοντι εἰπεῖν δύο. Ὅταν λέγῃ Σευῆρος ἐν τοῖς κατὰ Ἰουλιανοῦ « τὰ πάθη τὰ ἑκούσια καὶ ἀδιάβλητα, κατὰ τοὺς τῆς φύσεως νόμους ἐνδιδόντος τοῦ θεοῦ λόγου, τὸ σῶμα ὑπέσχεν· τὰ θαύματα δὲ πάλιν δι' αὐτοῦ τοῦ σώματος ὑπὲρ τοὺς τῆς φύσεως νόμους ἀπετέλει τότε καὶ ἐνηργάττετο. » τὰ γὰρ σημεῖα καὶ παράδοξα τὰ ὑπὲρ τὴν μίαν φύσιν ταύτην τὴν τῶν παθῶν δεκτικὴν, τὰ πέρα τῆς φύσεως ταύτης, πῶς ἢ πόθεν ἐγένετο; καὶ ἀναγκασθήσεται ὡς οἶμαι ἢ κατὰ φαντασίαν εἰπεῖν, ἢ ἐξ ἑτέρας φύσεως. Σευῆρος, ὡς τὰ συγγράμματα αὐτοῦ δηλοῖ, δύο φύσεις λέγει καὶ μίαν, ταῖς μὲν τὴν ἀλήθειαν δυσωπῶν, τῇ δὲ τοὺς διδασκάλους αὐτοῦ ἀφοσιούμενος τοὺς φαντασιαστὰς, Τιμόθεον τὸν αἴλουρον καὶ Διόσκορον· καὶ Τιμοθέου μὲν ἡ δόξα προδεδήλωται, τὴν δὲ Διοσκόρου γνώσονται οἱ ἀγνοοῦντες ἐκ τῆς ἐπιστολῆς αὐτοῦ τῆς γραφείσης ἀπὸ Γαγγρῶν, ἐν ᾗ γράφει ταῦτα. « Ὁ μονογενὴς τοῦ θεοῦ υἱὸς λόγος, ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, γενόμενος ἄνθρωπος χωρὶς ἁμαρτίας καὶ τροπῆς, τοῖς ἀνθρωπίνοις κεκοινώνηκε πάθεσιν, οὐ κατὰ φύσιν, ἀλλὰ κατὰ χάριν. » Καὶ πάλιν. « Εἰ μὴ τὸ αἷμα τοῦ Χριστοῦ κατὰ φύσιν θεοῦ ἐστιν καὶ οὐκ ἀνθρώπου, τί διαφέρει τοῦ αἵματος τῶν τράγων καὶ μόσχων καὶ τῆς σποδοῦ τῆς δαμάλεως; Καὶ τοῦτο γὰρ γήϊνον καὶ φθαρτὸν, καὶ τὸ αἷμα τῶν κατὰ φύσιν ἀνθρώπων, γήϊνον καὶ φθαρτόν· ἀλλὰ μὴ γένοιτο ἑνὸς τῶν κατὰ φύσιν λέγειν ἡμᾶς ὁμοούσιον τὸ αἷμα Χριστοῦ. »

Οὗτος Διόσκορος καὶ Τιμόθεος, οἱ τοιοῦτοι διδάσκαλοι εἰσιν Σευήρου, ἐξ ὧν τὴν μίαν φύσιν παραλαβὼν, τοῖς δὲ τῶν νοημάτων αὐτῶν ἀπαρεσκόμενος, τὰ ἡμέτερα νοήματα περιέπλασεν αὐτῇ, τὸ πορνικὸν σῶμα τῷ σωφρονικῷ ἐνδύματι καλλωπίζων· καὶ τὴν λέξιν μὲν ὡς πατρῷον κλῆρον φυλάττων, τὰς δηλωτικὰς δὲ ἐννοίας τῶν δύο φύσεων περιτεθεὶς αὐτῇ· καὶ ἐπὶ μὲν τῶν πραγμάτων δύο φύσεις παριστῶν, αὐτὴν δὲ τὴν λέξιν τὴν δύο παραιτούμενος τὰ πολλά· ὅθεν καὶ τὸ ἄστατον αὐτῶν πρόσεστιν ἐν ταῖς ἐξηγήσεσι· τῇ γὰρ βασιλικῇ ὁδῷ μὴ βουληθεὶς πορευθῆναι, ἄνω καὶ κάτω περιπλανᾶται καὶ περικρούεται· συμπεριάγων τοὺς ἀκολουθοῦντας αὐτῷ ὡς μηδὲν ἀπόλυθον πράττων, Εὐτυχέα μὲν ἀναθεματίζει, Διόσκορον δὲ ἀποδέχεται, καὶ τούτου τοὺς ἀγῶνας τιμᾷ καὶ ἀσπάζεται, οὓς ἠγωνίζετο ὑπὲρ Εὐτυχοῦς μέχρι καθαιρέσεως καὶ ἀναθεματισμοῦ καὶ ἐξορίας.

Εἰ δέ τις εἴποι ὅτι μεταμελητικοὺς λιβέλλους ἐδέξατο Διόσκορος παρὰ Εὐτυχοῦς, καὶ διὰ τοῦτο ὑπερήσπισεν αὐτοῦ, ψεύδεται· ὁ γὰρ λίβελλος ὁ ἐπιδοθεὶς αὐτῷ παρ' ἐκείνου, οὐ μεταμέλειαν εἶχεν, ἀλλὰ μέμψιν κατὰ τοῦ μακαρίου Φλαβιανοῦ ὅτι καθεῖλεν ἀναθεματίσας αὐτὸν ἐξ ἀπαιτοῦν ἐνύχων ὀρθόδοξον ὄντα αὐτόν· δεδόσθω δὲ μεταμέλειαν ἔχειν τὸν λίβελλον Εὐτυχοῦς· εἰ μεταμέλος ἐπὶ πταίσματι γέγονεν, τίνος οὖν χάριν Φλαβιανὸν ἐφόνευσεν τὸν ἀναθεματίσαντα Εὐτυχέα ἔτι πταίοντα; ὃν δὲ Διόσκορος ἐδέξατο μεταμεληθέντα, Σευῆρος διὰ τί ἀναθεματίζει; Καὶ Διόσκορος μὲν ὡς μὴ ὁμολογῶν ὁμοούσιον τῶν κατὰ φύσιν ἀνθρώπων τὸ αἷμα Χριστοῦ, δῆλον ὅτι οὐδὲ τὸ σῶμα εἰπόντος μίαν φύσιν λέγει Χριστοῦ· ὁμοίως καὶ Τιμόθεος τὴν θεϊκὴν μόνον οἶδεν φύσιν Χριστοῦ, τὴν δὲ σάρκα οὔτε φύσιν οὔτε οὐσίαν· ὡς εἶναι παρ' αὐτοῖς ὄνομα μόνον σαρκός· ἀμφότεροι οὖν ἀκολουθοῦντες ἑαυτοῖς, μίαν φύσιν ἐδογμάτισαν, καὶ ἠγωνίσαντο κατὰ τῶν ἀναθεματιζόντων Εὐτυχέα.

Σευῆρος δὲ ὁμοούσιον ἡμῖν ὁμολογῶν τὸ σῶμα Χριστοῦ ἐξεναντίας τῶν διδασκάλων αὐτοῦ, καὶ φύσεις ὀνομάζων ἐπὶ Χριστοῦ, καὶ σκοπῶν ταύτας μετὰ τὴν ἕνωσιν, καὶ διαφορὰν, καὶ ἑτερότητα, καὶ τὸ ἀσύγχυτον, καὶ χωρισμὸν τῆς ψυχῆς ἐν τῷ καιρῷ τοῦ θανάτου, ὅ ἐστι τοῦ ὅλου μερισμός (ἐχωρίσθη γὰρ ἡ ψυχὴ ἐκ τοῦ σώματος μόνου, ἡ γὰρ θεότης ἑκατέρῳ κατ' οὐσίαν ἥνωτο) εἰ εὐλόγως μίαν φύσιν πρεσβεύει, ἀναθεματίζει δὲ τοὺς λέγοντας δύο φύσεις,

κρινέτω ὁ ἀπροσπαθῶς δικάζων. Καίτοι γε ἐν τοῖς κατὰ τοῦ Γραμματικοῦ πρὸς πλείονα αὐτοῦ ἔλεγχον καὶ κατάκρισιν ἔφη· “ Ὥστε τὰ δύο „ τὰ ἐξ ὧν ἡ ἕνωσις, ἐν τῷ συντεθεῖσθαι τῷ „ νῷ μόνον ἀπ᾽ ἀλλήλων συνθέτως διακρινόμενα· μεταβέβληται γὰρ οὐδαμῶς μὴ εἶναι „ δύο καὶ ταῖς ὑποστάσεσιν. „ Ἀκουέτω ὁ νήφων τοῦ μεθύοντος, ἅπερ ὁ νοῦς διέκρινεν, διὰ τοῦ στόματος ἐφανέρωσεν, ὅτι αἱ δύο ὑποστάσεις οὐ μεταβέβληνται καὶ μετὰ τὴν ἕνωσιν, ἀλλ᾽ εἰσὶ δύο. Εἶτα ὑπασφαλιζόμενος ταῦτα οὕτως ἔχειν, ἐν αὐτῇ τῇ βίβλῳ λέγει· “ Τὴν τῇ θεω„ρίᾳ μόνον διακρινομένην μίαν ὑπόστασιν τοῦ „ Θεοῦ λόγου, καὶ τὴν μίαν ὑπόστασιν τῆς ἐ„ψυχωμένης νοερῶς, καὶ ἐκ τῆς Θεοτόκου ληφθεί„σης σαρκὸς ἐν τῇ συνθέσει σκοπουμένας ἀν„αλλοιώτους, καὶ μενούσας ταῦτο ὅπερ εἰσίν. „ Εἰ μὲν τὰ διακρινόμενα τῇ θεωρίᾳ, τῇ θεωρίᾳ μόνον καὶ ὑφίστασθαι λέγει, πάντα φαντασίαν οἶδεν· εἰ δὲ αἱ ὑποστάσεις οὐσιώδεις εἰσὶ, δύο οὐσίας λέγων τοῦ Χριστοῦ, τί φλυαρεῖ λογομαχῶν, καὶ μηδὲν ἄλλο οὕτω καλῶς εἰδὼς, ὡς τὸ κακῶς λέγειν τοὺς λέγοντας δύο φύσεις ὡς καὶ αὐτὸς, καὶ μὴ διαιροῦντας πραγματικῶς, ἀλλὰ κατ᾽ ἐπίνοιαν μόνον,

Εὑρίσκω δὲ Σευῆρον δύο μὲν φύσεις εἰδότα τὸν Χριστὸν καθ᾽ ὕπαρξιν μίαν, μίαν δὲ λέγοντα ταύτας φαντασίᾳ καὶ μόνον ἐπὶ καταστροφῇ τῶν πειθομένων αὐτῷ· εἰ γὰρ ἐν τῇ συνθέσει ἔμειναν αἱ ὑποστάσεις ὅπερ εἰσιν, εἰσὶ δὲ δύο, καὶ οὐδαμῶς μεταβέβληνται μὴ εἶναι δύο, καὶ ταῖς ὑποστάσεσι καὶ τῷ νῷ θεωροῦνται δύο, πρόδηλον ὅτι καὶ μετὰ τὴν ἕνωσιν· οὕτω γάρ ἐστιν ἐν τῇ συνθέσει, καὶ εἰσὶ καθ᾽ ὕπαρξιν, καὶ σκοποῦνται ὅπερ εἰσί, καὶ ὀνομάζονται κατ᾽ αὐτὸν Σευῆρον, ἡ δὲ λεγομένη μία φύσις, ἐπινοίᾳ μόνον, ἀληθέστερον δ᾽ εἰπεῖν ὑπονοίᾳ ἀνθρώπων καὶ ἀναπλασμῷ λέγεται μὲν, ἔστιν δὲ οὐδέν· δύο γὰρ λόγους περὶ τοῦ αὐτοῦ πράγματος ἐναντίους ἀλλήλοις, ἀληθεῖς εἶναι, φύσιν οὐκ ἔχει.

Εἰ δέ τις εἴποι ὅτι καὶ δύο εἰσὶ καὶ μία, ὡς μὲν μέρη ὅλου, καὶ ὡς συστατικαὶ ἀποτελέσματος δύο εἰσίν· οὐδὲ γὰρ ἐνδέχεται τὸ ἀποτέλεσμα εἶναι τί, εἰ μὴ αἱ συστατικαὶ αὐτοῦ μένωσιν· οὐδὲ τὸ ὅλον εἶναι ὅλον, εἰ μὴ τὰ μέρη μένωσιν· ὡς δὲ ὅλον καὶ ὡς ἀποτέλεσμα, μία φύσις ἐστίν· ἀκουέτω ὁ τοιοῦτος, ὅτι οὐ τοῦτο βούλονται οἱ δίγλωσσοι ὄφεις· ἦ γὰρ ἂν φορητὸν ἦν· ἀλλ᾽ ἐπ᾽ ἀναιρέσει τῶν δύο τὴν μίαν καὶ ἐπινόησαν καὶ προβάλλονται· διὸ καὶ ἀναθεματίζουσι τοὺς λέγοντας δύο φύσεις μετὰ τὴν ἕνωσιν· καίτοι γε τῇ ἀκολουθίᾳ τῶν πραγμάτων συνελαυνόμενοι λέγειν καὶ αὐτοὶ πολλάκις δύο φύσεις ὡς ἀποδέδεικται· πλὴν ὡς ἔφη ὁ μακάριος Γρηγόριος ὁ Νυσσαεὺς πρὸς Ἀπολινάριον, πῶς μία αἱ δύο φύσεις εἰσί; καθὼς γὰρ ἔφη αὐτὸς Ἀπολινάριος ἐν τῷ κατὰ κεφάλαιον βιβλίῳ, ὁ μάλιστα κρατύνων τὴν λέξιν ταύτην· “ τὸ ἁπλοῦν ἓν ἐστι, τὸ δὲ σύν„θετον οὐ δύναται ἓν εἶναι. „ Εἰ οὖν τὸ σύνθετον οὐ δύναται ἓν εἶναι, ἐπεὶ οὐκέτι σύνθετον, τὸ ἐκ δύο συγκείμενον, καὶ ἔχοντα δύο ἐν ἑαυτῷ, καὶ ταῦτα ἓν ἅπερ συνέθηκεν αὐτὸ, πῶς δύναται ἓν εἶναι καὶ λέγεσθαι, εἰ μή τί γε προσώπῳ; διὸ καλῶς εἰρήκασιν οἱ πατέρες, δύο μὲν φύσεις εἶναι τὸν Χριστὸν, διὰ τὸ ἐξ αὐτῶν συνεστάναι καὶ συγκεῖσθαι, καὶ ταῦτα εἶναι· αὐτὸ δὲ τὸ σύνθετον, οὐ καθ᾽ ὃ σύνθετόν ἐστιν, ἀλλὰ καθ᾽ ὃ ἀποτέλεσμα, ἓν πρόσωπον· ἵνα μήτε τὰ ἐξ ὧν ἀνέλωσιν, ἀλλ᾽ ὡς καθ᾽ ὕπαρξιν μένοντα καὶ ἐξονομάσωσι, καὶ τὴν τούτων εἰς ἑνότητα ἤτοι εἰς ἓν πρόσωπον συνδρομὴν ὁμολογήσωσι· δεῖ γὰρ καὶ τὰ μέρη τοῦ ὅλου μέρη ὀνομάζεσθαι, καὶ τὸ ὅλον μὴ μέρος λέγεσθαι, ἀλλὰ ὅλον.

Εἰ δὲ αἱ δύο φύσεις μία γεγόνασιν, ἑτεροφυὴς ἄρα ἐστὶν αὕτη, ὡς ὁ μακάριος Κύριλλος ἔφη ἐν τῷ κατὰ συνουσιαστῶν· ἑτεροφυὴς δὲ οὖσα παρὰ τὰ ἐξ ὧν συνέστη, τουτέστι παρὰ τὴν θεότητα καὶ τὴν ἀνθρωπότητα, ἀναντιῤῥήτως κατ᾽ αὐτοὺς ὡς καὶ ἀνωτέρω εἴρηται, οὔτε Θεός ἐστιν ὁ Χριστὸς, οὔτε ἄνθρωπος, οὔτε εἷς τῆς τριάδος, οὔτε Θεοτόκος ἡ παρθένος, οὔτε τριὰς ἡ τριὰς, ἀλλὰ μᾶλλον δυάς· ὁ γὰρ υἱὸς σαρκωθεὶς, καὶ διὰ τοῦτο μία φύσις ἑτεροφυὴς γε-

νόμενος, παρὰ τὸν τοῦ πατρὸς καὶ τοῦ ἁγίου πνεύματος, πῶς συναριθμηθήσονται τούτοις οἷς οὐκ εἰσὶν ὁμοούσιος; εἰς τὸ τῆς λήθης χάσμα τὰ τοιαῦτα ληρήματα τῶν ὄντως ἀκεφάλων.

Ἑπόμενοι οὖν τοῖς ἁγίοις πατράσιν ἀλήθειαν λαλοῦσι, δύο μὲν φύσεις ἐροῦμεν εἶναι τὸν Χριστὸν, ἓν δὲ πρόσωπον· οὐδὲν γὰρ ἄλλο ἐστὶ τὸ λέγειν δύο φύσεις ἐπὶ Χριστοῦ, ἢ ὅπερ λέγει καὶ Σευῆρος ὁ δίγλωσσος ὄφις, ὅτι μεταβέβληνται οὐδαμῶς μὴ εἶναι δύο καὶ ταῖς ὑποστάσεσι· καὶ ὅτι μετὰ τὴν ἕνωσιν καὶ μένουσι καὶ σῴζονται ὅπερ εἰσὶν, διαλυούσαι αἱ φύσεις· τί δὲ ἕτερόν ἐστι τὸ λέγειν ἐν δυσὶ φύσεσιν εἶναι τὸν Χριστὸν, ἢ ὅπερ καὶ Σευῆρος λέγει, ὁ δαίδαλος ἀλώπηξ, κατὰ τὸν μακάριον Κύριλλον τέλειον ἐν θεότητι καὶ τέλειον ἐν ἀνθρωπότητι; καὶ τὰ δύο μὴ ἐν δύο φαίνεσθαι, ἀδύνατον εἶναι, ἀλλ' οὐκ ἐν προσώποις, οὐδὲ γὰρ δύο πρόσωπα ὁ Χριστός.

Ἀλλ' ὁ μακάριος, φησὶ, Κύριλλος εἶπεν, ὥστε τὰ δύο μηκέτι μὲν εἶναι δύο· δι' ἀμφοῖν δὲ τὸ ἓν ἀποτελεῖσθαι ζῷον. Ἀκουέτωσαν οἱ τὰ ὀρθὰ διαστρέφοντες· οὐκ εἶπεν ὁ διδάσκαλος δι' ἀμφοῖν τὴν μίαν ἀποτελεῖσθαι φύσιν, ἀλλὰ τὸ ἓν ἀποτελεῖσθαι ζῷον· ὅπερ ἴσον ἐστὶ τῷ λέγειν τὸ ἓν ἀποτελεῖσθαι πρόσωπον· ἐπεὶ πῶς ἀληθεύσει λέγων, μένει δὲ ἑκάτερον ὅπερ ἐστὶ τῇ φύσει; πῶς δὲ καὶ ὁ Σευήρου στήσεται λόγος, ὅτι ἐν τῇ συνθέσει ἔμειναν τοῦτο ὅπερ εἰσι, τουτέστιν αἱ φύσεις, καὶ οὐχὶ ἡ μία φύσις; τὰ οὖν δύο μὴ εἶναι δύο ζῷα ἐνόησεν ὁ ἅγιος· διὸ καὶ ἐπήγαγεν, τὸ ἓν ἀποτελεῖσθαι ζῷον· παυσάσθωσαν οὖν οἱ ψευδολόγοι, καλαμίνην ῥάβδον ὑποστηρίζοντες ἑαυτοῖς· ὥσπερ δὲ αὐτοὶ λέγουσι, τῆς μιᾶς φύσεως ἀποτελεσθείσης, οὐκέτι δύνανται δύο φύσεις ἢ εἶναι ἢ λέγεσθαι· ἀντίθετος γὰρ ἡ λέξις.

Οὕτως καὶ ἡμεῖς ἀντιπεριτρέψαντες τὸν λόγον, ἐροῦμεν· εἰ δύο φύσεις εἰσὶν αἱ οὖσαι δύο, μία λέγεσθαι οὐ δύνανται· ὅτι δὲ εἰσὶ δύο φύσεις τοῦ Χριστοῦ, οὐ μόνον εἶπεν Σευῆρος, ἀλλὰ καὶ ἔγραψεν· εἰ δὲ καὶ μὴ εἶπεν Σευῆρος ἐν τῷ δύο, ἢ μένουσι καὶ σῴζονται αἱ φύσεις, ἢ ἀπώλοντο· εἰ μὲν οὖν ἀπώλοντο, οὔτε δύο εἰσὶν οὔτε μία· εἰ δὲ μένουσιν, ὅπερ μᾶλλον ἀληθὲς, καὶ ὀνομάζονται· ἐπεὶ πῶς γνωσθήσονται ὅτι μένουσιν, ἢ πῶς λεχθήσεται τὸ μένειν; οὐκ ἄρα οὖν δύναταί τις χώραν ἔχειν, μίαν ποιεῖν ἢ λέγειν τὰς οὔσας δύο· αὕτη δὲ ἡ τοῦ συνθέτου λέξις δύο τινῶν πραγμάτων σημαίνει σύνοδον· καὶ ὁ ἀναπτύσσων τὸ σύνθετον, δύο τινὰ κατανοεῖ, ἐξ ὧν σύγκειται αὐτὸ τὸ σύνθετον, ἅπερ καὶ ἔχει ἐν ἑαυτῷ καὶ ἔστιν ταῦτα, ἕως ἂν τὸ σύνθετον, σύνθετον ἀληθῶς ἐστιν· εἰ οὖν σύνθετός ἐστιν ὁ Χριστὸς, οὐ μόνον ἐκ δύο συνετέθη φύσεων, ἀλλὰ καὶ ἔχει ταύτας ἐν ἑαυτῷ, ὡς ἐξ αὐτῶν συγκείμενος· καὶ ἔστιν ἐν ταύταις ἵνα μὴ ὡς ἄλλος ἐν ἄλλοις ᾖ· σῴζεται δὲ καὶ ὁ τοῦ συνθέτου λόγος. Ὁ οὖν βουλόμενος ὀπίσω τῆς ἀληθείας πορεύεσθαι ἐν ἁπλότητι καρδίας, ἔχει τὴν ἀλήθειαν ὁδηγοῦσαν αὐτὸν, καὶ χωρίζουσαν τῆς ἀπάτης.

Σὺ δὲ ἄνθρωπε τοῦ Θεοῦ, ἐστηριγμένος ἐν τῇ ἀληθείᾳ τῆς πίστεως, ἐξ αὐτῶν τῶν Σευήρου λόγων τοῦ πολεμίου τῆς ἐκκλησίας, ἐπιστόμιζε τοὺς μὴ βουλομένους ὁμολογεῖν καὶ μετὰ τὴν ἕνωσιν τὰς δύο φύσεις τοῦ Χριστοῦ, κακῶς δὲ ἐκλαμβάνοντας τὴν φωνὴν τῆς μιᾶς φύσεως τοῦ Θεοῦ λόγου σεσαρκωμένης, καὶ οὐ κατὰ τὸν μακάριον Κύριλλον, ὃς ἐχρήσατο τῇ φωνῇ ταύτῃ κατὰ τῆς σχετικῆς ἑνώσεως Νεστορίου. Οὐ γὰρ ἐπ' ἀναιρέσει τῶν δύο φύσεων, ὡς ληρῳδοῦσιν οἱ ψευδολόγοι καὶ φρεναπάται, ἐπὶ συστάσει δὲ μᾶλλον αὐτῶν καὶ τῆς κατ' οὐσίαν ἀσυγχύτου καὶ ἀτρέπτου καὶ ἀμερίστου ἑνώσεως αὐτῶν, ὡς μαρτυροῦσι τὰ συγγράμματα αὐτοῦ, μάλιστα δὲ ἡ πρὸς Εὐλόγιον τὸν ἀποκρισιάριον ἐπιστολὴ αὐτοῦ, καὶ ὁ προσφωνητικὸς αὐτοῦ, οὗ ἡ ἀρχὴ, ἐγὼ τὸ συγκεκραμένον οὐ καταδέχομαι.

ΤΕΛΟΣ.

XXXVII *

Digitized by Google

ΙΟΥΣΤΙΝΙΑΝΟΥ

ΤΟΥ ΓΕΝΟΜΕΝΟΥ ΗΜΩΝ ΒΑΣΙΛΕΩΣ

λόγον συντεθεικότος δογματικὸν ἔκ τε τῶν θείων γραφῶν καὶ τῶν ἁγίων πατέρων πρὸς τοὺς ἐν τῷ ἐνάτῳ τῆς Ἀλεξανδρέων μοναχούς. Ἀναγκαῖον ἡγησάμεθα τοῦτον δῆλον καταστῆσαι τῇ σῇ μακαριότητι· ἔχει δὲ οὕτως.

Πρώτην εἶναι σωτηρίαν ἅπασιν ἀνθρώποις ἡγούμεθα τὴν τῆς ὀρθῆς πίστεως ὁμολογίαν, μάλιστα τοῖς τὸν μονήρη βίον ἀνελομένοις· εἰ γὰρ τὸ σῶμα παιδεύειν σπουδάζουσι, πολλῷ μᾶλλον τὴν ψυχὴν εἰς τὴν περὶ Θεὸν πίστιν παιδαγωγεῖν ὀφείλουσι, δι' ἧς τῆς αἰωνίας ζωῆς ἀπολαύειν ἐλπίζομεν· τοῦ γὰρ τελειοτέρου τῆς πίστεως ἔργου μὴ συναρμοζομένου τῇ πράξει, λείπεται νεκρὰν εἶναι κατὰ τὸ γεγραμμένον τὴν χωρὶς πίστεως ἐργασίαν· οὐδεὶς γάρ, φησι, στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ· καὶ τὸ μὲν ἀρρωστῆσαι τῆς κοινῆς φύσεως ἐστὶ καὶ τῆς ἀσθενείας τῆς ἀνθρωπίνης, ἣ πάντων ἅπτεται καὶ τῶν λίαν ἰσχυρῶν τὴν διάνοιαν· τὸ δὲ θεραπευθῆναι, καὶ τὴν ὀρθὴν ἐπιγνῶναι πίστιν, καὶ τὴν τῆς ἐκκλησίας ἕνωσίν τε καὶ εἰρήνην ἀσπάσασθαι, τοῦ λογισμοῦ καὶ τῆς χάριτος· εἰρήνη γὰρ ὁ Θεὸς ἐστίν τε καὶ ὀνομάζεται· ὥστε Θεοῦ τοῦτο καὶ τῶν θείων ἐγγύς, ὅσοι τὸ τῆς πίστεως καὶ εἰρήνης ἀγαθὸν ἀσπαζόμενοι φαίνονται· ταῦτα δὲ φαμὲν πρὸς τὴν ὑμετέραν θεοφιλίαν, μεμαθηκότες ἐκ τῶν γραφέντων ἡμῖν παρὰ τοῦ μακαριωτάτου ἀρχιεπισκόπου τῆς Ἀλεξανδρέων καὶ πατριάρχου Ζωΐλου, ὅτε τὴν τῷ Θεῷ φίλην εἰρήνην ἀσπασάμενοι προσεδράμετε τῇ ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ, εὑρηκότες ὀρθὰ εἶναι τὰ ἐν αὐτῇ κηρυττόμενα δόγματα. δι' ὧν πᾶσα μὲν αἵρεσις ἀπελήλαται, κατακέκριται δὲ καὶ ἐκβέβληται ἥτε Παύλου καὶ Νεστορίου διαίρεσις, τῶν τοῖς τῆς ψυχῆς ὄμμασι τυφλωττόντων, καὶ κατὰ τὴν τῶν Ἰουδαίων μανίαν τὴν θεότητα τοῦ Χριστοῦ ἀπαρνουμένων· ὁμοίως δὲ κατακέκριται καὶ ἐκβέβληται ἡ Ἀπολιναρίου τε καὶ Εὐτυχοῦς συναίρεσις ἤγουν σύγχυσις τῶν ἀθετούντων τὴν τοῦ Χριστοῦ ἀληθινὴν ἀνθρωπότητα· ὅθεν προτρεπόμεθα τὴν ὑμετέραν θεοφιλίαν ἀξίους τῆς πίστεως λοιπὸν καρποὺς ἐπιδείξασθαι, καὶ τοὺς ἔτι τῇ πλάνῃ κρατουμένους ὁδηγῆσαι πρὸς τὴν ἀλήθειαν, καὶ προσαγαγεῖν τῇ ἁγίᾳ τοῦ Θεοῦ ἐκκλησίᾳ, ἧς τὸ ἀληθὲς καὶ σωτήριον κήρυγμα προϊόντες ἀποδείξομεν διά τε τῶν θείων γραφῶν καὶ τῶν πατρικῶν παραδόσεων, καὶ τὴν τῶν εἰρημένων ἀσεβῶν αἱρετικῶν κακόνοιαν διελέγξομεν.

Digitized by Google

Κηρύττει γὰρ ἡ ἁγία τοῦ Θεοῦ ἐκκλησία μονάδα ἐν τριάδι καὶ τριάδα ἐν μονάδι· εἷς γὰρ Θεὸς ὁ πατὴρ, ἐξ οὗ τὰ πάντα· καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς δι' οὗ τὰ πάντα· καὶ ἓν πνεῦμα ἅγιον ἐν ᾧ τὰ πάντα· τὸ ἐξ οὗ καὶ δι' οὗ καὶ ἐν ᾧ· μὴ φύσεσι τεμνόντων ἀλλὰ χαρακτηριζόντων μιᾶς καὶ ἀσυγχύτου φύσεως ἰδιότητας· μίαν γὰρ οὐσίαν ἐν τρισὶν ὑποστάσεσι προσκυνοῦμεν, ἐν ἑκάστῃ ὑποστάσει τὴν αὐτὴν ἐπιθεωροῦντες οὐσίαν· καὶ ἑκάστην μὲν τῶν ὑποστάσεων μοναχῶς ἐξαγγέλλομεν· ἐπειδὰν δὲ συναριθμῆσαι δέῃ, οὐχὶ ἀπαιδεύτῳ ἀριθμήσει πρὸς πολυθείας ἔννοιαν ἐκφερόμεθα· οὐδὲ γὰρ κατὰ σύνθεσιν ἀριθμοῦμεν ἀφ' ἑνὸς εἰς πλῆθος ποιούμενοι τὴν παραύξησιν, ἀλλὰ τὸ ἰδιάζον τῶν ὑποστάσεων ὁμολογοῦντες μένομεν ἐπὶ τῆς μοναρχίας, εἰς πλῆθος ἀπεσχισμένον τὴν θεολογίαν μὴ σκεδαννύντες. διατομίαν ἐν πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι, τὴν οἱονεὶ μορφὴν θεωρεῖσθαι, τῷ ἀπαραλλάκτῳ τῆς φύσεως ἐνιζομένην· καὶ θεὸν οὖν ἕκαστον ὁμολογοῦμεν, ἂν θεωρῆται, μόνον τοῦ νοῦ χωρίζοντος τὰ ἀχώριστα, καὶ θεὸν τὰ τρία μετ' ἀλλήλων νοοῦμεν, τῇ ταυτῷ τῆς κινήσεως καὶ τῆς φύσεως· τριὰς οὖν ὡς ἀληθῶς ἡ τριάς· τρία δὲ οὐ πραγμάτων ἀνίσων ἀπαρίθμησις, ἀλλ' ἴσων καὶ ὁμοτίμων σύλληψις, ἑνούσης τῆς προσηγορίας τὰ ἡνωμένα ἐκ φύσεως, καὶ οὐκ ἐώσης σκεδασθῆναι ἀριθμῷ λελυμένῳ τὰ μὴ λυόμενα.

Ὁμολογοῦμεν δὲ ὅτι ὁ μονογενὴς υἱὸς καὶ λόγος τοῦ θεοῦ, ὁ σὺν πατρὶ καὶ ἁγίῳ πνεύματι δοξαζόμενός τε καὶ προσκυνούμενος, ὁ γεννηθεὶς ἐκ τοῦ πατρὸς ἀχρόνως καὶ ἀσωμάτως, τὸ ἐκ τοῦ φωτὸς φῶς, ἡ πηγὴ τῆς ζωῆς καὶ τῆς ἀθανασίας, τὸ ἐκμαγεῖον τοῦ ἀρχετύπου, ἡ μὴ κινουμένη σφραγὶς, ἡ ἀπαράλλακτος εἰκὼν, ὁ τοῦ πατρὸς ὅρος καὶ λόγος, οὐ παρεῖδεν τὸν ἄνθρωπον φθόνῳ διαβόλου καὶ πικρᾷ γεύσει τῆς ἁμαρτίας, θεοῦ τοῦ πεποιηκότος ἐλεεινῶς χωριζόμενον· ἀλλὰ τὴν ἡμετέραν ἐργαζόμενος σωτηρίαν, ἐπὶ τὴν ἰδίαν εἰκόνα χωρεῖ, καὶ σαρκοῦται διὰ τὴν ἐμὴν σάρκα, καὶ ψυχῇ νοερᾷ διὰ τὴν ἐμὴν ψυχὴν μίγνυται, τῷ ὁμοίῳ τὸ ὅμοιον ἀνακαθαίρων, καὶ πάντα γίνεται πλὴν τῆς ἁμαρτίας ἄνθρωπος· καὶ ὁ ἐπιβεβηκὼς ἐπὶ τὸν οὐρανὸν τοῦ οὐρανοῦ κατ' ἀνατολὰς τῆς ἰδίας δόξης, ἐπὶ δυσμῶν τῆς ἡμετέρας ἀσθενείας δοξάζεται· τὴν γὰρ θείαν καὶ ὑπερέχουσαν δύναμιν, οὐκ οὐρανῶν μεγέθη καὶ φωστήρων αὐγαὶ, καὶ ἡ τοῦ παντὸς διακόσμησις, καὶ ἡ διηνεκὴς τῶν ὄντων οἰκονομία, τοσοῦτον ὅσον ἡ ἐπὶ τὸ ἀσθενὲς τῆς φύσεως ἡμῶν συγκατάβασις δείκνυσι, πῶς τὸ ὑψηλὸν ἐν τῷ ταπεινῷ γενόμενον, καὶ ἐν τῷ ταπεινῷ καθορᾶται, καὶ οὐ καταβαίνει τοῦ ὕψους· θεότης γὰρ ἀνθρωπίνῃ συμπλακεῖσα φύσει, καὶ τοῦτο γίνεται κἀκεῖνό ἐστιν· διὸ τέλειον θεὸν καὶ τέλειον ἄνθρωπον τὸν αὐτὸν ὁμολογοῦμεν ὑπὲρ ὅλου τοῦ πεπονθότος, ἵνα ὅλῳ μοι τὴν σωτηρίαν χαρίσηται, ὅλον τὸ κατάκριμα λύσας τῆς ἁμαρτίας· κενοῦται γὰρ ὁ πλήρης, κενοῦται δὲ τῆς ἑαυτοῦ δόξης ἐπὶ μικρὸν, ἵνα ἐγὼ μεταλάβω τῆς ἐκείνου πληρότητος· καὶ ὁ πλουτίζων πτωχεύει· πῶς ἢ

πτωχεύει πλούσιος ὤν, λέγει ὁ ἐν ἁγίοις Ἀθανάσιος ἐν τῷ περὶ τῆς σωτηριώδους ἐπιφανείας λόγῳ· "ὅτι τὴν πτωχεύσασαν φύσιν ἐν ἑαυτῷ ἀνελάβετο, ἐν ἰδίᾳ δικαιοσύνῃ, ταύτην προβαλόμενος ὑπὲρ ἀνθρώπων πάσχουσαν, καὶ ἐξ ἀνθρώπων οὖσαν, καὶ ὑπὲρ ἀνθρώπους φανερωθεῖσαν, τοῦ Θεοῦ ὅλην γενομένην, ἵνα καὶ ἄνθρωπος ᾖ ὁ Θεὸς ἀληθῶς, καὶ Θεὸς ἄνθρωπος ἀληθῶς· Θεοῦ τοῦ μονογενοῦς εὐδοκήσαντος, τῷ πληρώματι τῆς θεότητος αὐτοῦ τὴν τοῦ ἀρχετύπου πλάσιν ἀνθρώπου καὶ ποίησιν καινὴν, ἐκ μήτρας παρθένου ἀναστήσασθαι ἑαυτῷ φυσικῇ γεννήσει καὶ ἀλύτῳ ἑνώσει".

Τούτοις οὖν ἀκολουθοῦντες, τὰ αὐτοῦ τὰ θαύματα καὶ τὰ πάθη ἅπερ ἑκουσίως ὑπέμεινε σαρκὶ γινώσκομεν· οὔτε γὰρ τετάρτου προσώπου προσθήκην ἐπιδέχεται ἡ ἁγία τριὰς, τοῦ ἑνὸς τῆς τριάδος θεοῦ λόγου σαρκωθέντος καὶ ἐνανθρωπήσαντος· καὶ οὐκ ἄλλον τὸν θεὸν λόγον καὶ ἄλλον τὸν Χριστὸν ἐπιστάμεθα, ἀλλ' ἕνα καὶ τὸν αὐτὸν θεὸν λόγον κύριον Ἰησοῦν Χριστὸν ὁμολογοῦμεν· καὶ εἰ δεῖ συντόμως εἰπεῖν, ἄλλο μὲν καὶ ἄλλο τὰ ἐξ ὧν ὁ σωτὴρ, εἴπερ μὴ ταυτὸν τὸ ὁρατὸν τῷ ἀοράτῳ, καὶ τὸ ἄχρονον τῷ ὑπὸ χρόνον· οὐκ ἄλλος δὲ καὶ ἄλλος, μὴ γένοιτο· εἷς γὰρ ἐξ ἀμφοῖν, καὶ δι' ἑνὸς ἀμφότερα· ὅθεν ἐπὶ τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἄλλο καὶ ἄλλο ἐφ' ἑνὸς καὶ τοῦ αὐτοῦ λέγοντες, οὐ δύο υἱοὺς ἢ δύο ὑποστάσεις ἢ δύο πρόσωπα εἰσάγομεν, ἀλλ' ἐξ ὧν ἐστιν ἐν αὐτοῖς αὐτὸν εἶναι γνωρίζομεν· οὕτω γὰρ καὶ τὸ διάφορον τῆς θεότητος αὐτοῦ καὶ τῆς σαρκὸς παριστῶμεν, ἀναιροῦντες τὴν Εὐτυχοῦς συνουσίωσιν, καὶ μίαν αὐτοῦ τὴν ὑπόστασιν ὁμολογοῦμεν βδελυττόμενοι τὴν Νεστορίου διαίρεσιν· τοῦτο γὰρ καὶ ὁ ἐν ἁγίοις λέγει Κύριλλος ἐν τῷ τρίτῳ τόμῳ τῶν πρὸς Νεστόριον. "Οὐ γὰρ ὅτι γέγονεν καθ' ἡμᾶς, τὸ εἶναι Θεὸς ἀπολέσει ποτέ· οὔτε μὴν ὅτι Θεὸς κατὰ φύσιν ἐστὶν, τὴν πρὸς ἡμᾶς ὁμοίωσιν ἀπαράδεκτον ἔχει, καὶ τὸ ἄνθρωπος εἶναι παραιτήσεται· μεμένηκεν δὲ ὥσπερ ἐν ἀνθρωπότητι Θεὸς· οὕτω καὶ ἐν φύσει τε καὶ ὑπεροχῇ θεότητος ὢν οὐδὲν ἧττόν ἐστιν· ἄμφω δὴ οὖν ἐν ταυτῷ· καὶ εἷς Θεός τε ὁμοῦ καὶ ἄνθρωπος ὁ Ἐμμανουήλ".

Δεῖ κἀνταῦθα τοῖς παρὰ τοῦ πατρὸς εἰρημένοις ἐπισκέψαι· τὴν γὰρ ΕΝ πρόθεσιν ἐπὶ τῶν δύο φύσεων τῆς θείας τε καὶ ἀνθρωπίνης, ἐν αἷς εἷς ὁ Χριστὸς γνωρίζεται, ὁμολογεῖν ἡμᾶς ἐκδιδάσκει· ἣν πρόθεσιν οἱ αἱρετικοὶ ἀρνοῦνται ἐπὶ τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ ἁρμόζειν, διαίρεσιν δῆθεν προφασιζόμενοι διὰ ταύτης γίνεσθαι· ἀγνοοῦντες ὅτι αὕτη ἡ πρόθεσις τὴν ἕνωσιν ἀσύγχυτον καὶ ἀδιαίρετον φυλάττει· ὅθεν καὶ ἡ θεία γραφὴ τῇ τοιαύτῃ κέχρηται προθέσει ἐπὶ τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ μεγάλου Θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ. Λέγει γοῦν ὁ θεσπέσιος ἀπόστολος Παῦλος· "τοῦτο φρονείσθω ἐν ὑμῖν ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσεν μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς

ἄνθρωπος”. Εἰπὼν δὲ ὁ ἀπόστολος ἐν μορφῇ Θεοῦ ὑπάρχειν τὸν μονογενῆ υἱὸν τοῦ Θεοῦ, καὶ ἐπαγαγὼν μορφὴν δούλου λαβόντα αὐτὸν ἐν ὁμοιώματι γενέσθαι ἀνθρώπων, καὶ σχήματι εὑρεθῆναι ὡς ἄνθρωπον, οὐδὲν ἕτερον ἡμᾶς ἐκδιδάσκει ἢ τὸ ἐν ἑκατέρᾳ μορφῇ τὸν κύριον εἶναι, τουτέστιν ἐν θεότητι καὶ ἀνθρωπότητι. Ἀμέλει τοι καὶ ὁ ἐν ἁγίοις Κύριλλος τοῦτο τὸ ῥητὸν ἑρμηνεύων ἐν τῷ πρὸς Θεοδόσιον λόγῳ γράφει τάδε. “Ὁ συναΐδιος τῷ ἑαυτοῦ πατρὶ Θεὸς λόγος μορφὴν δούλου λαβὼν ἐστὶν ὥσπερ ἐν θεότητι τέλειος, οὕτω καὶ ἐν ἀνθρωπότητι τέλειος, οὐκ ἐκ μόνης θεότητος καὶ σαρκὸς εἰς ἕνα Χριστὸν καὶ κύριον καὶ υἱὸν συγκείμενος, ἀλλ' ἐκ δυοῖν τελείοιν, ἀνθρωπότητος λέγω δὴ καὶ θεότητος, εἰς ἕνα καὶ τὸν αὐτὸν παραδόξως συνδούμενος”. Ἰδοὺ δὲ σαφῶς πάλιν ὁ πατὴρ ἐν θεότητι καὶ ἀνθρωπότητι τὸν Χριστὸν ὑπάρχειν ὁμολογεῖ· ὥσπερ δὲ τὸ ἐκ θεότητος καὶ ἀνθρωπότητος ἐκ δύο φύσεων σημαίνει, οὕτω καὶ τὸ ἐν θεότητι καὶ ἀνθρωπότητι, ἐν δύο φύσεσιν εἶναί τε καὶ γνωρίζεσθαι τὸν Χριστὸν δηλοῖ. Ὅτι δὲ τὸ ἔκ τινων συνεστάναι λεγόμενον, ἐὰν μὴ ἐν αὐτοῖς γνωρίζηται ἐξ ὧν καὶ συνέστη, σύγχυσιν καὶ ἀφανισμὸν τῶν συνελθόντων ποιεῖ πραγμάτων, σαφὲς καθέστηκεν ἐξ ὧν πάλιν ὁ αὐτὸς ἐν ἁγίοις Κύριλλος κατὰ τῶν συνουσιαστῶν λέγει τάδε. “Εἰ δὲ ὡς ἐν τάξει ὑγρῶν ἀναμεμίχθαι φασὶν ἀλλήλοις σάρκα τε καὶ λόγον, πῶς ἠγνόησαν ὅτι τὰ ἀλλήλοις ἀνακιρνάμενα τῶν ὑγρῶν, οἶνος φέρε εἰπεῖν καὶ μέλι ὃ μὲν ἦσαν, εἰσὶ καθαρῶς οὐκέτι, προσλήψει δὲ μᾶλλον τῆς ἑτεροειδοῦς ποιότητος, εἰς ἕτερόν τι μεθίσταται· οὐκοῦν εἰ συγκεκρᾶσθαι φασὶ τῷ λόγῳ τὴν σάρκα, πᾶσα πως ἀνάγκη λέγειν ἑκάτερον τῶν ὠνομασμένων, ἀποστῆναι μὲν τοῦ εἶναι ὃ ἦν, ἓν δέ τι τὸ ἐξ ἀμφοῖν ἀποτελέσαι μέσον ἑτεροφυές που πάντως, ἢ ὅπερ ἦν ἑκάτερον ἀνὰ μέρος”.

Ἀποδεδειγμένου τοίνυν ὅτι ἐπὶ τῶν μὴ σωζομένων μετὰ τὴν σύνθεσιν σύγχυσις γίνεται, δῆλον ὅτι, ἐφ' ὧν μὴ σύγχυσις μηδὲ ἀφανισμὸς τῶν συνελθόντων πραγμάτων ἐστὶν τὸ ἔκ τινος πιστευθὲν· καὶ ἐν αὐτοῖς γνωρίζεται· καὶ πρόδηλον ὅτι οἱ ἐκ δύο φύσεων, τουτέστιν ἐκ θεότητος καὶ ἀνθρωπότητος ἀποτελεσθῆναι τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ὁμολογοῦντες, καὶ μὴ σύγχυσιν ἐν αὐτῷ γεγενῆσθαι λέγοντες τῶν συνελθουσῶν οὐσιῶν, ἀνάγκην ἔχουσι καὶ ἐν αὐταῖς ταῖς δύο φύσεσιν αὐτὸν ὁμολογεῖν γνωρίζεσθαι· ἐξ ὧν καὶ συνετέθη ὅπερ ἐστὶν ἐν θεότητι καὶ ἀνθρωπότητι· οὕτω γὰρ οὔτε ἡ διαφορὰ τῶν ἐν Χριστῷ φύσεων ἀναιρεῖται, καὶ ἡ τούτων ἕνωσις ἀδιάσπαστος φυλάττεται· ἐπεὶ τίνων λέγουσι διαφορὰν, ἐὰν μὴ τὰ Χριστὸν ἀποτελέσαντα, ἐν αὐτῷ φυλάττεσθαι δώσωσι; Καί τοι τοῦ ἐν ἁγίοις Κυρίλλου ἐν τῷ εἰκοστῷ τετάρτῳ λόγῳ τοῦ Θησαυροῦ γράφοντος “ταῦτα λαλεῖ ὡς ἄνθρωπος, λαλεῖ δὲ καὶ ὡς Θεὸς, ἔχων ἐν ἀμφοτέροις τὴν ἐξουσίαν· ἀνθρωπίνως μὲν γὰρ ἔλεγεν, νῦν ἡ ψυχή μου τετάρακται· θεϊκῶς δὲ πάλιν, ἐξουσίαν ἔχω θεῖναι αὐτὴν, καὶ πάλιν ἐξουσίαν ἔχω λαβεῖν

„ αὐτήν· τὸ οὖν ταράττεσθαι, τῆς σαρκὸς ἴδιον πάθος· τὸ δὲ ἐξουσίαν ἔχειν „ θεῖναί τε καὶ πάλιν λαβεῖν τὴν ψυχὴν, τῆς τοῦ λόγου δυνάμεως ἔργον ἐστίν „. Καὶ πάλιν ὁ αὐτὸς ἐν ἁγίοις Κύριλλος ἐν τῷ ὑπομνήματι τῷ κατὰ Ἰωάννην εὐαγγελίου, ἐν τῷ ἑκτῷ λόγῳ τοῦ δευτέρου βιβλίου λέγει· “ ὡς γὰρ ἤδη τὴν „ τοῦ δούλου μορφὴν περικείμενος ἄνθρωπος γενόμενος, διὰ τὸ ἑνωθῆναι „ σαρκὶ, οὐκ ἐλευθέραν οὐδὲ ἀνειμένην παντελῶς εἰς θεοπρεπῆ παῤῥησίαν „ ἐποιεῖτο τὴν διάλεξιν· ἐχρῆτο δὲ μᾶλλον τοιαύτῃ δι᾽ οἰκονομίαν ἔσθ᾽ ὅτε, „ ἥπερ ἂν πρέποι θεῷ τε ὁμοῦ καὶ ἀνθρώπῳ· καὶ γὰρ ἦν ὄντως κατὰ ταυτὸν „ ἀμφότερα „. Ἀμφότερα δὲ λέγων ὁ πατὴρ κατὰ ταυτὸν εἶναι τὸν Χριστὸν, καὶ ἐν ἀμφοτέροις ἔχειν τὴν ἐξουσίαν, οὐδὲν ἕτερον ἢ ἐν δυσὶ φύσεσιν αὐτὸν ὑπάρχειν τε καὶ γνωρίζεσθαι δηλοῖ· τὰ γὰρ θεὸς καὶ ἄνθρωπος ἐπὶ τοῦ Χριστοῦ λεγόμενα, οὐσιῶν ἐστὶ σημαντικά.

Καὶ ὅμως οἱ τῆς ἀληθείας ἐχθροὶ πάσας τῶν πατέρων ὑπερβαίνοντες τὰς διδασκαλίας, καὶ μάλιστα τὰς ἐπὶ τῇ κατακρίσει Νεστορίου τοῦ βλασφήμου παρὰ τοῦ ἐν ἁγίοις Κυρίλλου προενηνεγμένας, καὶ συνοδικῶς βεβαιωθείσας, μόνων τῶν πρὸς Σούκενσον ὑπομνηστικῶν τοῦ ἐν ἁγίοις Κυρίλλου τινὰ πρὸς τὸ δοκοῦν αὐτοῖς παρερμηνεύουσι, τουτέστι τὸ μίαν φύσιν τοῦ θεοῦ λόγου σεσαρκωμένην, καὶ τὸ κατὰ τὸν ἄνθρωπον ὑπόδειγμα, καὶ ὅπερ πᾶσιν εἴθισται τοῖς αἱρετικοῖς τὸ ῥήματά τινα τῶν ἁγίων γραφῶν πρὸς τὴν οἰκείαν ἑρμηνεύειν πλάνην, τοῦτο καὶ αὐτοὶ ποιοῦσι· πλὴν ἡμεῖς ἐξ αὐτῶν τῶν παρὰ τοῦ πατρὸς εἰρημένων, ματαίαν αὐτῶν καὶ τὴν περὶ ταῦτα πλάνην ἀποδείξομεν· τὰ γὰρ ἔμπροσθεν τῶν τοιούτων φωνῶν παρατρέχοντες, καὶ τὰ ἐφεξῆς ἀποτεμνόμενοι, σπουδάζουσι τὴν οἰκείαν συνιστᾶν πλάνην· εἰρηκότος γὰρ τοῦ πατρὸς ὅτι “ μετὰ τὴν ἕνωσιν οὐ διαιροῦμεν τὰς φύσεις ἀπ᾽ ἀλλήλων, οὐ„ δὲ εἰς δύο τέμνομεν υἱοὺς τὸν ἕνα καὶ ἀμέριστον, ἀλλ᾽ ἕνα φαμὲν υἱὸν „· καὶ δείξαντες ὅτι μετὰ τὴν ἕνωσιν οὐ χρὴ διαιρεῖν τὰς φύσεις, ἀλλ᾽ ἡνωμένας αὐτὰς ἐν Χριστῷ ὁμολογεῖν, αὐτοὶ ταῦτα παρασιωπῶντες, μίαν ἀναπλάττουσι σαρκὸς καὶ θεότητος φύσιν· ὁ μέντοι ἐν ἁγίοις πατὴρ, οὐχ ὡς αὐτοὶ φαντάζονται μίαν σαρκὸς καὶ θεότητος λέγει φύσιν, ἀλλ᾽ ὡς ἀσάρκου τοῦ λόγου μίαν εἰπὼν τὴν φύσιν. οὐκ ἔστη μέχρι τούτου, ἀλλὰ προσέθηκεν τὸ σεσαρκωμένην, ἵνα διὰ τοῦ σεσαρκωμένην, τὴν ἑτέραν ἡμῖν τουτέστι τὴν ἀνθρωπίνην παραστήσῃ φύσιν· ἀμέλει μὴ ἀρκεσθεὶς τῇ τοιαύτῃ λέξει. ἀλλὰ σαφέστερον τὴν ἑαυτοῦ διάνοιαν παραστῆσαι βουλόμενος, ἐπήγαγεν εὐθὺς ἃ πάλιν αὐτοὶ παραλιμπάνουσιν· “ οὐκοῦν ὅσον μὲν ἧκεν εἰς ἔννοιαν καὶ εἰς μόνον τὸ ὁρᾶν τοῖς τῆς ψυχῆς „ ὄμμασι, τίνα τρόπον ἐνηνθρώπησεν ὁ μονογενὴς, δύο τὰς φύσεις εἶναί φα„ μὲν, ἕνα δὲ Χριστὸν καὶ υἱὸν καὶ κύριον τὸν τοῦ θεοῦ λόγον ἐνανθρωπήσαντα καὶ „ σεσαρκωμένον „. Τί τούτων ἐστὶ σαφέστερον; ἢ τίς λοιπὸν τοῖς εὖ φρονοῦσιν ἀμφισβήτησις ὑπολείπεται περὶ τὴν ὁμολογίαν τῶν ἐν Χριστῷ δύο φύσεων,

τοιαῦτα τοῦ πατρὸς ἡμῖν παραδεδωκότος; Ἀλλ᾽ ἐκεῖνοι διὰ πάντων τὰ ὀρθὰ διαστρέφειν σπουδάζοντες, καὶ τοῦτο ταῖς οἰκείαις προστιθέασι ματαιολογίαις, λέγοντες μὴ δεῖν ὁμολογεῖσθαι στόματι τὰ κατὰ τὴν ἔννοιαν καὶ τοῖς τῆς ψυχῆς ὄμμασι θεωρούμενα· τῆς δὲ τοιαύτης αὐτῶν κακουργίας οὐδέν ἐστιν ἀλογώτερον· κατὰ γὰρ τὴν αὐτῶν μανίαν, οὐδὲν θεὸν στόματι ὁμολογήσουσιν, ἐπειδὴ κατὰ μόνην ἔννοιαν, καὶ τοῖς τῆς ψυχῆς ὄμμασιν αὐτὸν ἐπιστάμεθα· ὅπου γε καὶ αὐτὸς ὁ πατὴρ, ἅπερ τοῖς τῆς ψυχῆς ὄμμασιν ἐθεώρησεν, ταῦτα καὶ εἶπεν καὶ ἐγγράφως ἐξέθετο· οὐδὲ γὰρ ἄλλως ἐπιστάμεθα τὰ ἐκείνῳ θεωρηθέντα, εἰ μὴ διὰ τῶν αὐτοῦ λόγων τε καὶ γραμμάτων· εἰ δὲ κατὰ τὴν τῶν αἱρετικῶν ἄνοιαν τὰ μόνῳ τῷ νῷ θεωρούμενα ὁμολογεῖν οὐ προσήκει, πῶς ὁμολογήσουσι τὸ ἐξαίρετον τῆς θεότητος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τῆς μὲν σαρκώσεως αὐτοῦ φαινομένης, τῆς δὲ θεότητος αὐτοῦ μόνῳ τῷ νῷ θεωρουμένης; εἰ μέν τοι κατὰ τὸν θεῖον ἀπόστολον, καρδίᾳ μὲν πιστεύεται εἰς δικαιοσύνην. στόματι δὲ ὁμολογεῖται εἰς σωτηρίαν, πρόδηλον ὅτι τὰ τῷ θεωρούμενα. καὶ στόματι ὁμολογεῖται· καθ᾽ ἃ γὰρ ὁ θεολόγος λέγει Γρηγόριος “ κίνημα ναρκώντων ἐστὶ νοῦς ἀνεκλάλη„ τος· αἰσχρὸν γὰρ, αἰσχρὸν καὶ ἱκανῶς ἄλογον κατὰ ψυχὴν ἐῤῥωμένους σμι„ κρολογεῖσθαι περὶ τὸν ἦχον, καὶ κρύπτειν τὸν θησαυρὸν, ὥσπερ ἄλλοις ἐκ„ σκαίνοντας, εἰ μὴ καὶ τὴν γλῶσσαν ἁγιάσητε δεδοικότες. „

Τούτων τοίνυν οὕτως ἐχόντων, χρὴ πάντας ἀνθρώπους τὸ μέγα τῆς εὐσεβείας προσδεχομένους μυστήριον τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ στόματι ὁμολογεῖν τὰς δύο φύσεις τοῦ Χριστοῦ, τήν τε θείαν καὶ τὴν ἀνθρωπίνην· καὶ ἐν τῷ δευτέρῳ γὰρ πρὸς τὸν αὐτὸν Σούκεσσον ὑπομνηματικῷ ὁ ἐν ἁγίοις Κύριλλος, ἅμα μὲν τὴν ἐκείνου περὶ τὴν ἐνανθρώπησιν ὀρθόδοξον ἀποδεχόμενος πίστιν, ἅμα δὲ τὴν οἰκείαν γνώμην σαφέστερον ἀποδεικνὺς, ταῦτα παραδίδωσι λέγων· “ ὀρθότατα καὶ πάνυ συνετῶς ἡ σὴ τελει„ ότης τὸν περὶ τοῦ σωτηρίου πάθους ἐκτίθεται λόγον, οὐκ αὐτὸν μονογενῆ „ τοῦ θεοῦ υἱὸν καθ᾽ ὃ νοεῖται καὶ ἔστι θεὸς παθεῖν εἰς ἰδίαν φύσιν τὰ σώ„ ματος ἰσχυριζομένη, παθεῖν δὲ μᾶλλον τῇ χοϊκῇ φύσει· ἔδει γὰρ ἀναγ„ καίως ἀμφότερα σώζεσθαι τῷ ἑνὶ καὶ κατ᾽ ἀλήθειαν υἱῷ, καὶ τὸ μὴ πάσ„ χειν θεϊκῶς, καὶ τὸ λέγεσθαι παθεῖν ἀνθρωπίνως· ἡ αὐτοῦ γὰρ πέπονθε „ σάρξ. „ Δῆλον τοίνυν ἐκ τῶν εἰρημένων, ὅτι αἱ δύο φύσεις τουτέστιν ἡ θεία τε καὶ ἀνθρωπίνη, ἐν τῇ μιᾷ ὑποστάσει, ὅπερ ἐστὶν ἐν τῷ ἑνὶ προσώπῳ τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ σώζονται· λέγει γὰρ, δεῖν ἀμφότερα σώζεσθαι τῷ ἑνὶ καὶ κατ᾽ ἀλήθειαν υἱῷ· προσκείμενον δὲ τὸ δεῖν τὴν ἀναντίῤῥητον αὐτοῦ περὶ τοῦ δόγματος ἡμῖν σαφηνίζειν γνῶσιν· καὶ τὸ ἀμφότερα δὲ οὐ μιᾶς ἐστι φύσεως σημαντικὸν, ἀλλὰ δύο· καθάπερ γὰρ ὁ αὐτὸς πατὴρ διδάσκει τὸ μὴ παθεῖν αὐτὸν τῇ θείᾳ φύσει, ἀλλὰ παθεῖν τῇ χοϊκῇ φύσει, οὐκ ἄν τις οὕτω μανείη, ὡς μιᾶς εἶναι φύσεως ὑπολαβεῖν· μιᾶς μὲν

γὰρ καὶ τῆς αὐτῆς ὑποστάσεως τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τὸ πάθος καὶ τὴν ἀπάθειαν ὁμολογεῖν ἐδιδάχθημεν, οὐ μὴν κατὰ τὴν αὐτὴν φύσιν· ἐπὶ μιᾶς γὰρ καὶ τῆς αὐτῆς φύσεως τὰ ἀλλήλοις ἐναντία κατὰ ταυτὸ σημαίνειν ἀδύνατον.

Ἀλλ' οἱ τῆς ἀληθείας ἐχθροὶ καὶ τοῖς τῶν πατέρων ἐναντιούμενοι δόγμασι, ταῦτα μὴ διακρίνοντες, εἰς ἑτέραν πάλιν μεταπίπτουσιν ἄνοιαν, λέγοντες ὅτι οἱ Θεὸν καὶ ἄνθρωπον ὁμολογοῦντες τὸν Χριστὸν καὶ μὴ λέγοντες αὐτὸν μιᾶς εἶναι φύσεως, ὥσπερ τὸν ἄνθρωπον, οὐ δύο μόνον ἐπὶ Χριστοῦ λέγειν ὤφειλον φύσεις ἀλλὰ τρεῖς· ἑτέρα γὰρ ἡ τοῦ λόγου, καὶ ἑτέρα ἡ τῆς ψυχῆς, καὶ ἄλλη τοῦ σώματος ἡ φύσις· ταῦτα δὲ λέγοντες οἱ καινοὶ τῶν κακῶν ἐφευρεταὶ, εἰπάτωσαν αὐτοὶ συνομολογοῦντες ἡμῖν, ἐκ δύο φύσεων εἶναι τὸν Χριστὸν, πῶς τοῦτο νοοῦσιν; ἆρα ὡς ψυχὴν ἐκτὸς σώματος ἀνειληφότα, ἢ σῶμα χωρὶς ψυχῆς; ἓν γὰρ τῶν ἀτόπων πάντως παρέξουσιν· εἰ δὲ ταύτην τὴν ἀτοπίαν ἐκκλίνοντες, καὶ ψυχὴν καὶ σῶμα λέγουσιν ἀνειληφέναι τὸν κύριον. αὐτοὶ ταῖς οἰκείαις παγίσιν ἐμπλεκόμενοι, φανήσονται ἐκ τριῶν φύσεων λέγειν τὸν Χριστὸν ἀναγκαζόμενοι· ἀγνοοῦσι δὲ ὅτι τὸ ἄνθρωπος ὄνομα ἄνευ μὲν τῶν ἰδιωμάτων λεγόμενον. ἐπὶ κοινοῦ σημαινομένου λαμβάνεται. καὶ οὐσίας ἤτοι φύσεως ἐστὶ σημαντικὸν. καὶ κατὰ πολλῶν ὑποστάσεων λέγεται· ἐπειδὰν δὲ τῷ κοινῷ τὰ ἰδιώματα προστεθῇ, τηνικαῦτα ἡ ὑπόστασις ἀναφαίνεται· ὅτι καὶ διαφορὰ ψυχῆς καὶ σώματος γνωρίζεται· ἀμφότερα γὰρ ἡμᾶς λέγειν καὶ ἡ ἀποστολικὴ διδάσκει παράδοσις· ὁ μὲν γὰρ θεῖος Παῦλος περὶ τῶν καθ' ἕκαστον λέγων, καὶ ψυχὴν καὶ σῶμα θέλων σημᾶναι, τὸν ἐντὸς ἄνθρωπον καὶ τὸν ἐκτὸς ἄνθρωπον ὀνομάζει· ὁ δὲ Ἰάκωβος τὴν κοινὴν οὐσίαν τῆς ἀνθρωπότητος δηλῶν λέγει· "πᾶσα φύσις θηρίων τε καὶ πετεινῶν ἑρπετῶν τε καὶ ἐναλίων δαμάζεται καὶ δεδάμασται τῇ φύσει τῇ ἀνθρωπίνῃ." Τὸ μέντοι Χριστὸς ὄνομα οὐκ οὐσίας ἐστὶ σημαντικὸν, ἐπειδὴ οὔτε ἐπὶ κοινοῦ σημαινομένου λαμβάνεται. οὔτε κατὰ πολλῶν ὑποστάσεων λέγεται· οὔτε μὴν ἄνευ τῶν ἰδιωμάτων ὁμολογεῖται· τοῦτο γὰρ ἡμᾶς καὶ ὁ ἐν ἁγίοις διδάσκει Κύριλλος ἐν τοῖς σχολίοις αὐτοῦ τοῖς περὶ τῆς ἐνανθρωπήσεως λέγων, ὅτι "τὸ Χριστὸς ὄνομα οὔτε ὅρου δύναμιν ἔχει, οὔτε μὴν τὴν τινὸς οὐσίαν ὅτι ποτέ ἐστιν σημαίνει· καθάπερ ἀμέλει ἄνθρωπος ἢ ἵππος ἢ βοῦς." Εἰ δὲ κατὰ τὴν τῶν αἱρετικῶν βλασφημίαν οὐσίας ὑπῆρχεν δηλωτικὸν τὸ Χριστὸς ὄνομα ὥσπερ τὸ ἄνθρωπος, πολλοὶ Χριστοὶ κατ' αὐτοὺς εὑρεθήσονται. καθ' ὧν τὸ κοινὸν τῆς οὐσίας τοῦ Χριστοῦ λέγουσιν· εἰ δὲ τοῦτο ἀσεβὲς καὶ ἀλλότριον παντελῶς χριστιανισμοῦ, εἷς γὰρ κύριος Ἰησοῦς Χριστὸς, δηλονότι οὐκ ἐπὶ προσώπου ἤτοι ὑποστάσεως τὸ Χριστὸς ὁμολογεῖται.

Σκοπήσωμεν δὲ καὶ ἄλλως ἣν ἔχει διαφορὰν τὸ τῆς οἰκονομίας μυστήριον πρὸς τὸ κατὰ τὸν ἄνθρωπον ὑπόδειγμα· ὁ μὲν γὰρ ἄνθρωπος ἐκ ψυχῆς καὶ σώματος σύγκειται, ἀμφοτέρων κτιστῶν· ὁ δὲ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς Θεὸς καὶ ἄνθρωπος ὁ αὐτὸς ὑπάρχων, κατὰ μὲν τὴν θεότητα ἐστὶ προαιώνιος καὶ ἄκτιστός ἐσ-

τιν, κατὰ δὲ τὴν ἀνθρωπότητα καὶ κτιστὸς καὶ ἐν χρόνῳ· ὅθεν ἄκτιστος ὁ αὐτὸς καὶ κτιστὸς. ἄχρονος καὶ ἐν χρόνῳ· καὶ διὰ τοῦτο ἡμεῖς πάντα ἑνὸς καὶ τοῦ αὐτοῦ ὁμολογοῦντες, τὰ μὲν τῇ θείᾳ, τὰ δὲ τῇ ἀνθρωπίνῃ αὐτοῦ λογιζόμεθα φύσει. Ἀκούσωμεν γὰρ καὶ τοῦ ἐν ἁγίοις Πρόκλου ἐν τῷ εἰς τὴν θεοτόκον λόγῳ τὰ παραπλήσια τούτοις ἡμᾶς ἐκδιδάσκοντος· λέγει γὰρ οὕτως· „ τόκος παράδοξος, „ ἀρχὴ καὶ οὐκ ἀρχὴ τοῦ τεχθέντος· τῆς μὲν γὰρ ἀνθρωπότητος γέγονεν ἀρ„ χὴ, ἡ δὲ θεότης ἔμεινεν ἄναρχος. „ Μὴ ἀπατάσθωσαν τοίνυν οἱ ἄνθρωποι, μηδὲ ἀπατάτωσαν, ἐκ τοῦ κατὰ τὸν ἄνθρωπον ὑποδείγματος, μιᾶς οὐσίας εἶναι τὸν Χριστὸν τερατευόμενοι· τὰ γὰρ ὑποδείγματα οὐ διὰ πάντων ὅμοιά ἐστιν ἐκείνοις, ὧν εἰς ὑπόδειγμα λαμβάνεται· εἰ γὰρ διὰ πάντως ὅμοια εὑρεθῇ, τὰ αὐτὰ πάντως ἔσται καὶ οὐ παραδείγματα. Καὶ ὁ ἐν ἁγίοις γὰρ Κύριλλος κατ᾽ οὐδὲν ἕτερον τῷ τοῦ ἀνθρώπου κέχρηται παραδείγματι, πλὴν διὰ μόνον τὸ ἐκβαλεῖν τὴν Παύλου καὶ Νεστορίου βλασφημίαν, τῶν διαιρούντων τὰς φύσεις ἀπ᾽ ἀλλήλων, καὶ εἰς δύο πρόσωπα ἤγουν ὑποστάσεις ταύτας λαμβανόντων, καὶ ἐντεῦθεν δύο υἱοὺς καὶ δύο Χριστοὺς λεγόντων· ἕνα μὲν τὸν ἐκ τοῦ Θεοῦ καὶ πατρὸς υἱὸν. ἕτερον δὲ τὸν ἐκ τῆς ἁγίας παρθένου καὶ θεοτόκου Μαρίας ἀναπλαττόντων· ὡς διὰ τοῦτο μηδὲ θεοτόκον αὐτὴν παρ᾽ αὐτῶν ὁμολογεῖσθαι. ἀλλὰ τὸν ἐξ αὐτῆς γεννηθέντα, ψιλὸν ἄνθρωπον λέγεσθαι, χάριτι δὲ καὶ οἰκειώσει καὶ σχέσει τῇ πρὸς τὴν κατὰ φύσιν υἱὸν, τῆς υἱότητος ἐκ προκοπῆς ἠξιῶσθαι.

Πρὸς ἀπόδειξιν δὲ τοῦ ὅτι ταῦτα οὕτως ἐβλασφήμησαν Παῦλός τε καὶ Νεστόριος, ἐκ τῶν γεγραμμένων αὐτοῖς ἀσεβειῶν ὀλίγας παρατιθέμεθα, τὴν τούτων μανίαν πᾶσι χριστιανοῖς στηλιτεύοντες. Λέγει γοῦν ὁ ἀσεβὴς Παῦλος ἐν τοῖς παρ᾽ αὐτοῦ πεπραγμένοις. „ Συνῆλθεν ὁ λόγος τῷ ἐκ Δαβὶδ γεγενημένῳ, ὅς „ ἐστιν Ἰησοῦς Χριστὸς ὁ γεννηθεὶς ἐκ πνεύματος ἁγίου· καὶ τοῦτον μὲν ἤνεγκεν „ ἡ παρθένος διὰ πνεύματος ἁγίου, ἐκεῖνον δὲ τὸν λόγον ἐγέννησεν ὁ Θεὸς „ ἄνευ παρθένου καὶ ἄνευ τινὸς οὐδενὸς ὄντος, πλὴν τοῦ Θεοῦ καὶ οὕτως ὑπέστη ὁ „ λόγος. „ Καὶ πάλιν ὁ αὐτὸς ἀσεβὴς Παῦλος λέγει· „ ὁ λόγος μείζων ἦν τοῦ „ Χριστοῦ· Χριστὸς διὰ σοφίαν μείζων ἐγένετο· τὸ ἀξίωμα τῆς σοφίας μὴ καθέ„ λωμεν. „ Καὶ πάλιν ὁ αὐτὸς αἱρετικὸς Παῦλος λέγει· „ καὶ γὰρ ἐν προ„ φήταις ἦν, μᾶλλον δὲ καὶ ἐν Μωσῇ καὶ ἐν πολλοῖς κύριος, μᾶλλον δὲ καὶ „ ἐν Χριστῷ ὡς ἐν ναῷ· ἄλλος γάρ ἐστιν Ἰησοῦς Χριστὸς καὶ ἄλλος ὁ λό„ γος. „ Εἶτα πάλιν Νεστόριος ὁ ἀσεβὴς λέγει· „ οὐδαμοῦ τοίνυν ἡ θεία γραφὴ „ θεὸν ἐκ τῆς χριστοτόκου παρθένου λέγει γεγεννῆσθαι. „ Καὶ πάλιν ὁ αὐτὸς ἀνθρωπολάτρης Νεστόριος λέγει· „ ἐγερθεὶς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ· „ οὐκ εἶπεν ἐγερθεὶς παράλαβε τὸν θεὸν καὶ τὴν μητέρα αὐτοῦ. „ Καὶ πάλιν ὁ αὐτὸς ἀσεβὴς Νεστόριος λέγει· „ ἄλλο ἐστὶ τὸ συνεῖναι τῷ γεγεννημένῳ, καὶ ἄλ„ λο τὸ γεννᾶσθαι· τὸ γὰρ ἐν αὐτῇ φησὶ, γεννηθὲν, ἐκ πνεύματός ἐστιν ἁγίου·

„ τουτέστι τὸ πνεῦμα τὸ ἅγιον ἔκτισεν τὸν ἐν αὐτῇ· εἶδον οὖν οἱ πατέρες ὡς
„ ἐπιστήμονες τῶν θείων γραφῶν, ὅτι ἐὰν ἀντὶ τοῦ σαρκωθέντα θῶμεν τὸ γεν-
„ νηθέντα εὑρίσκεται υἱὸς τοῦ πνεύματος ὁ θεὸς λόγος, καὶ δύο πατέρας ἔχων·
„ εἰ δὲ διὰ τοῦ ἑνὸς υἱοῦ εὑρεθήσεται ὁ θεὸς λόγος κτίσμα τοῦ πνεύματος ὤν. „
Καὶ πάλιν ὁ αὐτὸς ἀσεβὴς Νεστόριος λέγει· " ἀλλ' ὥσπερ ἐλέγομεν θεὸν τὸν
„ πάντων δημιουργὸν, καὶ θεὸν τὸν Μωϋσέα· θεὸν γάρ, φησὶ, τέθεικά σε τοῦ Φαραὼ,
„ καὶ υἱὸν τοῦ θεοῦ τὸν Ἰσραήλ· υἱὸς γάρ, φησι, πρωτότοκός μου Ἰσραήλ· καὶ ὥσπερ
„ ἐλέγομεν Χριστὸν τὸν Σαούλ· οὐ μὴ γάρ, φησιν, ἐπιβαλῶ τὴν χεῖρα μου ἐπ'
„ αὐτὸν, ὅτι Χριστὸς κυρίου ἐστίν· καὶ τὸν Κῦρον ὡσαύτως· τάδε λέγει, φησὶ,
„ κύριος τῷ Χριστῷ μου Κύρῳ· καὶ τὸν βαβυλώνιον ἅγιον· ἐγὼ γάρ, φησὶ συντά-
„ ξω αὐτοῖς· ἡγιασμένοι εἰσὶ, καὶ ἐγὼ ἄγω αὐτούς· οὕτω λέγομεν καὶ τὸν δεσ-
„ πότην Χριστὸν καὶ θεὸν καὶ υἱὸν καὶ ἅγιον καὶ Χριστόν. „

Καὶ πάλιν ὁ αὐτὸς ἀσεβὴς Νεστόριος λέγει· " διὰ τὸν φοροῦντα τὸν φορούμενον
„ σέβω· διὰ τὸν κεκρυμμένον προσκυνῶ τὸν φαινόμενον· ἀχώριστος τοῦ φαινομένου θεός·
„ διὰ τοῦτο τοῦ μὴ χωριζομένου τὴν τιμὴν οὐ χωρίζω· χωρίζω τὰς φύσεις, ἀλλ' ἑνῶ
„ τὴν προσκύνησιν. „ Καὶ πάλιν ὁ αὐτὸς ἀσεβὴς Νεστόριος λέγει· „ καὶ Χριστὸς ὁ
„ θεὸς λόγος ὀνομάζεται, ἐπειδήπερ ἔχει τὴν συνάφειαν τὴν πρὸς τὸν Χριστὸν διηνε-
„ κῆ. „ Καὶ πάλιν ὁ αὐτὸς ἀσεβὴς Νεστόριος λέγει. " Ἡ μακαρία παρθένος
„ οὐκ ἐγέννησεν τὸν υἱὸν τοῦ θεοῦ, ἀλλ' ἐγέννησε τὴν ἀνθρωπότητα, ἥτις ἐστὶν
„ υἱὸς, διὰ τὸν συνημμένον υἱόν. „ Καὶ ταῦτα μὲν Παῦλος καὶ Νεστόριος οἱ
ἀσεβεῖς τὴν ἑλλήνων καὶ ἰουδαίων ἀσέβειαν ὑπερβαλλόμενοι αἴτιον ἦν γέγονεν τῆς
αὐτῶν ἀπωλείας τὸ μὴ ὁμολογεῖν τὰς δύο γεννήσεις ἑνὸς καὶ τοῦ αὐτοῦ κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ ἡμῶν θεοῦ, τουτέστι τήν τε πρὸ αἰώνων ἐκ τοῦ πα-
τρὸς κατὰ τὴν θεότητα, καὶ τὴν ἐπ' ἐσχάτου τῶν ἡμερῶν τοῦ αὐτοῦ ἐκ τῆς ἁγίας ἐνδό-
ξου παρθένου καὶ θεοτόκου Μαρίας κατὰ τὴν ἀνθρωπότητα, ἀλλὰ δύο υἱοὺς λέ-
γοντας, ἄλλον μὲν τὸν ἐκ τοῦ πατρὸς γεννηθέντα θεὸν λόγον, ἄλλον δὲ τὸν ἐκ
τῆς ἁγίας παρθένου ψιλὸν ἄνθρωπον· καὶ διὰ τοῦτο αὐτοὺς τὴν ἁγίαν παρθένον
θεοτόκον μὴ ὁμολογεῖν· καὶ μήτε προφήταις μήτε εὐαγγελίοις μήτε τοῖς ἀποσ-
τολικοῖς κηρύγμασιν ἀκολουθεῖν. Πρὸς ἔλεγχον δὲ τῆς αὐτῶν ἀσεβείας, ὀλίγας
ἐκ πολλῶν γραφικὰς παριθέμεθα μαρτυρίας Ἱερεμίας γὰρ κ. τ. λ. (1)
Cod. p. ???. Δεῖ δὲ τὸν ἀναγινώσκοντα προσέχειν τοῖς τοῦ Κυρίλλου λόγοις· εἰ-
πὼν γὰρ οὐκ ἀνάχυσιν τινὰ τὴν εἰς ἀλλήλας τῶν φύσεων πεπρᾶχθαι, μένειν δὲ
μᾶλλον ἑκατέραν ἐν τῇ ἑνώσει. τοῦτο ὅπερ ἐστὶ σαφῶς διδάσκει τὰς δύο φύ-
σεις τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος, ἐν τῷ ἑνὶ προσώπῳ τοῦ κυρίου ἡμῶν
Ἰησοῦ Χριστοῦ σώζεσθαί τε καὶ ὁμολογεῖσθαι· ἐξ ὧν συνωθούμενοι οἱ αἱρετι-
κοὶ, ἑτέραν πάλιν ἐπινοοῦσιν ἀσέβειαν· καὶ διὰ ταύτης τὴν προτέραν ἐπισκιάσαι

(1) Exin ex hac prolixa Iustiniani epistola nonnisi fere medulus Patrum locos, et praecipuam doctrinam descripsi, reliquis praetermissis.

βουλόμενοι· ἴσασι γὰρ ὅτε καὶ μίαν σύνθετον ἀναπλάττουσι φύσιν· ἀγνοοῦντες ὅτι καθάπερ διὰ τῆς τῶν πατέρων ἀποδέδεικται διδασκαλίας, καὶ ἡμεῖς δὲ ἀνωτέρω ὡρίσαμεν, τὸ τῆς φύσεως ὄνομα ἐπὶ κοινοῦ λέγεται πράγματος, καὶ ἀόριστόν τι σημαίνει καὶ κατὰ πολλῶν ὑποστάσεων κατηγορεῖται. Εἰ τοίνυν αἱ δύο φύσεις τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος, μία κατ' αὐτοὺς γέγονε σύνθετος φύσις, δῆλον ὅτι κοινόν τι καὶ ἀόριστον ἀπετελέσθη· καὶ ζητεῖν ἐπάναγκες, ποίας κοινότητος ἢ κατὰ ποίων ὑποστάσεων τὴν τοιαύτην φύσιν λέγουσι κατηγορεῖσθαι, ὅπερ ἐναντίον ἐστὶ τῷ κατὰ Χριστὸν μυστηρίῳ· ὁ γὰρ Χριστὸς οὐχ ὡς κοινόν τι καὶ κατὰ πολλῶν ὑποστάσεων κατηγορεῖται, ἀλλ' ἐπὶ μιᾶς ὑποστάσεως, ἤτοι ἑνὸς προσώπου λέγεται ἐν διαφόροις οὐσίαις θεότητος καὶ ἀνθρωπότητος γνωριζόμενος· καὶ ἡμεῖς μὲν δύο οὐσίας ἐπὶ Χριστοῦ λέγοντες, κατὰ μὲν τὴν θεότητα ἴσμεν αὐτὸν τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι ὁμοούσιον, κατὰ δὲ τὴν ἀνθρωπότητα πᾶσιν ἀνθρώποις τὸν αὐτὸν γινώσκομεν ὁμοούσιον. Οἱ δὲ λέγοντες τὰς δύο οὐσίας μίαν ἀποτελέσαι σύνθετον φύσιν, ὅπερ ἐστὶν ἓν κοινὸν τινῶν εἶναι, τὴν κοινότητα ταύτην διδόασιν· ἀνάγκη γὰρ κατὰ τοὺς ἐκείνων λόγους ἀποτελεσθῆναι τι μέσον ἑτεροφυές, ἢ ὅπερ ἦν ἑκάτερον ἀνὰ μέρος.

Κἀκεῖθεν δὲ αὐτῶν τὰ τῆς ἀτοπίας ἐλέγχεται· εἰ γὰρ διὰ πάντων ὡμολόγηται ἁπλῆν εἶναι καὶ ἀσύνθετον τὴν φύσιν τῆς ἁγίας Τριάδος, αὐτοὶ δὲ σύνθετον εἰσάγουσι τὴν τοῦ υἱοῦ φύσιν, εὑρεθήσεται κατ' αὐτοὺς ἑτέρα φύσις ἡ τοῦ υἱοῦ παρὰ τὴν τοῦ πατρὸς καὶ τοῦ ἁγίου πνεύματος· πλὴν καὶ ἡ περὶ τῆς συνθέτου φύσεως εὕρεσις οὐδενὸς ἑτέρου ἢ τοῦ διδασκάλου τῆς πλάνης αὐτῶν ἐστιν Ἀπολιναρίου, τοῦ ποτὲ μὲν μίαν σύνθετον φύσιν λέγοντος, ποτὲ δὲ μίαν θεότητος καὶ ἀνθρωπότητος ἀναπλάττοντος· ὅπερ εὑρεῖν ἔξεστιν ἐκ τῶν τοῦ αὐτοῦ αἱρετικοῦ συγγραμμάτων· ἐν γὰρ τῷ λόγῳ ὃν ἐπιγράφει πρὸς τοὺς ἄνθρωπον ὑπὸ τοῦ λόγου προσειλῆφθαι λέγοντας, λέγει τάδε. "Ἄνθρωπος εἷς ὁ Χριστός, ὡς εἷς θεὸς ὁ πατὴρ ὅ ἐστι φύσεως, ὥστε καὶ τοῦτο φύσεως συνθέτου, μεταξὺ οὔσης θεοῦ καὶ ἀνθρώπων." Καὶ πάλιν ὁ αὐτὸς ἀσεβὴς Ἀπολινάριος ἐν τῷ περὶ τῆς θείας σαρκώσεως λόγῳ, ἐν κεφαλαίῳ τρισκαιδεκάτῳ λέγει τάδε. "Ἡ σὰρξ ἑτεροκίνητος οὖσα πάντως ὑπὸ τοῦ κινοῦντος καὶ ἄγοντος, ὁποῖον ποτὲ ἂν εἴη τοῦτο· καὶ οὐκ ἐντελὲς οὖσα ζῶον ἀφ' ἑαυτῆς, ἀλλ' εἰς τὸ γενέσθαι ζῶον ἐντελὲς συντεθειμένη πρὸς ἑνότητα τῷ ἡγεμονικῷ συνῆλθεν, καὶ συνετέθη πρὸς τὸ οὐράνιον ἡγεμονικόν, ἐξοικειωθεῖσα αὐτῷ κατὰ τὸ παθητικὸν ἑαυτῆς, καὶ λαβοῦσα τὸ θεῖον οἰκειωθὲν αὐτῇ κατὰ τὸ ἐνεργητικόν· οὕτω γὰρ ἓν ζῶον ἐκ κινουμένου καὶ κινητικοῦ συνίστατο, καὶ οὐ δύο, οὐκ ἐκ δύο τελείων καὶ αὐτοκινήτων· διόπερ ἄνθρωπος μὲν ἕτερόν τι ζῶον πρὸς θεόν, καὶ οὐ θεὸς ἀλλὰ δοῦλος θεοῦ, κἂν οὐρανίων ᾖ τις δύναμις, ὡσαύτως ἔχει· σὰρξ δὲ, θεοῦ σὰρξ γενομένη, ζῶόν ἐστι μετὰ ταῦτα συντεθεῖσα εἰς μίαν φύσιν." Τοῦ αὐτοῦ Ἀπολιναρίου αἱρετικοῦ ἐκ τῶν κατὰ Διοδώρου λόγων.

,, Ὄργανον καὶ τὸ κοινοῦν μίαν πέφυκεν ἀποτελεῖν τὴν ἐνέργειαν· εἰ δὲ μία ἡ ,, ἐνέργεια μία καὶ ἡ οὐσία, μία ἄρα οὐσία γέγονεν τοῦ λόγου καὶ τῆς σαρκός. ,, Τοῦ αὐτοῦ ἐν τῷ περὶ σαρκώσεως λόγῳ. ,, Ὦ καινὴ κτίσις, μίξις θεσπεσία, ,, Θεὸς καὶ σὰρξ. μίαν καὶ τὴν αὐτὴν ἀπετέλεσαν φύσιν. , Τοῦ αὐτοῦ πρὸς Πέτρον. " Φύσει μὲν Θεὸν καὶ φύσει ἄνθρωπον τὸν κύριον λέγομεν, μιᾷ δὲ καὶ συγκρά- ,, τῳ τῇ φύσει σαρκικῇ τε καὶ θεικῇ. ,

P. 225. Ὅτι δὲ τοὺς λέγοντας σύνθετον φύσιν, καὶ μίαν σαρκὸς καὶ θεότητος φύσιν ἀναπλάττοντας, ὁ ἐν ἁγίοις Κύριλλος ἀποβάλλεται, ἐξ αὐτῶν τῶν τοῦ πατρὸς λόγων εὐθὺς ἀποδείξομεν· λέγει γὰρ ἐν τῷ κατὰ τῶν συνουσιαστῶν λόγῳ ταῦτα. " Ἵνα πιστεύωμεν ὅτι κἂν εἰ τοῖς ἡμετέροις σώμασιν ὁμοφυὲς ,, ἦν τὸ ἅγιον αὐτοῦ καὶ πάναγνον σῶμα, ἀλλ' οὖν ἔστι σεπτόν τε καὶ θεῖον, ,, καὶ πολὺ τῶν καθ' ἡμᾶς ἐπέκεινα μέτρων, ἅτε δὴ καὶ ἴδιον αὐτοῦ γεγονός· ,, ἐνήργηκεν γὰρ δι' αὐτοῦ· διὰ τοῦτο καὶ ἄρτος ὠνομάσθη ζωῆς· καὶ μὴν καὶ , ἐξ οὐρανοῦ καταβῆναι λέγεται, καὶ ζωὴν διδόναι τῷ κόσμῳ διὰ τὸν ἄνωθεν καὶ ἐξ οὐρανοῦ καταβάντα λόγον, οὗ καὶ ἰδία γέγονεν ἡ σάρξ· οὐκοῦν ,, θεία μὲν ὡς ἔφην ἐστίν· οὐ μὴν ὅτι καὶ εἰς φύσιν θεότητος μεταβαλεῖν αὐ- ,, τὴν ὑποτοπήσοι τις ἄν, εἴ γε νοῦν ἔχει τὸν εὖ βεβηκότα καὶ δογματικῆς ,, εὐτεχνίας ἐπιστήμονα· δεῖ γὰρ τῇ πάντων ἐπέκεινα καὶ ἀνωτάτω φύσει σώ- ,, ζεσθαι καθαρῶς τὸ ἁπλοῦν καὶ ἀσυμμιγὲς τῷ ἑτέρῳ, καὶ τὸ μὴ συντεθεῖσθαι ,, δοκεῖν ἔν γε τοῖς καθ' ἑαυτὴν ἤγουν προσθήκης δεδεῆσθαι τινὸς καὶ ἀσυμ- ,, φυοῦς αὐτῇ πράγματος, εἰς κοινωνίαν ἐλθεῖν τὴν ἐν ταυτότητι φύσεως ἤγουν ,, ὁμοουσιότητος. Διὰ τούτων δὲ ὁ πατὴρ σαφῶς ἀπαγορεύει, μίαν λέγειν ἐπὶ τῆς θεότητος καὶ τῆς ἀνθρωπότητος τοῦ Χριστοῦ σύνθετον φύσιν, ὡς μὴ ἐκδεχομένης τὴν θείαν φύσιν ἑνωθεῖσαν τῇ ἀνθρωπίνῃ, μίαν μετ' αὐτῆς ἀποτέλεσαι φύσιν.

Τῆς τῶν ἐναντίων τοίνυν ἀτοπίας ἐληλεγμένης, δῆλον καθέστηκεν ὅτι αἱ δύο φύσεις συνελθοῦσαι, οὐ φύσιν σύνθετον ἀλλὰ Χριστὸν σύνθετον ἀπετέλεσαν, ἐπειδὴ καὶ φύσει Θεὸς, καὶ φύσει ἄνθρωπος, εἰ καὶ ὁ αὐτὸς ὁμολογεῖται· ἀλλ' οἱ τῆς ἀληθείας ἐχθροὶ πρὸς ταῖς ἄλλαις αὐτῶν ἀτοπίαις μὴ βουλόμενοι τοῖς τῶν πατέρων ἀκολουθεῖν δόγμασιν, ἀλλὰ τὰ Ἀπολιναρίου πρεσβεύοντες, οὐδεμίαν ὁδὸν ἀτοπίας καταλιμπάνουσιν δι' ἧς τὰς τῶν ἀκεραιοτέρων ψυχὰς διαφθείρουσι· τὴν γὰρ Ἀπολιναρίου προσηγορίαν, ὡς σαφῆ δυσσεβείας ἔλεγχον δολερῶς ἀπωθούμενοι, τὰς τῶν ἁγίων πατέρων ἐπωνυμίας τοῖς τούτου συγγράμμασι, καὶ τοῖς ἑαυτῶν πλάσμασιν ἐπιτιθέασι, κλέπτοντες τοὺς ἁπλουστέρους, καὶ τὸν δόλον τῆς ἀληθείας διαδράσκοντες· προφέρουσι γὰρ δύο ἐπιστολὰς ψευδεπιγράφους, μίαν μὲν ὡς παρὰ Ἰουλίου τοῦ ἐπισκόπου Ῥώμης (1) πρὸς Διονύσιον πρεσβύτερον γεγραμμένην ἔχουσαν οὕτως *Ut in editione Mura-*

(1) Confer dicta a me in hoc volumine p. 164.

torii. Ἑτέραν δὲ ὡς δὴ παρὰ Ἀθανασίου τοῦ ἐν ἁγίοις πρὸς Ἰοβιανὸν τὸν βασιλέα γεγραμμένην ἔχουσαν οὕτως. " Ὁμολογοῦμεν τὸν υἱὸν τοῦ Θεοῦ τὸν πρὸ αἰώ-
„ νων ἀϊδίως ἐκ τοῦ πατρὸς γεννηθέντα, ἐπ' ἐσχάτου τῶν αἰώνων διὰ τὴν ἡμε-
„ τέραν σωτηρίαν ἐκ Μαρίας τῆς ἁγίας παρθένου γεννηθέντα κατὰ σάρκα, ὡς
„ ὁ θεῖος ἀπόστολος διδάσκει λέγων, ὅτε δὲ ἦλθεν τὸ πλήρωμα τοῦ χρόνου,
„ ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικὸς καὶ εἶναι αὐτὸν
„ υἱὸν τοῦ Θεοῦ, καὶ Θεὸν κατὰ πνεῦμα, υἱὸν ἀνθρώπου κατὰ σάρκα. οὐ δύο φύ-
„ σεις τὸν ἕνα υἱόν, μίαν προσκυνητὴν καὶ μίαν ἀπροσκύνητον. ἀλλὰ μίαν φύ-
„ σιν τοῦ Θεοῦ λόγου σεσαρκωμένην, καὶ προσκυνουμένην μετὰ τῆς σαρκὸς αὐ-
„ τοῦ μιᾷ προσκυνήσει. „

Τούτων τοίνυν παρὰ τῶν ἀκεφάλων προφερομένων ἡ τοῦ Θεοῦ σοφία ἄνωθεν αὐτῶν ἀναιροῦσα τὴν κακίαν, οὐ συνεχώρησε μεῖναι τὸ ψεῦδος ἀνέλεγκτον· δέδωκε γὰρ ἡμῖν ἐπιστῆναι τοῖς Ἀπολιναρίου συγγράμμασιν. ἃ παρατιθέντες τοῖς παρὰ τούτων προφερομένοις, φανερῶς ἐλέγξομεν ἐκ τῶν Ἀπολιναρίου λόγων ταῦτα παρ' αὐτῶν προβεβλῆσθαι· γράφει γὰρ ὁ αὐτὸς Ἀπολινάριος ἐν τῷ κατὰ Διοδώρου τάδε. „ Ἄλλης καὶ ἄλλης οὐσίας, μίαν εἶναι καὶ τὴν
„ αὐτὴν προσκύνησιν, ἀθέμιτον. τουτέστιν ποιητοῦ καὶ ποιήματος, Θεοῦ καὶ
„ ἀνθρώπου· μία δὲ προσκύνησις Χριστοῦ, καὶ κατὰ τοῦτο ἐν τῷ ἑνὶ ὀνόματι νοεῖται
„ Θεὸς καὶ ἄνθρωπος· οὐκ ἄρα ἄλλη καὶ ἄλλη οὐσία Θεὸς καὶ ἄνθρωπος, ἀλ-
„ λὰ μία κατὰ σύνθεσιν Θεοῦ πρὸς σῶμα ἀνθρώπινον. „ Καὶ πάλιν ἐν τῷ αὐτῷ λόγῳ. " Πῶς γὰρ τὸ πρᾶγμα οὐ δυσσεβές. ἄλλην οὐσίαν κτιστὴν καὶ δου-
„ λικὴν μίαν ἔχειν καὶ τὴν αὐτὴν προσκύνησιν τῷ κτίστῃ καὶ δεσπότῃ; „ Καὶ πάλιν ὁ αὐτὸς ἀσεβὴς Ἀπολινάριος ἐν τῷ περὶ σαρκώσεως λόγῳ. " ἀδύ-
„ νατον τὸν αὐτὸν καὶ προσκυνητὸν ἑαυτὸν εἰδέναι καὶ μή· ἀδύνατον ἄρα τὸν αὐ-
„ τὸν εἶναι Θεόν τε καὶ ἄνθρωπον ἐξ ὁλοκλήρου, ἀλλ' ἐν μονότητι συγκρά-
„ τῳ φύσεως θεϊκῆς σεσαρκωμένης. „ Ταῦτα δὲ ὅπως ἐστὶ σύμφωνα καὶ ἀκόλουθα ταῖς παρὰ ταῖς τῶν ἀκεφάλων πλαστῶς προφερομένοις ἐπιστολαῖς. ἐκ προσηγορίας Ἰουλίου καὶ Ἀθανασίου τῶν ἁγίων ἡμῶν πατέρων, οὐδενὶ τῶν εὖ φρονούντων ἠγνόηται· τὸ γὰρ λέγειν οὐ δύο φύσεις, μίαν προσκυνητὴν καὶ μίαν ἀπροσκύνητον, καὶ πάλιν ἄλλης καὶ ἄλλης οὐσίας μίαν εἶναι καὶ τὴν αὐτὴν προσκύνησιν, ἀθέμιτον· καὶ τὴν κτιστὴν καὶ δουλικὴν οὐσίαν μίαν ἔχειν καὶ τὴν αὐτὴν προσκύνησιν τῷ κτίστῃ καὶ δεσπότῃ. οὐδεμίαν ἔχει διαφορὰν οὔτε κατὰ τὰς λέξεις οὔτε κατὰ τὴν ἔννοιαν· ὅθεν ἠλέγξαντες. ὡς αἱ προφερόμεναι παρὰ τῶν αἱρετικῶν δύο ἐπιστολαὶ, οὐδενὸς ἑτέρου ἀλλὰ τοῦ τῆς πλάνης εἰσὶν Ἀπολιναρίου, καὶ ἀλλότριαι τῆς καθολικῆς ἐκκλησίας, δείξωμεν ὅτι καὶ τοῖς παρὰ τῶν ἁγίων ἡμῶν πατέρων ἐκτεθειμένοις, ἐναντία τὰ παρὰ ἀκεφάλων πεπλαστουργημένα καθεστᾶσι. *Sequuntur Athanasii et Cyrilli nota testimonia.*

Deinde p. 229. Διὰ πάντων οἶμαι τῶν εἰρημένων σαφῶς ἀποδεδεῖχθαι,

ὅτι ἐναντία ταῖς τῶν ἁγίων πατέρων διδασκαλίαις ἐστὶν, καὶ ἀλλότρια τοῦ τῶν χριστιανῶν πίστεως τὰ παρὰ τῶν αἱρετικῶν προφερόμενα· φανερῶς τῶν τε ἐν ἁγίοις Ἀθανασίου, καὶ τῶν ἐν ἁγίοις Κυρίλλου, τοῦ θεότητος καὶ τοῦ ἀνθρωπότητος τοῦ Χριστοῦ δύο φύσεις ὁμολογούντων. καὶ τὴν μὲν ἄκτιστον, τὴν δὲ κτιστὴν λεγόντων, καὶ μιᾷ προσκυνήσει προσκυνεῖσθαι διδασκόντων τὸν ἕνα κύριον ἡμῶν Ἰησοῦν Χριστόν. Καὶ ἀρκεῖ μὲν τὰ εἰρημένα πρὸς ἔλεγχον τοῦ τῶν ἀκεφάλων κακουργίας· πλὴν οὐδὲν ἄτοπον καὶ ἑτέρως αὐτῶν ἐλέγξαι τὴν κακοήθειαν, ὅτι ἡ μὲν προφερομένη παρ' αὐτῶν ἐπιστολὴ, ὡς Ἰουλίου δῆθεν τοῦ ἐπισκόπου Ῥώμης καὶ ἄλλως δείκνυται πεπλασμένη· οἱ γὰρ ἱερεῖς τοῦ πρεσβυτέρας Ῥώμης τῇ ἀποστολικῇ διδασκαλίᾳ πάντων ἀκολουθήσαντες παραδόσει, οὐδέποτε πρὸς ἀλλήλους διεφώνησαν, ἀλλὰ τὴν ὀρθὴν καὶ ἀληθινὴν μέχρι σήμερον διεφύλαξαν δόξαν (1). Ἔπειτα δὲ ὡς οὐκ ἔθος ἐστὶ τῷ τοῦ πρεσβυτέρας Ῥώμης πατριάρχῃ ἐπιγραφῇ τοιαύτῃ χρῆσθαι οἵαν οὗτοι προφέρουσιν, οὐ λέγομεν πρὸς πρεσβυτέρους, ὥσπερ αὐτοὶ συκοφαντοῦσιν, ἀλλ' οὔτε πρὸς ἐπισκόπους, οὔτε πρὸς αὐτοὺς τοὺς πατριάρχας· τρίτον δὲ ὅτι καὶ πέμψαντες εἰς τὰ ἀρχεῖα τοῦ ἐπισκοπείου τοῦ πρεσβυτέρας Ῥώμης, οὐδὲν τοιοῦτο παρὰ Ἰουλίου τοῦ τῆς ὁσίας μνήμης γεγραμμένον εὕρομεν. Ἡ δὲ ὡς παρὰ Ἀθανασίου τοῦ ἐν ἁγίοις πρὸς Ἰοβιανὸν ὑπ' αὐτῶν προφερομένη, πολλοῖς ἐλέγχεται τρόποις ψευδὴς παντάπασι καθεστῶσα· οὔτε γὰρ ἐπιστολιμαῖον ἔχει χαρακτῆρα, οὔτε πρέπουσῃ βασιλεῖ ὑπαγορίᾳ συντέθειται· ἀλλ οὐδὲ ἐπὶ τῶν Ἰοβιανοῦ χρόνων περὶ τοῦ ἐνανθρωπήσεως τοῦ κυρίου ἀμφισβήτησίς τις ἐκεκίνητο, ἀλλὰ περὶ τοῦ ἐν τῇ ἁγίᾳ τριάδι ὁμοουσιότητος, οἷα τοῦ ἀρειανικῆς μανίας τηνικαῦτα τὰς ἐκκλησίας ὀχλούσης· περὶ ἧς καὶ ἡ ἀληθὴς ἐπιστολὴ τοῦ ἐν ἁγίοις Ἀθανασίου πρὸς Ἰοβιανὸν γεγραμμένη φέρεται, ᾗ καὶ Γρηγόριος ὁ θεολόγος ἐν τῷ ἐπιταφίῳ τοῦ ἁγίου Ἀθανασίου μαρτυρεῖ, καὶ Τιμόθεος ὁ μαθητὴς Ἀπολιναρίου ταύτην ὁλόγραφον ἐν τῇ οἰκείᾳ τίθησιν ἱστορίᾳ ἔχουσαν οὕτως. *Sequitur edita Athanasii ad Iovianum epistola.*

P. 239. Δείξωμεν δὲ καὶ Τιμόθεον τὸν αἴλουρον σύμφωνα μὲν μανιχαίων, ἐναντία δὲ τοῖς αὐτοῖς ἁγίοις πατράσιν Ἀθανασίῳ καὶ Κυρίλλῳ φρονήσαντα· λέγει γὰρ ὁ αὐτὸς Τιμόθεος ἐν τῷ ὀγδόῳ κεφαλαίῳ τοῦ τρίτου βιβλίου, ὅπερ ἐν Χερσῶνι συνέγραψε τάδε· " φύσις δὲ Χριστοῦ μόνη θεότης. εἰ καὶ σεσάρκωται „. Τὰ αὐτὰ δὲ Μανιχαῖος γράφων ἐν τῇ πρὸς Κούνδαρον ἐπιστολῇ, λέγει τάδε· " μία φύσις τὸ ὅλον, εἰ καὶ σαρκὸς ὡρᾶτο μορφή. „ Πρὸς δὲ ταῦτα λέγομεν, ὅτι εἰ κατὰ τὴν ἄνοιαν Τιμοθέου φύσις Χριστοῦ μόνη Θεόνης. Χριστὸς ἄρα καὶ ὁ πατὴρ καὶ τὸ ἅγιον πνεῦμα· μία γὰρ θεότητος φύσις. πατρὸς φαμὲν καὶ υἱοῦ καὶ ἁγίου πνεύματος· ἔσται δὲ καὶ τὸ πάθος κοινὸν κατὰ τὴν ἐκείνου μανίαν. *P.* 236. Πάλιν Τιμόθεος ὁ βλάσφημος, ὡς οὐκ ἀρκούμενος τῇ προτέραις αὐτοῦ μα-

(1) Notemus praeclarum Iustiniani imp. testimonium de perpetua romanorum Pontificum orthodoxia, quum tot contra fuerint in ceteris patriarchalibus sedibus pastores haeretici.

ταιολογίαις, ἐν τῷ δευτέρῳ τῶν ἀντιρρητικῶν αὐτοῦ λόγων, σαφέστερον τὴν ἑαυτοῦ νόσον ἐκκαλύπτει· λέγει γὰρ οὕτως· “οὐ γὰρ φύσεως ἔχει λόγον ἡ τοῦ Θεοῦ λόγου σάρκωσις, ἀλλ᾽ οἰκονομίας ὑπὲρ φύσιν πραττομένης ὑπὸ Θεοῦ· ἐκ μὲν τῆς κοινῆς καὶ ἀνθρωπίνης ἡμῶν φύσεως ἤτοι οὐσίας· διὸ καὶ ὁμοφυὴς καὶ ὁμογενὴς καὶ ὁμοούσιος ἡμῖν λέγεται κατὰ τὸν τῆς οἰκονομίας λόγον, ἤτοι τὴν ἐκ γυναικὸς γέννησιν· οὔτε δὲ φύσις οὔτε οὐσία κοινοῦ τινὸς ἀνθρώπου προσηγόρευται πώποτε τὸ ἄχραντον καὶ ὁμογενὲς ἡμῖν σῶμα τοῦ Θεοῦ λόγου.” Διὰ τῶν εἰρημένων τοίνυν φανερὸν καθέστηκεν, ὅτι τὴν τοῦ Θεοῦ λόγου σάρκωσιν, φύσεως ἔχειν ἀπαρνεῖται λόγον Τιμόθεος· εἰ δὲ φύσεως λόγον οὐκ ἔχει, κατὰ φαντασίαν μόνην φανῆναι ταύτην λέγει· φησὶ γὰρ “ἐκ μὲν τῆς κοινῆς καὶ ἀνθρωπίνης ἡμῶν φύσεως ἤτοι οὐσίας τὸν Θεὸν λόγον γεγενῆσθαι, τουτέστιν ἐκ γυναικός· καὶ κατὰ τοῦτο μόνον καὶ ὁμοφυῆ καὶ ὁμογενῆ καὶ ὁμοούσιον ἡμῖν λέγεσθαι, καὶ Θεὸς ἐκ γυναικὸς ἀπετέχθη.” Ὁμοούσιον ἡμῖν οὐ μὴν αὐτὸν τὸν κύριον κατὰ φύσιν, ἤτοι οὐσίαν, κοινὸν ἔχειν τι πρὸς ἀνθρώπους λέγει· ἐπάγει γάρ· “ὅτι οὔτε φύσις, οὔτε οὐσία, κοινοῦ τινὸς ἀνθρώπου προσηγόρευται πώποτε, τὸ ἄχραντον καὶ ὁμογενὲς ἡμῖν σῶμα τοῦ Θεοῦ λόγου.” Ἀρνούμενος δὲ τῇ ἡμετέρᾳ φύσει κοινωνεῖν τὸ τοῦ κυρίου σῶμα, πρόδηλός ἐστι πρὸς ἀπάτην καὶ μόνην, τῇ τοῦ μονογενοῦς λέξει κεχρημένος, καὶ μηδὲν ἕτερον διὰ ταύτης νοῶν, εἰ μὴ ὅτι ὡς ἄνθρωπος κατὰ φαντασίαν γεγέννηται, καὶ δοκήσει οὐ φύσει ἐφάνη ἄνθρωπος. Εἰ δὲ ταῦτα οὕτως ἔχει κατὰ τὴν Τιμοθέου μανίαν, σαφὲς καθέστηκεν, ὅτι καὶ τὸ πάθος καὶ τὸν σταυρὸν καὶ τὸν θάνατον καὶ τὴν ἀνάστασιν τοῦ κυρίου κατὰ φαντασίαν φησὶν γεγενῆσθαι, ὅπερ καὶ Μανιχαῖος λέγει.

P. 237. Καὶ πάλιν Τιμόθεος τῆς ἑαυτοῦ βλασφημίαις προσεπιτιθεὶς τὰ χείρονα, καὶ ἐν τῷ τετάρτῳ αὐτοῦ κεφαλαίῳ τοῦ εἰρημένου βίβλου βιβλίου, λέγει τάδε. “Δείξωσιν ἡμῖν διφυσῖται τὴν δύο φύσεων τοῦ Χριστοῦ διαφοράν, ὡς αὐτοὶ λέγουσιν, εἰ δύνανται.” Ἰδοὺ σαφῶς ἀρνεῖται τὴν διαφορὰν τῶν ἐν Χριστῷ δύο φύσεων· καὶ ἐν τούτῳ δὲ ὁμοίως ἐναντιοῦται πᾶσι τοῖς τε ἄλλοις ἁγίοις πατράσι, καὶ μάλιστα Ἀθανασίῳ καὶ Κυρίλλῳ. — Καὶ πάλιν Τιμόθεος ὁ αἱρετικὸς μείζονας ἐπινοῶν ἑαυτῷ βλασφημίας, προβάλλεται προφητικὴν ῥῆσιν λέγουσαν οὕτως. “Ἀπαγγέλλων εἰς ἀνθρώπους τὸν Χριστὸν αὐτοῦ, καὶ κύριος ὁ Θεὸς παντοκράτωρ ὄνομα αὐτῷ.” Εἶτα κακῶς ταύτας ἐξηγούμενος ἐπάγει· “αὐτὸς οὖν δι᾽ ἑαυτοῦ ἀπήγγελλεν τοῖς ἀνθρώποις· τοῦτον ἰδὼν ὁ ἥλιος ἔδυ μεσημβρίᾳ· ἀλλ᾽ οὐκ ἐνεδέχετο τοῦτο δι᾽ ἀνθρώπου γενέσθαι, ἤτοι διὰ φύσεως ἀνθρωπίνης· ἡ γὰρ ἂν πάντη τε καὶ παντελῶς ἔλυεν τὴν παρθενίαν ἡ ἀνθρώπου φύσις· εἰ γὰρ ἦν ἄνθρωπος κατὰ φύσιν καὶ νόμον ὁ μέλλων ἀποτελεῖσθαι ἄνθρωπος ἐν μήτρᾳ τῆς παρθένου, οὐκ ἂν ἐτέχθη ἐξ αὐτῆς, εἰ μὴ πρῶτον τῆς παρθενίας διαλυθείσης.” Ἀλλὰ ταῦτα κατὰ τὴν Τιμοθέου ταπεινῆς κεφαλῆς καὶ τῶν ἀκολουθούντων αὐτῷ· βλασφημεῖ γὰρ τῇ

τε θείᾳ γραφῇ καὶ τοῖς ἁγίοις πατράσιν ἐναντιούμενος· οὐκ αἰσθόμενος ὅτι ἐν τούτῳ μάλιστα τὸ θαῦμα τοῦ τῆς εὐσεβείας ἐστὶν μυστηρίου, ὅτι ὁ μονογενὴς υἱὸς καὶ λόγος τοῦ θεοῦ, θεὸς ὢν φύσει καὶ σαρκωθεὶς ἐν τῇ μήτρᾳ τῆς παρθένου, καὶ γενόμενος κατὰ φύσιν ἄνθρωπος, ἐτέχθη ἐξ αὐτῆς, καὶ τὴν μητέρα παρθένον ἐφύλαξεν.

P. 238. Ὁ ἐν ἁγίοις Κύριλλος ἐν τῷ λόγῳ τῷ ὅτι χρὴ θεοτόκον ὁμολογεῖν τὴν παρθένον (1), λέγει τάδε. " Κύριον καὶ θεὸν ἐπιγινώσκομεν τὸν Χριστόν· „ γέγονε μὲν γὰρ ἄνθρωπος δι' ἡμᾶς ὁ τοῦ θεοῦ λόγος, μετασχὼν τῆς ἀν- „ θρωπείας φύσεως, καὶ γεγέννηται διὰ φιλανθρωπίαν ἄφατον μετὰ ταύτης ἐκ „ τῆς ἁγίας καὶ ἀπειρογάμου παρθένου· διὰ τοῦτο τοίνυν καλεῖται καὶ ἄνθρωπος· „ καλεῖται δὲ καὶ θεὸς, εἷς καὶ ὁ αὐτὸς ὑπάρχων ἐν ἑκατέρᾳ προσηγορίᾳ Χρι- „ στός „. Ταῦτα τοίνυν ἡμεῖς ἔκ τε τῶν θείων γραφῶν καὶ τῶν ἁγίων παριθέμεθα πατέρων πρὸς ἔλεγχον τῶν αἱρετικῶν, ἐφ' ᾧ γινώσκειν ἅπαντας τοὺς χριστιανοὺς, ὡς Διόσκορος καὶ Τιμόθεος ὁ αἴλουρος οἱ αἱρετικοὶ καθαρῶς τὰ Μανιχαίου καὶ Ἀπολιναρίου φρονοῦντες ἀποδείκνυνται.

P. 240. Ἄκουε δὲ τοῦ ἐν ἁγίοις Κυρίλλου, πῶς τοῦτο σαφῶς ἑρμηνεύει ἐν τῷ λόγῳ τῷ ὅτι χρὴ θεοτόκον τὴν ἁγίαν παρθένον ὁμολογεῖν· λέγει γὰρ οὕτως. " Οὐ μὴν ἀλλά γε κἀκεῖνο διασκεψώμεθα, ὡς εἰ μὴ θεὸν ἅμα καὶ ἄν- „ θρωπον ἠπίστατο τὸν Χριστὸν ὁ θεῖος ἀπόστολος, οὐκ ἂν ἔλεγεν τὸ κατὰ σάρ- „ κα· τοῦτο γὰρ φανερῶς ἐπὶ τοῦ μὴ μόνον ἀνθρώπου ἀλλὰ καὶ καθ' ἕτερόν „ τι τὴν οὐσίαν ὄντος λέγεται· ὥσπερ οὖν καὶ ἐπήγαγεν, ὁ ὢν ἐπὶ πάντων „ θεός· διπλῆν γὰρ τὴν περὶ τοῦ σωτῆρος ἡμῖν ὁμολογίαν παραδέδωκεν, καὶ τὸ „ κατὰ σάρκα ἐπιδείξας, καὶ θεὸν ἀνακηρύξας. Καὶ πάλιν ὁ ἀπόστολος ἐν τῇ „ πρὸς Τιμόθεον, εἷς θεὸς καὶ εἷς μεσίτης θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος „ Χριστὸς Ἰησοῦς, ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων „.

P. 241. Ὁ ἐν ἁγίοις Ἀμβρόσιος λέγει τάδε. " Οὐκ ἀρχὴν ὁ θεὸς λό- „ γος ἐκ τῆς παρθένου εἰληφὼς, ἀλλὰ συναΐδιος τῷ ἑαυτοῦ πατρὶ ὑπάρχων „ τὴν τῆς φύσεως τῆς ἡμετέρας ἀπαρχὴν ἑαυτῷ διὰ πολλὴν ἀγαθότητα ἑνῶσαι „ κατηξίωσεν· οὐ κραθεὶς, ἀλλ' ἐν ἑκατέραις ταῖς οὐσίαις εἷς καὶ ὁ αὐτὸς φανεὶς, „ κατὰ τὸ γεγραμμένον, λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐ- „ τόν· λύεται γὰρ Χριστὸς Ἰησοῦς κατὰ τὴν ἐμὴν οὐσίαν ἣν ἔλαβεν, καὶ λελυμένον „ ἐγείρει τὸν ἴδιον ναὸν ὁ αὐτὸς κατὰ τὴν θείαν αὐτοῦ οὐσίαν, καθ' ἣν καὶ πάν- „ των ὑπάρχει δημιουργός „. — Καὶ ἐν τῷ κατὰ Ματθαῖον ὁ αἱρετικὸς λέγει πρὸς τὸν παραδιδόντα αὐτὸν, φιλήματι τὸν υἱὸν τοῦ ἀνθρώπου παραδίδως; Τοῦτο δὲ Πέτρος ὁ μάρτυς καὶ ἀρχιεπίσκοπος Ἀλεξανδρείας ἐξηγούμενος λέ-

(1) Praeclarum hunc et prolixum S. Cyrilli tractatum adversus eos qui SS. Virginem nolebant confiteri *deiparam*, primus ego ex codice bibliothecae vaticanae hoc anno edidi in Scriptorum veterum octavo volumine. Confer ibi p. 117.—118.

γη ταῦτα ϗ τὰ τούτοις ὅμοια. « Τά τε σημεῖα πάντα ὅσα ἐποίησεν, ϗ αἱ
» δυνάμεις, δείκνυσιν αὐτὸν Θεὸν ἐνανθρωπήσαντα· τὰ συναμφότερα τοίνυν δεί-
» κνυται, ὅτι Θεὸς ἦν φύσει, καὶ ἐγένετο ἄνθρωπος φύσει ».

P. 242. Δεῖ δὲ προσέχειν τὸν νοῦν, ὅτι εἰπὼν ὁ ἀπόστολος ΟΣ, τὴν ὑπόστασιν τοῦ λόγου ἐσήμανεν ἐν τῇ τοῦ Θεοῦ ὑπάρχειν μορφῇ, ὅπερ ἐστὶν ἐν τῇ οὐσίᾳ τοῦ πατρός· καὶ οὐκ εἶπεν ὅτι τὸν ὑπάρχοντα ἐν μορφῇ δούλου ἔλαβεν, ἵνα μὴ προϋποστάντα δείξῃ τὸν ἄνθρωπον κατὰ τὴν Νεστορίου μανίαν· ἀλλ' εἶπεν ὅτι μορφὴν δούλου ἔλαβεν, τουτέστιν οὐσίαν ἀνθρώπου· δεικνὺς ὅτι τῇ ὑποστάσει τοῦ λόγου τὴν ὕπαρξιν ἔσχεν ἡ σάρξ, ἵνα εἷς ϗ ὁ αὐτὸς ἐν μιᾷ ὑποστάσει ὑπάρχων, ἐν ἑκατέρᾳ μορφῇ, τουτέστιν φύσει, γνωρίζηται τῇ θείᾳ τε ϗ ἀνθρωπίνῃ· δῆλον γάρ ὅτι ὁ Θεὸς λόγος γεννηθεὶς πρὸ πάντων τῶν αἰώνων ἐκ τοῦ πατρὸς, οὐ τῆς αὐτῆς ὑποστάσεως ἐστὶν τῷ πατρὶ, ἀλλὰ τῆς αὐτῆς οὐσίας καθ' ὃ Θεὸς, ἰδίαν δὲ ἔχει τὴν ὑπόστασιν καθ' ὃ λόγος· ϗ ἐπ' ἐσχάτου τῶν ἡμερῶν γεννηθεὶς ὁ αὐτὸς κατὰ σάρκα ἐκ τῆς ἁγίας ἐνδόξου παρθένου ϗ Θεοτόκου Μαρίας, οὐ τῆς αὐτῆς ὑποστάσεως ἐστιν τῇ μητρὶ ἀλλὰ τῆς αὐτῆς οὐσίας. Εἶτα πῶς οἱ ἀκέφαλοι δύο ὑποστάσεων ἕνωσιν λέγουσι, καίτοι δύο ὑποστάσεων ἕνωσιν τὴν καθ' ὑπόστασιν οὐκ ἐπιδεχομένων; ἢ ἀγνοοῦσι ὅτι ϗ Νεστόριος διὰ τὴν τοιαύτην πλάνην κατεκρίθη, δύο ὑποστάσεις ἐπὶ τῆς οἰκονομίας εἰσάγων; ἀλλὰ τούτων οὕτως ὄντων, ϗ Νεστορίου ϗ πάσης μᾶλλον αἱρέσεως βδελυρώτερα δόγματα λέγειν αἱρέχονται οἱ ἀκέφαλοι, ἢ συναινεῖν τῇ ἀληθείᾳ. Καὶ ταῦτα μὲν ἡμεῖς πρὸς αὐτούς. Τὸ δ' αὐτὸ τοῦ ἀποστόλου ῥητὸν ἐξηγούμενος ϗ ὁ ἐν ἁγίοις Ἀμβρόσιος ἐν τῷ κατὰ Ἀπολιναρίου λόγῳ γράφει τάδε. « Κάλλιστα κέχρηται τῇ τῶν αὐ-
» τῶν ἐπαναλήψει ῥημάτων ὁ ἀπόστολος λέγων περὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ
» Χριστοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα
» Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσεν, μορφὴν δούλου λαβών· τί ἐστι μορφὴ Θεοῦ, εἰ
» μὴ ἐν τῷ πληρώματι τῆς θεότητος ἐκεῖνο τῆς θείας τελειότητος ἐκτύπωμα;
» οὐκοῦν ἐν τῷ τελείῳ τῆς θεότητος ὢν, ἐκένωσεν ἑαυτὸν, ϗ ἔλαβεν τὸ τέ-
» λειον τῆς κατὰ ἄνθρωπον φύσεως ὁλοκλήρου· ϗ ὡς οὐδὲν ἔλιπεν τῷ Θεῷ, οὕτως
» οὔτε τῷ καταρτισμῷ τῷ κατὰ τὸν ἄνθρωπον, ἵνα τέλειος ἐν ἑκατέρᾳ φύσει
» τυγχάνῃ ».

P. 244. Ἱκανὰ μὲν οὖν ἡγούμεθα πρὸς ἀπόδειξιν τοῦ μίαν μὲν ὑπόστασιν, ἤτοι ἓν πρόσωπον εἶναι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐν δυσὶ δὲ φύσεσι αὐτὸν γνωρίζεσθαι, τουτέστιν ἐν θεότητι ϗ ἀνθρωπότητι, τά τε ἐκ τῆς θείας γραφῆς καὶ τῶν ἁγίων ἡμῖν παρατεθημένα πατέρων, εἰ ϗ ὀλίγα ἐκ πολλῶν προηγάγομεν, ἵνα μὴ πλῆθος τοῖς γραφομένοις ποιήσωμεν· πλὴν ὥρα ἐστιν ὅτε ϗ ὑπὸ τῶν ἐχθρῶν ἡ ἀλήθεια φανεροῦται, ὥσπερ οὖν ϗ οἱ δαίμονες τὸν Χριστὸν υἱὸν τοῦ Θεοῦ ϗ ἀκόντες ὡμολόγησαν, δείξομεν ϗ αὐτὸν Σευῆρον τὸν Ἀπολιναρίου διάδοχον ϗ τῆς τῶν ἀκεφάλων αὐξήσαντα πλάνην, ὁμολογοῦντα ὅτι

πάντες οἱ ἅγιοι πατέρες δύο φύσεις ἐπὶ τοῦ Χριστοῦ ἀδιαβλήτως εἰρήκασι· λέγει γοῦν ἐν τῷ λόγῳ, ὃν ἔκθεσιν πίστεως δῆθεν ὀνομάζει, τάδε. « Τὸ δὲ » λέγειν δύο φύσεις *etc ut alibi iam recitavimus.* Εἶτα τοῖς αὐτοῖς ἐμμένων καὶ διὰ τῶν ἐφεξῆς λέγει, μὴ δύνασθαι τὰς τῶν πατέρων φωνὰς τῶν ἀδιαβλήτως τῇ λέξει κεχρησμένων προφέρεσθαι. κἂν αὐτοῦ Κυρίλλου εἶεν πρὸ τούτου λεχθεῖσαι. Εἰ τοίνυν πάντας τοὺς ἁγίους πατέρας, ἔτι μὴν καὶ τὸν ἐν ἁγίοις Κύριλλον ἀδιαβλήτως τῇ λέξει κεχρῆσθαι, καὶ αὐτὸς Σευῆρος ὁμολογῇ. τίς ἄρα τοιαύτην ἔσχεν αὐθεντίαν, ὥστε τὴν τῶν ἁγίων πατέρων ἀποδοκιμάσαι διδασκαλίαν; ἢ πῶς πατέρας ὀνομάζει Σευῆρος ὧν ἀποδοκιμασθῆναι λέγει τὰ δόγματα; ἀλλὰ πρόδηλον ἑαυτὸν δείκνυσιν, ὡς τὴν ἀλήθειαν ἀποφυγεῖν, μὴ δυνάμενος, ὡμολόγησε μὲν τὴν τοιαύτην φωνὴν παρὰ τῶν ἁγίων πατέρων εἰρῆσθαι, βουληθεὶς δὲ τῇ οἰκείᾳ νόσῳ συνηγορεῖν, λέγει διὰ τὰς Νεστορίου βλασφημίας ἀποδοκιμασθῆναι τὰς τῶν ἁγίων πατέρων διδασκαλίας· ἐφ' ᾧ καὶ γελᾶν ἄξιον· διὰ γὰρ τούτων τούς τε ἁγίους πατέρας ἀθετεῖν ἐπιχείρησεν, καὶ τὸν ἐν ἁγίοις Κύριλλον συκοφαντεῖν οὐκ ἀπώκνησεν. ὡς καὶ τοῖς πρώην παρ' αὐτοῦ εἰρημένοις καὶ τοῖς ἁγίοις πατράσιν ἐναντιούμενον· πλὴν ἐπειδὴ ἐκεῖνος μέχρι τῶν Νεστορίου χρόνων, λέγει τοὺς ἁγίους πατέρας ἀδιαβλήτως τῇ τοιαύτῃ κεχρῆσθαι φωνῇ. ἡμεῖς δείξομεν ὅτι ὁ ἐν ἁγίοις Κύριλλος τῇ τῶν δύο φύσεων φωνῇ ἐπὶ τῆς οἰκονομίας τοῦ σωτῆρος χρησάμενος, κατέκρινε Νεστόριον· καὶ πάλιν μετὰ τὴν Νεστορίου κατάκρισιν, ὁ αὐτὸς ἐν ἁγίοις Κύριλλος τῇ ὁμοίᾳ ἐχρήσατο διδασκαλίᾳ· ἔοικε γὰρ Σευῆρος μήτε τοὺς ἁγίους νοήσας πατέρας. μήτε τὴν αἰτίαν ἐφ' ᾗ κατεκρίθη Νεστόριος· οἱ γὰρ ἅγιοι πατέρες τῆς θεότητος τοῦ Χριστοῦ καὶ τῆς ἀνθρωπότητος δύο φύσεις ἡνωμένας ὁμολογοῦντες ἀπηγόρευσαν δύο ὑποστάσεις ἢ δύο υἱοὺς ἐπ' αὐτοῦ λέγειν· Νεστορίου γὰρ φύσιν καὶ ὑπόστασιν καὶ πρόσωπον ταυτὸν εἶναι ὁμολογοῦντος, καὶ διὰ τοῦτο τῶν δύο φύσεων τὴν καθ' ὑπόστασιν ἕνωσιν ἀρνουμένου, καὶ ἀνὰ μέρος καὶ ἰδιοϋποστάτως τὰς δύο φύσεις λέγοντος, καὶ ἐντεῦθεν δύο υἱοὺς καὶ δύο Χριστοὺς ἀναπλάττοντος. καὶ διὰ τὴν τοιαύτην αὐτοῦ βλασφημίαν ὑπὸ τῶν ἁγίων κατεκρίθη πατέρων, ἀμέλει τοι ὁ ἐν ἁγίοις Κύριλλος τὴν ἰουδαϊκὴν αὐτοῦ μανίαν ἀντιλέγχων ἐν τῇ κατ' Ἔφεσον συνόδῳ τοὺς ἁγίους πατέρας προήγαγεν ἀπαγορεύοντας μὲν τὸ λέγειν δύο υἱούς, δύο δὲ φύσεις καὶ ἕνα υἱὸν κηρύττοντας.

P. 231. Ἐκ τῶν εἰρημένων τοίνυν ἁπάντων ἀποδέδεικται ὅτι ὁ ἐν ἁγίοις Κύριλλος καὶ πρὸ τῆς Νεστορίου κατακρίσεως, καὶ ἐν αὐτῇ τῇ κατακρίσει, καὶ μετὰ τὴν αὐτοῦ κατάκρισιν, οὐ διέλιπεν τὴν περὶ τῶν δύο φύσεων ἐπὶ τοῦ ἑνὸς Χριστοῦ ὁμολογίαν ἀεὶ κηρύττων· ἀλλ' οὐδὲν τούτων Σευῆρος ὁ τῆς ἀληθείας ἐχθρὸς ἐννοῶν, τοὺς μὲν πατέρας ὀνόματι δῆθεν πατέρων ἀποκαλεῖ, ἀρνεῖται δὲ τὰ παρ' αὐτῶν ὀρθῶς τῇ ἐκκλησίᾳ παραδιδόμενα δόγματα, μὴ γινώσκων ὅτι Νεστόριος μὲν διὰ τὴν οἰκείαν ἀσέβειαν κατακέκριται, οὐ μὴν δι'

ἐκεῖνον ἡ τῶν πατέρων ἀνῄρηται διδασκαλία· εἰ γὰρ κατὰ τὴν Σευήρου μανίαν, τὰς φωνὰς τὰς παρὰ μὲν τῶν ἁγίων πατέρων ὀρθῶς εἰρημένας, παρὰ δὲ αἱρετικῶν κακῶς ἐκλαμβανομένας παραιτεῖσθαι δεῖ, καὶ αὐτὴν ἀθετήσει τὴν θείαν γραφὴν, ἐξ ἧς πάντες αἱρετικοὶ τῇ οἰκείᾳ συνηγορεῖν οἴονται νόσῳ· καὶ δῆλον ὅτι κατὰ τοὺς ἐκείνου λήρους αἵ τε θεῖαι γραφαὶ καὶ αἱ τῶν πατέρων παραδόσεις ἀποδοκιμασθήσονται.

